




BIBLIOTHECA
SCRIPTORUM GRAECORUM ET ROMANORUM
TEUBNERIANA.

IMP. IUSTINIANI PP. A.

NOVELLAE QUAE VOCANTUR

SIVE

CONSTITUTIONES QUAE EXTRA CODICEM

SUPERSUNT

ORDINE CHRONOLOGICO DIGESTAE.

GRAECIS AD FIDEM CODICIS VENETI CASTIGATIS

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

PARS I.



LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXXI.

BIBLIOTHECA
SCRIPTORUM GRAECORUM ET ROMANORUM TEUBNERIANA.

A. Griechische Autoren.

Aeliani opera, 2 voll.	Mk.	9	—
— varia historia	„	—	90
Aeneae comment.	„	1	35
Aeschinis orationes	„	—	90
Aeschyli tragoediae	„	1	20
Aesopicae fabulae	„	—	90
Anacreon	„	1	—
Andocidis orationes	„	1	20
Anthologia lyrica	„	4	50
Antiphontis orationes	„	2	10
Apollodorus	„	1	—
Apollonii Rhodii Argonaut. . .	„	1	—
Appiani hist. Romana, 2 voll. .	„	9	—
Archimedis opera. Vol I et II à	„	6	—
Aristophanis comoediae, 2 voll.	„	3	—
Aristoteles de part. animal. . .	„	1	80
— de arte poetica	„	—	60
— physica	„	1	50
— Ethica Nicom.	„	1	80
Arriani expeditio Alex.	„	1	20
— scripta minora	„	1	—
Athenaeus, 4 voll.	„	12	—
Babrii fabulae	„	—	60
Bucolici Graeci	„	—	60
Cebetis tabula	„	—	60
Demosthenis orationes, 3 voll .	„	4	50
Dinarchi orationes	„	1	—
Dio Cassius, 5 voll.	„	13	50
Dio Chrysostomus, 2 voll. . .	„	5	40
Diodorus Siculus, 5 voll. . .	„	15	75
Dionysius Halic. 4 voll. . . .	„	10	80
Epicorum Graec. fragmenta. I.	„	3	—
Erotici scriptores, 2 voll. . . .	„	7	50
Eudociae violarium	„	7	50
Euripides, 3 voll.	„	5	70
Eusebius. Vol. I—IV	„	15	—
Fab. Rom. graece conscr. Vol. I.	„	3	75
Heliodorus	„	2	40
Herodianus	„	1	20
Herodoti historiae, 2 voll. . .	„	2	70
Hesiodus	„	—	45
Hesychius Milesius	„	—	75
Historici graeci min., Vol. I & II	„	8	25
Homerus. 2 voll. 4 Partes à	„	—	75
— — m. Einl. v. Sengebusch à vol.	„	2	25
Hymni Homerici	„	—	75
Hyperidis orationes	„	1	35
Iliadis carmina XVI, ed. Köchly	„	3	—
Iosephus Flavius, 6 voll. . . .	„	12	60
Isaeus	Mk.	1	2
Isocratis orationes, 2 voll. . .	„	2	7
Iulianus, 2 voll.	„	6	7
Luciani opera, 3 voll.	„	6	3
Lycophronis Alexandra . . .	„	1	8
Lycurgus	„	—	6
Lydus de ostentis	„	2	7
Lysiae orationes	„	1	2
Manetho	„	1	5
Maximi et Ammonis carmina .	„	1	8
Metrologici scriptores, 2 voll. .	„	5	1
Nicephori opuscula	„	3	3
Nicomachus Gerasenus . . .	„	1	8
Nonnus, 2 voll.	„	9	—
Onosander	„	1	2
Pausanias, 2 voll.	„	3	6
Philostrati opera, 2 voll. . . .	„	8	2
Pindari carmina	„	1	—
Platonis dialogi, 6 voll. . . .	„	10	5
Plotinus, 2 voll.	„	6	—
Plutarchi vitae, 5 voll. . . .	„	8	4
Plutarchi moralia. Vol. I . .	„	1	8
Polemon	„	1	—
Polyaenus	„	4	50
Polybius, 4 voll.	„	10	80
Porphyrius	„	1	8
Proclus	„	6	7
Quintus Smyrnaeus	„	1	5
Rerum natur. Script. Graeci. Vol. I.	„	2	7
Rhetores Graeci, 3 voll. . . .	„	9	—
Simeon Seth.	„	1	8
Sophoclis tragoediae	„	1	5
Stobaei florilegium, 4 voll. . .	„	9	6
— eclogae, 2 voll.	„	6	—
Strabo, 3 voll.	„	6	—
Themistii paraphrases, 2 voll. .	„	6	—
Theodorus Prodromus	„	—	5
Theophrastus Eresius, 3 voll .	„	6	6
Theophrasti characteres . . .	„	1	2
Theo Smyrnaeus	„	3	—
Thucydides, 2 voll.	„	2	4
Xenophontis expeditio Cyri . .	„	—	7
— — Editio major . . .	„	1	2
— historia graeca . . .	„	—	9
— institutio Cyri . . .	„	—	9
— commentarii	„	—	4
— scripta minora . . .	„	—	9
Zonaras. 6 voll.	„	15	75

B. Lateinische Autoren.

Ammianus Marcellinus. 2 voll.	Mk.	7	20
Anthimi epistula	„	1	—
Anthologia lat. Vol. I. fasc. I & II	„	7	50
Augustinus de civit. Dei, 2 voll.	„	6	—
Aulularia ed. Peiper	„	1	50
Boetii libri de inst. mathem. .	„	5	10
— de consolatione libri V . .	„	2	70
— comm. in Aristot. 2 voll.	„	8	70
Caesaris commentarii ed. Dinter, Vol. I. II. III. à Vol. . . .	„	1	—
— — *Ed. minor (in 1 vol.)* .	„	1	50
— — *de bello Gallico. Ed. min.*	„	—	75
— — *de bello civili. Ed. minor*	„	—	60
Cassius Felix	„	3	—
atulli Tibulli Propertii carmina	„	2	70
stullus	„	—	45
lsus	„	3	—
Censorinus	Mk.	1	2
Ciceronis opera ed. Klotz. 11 voll.	„	22	3
— — ed. Müller. II. 1. IV. 1—3 à	„	2	1
Ciceronis oration. selectae. 2 voll.	„	1	5
Ciceronis oratt. XVIII. ed. Eberhard et Hirschfelder. . . .	„	2	—
Ciceronis epist. select. Pars I & II	„	2	5
— — ed. Wesenberg. 2 voll.	„	6	—
Commodianus. Part. I & II. .	„	2	70
Cornelius Nepos	„	—	30
Curtius Rufus	„	1	20
Dares Phrygius	„	1	20
Dictys Cretensis lib. VI . . .	„	1	50
Dracontii carmina	„	1	2
Eclogae poetarum latinorum .	„	1	
Eutropius	„	—	
Florus et Ampelius	„		

IMP. IUSTINIANI PP. A.

NOVELLAE QUAE VOCANTUR

SIVE

CONSTITUTIONES QUAE EXTRA CODICEM

SUPERSUNT

ORDINE CHRONOLOGICO DIGESTAE.

GRAECIS AD FIDEM CODICIS VENETI CASTIGATIS


EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

PARS I.






LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXXI.

LIPSIAE, TYPIS B. G. TEUBNERI.



Praefatio.

I.

Iustiniani constitutiones praeter eas quae in Codicem receptae sunt, CLXXIV (trium quidem epitomae dumtaxat) supersunt: pleraeque post Codicem promulgatae, unde Novellae (Graecis *μετὰ τὸν κώδικα νεαραί*) a potiori appellantur: aliae (potissimum quae in Illyricum, Africam et Italiam destinatae essent) latino, plurimae graeco, nonnullae utroque sermone editae.

Fontes, ex quibus eas cognitas habemus, hi sunt:

1. *Epitome Novellarum* Iustiniani imperatoris de Graeco in Latinum translatarum per *Iulianum* eloquentissimum antecessorem Constantinopolitanae civitatis. Continet summas 124 Novellarum (sive potius 122, quoniam c. 25 et 120, 68 et 97 unius eiusdemque Novellae epitomae sunt) intra annos p. Chr. n. 535 et 556 latarum. Appendix quae in quibusdam Codicibus MSS accedit nonnullas constitutiones Iustiniani servavit, quas reliqui fontes non praestant. Editio apparatu critico locupletissimo instructa cura *Haenelii* prodiit Lipsiae 1873.[1]) — Epitomae Iuliani perquam similis est *Epitome graeca,* cuius fragmenta quae supersunt edidi in *Ἀνεκδότων* libro p. 196 sqq. Ea usus est sive eam confecit qui Graecis audit *ὁ Ἀνώνυμος*.

1) Quae in contextu editionis Haenelianae epitomis accedunt subscriptiones Novellarum utrum ita ut editae sunt in Codicibus MSS extent an editorum arbitrio nitantur, ex notis adiectis non satis intellegitur. proinde, quod hic notasse sufficiat, infra in subscriptionibus Novellarum castigandis Iuliani testimonio uti fere dedignatus sum.

2. *Collectio 87 capitulorum*, quam vocant, a *Ioanne Antiocheno* patriarcha intra annos 565—578 e tredecim Iustiniani Novellis ius ecclesiaticum illustrantibus confecta. Edita est ab *Heimbachio* *Ἀνεκδότων* to. II p. 202 sqq. — Fuerunt et alii tum temporis clerici qui Novellas eius argumenti colligerent. Ita *Collectioni XXV capitulorum,* quam vocant quamque edidit *Heimbach* *Ἀνεκδότων* to. II p. 145 sqq. in fine quinque Novellae (quarum novissima anno 565 data est) adiectae sunt. Praeterea in Cod. Vaticano 2019 (Basil. 58) saec. XIII post Epitomen canonum habentur septem Novellae (absque tamen inscriptione et subscriptione) sub rubrica *Αἱ νεαραὶ τοῦ ἰουστινιανοῦ.* Denique in Codice Ambrosiano L, 49 saec. XII (de quo egerunt *Heimbach* in *Ἀνεκδ.* I p. LXXVI sq. et *Witte* in Richter Jahrb. 1847 S. 183. 1119) leguntur quindecim *Νεαραὶ ἰουστινιανοῦ βασιλέως περὶ τῶν θείων καὶ ἱερῶν ἐκκλησιαστικῶν κανόνων.*

3. *Authenticum,* quod praestat 134 Novellas inter 535—557 promulgatas, et quidem in latinum sermonem conversas quas graece Iustinianus edidisset. Quam collectionem quum eius primum notitiam acciperet Irnerius pro spuria habuit, mox tamen genuinas Iustiniani Novellas continere vidit: hinc Authenticae vocatae sunt et ipsa collectio Authentici nomen accepit. Glossatores Novellas XXXVII quae obsoletae esse viderentur expunxerunt, reliquas XCVII in novem Collationes digesserunt. Integrum Authenticum primus edidit apparatu amplissimo *Heimbach* Lips. 1846—1851.

4. *Athanasii* Scholastici Emiseni *ἐπιτομὴ τῶν μετὰ τὸν κώδικα νεαρῶν διατάξεων,* quam primus edidit *Heimbach* *Ἀνεκδότων* to. I Lipsiae 1838. Praestat epitomas 152 Novellarum, et quidem 149 Iustiniani et 3 Iustini.

5. *Epitome graeca* Novellarum incerti auctoris, qua auctor Nomocanonis XIV titulorum usus est: de quo conferatur tractatus a me Athenis 1879 editus Ueber die Quellen des sog. Photianischen Nomokanon. Eius epitomae particulas servatas in Epitome ad Prochiron mutata edidi

in *Ἀνεκδότων* volumine p. 212 sqq. p. 263 not. 46. Novellas ad minimum 165 comprehendisse videtur, nec Iustiniani tantum, sed etiam Iustini. — Summae Novellarum quarundam, quae nominibus *Philoxeni* et *Symbatii* circumferuntur et collectae extant in Heimbachii *Ἀνεκδ.* to. I p. 260 sq. utrum ad hanc Epitomen referendae sint vel ad eam de qua supra dixi, an epitomis alioquin plane incognitis vindicandae, equidem diiudicare nolim.

6. *Collectio Novellarum* quae CLXVIII numeris absolvitur, 158 Novellas Iustiniani (sive potius 155, quum tres bis positae sint), 4 Iustini, 3 Tiberii et 3 formas Praef. Praet. complexa. Haec quidem collectio, utpote quae graece Novellas hoc sermone promulgatas exhiberet et aliis antiquioribus Novellarum collectionibus locupletior esset, apud Graecos inde a saec. X prae aliis in usu fuit. Nobis servata est in Codicibus Veneto ac Florentino (quorum mox accuratior notitia dabitur), nec tamen integra: nam in Veneto 24, in Florentino adeo 46 constitutiones sive formae vel omnino desunt vel earum loco summae tantum habentur. Hanc collectionem edidit ex apographo Codicis Florentini exarato circa a. 1500 (manu Angeli Politiani, ut Maierus comparatione literarum instituta iudicavit), quod hodie Bononiae in bibliotheca communali sub numero 80 asservatur, *Gregorius Haloander* anno 1531, et anno 1558 *Henricus Scrimgerus* ex apographo Codicis Veneti, quod hodie Romae inter Codices Palatino-Vaticanos no. 387 extat.

7. *Edicta Iustiniani XIII,* quae collectioni 168 Novellarum in Codice Veneto accedunt, et ipsa a Scrimgero edita.

8. *Theodori* scholastici Hermopolitani *Breviarum* collectionis 168 Novellarum, a me repertum atque editum in *Ἀνεκδότων* volumine Lips. 1843.

9. Legum libri, qui post resuscitatum studium iuris civilis in regno Graeco-Romano circa finem saec. IX et initium saec. X promulgati sunt, *Prochiron* (editum a me

Heidelb. 1837), *Epanagoge* (edita a me in Collect. libror. iuris GR. ineditor. Lips. 1852), denique *Basilica,* quae *Heimbach* pleniora edidit VI tomis Lips. 1833—1870. His libris utpote ex fontibus iuris Iustinianei compositis etiam Novellae repraesentantur. Et in Basilica quidem Iustiniani Novellae ultra C receptae sunt, prooemiis scilicet et epilogis, inscriptionibus et subscriptionibus omissis.

II.

Codicis Florentini, de quo dixi, uberiorem notitiam dedit *Bienerus* in Hist. Novv. p. 557, eumque ego Florentiae tractavi. Est chartaceus saeculi XIV, aliquando in bibliotheca S. Marci Dominicanorum (unde etiam Marcianus appellatus est), postea et usque ad hanc nostram aetatem in bibliotheca Mediceo-Laurentiana Plut. LXXX numero 4 asservatus. Is collectionem 168 Novellarum non integram repraesentat. Novellas latine editas omittit; etiam graecas non paucas, quae vel postea abrogatae vel ob mutatum rerum statum obsoletae essent. Praeterea ubi Iustinianus repetita vice idem argumentum in Novellis tractasset, Novellarum alteram ex altera interpolatam exhibet. Denique in Florentino termini technici latini, quibus Iustinianus vel in graecis constitutionibus uti consueverat, graece redditi, adeoque dictiones graecae hic illic graecitati seriorum temporum adaptatae sunt. Forma autem, in quam collectionem 168 Novellarum in Florentino mutatam esse videmus, saeculo VII medio deberi videtur. Nam post annum 692 interpolatorem vixisse non est probabile: Florentinus scilicet Codex in const. CXXXVI c. 3 §. 14 et CLI c. 1 recenset *quatuor* synodos universales, quos ille locos post c. 2 synodi Trullanae profecto non reliquisset intactos. Caeterum collectione Novellarum ad modum Codicis Florentini interpolata usi sunt qui Prochiron, Epanagogen, Basilica composuerunt, unde explicatur cur inter hos libros et Florentinum arcta quaedam intercedere videatur cognatio.

Ob interpolationes quas dixi Codex Florentinus ad crisin textus Novellarum non sine cautione adhiberi potest. Idque vel magis cadit in apographum Bononiense aliquatenus negligenter scriptum et editionem Haloandri exinde haustam, praesertim quum Haloandri audacia in textu constituendo nimia fuerit. Similiter Prochiri, Epanagoges, Basilicorum lectiones locorum ex Novellis desumtorum dubiae fidei sunt, quoniam in libris istis veteribus interpolationibus novae pro compilatorum arbitrio accesserunt.

Florentino longe antecellit *Venetus Codex*, (accurate descriptus in *Bieneri* historia Novellarum), tum quia multo plures Novellas Iustiniani continet, tum quia textum magis genuinum praestat et subscriptiones Novellarum servavit, denique quia ducentis circiter annis Florentino antiquior est. Eum mihi non solum Venetiis inspicere sed etiam collationis causa per aliquot menses penes me habere licuit. Exaratus est a variis ut videtur librariis, quorum scriptura quidem similis est, orthographia autem et abbreviationum usus alius apud alium: nec peritia eadem neque solertia. Est qui plurimum per itacismum peccat, v. c. *βραχὺ* pro *βραχεῖ*, *οἱ δὲ εἰ* pro *εἰ δὲ οἱ*, *ἀγχοίνια* pro *ἀγχίνοια*, *πολυαρχία* pro *πολιαρχία*, *σιμεῖα* pro *σημεῖα* scribens: idem *ὡς* et *εἱς*, *αὑτὸς* et *αὑτὸς*, *ἀπολάβω* et *ἀπολαύω*, *βάλλω* et *βάλω*, *μέλλει* et *μέλει* et alia eius generis alterum pro altero usurpat. Nonnunquam modo plura modo pauciora verba desiderantur sive ob *ὁμοιοτέλευτα* sive ob menda prototypi. Prototypo[1a]) autem librarii isti usi sunt non ante medium saec. XI exarato (— nam *μελέτην περὶ ψιλῶν συμφώνων* quam codex continet initio eius saeculi scriptam esse constat[2]) —), eoque duobus locis (const. XCVI et CXIX) folia perverso ordine ligata habente, quod isti plane neglexerunt et nostrates quoque altero loco non animadverterunt.

1a) Fortasse Venetum librarii ex duobus Prototypis compilaverunt et descripserunt: nam linearum numerus in quavis pagina prototypi alius in c. XCVI, alius in c. CXIX fuit. 2) Cf. Gesch. des byzant. Rechts ed. II p. 279 not. 85.

Caeterum Venetus ex hoc prototypo descriptus est sub finem saeculi XII. Legitur enim in fronte Codicis haec nota: *Ἀφιερώθη παρὰ τοῦ μεγάλου κριτοῦ κυροῦ συνατῶρος τοῦ μαλένου ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ μονῇ τοῦ πατρὸς*[3]) *βιβλία διάφορα, ἐν πρώτοις ὁ ἀπόστολος ὁ καθημερινὸς καὶ τονιμένος*[4]), *καὶ ἡ βίβλος τῶν ψαλμῶν, καὶ ὁ νομοκάνων ὁ ἑρμηνευθεὶς παρὰ νικολάου δοξαπατρίου*[5]), *καὶ τὸ μέγα βιβλίον τὸ νόμιμον αἱ νεαραὶ αἱ τῶν νόμων ἐπανορθώσεις παρὰ λέοντος τοῦ μεγάλου βασιλέως καὶ τοῦ μακαρίου ἰουστινιανοῦ οἱ ἐπονομαζόμενοι αὐθεντικοί, σὸν τούτοις καὶ τὰ ἴδικτα τούτου.*

Synator Malenus autem, quondam Codicis Veneti possessor, ex gente Malenorum sive Maleinorum, quae tam Constantinopoli quam in Calabria celeberrima fuit[6]), circa

3) De P. Nilo, fundatore eius monasterii, cogitavit Montefalconius. plena appellatio haec est: *μονὴ τῆς ἀχράντου θεοτόκου καὶ νέας ὁδηγητρίας τοῦ πατρὸς*, vulgus autem vocat monasterium *de lo Patire* (corruptum ex Patre?). situm est prope Roscianum in Calabria. 4) Sive *τονισμένος* i. e. notis musicis distinctus quo possit cantando recitari. cf. *Σάθα Μεσαιωνικὴ βιβλιοθήκη* I p. 68 lin. 21. 5) In bibliotheca Vaticana inter Basilianos numero 58 (Vatic. 2019) habetur codex (de quo iam supra), qui scriptura Veneto simili exaratus epitomen canonum cum commentario Aristeni, sed Doxapatris nomine insignitam continet. pluribus de hoc Codice agit Montefalconius in Diario p. 216 et in Palaeogr. p. 62 sq. 301 sq. ibi tribus ante finem foliis *σινάτορ τῆς κριτν* (*κροτώνης*?) notavit *ἰνδ. ζ' ἔτει ͵ϛψμβ'* (i. e. p. Chr. n. 1234) sibi natam esse filiam, post filium, eoque nato uxorem mortuam esse. hunc Sinatorem Montefalconius eundem esse voluit, qui supra Synator Malenus vocatur. et ego olim istum Codicem eundem esse putavi, quem Synator Malenus monasterio de lo Patire donaverit: neque enim alius nomocanonis Pseudo-Doxapatris codex MS mihi innotuit. dubitationem tamen movet, quod in hoc Codice nomocanon simpliciter Doxapatri tribuitur, in notitia autem supra relata *Nicolao* Doxapatri: deinde fol. 165b legitur: *βιβλίον λεγόμενον χρονικὸν ἔχον καὶ τὸν νομοκάνονον ἀφιέροσις τοῦ ϙαυδ'*, quae nota si ad hunc Codicem pertinet, is profecto non potest esse *ἀφιέρωσις* Synatoris Maleni. 6) Videatur Ius GR. a me editum to. III p. 310 not. 24. *Montefalc.* Palaeogr. p. 381. 388. 410, *Trinchiera* Syll. graecar. membranar. Neap. 1865 p. 141 sq.

annum 1190 (quod Montefalconius Palaeogr. p. 385 argumentis satis idoneis probavit) tanquam testis instrumento ibid. p. 397 sqq. edito[7]) subscripsit. Idem postea, forte initio saec. XIII, magnus iudex, scilicet Calabriae, creatus est. Hoc igitur tempore codicem, de quo agimus, exaratum esse facile intellegitur: sed utrum in ipsa Calabria scriptus sit, an Constantinopoli post captam a Latinis urbem in Calabriam allatus, equidem diiudicare nolim.

Saeculo XV codex in manus Bessarionis pervenit. Sic enim in fronte codicis notatur: *τόπος να΄. αἱ νεαραὶ τοῦ ἰουστινιανοῦ καὶ ἄλλων βασιλέων. κτῆμα βησσαρίωνος καρδινάλεως νικαίας τῶν σαβίνων.* Locus 51. Authentice liber b. Car. niceni epi Sabien.

Sic demum transiit codex in bibliothecam D. Marci Venetiis, ubi hodie numero 179 asservatur. Ibi eum anno 1533 Viglius Zuichemus tractavit complura exinde describens. Anno 1541 supplementa editionis Novellarum Haloandrinae ex Codice Veneto descripta editioni Basileae paratae accesserunt. Deinde a. 1544 Codicem contulit Antonius Augustinus, cuius studiis deberi videtur Codex Scorialensis Φ — 1—7.[8]) Plenum Codicis Veneti apographum extat in Codice Palatino-Vaticano 387, qui editioni Scrimgerianae de anno 1558 pro fundamento fuit. Denique Spangenbergius ex Zuichemi apographo et Meermanianis schedis variantes lectiones Codicis Veneti in editione Novellarum anno 1797 publicata communicavit. Neque tamen his omnibus thesaurus Venetus exhaustus est, praesentim quum Scrimgerus passim a lectionibus Venetis recesserit, et non solum supplementa ex editione Haloandri adiecerit sed etiam Haloandri lectiones adeoque coniecturas hic illic receperit. Unde dudum in votis fuit[9]) ut accurata Codicis Veneti collatione instituta nova editio Novellarum pararetur.

7) Repetitum est apud *Trinchiera* p. 138 sqq. 8) Cf. *Miller* catalog. p. 143. 9) *Biener* Gesch. d. Nov. p. 429. *Heimbach* in Zeitschr. f. gesch. RW. VIII p. 341.

III.

Iam quum Florentinum Codicem hic illic consulere
Venetum autem accuratius examinare mihi contigerit
quumque reliquorum subsidiorum, quae ad crisin et inter-
pretationem Novellarum facerent, plenissimum apparatum
iam typis editum esse viderem, novam editionem consti-
tutionum Iustiniani extravagantium ipse curare aggressus
sum. Qua in re quid praestare voluerim vel praestiterim
paucis dicam.

Quod ad Novellas latine promulgatas attinet, ad
textum critica arte constituendum non Codicibus Mss. sed
Iuliani et Authentici editionibus ab Haenelio et Heim-
bachio amplissimo apparatu critico instructis usus sum
Solum ad const. CLXVIII Codicem Vindobonensem denuo
contuli, et ad const. CXXXII et CXL varietatem lectio-
nis adhibui, quam Haenelius ex Codice Utinensi enotaverat
ad editionem Iuliani Pithoeanam Basil. 1576, quae ex eius
legato in bibliothecam universitatis Lipsiensis pervenit.

Novellas graecas ad fidem Codicis Veneti edo. Vitia
aperta, praesertim orthographica, tacitus emendavi. Non-
nunquam Codicis Florentini σποράδην a me collati vel
Haloandrinas lectiones praeferendas esse existimavi, maxime
ubi lacunae Codicis Veneti explendae essent: alicubi Pro-
chiri Basilicorumve lectiones vel quae ex Authentico de-
duci possent praestare putavi: de quibus omnibus ubi
opus in notis dixi. Coniecturis autem rarissime indulsi
easve in notis proponere quam in textum recipere malui

Caeterum notarum parcissimus fui, nec graecis lati-
nam versionem adieci, ne in nimiam molem liber ex-
cresceret. Qui plenam lectionis varietatem vel interpre-
tationem latinam requirit, eum ad editionem relego, quae
Rudolfi Schoellii curis Berolini apud Weidmannos prodit

Tractatus epistolas et edicta Iustiniani de fide, qua-
lia recensuit *Bienerus* Geschichte der Novellen p. 484 sqq
a Novellarum collectione aliena esse putavi. Similite

negligenda erant quae spuria circumferuntur, veluti Privilegium Iustiniani pro Titionibus a *Cuiacio* Obss. X, 12 editum.[10]) Constitutiones autem de confugientibus ad ecclesiam (primum editas a *Leunclavio* in Iure GR. I p. 72), licet et ipsae fictitiae esse videantur[11]), tamen hic inserere iuvabit, tum quia alterius nuper *Pitra*[12]) plenius exemplar protulit, alteram autem ipse melioribus lectionibus ex variis Codicibus Mss. enotatis emendatiorem possum proferre.

1.

Τὸ παρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ τῇ μεγάλῃ ἐκκλησίᾳ γενόμενον χρυσόβουλλον.[13])

Τὴν τῆς εἰρήνης χορηγὸν καὶ πάσης εὐταξίας μητέρα δικαιοσύνην, κραταιάν τε τοῖς ἀδικοῦσιν ἀντίπαλον καὶ σχεδὸν πάντων αἰτίαν τῶν ἀγαθῶν τῷ ἡμετέρῳ βίῳ καθισταμένην, οὐκ ἀπεικός ἐστι κατὰ τῆς ἀναιδοῦς πλεονεξίας ἀνταγωνιζομένην τῇ ἡμετέρᾳ καθοπλισθῆναι χειρί, ὡς ἂν τῇ ἰσχύι τῆς ἐκ θεοῦ βασιλείας ἡμῶν ἐν ἀμφοτέροις εὐδοκιμοῦσα φαίνοιτο, πῇ μὲν τοὺς ἐκκλησιαστικοὺς καθευνάζουσα θορύβους καὶ πρὸς εὔδιον λιμένα τὸ ἱερατικὸν ῥυθμίζουσα, πῇ δὲ τοὺς κοσμικοὺς καταπραΰνουσα πολέμους καὶ τῶν ἰδίων ἕκαστον ἀπολαύειν νομοθετοῦσα.

Ἡ ἐκκλησιαστικοῖς καὶ πολιτικοῖς ἄρχουσιν ὑπηρετεῖσθαι κελεύουσα τούτοις, ἵνα μηδὲν ἔξω τῶν ἐκείνῃ δοκούντων τὶ διαπράττωνται, ὡς ἐν κεφαλαίῳ τὰ καθ' ἕκαστον ἐντέλλεται οὕτως·

10) Formam lapidi incisam quam *Mordtmannus* in Mittheil. des archaeol. Instituts in Athen IV p. 307 sqq. nuper edidit, non Iustiniano sed Anastasio vindicandam esse, ibidem a me demonstratum est. 11) Cf. Gesch. des griech. röm. Rechts. ed. II not. 1079. 1085. 12) Iuris eccles. monumenta II p. 515. 13) Apud Leunclav. rubrica est: *Ἰουστινιανοῦ τοῦ τῆς μεγάλης ἐκκλησίας χρυσοβούλλου κεφάλαια.* — Prooemium et epilogum Codices non habent praeterquam qui a Pitra laudantur.

κεφ. α'. Δέον ὑμᾶς, εἴ τις ἐλεύθερος δούλωσιν ὑφιστάμενος τῇ ἐκκλησίᾳ προσδράμοι, μετακαλέσασθαι δὶς τὸν ἐγκαλούμενον, καὶ εἰ μὴ πρὸς ὑμᾶς ἥξει, τὴν τρίτην ἀποστολὴν διὰ τριῶν ποιεῖσθαι πρεσβυτέρων[14]) εἰς μαρτύριον τῶν γινομένων, καὶ εἰ μὴ δι' αὐτῶν ἐλεύσεται, ἐλευθερίας ἀξιοῦν τὸν φυγάδα.

κεφ. β'. Δέον, εἴ τις τῶν οἰκετῶν λιμῷ καὶ γυμνότητι πιεζόμενος γνώμῃ τοῦ δεσπότου [τῇ ἐκκλησίᾳ προσδράμῃ εἰ] μὴ κατὰ τὸ δυνατὸν αὐτῷ ἀμφότερα διορθοῦται, πιπράσκεσθαι τὸν δοῦλον ἄλλῳ δεσπότῃ, ἵνα μὴ ὑπεροψίᾳ διαφθείροιτο.

κεφ. γ'. Δέον, εἴ τις τῶν πρεσβυτέρων ἢ διακόνων ἕξει δίκην μετά τινος προσκαλεῖσθαι αὐτὸν κατὰ τὸ εἰρημένον καὶ μὴ ὑπείκοντα καταδικάζεσθαι.

κεφ. δ'. Δέον τὸν δοῦλον μάτην τῇ ἐκκλησίᾳ προσχωρήσαντα παιδεύειν ἀξίως καὶ τῷ ἰδίῳ δεσπότῃ παραδιδόναι.

κεφ. ε'. Δέον, εἴ ποτε δοῦλος φυγὰς αὐτὸν ἐλθεῖν τὸν κύριον ἀπονοίᾳ ἐπιζητῇ, ὁ δὲ κύριος τῶν θεραπόντων αὐτῷ τὸν πιστότατον δι' αὐτὸ τοῦτο ἀποστείλῃ, μὴ ἀναγκάζεσθαι αὐτὸν σκύλλεσθαι, μάλιστα τὸν ἀπεσταλμένον ἀντ' αὐτοῦ παραθέμενον, ᾧ καὶ τὸν δοῦλον παραδίδοσθαι ὑμῖν ἔξεστιν.

Δέον διὰ παντὸς ἐρευνᾶσθαι τοὺς πρόσφυγας ὧν ἂν ὦσι, καὶ μηνύεσθαι παρευθὺ τοὺς κυρίους αὐτῶν ἐπανελέσθαι αὐτούς. αὐτοὶ γὰρ ἐπιμένοντες καὶ πληθυνόμενοι καὶ τὰ τῆς περιβολῆς ἀναλίσκουσι πάντα καὶ τοὺς παρατυγχάνοντας ἐνεδρεύοντες βλάπτουσι καὶ τῷ πλήθει αὐτῶν τοῖς δεσπόζουσι πολλάκις ἐπανιστάμενοι τὸ χαλεπώτατον ὕβρεις ἀφιᾶσιν, ἐφ' ᾧ καὶ κατ' ἀξίαν παιδεύεσθαι ἄμεινον.

Καὶ ταῦτα πάντα τηρεῖσθαι παρ' ὑμῶν ἀσφαλῶς, ἵνα μὴ καταφρονηταὶ τούτων ὀφθέντες καὶ ὑμεῖς ὑπ' ἄλλων καταφρονηθήσεσθε, οὐκ ἐκτὸς κατακρίματος μένοντες τοῦ τε θεόθεν καὶ τοῦ παρ' ἡμῶν ἠρτημένου.

14) Addunt alii *ἢ διακόνων*.

2.

Ἐκ τῆς διατάξεως ἐκτεθείσης ὑπὲρ τῶν προσφύγων τῆς μεγάλης ἐκκλησίας καὶ τῶν ἁπανταχοῦ τῆς οἰκουμένης θείων ἐκκλησιῶν.[15])

Εἴ τις τῶν ἐκ θεοῦ τετιμημένων τῇ μεγάλῃ τῆς ἀρχιερωσύνης τιμῇ προδῷ τινα τῶν προσφυγόντων τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, κἂν τῶν ἀλλοτρίων ἐστὶν, ἢ αὐτὸς δι' ἑαυτοῦ προδήλως ἢ τῇ τούτου ὑποβολῇ ἄλλος ἀντ' αὐτοῦ, ὁ τοιοῦτος οἷος ἂν καὶ εἴη κακώσεσιν ὑποβαλλέσθω αἷς καὶ ὁ πρόσφυξ ὑπεβλήθη παρὰ τοῦ λαβόντος αὐτὸν, τῆς ἰδίας πρότερον στερούμενος ἀρχιερωσύνης. καὶ εἴ τις δὲ τῶν μεγάλα δυναμένων καὶ ἀρχικὴν ὑπενδυομένων ἐξουσίαν τολμήσειεν ἀποσπάσαι βίᾳ ἀπὸ τῆς ἀρχιερατικῆς χειρὸς τὸν αὐτὸν πρόσφυγα καὶ τῶν ἀδύτων ἐξελκῦσαι τῆς ἐκκλησίας ἐν ᾗ προσέφυγεν ἢ αὐτὸς δι' ἑαυτοῦ ἢ διὰ τῶν ὑπὸ χεῖρα, καὶ οὗτος τὴν ζώνην τῆς ἰδίας ἀρχῆς ἀφαιρούμενος καὶ μαστιγούσθω καὶ κακούσθω καὶ δημευέσθω πᾶσα ἡ οὐσία αὐτοῦ. οὐ γὰρ ἀνεχόμεθα τοιοῦτόν τι κατατολμᾶσθαι τὸ σύνολον ἐν πάσῃ τῇ ὑπὸ Ῥωμαίους ἀρχῇ καὶ τῇ χριστιανικωτάτῃ καταστάσει. τοῦτο γὰρ τῶν ἐθνῶν μόνον ἐστὶ καὶ τῶν ἔξω νόμου ὄντων καὶ μηδὲ τὴν οἰκείαν φύσιν αἰδουμένων, ἀλλὰ καὶ αὐτῶν δὴ τῶν αἱμοβόρων θηρίων θηριωδεστέρων πάντως καὶ ἀτιθασσευτέρων τυγχανόντων, καὶ χαιρόντων καταφαγεῖν τὸ ὁμόφυλον σῶμα τῆς θείας διαπλάσεως, καὶ βεβηλοτέρων ἀποδεικνυμένων καὶ αὐτοῦ δὴ τοῦ μισητοῦ Ἰούδα τοῦ προδότου καὶ βδελυκτοῦ.

IV.

Novellas 174 quas iam edo non posse per IX collationes (sicut glossatoribus placuit) repraesentari, non est quod fusius demonstrem, idque schema dudum *Contius*

15) In Prochiro aucto (IGR. P. VI) 39, 249 inscribitur *Νομοθεσία τοῦ Ἰουστινιανοῦ περὶ τῶν προσφύγων.*

et qui eum secuti sunt editores deseruerunt. Ii scilicet, postquam Novellae ab Haloandro et Scrimgero graece editae essent, collectionem 168 Novellarum utpote locupletiorem praetulerunt, quae in Florentino et Veneto Codice desunt ex Authentico quantum fieri potuit supplentes, et si quae praeterea Iustiniani Novellae innotescerent, edictorum collectionem et alias appendices adiicientes. Et sic ordinatas sive potius inordinatas editores ad nostra usque tempora Novellas dederunt. Eandem rationem *Schoellius* in sua editione observare maluit, doctorum ut videtur et studiosorum interesse ratus ne quid in numeris quibus Novellae laudare mos est immutetur.

Verumenimvero in collectione 168 Novellarum constitutiones nec chronologico nec systematico ordine dispositae sunt, sed prout in manus scholasticorum Graecorum pervenerunt aliae aliis adiectae. Nec Iustiniani tantum constitutiones continet, sed et successorum eius, adeoque formas Praefectorum Praetorio. Praeterea Iustiniani constitutiones nonnullas bis positas habet: alias permultas plane omittit. Denique collectio 168 Novellarum, qualis in editionibus circumfertur, ne manuscripta quidem extat, sed ab editoribus demum instaurata est.

Quae quum ita sint mirum poterat videri, quod non dudum de Novellis alia ordinatione repraesentandis editores cogitavissent. Atqui systematico ordine, veluti ad consequentiam librorum et titulorum Codicis, non poterant commode disponi, id quod Athanasius, qui in Epitome Novellarum eius rei periculum fecit, abunde demonstrat. Temporis autem ratio quominus adoptaretur hoc impedimento fuit, quod chronologia singularum Novellarum maximis dubitationibus obnoxia esset. Nostra vero aetate mutatus est rerum status. De inscriptionibus et subscriptionibus Novellarum constat, quas lectiones optimi quique Codices praestent, quaenam lectiones Scrimgeri ex Veneto Codice emendandae sint, quatenus illae lectionibus Collectionis XXV et LXXXVII capitulorum nec non Athanasii et

Theodori sive firmentur sive refutentur. Ex inscriptionibus et subscriptionibus horum subsidiorum ope castigatis, et ratione habita eorum quae ex ipso Novellarum argumento de tempore datae constitutionis colligi poterant, chronologia Novellarum hodie satis certa evasit. Unde nullus dubitavi Novellas Iustiniani quas vocant sive constitutiones quae extra Codicem supersunt ordine chronologico dispositas edere. Idque eo lubentius feci, quod historiae horum temporum in genere et in primis ipsarum Novellarum novam quodammodo lucem ex eiusmodi ordinatione affulgere intellegerem: id quod conspectus huius novae ordinationis in fine editionis subiiciendus legentibus primo quasi obtutu demonstrabit. Ut autem Novellae, quae numero hactenus usitato laudatae sunt aut laudantur, in hac nostra editione facili negotio inveniri possint, ibidem tabulas synopticas adieci quibus indicatur quo loco constitutio in collectione 168 Novellarum et XIII Edictis sive in Authentico posita in nostra editione quaerenda sit. Quod ad subdivisionem singularum constitutionum in capita et paragraphos attinet, ab ea quae prioribus editoribus placuit recedere nolui, licet passim minus apta sit: omisi tamen utpote plane supervacaneum quod inscribere soliti sunt *προοίμιον* et *ἐπίλογος*. Res enim non tanti esse videbatur, ut priores editiones castigare et v. c. ad subdivisiones Graecis usitatas accommodare necesse esset.

Nota.

Abbreviationes quibus utimur facile intelleguntur. Pe patet Cod. Ven. Flor. significare Codicem Venetum Flo tinum: Hal. et Scr. Haloandri et Scrimgeri editionem: Ath. Theod. Auth. Iuliani Athanasii Theodori Epitomas Autl ticum: Proch. Epan. Bas. Syn. Prochiron Epanagogen Basi Synopsin: et quae sunt eius generis reliqua.

Summam praestat Athan. XIII, 3 (cui persimilis est illa quam edidi in Ἀνεκδ. p. 222) et Theod. Nov. 155.

Περὶ τοῦ δεῖν τὰς μητέρας ὑποκεῖσθαι ἐπιτροπικοῖς λογισμοῖς.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Βελισαρίῳ.[1])

Ἱκετηρίαν ἀνέτεινε Μάρθα ἡ λαμπροτάτη τῷ ἡμετέρῳ κράτει, περιέχουσαν, Σεργίου τοῦ τῆς μεγαλοπρεποῦς μνήμης τοῦ αὐτῆς γενομένου πατρὸς τετελευτηκότος καταλειφθῆναι μὲν αὐτὴν κομιδῇ νέαν τὴν ἡλικίαν, τὴν δὲ αὐτῆς κηδεμονίαν ὑπελθεῖν Αὐξεντίαν τὴν λαμπροτάτην αὐτῆς μητέρα, καταθεμένην μὲν ἐν ὑπομνήμασιν ὡς οὐ προσομιλήσοι δευτέροις γάμοις, καὶ τὸν ὑπὲρ τούτου διωρισμένον τοῖς ἡμετέροις νόμοις ὅρκον παρασχομένην διοικήσασθαι τὰ πράγματα, τούτων δὲ παρ' αὐτῆς πεπραγμένων, ὥσπερ οὐδέ τινος ὅρκου παρ' αὐτῆς δεδομένου καὶ εὐκαταφρονήτου τῆς καταλελειμμένης ὑπαρχούσης περιουσίας, κατὰ τὴν ὑπ' αὐτῆς γενομένην ἀπογραφὴν μέτριά τινα δηλωθῆναι· μετὰ δὲ ταῦτα γάμιον ἑλέσθαι δεύτερον κηδεμόνα Πέτρον αὐτῇ προβαλλομένην, καὶ ἐκ τοῦ δευτέρου συνοικεσίου δύο μὲν ἐσχηκέναι παῖδας, οὐχ ὑγιῶς δὲ πρὸς αὐτὴν ἐσχηκυῖαν τὸν μὲν καταστάντα παρ' αὐτῆς ἐπίτροπον τῆς διοικήσεως ἀποστῆσαι τοῦ τρισκαιδεκάτου μόλις αὐτῆς ἐπιλαμβανομένης ἐνιαυτοῦ, πείθειν δὲ κηδεμόνα τῆς δευτέρας ἡλικίας αἰτῆσαι· καὶ παραυτίκα πείθειν διαλύσεις συγγράψαι πρὸς αὐτὴν καὶ παντὶ λόγῳ δυναμένῳ κατὰ νόμους ἁρμόττειν αὐτῇ προφάσει τῶν

1) Ath. addit στρατηγῷ.

τῆς ἐπιτροπῆς λογισμῶν κατὰ τὰς τοιαύτας ἀποτάξασθαι διαλύσεις, ἐν κοιτῶνί τε οὖσαν τηνικαῦτα καὶ τῶν πραττομένων οὐδὲν ἐπισταμένην· οὐδὲ γὰρ οἷόν τε ἦν τὴν παρ' αὐτῇ καθεστῶσαν καὶ πρὸς οὐδένα εἰπεῖν τι δυναμένην περὶ τῶν κατ' αὐτῆς γινομένων, εἰ καὶ[2]) τῆς ἐπιγινομένης αὐτῇ βλάβης ᾐσθάνετο, πρᾶξαί τι τῶν δυναμένων κωλῦσαι τὰ πρὸς τὴν αὐτῆς ἐπιβουλὴν μελετώμενα· τοῦ δὲ χρόνου παρασκευάσαντος αὐτὴν καὶ τὸ μελετηθὲν κατ' αὐτῆς αἰσθέσθαι, πρὸς μὲν τὴν μητέρα τισὶ χρήσασθαι παρακλήσεσιν, ὥστε μηδενὶ τῶν κατ' αὐτῆς πραχθέντων ἀποχρήσασθαι, τὰ δὲ πρέποντα μητρὶ περὶ αὐτὴν ἐπιδείξασθαι, καὶ τὴν τῶν πατρῴων αὐτῇ πραγμάτων ἀποκατάστασιν ποιήσασθαι, καθὰ τῷ νόμῳ δοκεῖ· τὴν δὲ τοῖς ἐκ τοῦ δευτέρου γάμου γενομένοις παισὶν ἑαυτὴν ὅλην ἐκδοῦσαν οὐδὲ τοὺς τοιούτους προσίεσθαι λόγους, τοὐναντίον μὲν οὖν τὴν θείαν ἡμῶν προΐσχεσθαι νομοθεσίαν[3]), περιέχουσαν μὴ δύνασθαι κατ' αὐτῆς τοῖς τῆς ἀποκαταστάσεως χρήσασθαι δικαίοις, οὐδὲν μὲν τοιοῦτον περὶ τῶν μητέρων τῶν ἀναδεξαμένων τὴν τῶν οἰκείων παίδων κηδεμονίαν καὶ δευτέρους ἀσπαζομένων γάμους θεσπίζουσαν, ἐπ' ἄλλοις δέ τισιν ὅροις τε καὶ τρόποις παρὰ τῆς ἡμετέρας εὐσεβείας ἐκφωνηθεῖσαν. καὶ διὰ τοῦτο τὴν ἱκετηρίαν ἡμῖν ἀνέτεινεν, ἐφ' ᾧ τε καὶ τὴν διάνοιαν τῆς θείας νομοθεσίας σαφῆ τε καὶ ἀναμφισβήτητον καταστῆσαι, καὶ μὴ τοῖς αὐτῇ περιεχομένοις ἀποχρωμένην Αὐξεντίαν τὴν αὐτῆς μητέρα τὰ καταλειφθέντα ἐκ τοῦ πατρὸς πράγματα κέρδος οἰκεῖον ποιήσασθαι.

α'. Ταῦτα τοίνυν τῆς ἱκετηρίας ἐχούσης εἰκότως προς τόνδε τὸν θεῖον πραγματικὸν εἴδομεν τύπον· δι' οὗ θεσπίζομεν, τῆς θείας ἡμῶν νομοθεσίας οὐδεμίαν ποιουμένης μνήμην περὶ τῶν ἀναδεξαμένων ἐπιτροπὴν τῶν οἰκείων παίδων καὶ δεύτερον ἀνελομένων γάμον μὴ ἐξεῖναι Αὐξεντίᾳ τῇ

2) Ven. καὶ εἰ. 3) l. 2 C. qui et adversus quos 2, 41.

λαμπροτάτῃ κεχρῆσθαι τῇ αὐτῇ θείᾳ ἡμῶν νομοθεσίᾳ. διὰ δὲ τὰς εἰρημένας αἰτίας καὶ τὸ[4]) τὴν τῶν ὑπομνημάτων πρᾶξιν, καθ' ἣν τὴν ἐπιτροπὴν Μάρθας τῆς αὐτῆς θυγατρὸς ἀνεδέξατο, δεικνύναι τὸν τοῖς νόμοις διωρισμένον αὐτὴν παρασχεῖν ὅρκον ὡς δευτέροις οὐχ ὁμιλήσει γάμοις, καὶ ὡς τῶν ὅρκων περιφρονήσασα συνῴκησε μὲν ἀνδρὶ δευτέρῳ, καὶ παῖδας ἐξ αὐτοῦ ποιησαμένη διαλύσεις ὑπὲρ τῆς τῶν πραγμάτων ἀποκαταστάσεως παρεσκεύασεν εἰς ἑαυτὴν ἐκθέσθαι Μάρθαν τὴν λαμπροτάτην αὐτῆς θυγατέρα, δύνασθαι δὴ[5]) πᾶσαν ἔχειν ἄδειαν θεσπίζομεν Μάρθαν τὴν λαμπροτάτην τῷ δικαίῳ τῆς ἀποκαταστάσεως χρήσασθαι, φάσκουσαν ἔτι καὶ νῦν οὔπω ἑαυτὴν ἐπιβῆναι τοῦ εἰκοστοῦ πέμπτου[6]) τῆς ἡλικίας ἔτους, κατ' οὐδὲν ἀντικειμένης αὐτῇ τῆς θείας νομοθεσίας τῆς παρ' ἡμῶν μὲν τεθείσης, θεσπιζούσης δὲ τοὺς παῖδας μὴ δύνασθαι κατὰ τῶν οἰκείων γονέων τῷ τῆς ἀποκαταστάσεως χρήσασθαι δικαίῳ μηδὲ τοὺς ἀπελευθέρους κατὰ τῶν οἰκείων πατρώνων, διὰ τὸ περὶ τῶν ἀναδεδεγμένων τὴν τῶν οἰκείων παίδων ἐπιτροπὴν τὸν νόμον μηδὲν διαλέγεσθαι, τοὐναντίον δὲ καὶ ἑτέραν θείαν ἡμῶν νομοθεσίαν[7]) μετὰ ταῦτα φοιτῆσαι, θεσπίζουσαν τοὺς καθισταμένους ἐπιτρόπους μὴ ἄλλως τὰς τῶν νέων ἐπιτροπὰς ἀναδέχεσθαι, πρὶν ἂν ἐν τῷ καιρῷ τῆς ἑαυτῶν προβολῆς κατάθοιντο, μὴ τοὺς νέους καταλιμπάνειν ἀδεφενδεύτους, καὶ εἰ συμβαίη καὶ μητέρα τῶν οἰκείων παίδων ἐπιτροπὴν ἀναδέξασθαι, καὶ αὐτὴν τοῦτο πράττειν καὶ πᾶσιν ἐνέχεσθαι τοῖς ἐπιτροπικοῖς λόγοις[8]), καὶ εἴπερ ἕτερον βουληθείη τοῖς ἑαυτῆς προβάλλεσθαι παισίν, οἰκείῳ κινδύνῳ καὶ τῶν ὑπαρχόντων αὐτῇ πραγμάτων τοῦτο ποιεῖν. ὥστε κἀνταῦθα τρόποις ἅπασι προσήκειν Μάρθαν τὴν λαμπροτάτην, εἴπερ δείξοι μὴ παρῳχηκέναι τοὺς χρόνους ἐν οἷς οἱ περὶ τῆς

4) Ven. τὸ, Hal. τὴν omittit. Sed neutro carere possumus. 5) Ven. δὲ. 6) Ven. πέμπτου non habet. 7) l. 28 §. 4 C. de admin. tutor. 5, 37. 8) Malim λογισμοῖς.

ἀποκαταστάσεως ἁρμόττουσιν αὐτῇ λόγοι, καὶ τῇ ἀποκαταστάσει χρήσασθαι καὶ τοῖς ἄλλοις ἅπασιν, οἷς οἱ ἡμέτεροι νόμοι τοῖς ἐπ' ἀτελοῦς ἡλικίας οὖσι πᾶσι[9]) *διδόασι παῤῥησίαν τε καὶ βοήθειαν. φυλάττεσθαι μὲν γὰρ καὶ τὸ ἡμέτερον θεσπίζει κράτος τὴν ὀφειλομένην τοῖς γονεῦσι παρὰ τῶν παίδων αἰδῶ καὶ πᾶσαν τιμήν τε καὶ θεραπείαν, ἐν ᾧ μηδεμία βλάβη παρ' αὐτῶν κατ' ἐκείνων γένοιτο, τοὺς δὲ τῶν ἐκ τοῦ προτέρου γάμου παίδων ὑπερορᾶν οὔτε ὅσιον εἶναι κρίνομεν, οὔτε ἄλλως προσήκειν τὰ ἐκ τῆς πατρῴας περιουσίας εἰς αὐτοὺς περιερχόμενα πράγματα τὰς τοιαύτας μητέρας δύνασθαι κέρδος οἰκεῖον ἢ τῶν κατὰ δευτέραν τάξιν αὐταῖς συνοικησάντων καὶ τῶν ἐκ τῶν τοιούτων γινομένων συνοικεσίων παίδων ποιεῖσθαι.*

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ τύπου δηλούμενα ἡ σὴ ἐνδοξότης ἅμα τῷ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς Θεουπολιτῶν[10]) *ἔργῳ καὶ πέρατι παραδοθῆναι σπουδασάτω.* D. Kal. Febr. CP. DN. Iustin. PP. A. III cons.[11])

9) Hal. *παισί.* Fortasse rectius. 10) Hal. addit *ἐκκλησίας.* 11) Ven: v. c. cons. Athan. *Δατ. καλ. φεβρ. βασιλείας ἰουστινιανοῦ αὐγούστου ὑπατείας τοῦ αὐτοῦ.* Theod. *ἐξεφωνήθη ἐπὶ τῇ ὑπατείᾳ ἰουστινιανοῦ.* itaque dubitari non potest quin Iustiniano Aug. consule haec forma data sit; quaeritur autem, utrum consulatus eius secundus anni 528 an tertius anni 533 (quibus sine collega fuit) sit intelligendus. Antiochia autem cum nomen in Theopolin anno demum 529 mutaverit, eodemque demum anno Belisarius dux orientalium copiarum nominatus fuerit, profecto annus 533 intelligendus est, et pro Iustin. PP. A. v. c. (!) cons. legendum: Iustiniano PP. Aug. III. cons. (quod de consulatu Iustini nonnulli cogitarunt, eius rei causa fuit vulgatus ille error, constitutiones imperatorum in Collectione 168 Novellarum extantes cunctas post secundam praelectionem Codicis publicatas esse.)

II. Nov. 138.

Hoc rescriptum, quod ad preces rei cuiusdam per Hermogenem mag. offic. porrectas datum esse videtur, servavit appendix, quae Iuliano in nonnullis Codicibus accedit. cf. ed. Haenelii p. 197.

DE USURIS SUPER DUPLUM NON COMPUTANDIS.[1]

Imp. Iustinianus PP. Aug. Hermogeni magistro officiorum.

Manifestissima est nostri numinis constitutio[2]), quae usque ad dupli quantitatem exactionem debiti concludit. si igitur creditores tui quidam in duplum acceperunt, alii adhuc minus consecuti sunt, hi quidem, qui in duplum ex usurarum quantitate per diversa tempora consecuti sunt, nullam adversus te inquietudinem proponere concedantur, alii autem, si simili modo repleti fuerint, eo modo silere compelluntur. et si debita subsecuti fuerint, foeneratitias cautiones recuperare[3]), vel si remanserint, suis viribus vacare, si preces verae sunt, praesentis oraculi sanctione decernimus.[4])

1) Ven. Nov. 138 nonnisi rubricam praestat: *ἑρμηνεία πῶς οἱ ὑπὲρ τὸ διπλάσιον τόκοι οὐ παρέχονται.* summa est apud Theod. Nov. 138, quae inserta reperitur apud Hal. Nov. 138, et recepta est Basil. XXIII, 3, 78. 79 pr. 2) l. 27 C. de usuris 4, 32. 3) sua consecuti—recuperari? 4) In app. Iuliani additur: „Similis huic constitutioni graeca subsequitur, quae iubet in his tantum, quae civitates mutuantur, locum non habere". similiter ad Nov. 160, quae nobis est const. VII, relegat Theod. cf. etiam Syn. *T*, 11, 20 schol. — quod apud Theod. accedit: *Πᾶσα θεία καὶ βασιλικὴ ἑρμηνεία ἰσχὺν ἔχει νόμον,* adnotationem magis continere videtur, quam vestigium epilogi ad Hermogenen directi. — caeterum Hermogenes in const. XLVIII de anno 536 c. 46 *ἐνδόξου μνήμης* i. e. defunctus esse dicitur, ut proinde hoc nostrum rescriptum anteriori tempori vindicandum sit. enimvero is esse *τύπος* „nuper acceptus" videtur, de quo mentio fit in const. XX (c. 1) XVII Kal. Maii Belisario V. C. consule data; Hermogeni inscriptus, sicuti variae constitutiones Codicis XV Kal. Dec. anni 533 eidem inscriptae sunt.

Nov. 151.

III.

Summam praestat Theodor. Nov. 151.

Περὶ τοῦ μὴ παρασταθῆναι[1]) ἢ διαχθῆναι βουλευτὴν ἢ ταξεώτην δίχα βασιλικῆς κελεύσεως ἐμφανιζομένης τοῖς ὑπάρχοις.

Ὁ αὐτὸς Βασιλεὺς Ἰωάννῃ[2]) τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ πραιτωρίων.[3])

Μήνυσις ἡμῖν ἐστάλη τῆς σῆς ὑπεροχῆς, λέγουσα μὴ χρῆναι ἐκ διαφόρων δικαστηρίων βουλευτὰς ἢ ταξεώτας ἢ πρὸς ταύτην ἄγεσθαι τὴν εὐδαίμονα πόλιν δικασομένους ἢ εἰς ἑτέραν πέμπεσθαι, πολλάκις δὲ καὶ θείας ἡμῶν πορίζεσθαι κελεύσεις τοῦτο βουλομένας· καὶ ᾔτησας[4]) θείῳ πραγματικῷ τύπῳ τοῦτο κωλυθῆναι, ὥστε μηδένα μήτε ταξεώτην ἢ βουλευτὴν μὴ ἐξ ἑτέρας εἰς ἑτέραν ἄγεσθαι χώραν μηδὲ εἰς ταύτην ἕλκεσθαι τὴν εὐδαίμονα πόλιν, εἰ δὲ θεῖαι γένωνται συλλαβαὶ περὶ τούτου, ταύτας ἐμφανεῖς γενέσθαι τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς καὶ ψήφους ἀκολούθους[5]) λαμβάνειν.

α΄. Ἡμεῖς τοίνυν πᾶσαν μὲν ἀγωγὴν καὶ παράστασιν ἀποστρεφόμεθα, εἰ δὲ ἀνάγκη γένοιτο τοιοῦτό τι πραχθῆναι, οὐδενὶ τῶν ἡμετέρων ἀρχόντων πλὴν ἢ τῷ θρόνῳ τῷ σῷ συγχωροῦμεν ταξεώτην ἢ βουλευτὴν εἰς ταύτην ἀγώγιμον ποιεῖν τὴν εὐδαίμονα πόλιν, πλὴν εἰ μὴ θεία κέλευσις ἐπιτρέπουσα τοῦτο ῥητῶς γένοιτο· ἣν προσήκει καὶ τὴν σὴν μανθάνειν ὑπεροχήν. καὶ μὴ παρὰ τὴν σὴν ψῆφον ἀγώγιμον γίνεσθαι

1) Flor. παραστῆναι Theod. παρίστασθαι. 2) Hal. Ἀρεοβίνδῳ ex coniectura ut videtur. nam Flor. non agnoscit. 3) Cod. Venet. addit: αὕτη ἡ νεαρὰ οὐ κεῖται εἰς τὰ βασιλικά. atqui in nostris Basilicis habetur VII, 3, 37. 4) Ven. εἴ τις Cod. Basil. Coisl. ἤ τις. 5) Flor. ἀκολούθως. solenne erat praeponi imperatoris literas eisque subiici decretum magistratus quod illas effectui traderet; propterea ἀκολούθους praestare videtur.

αὐτὸν, διὰ τὸ λυσιτελὲς τῷ δημοσίῳ, μήποτε ἐντεῦθεν οἱ τὰ δημόσια πράττοντες ἀφελκόμενοι ταύτην λάβοιεν ἀφορμὴν τῆς κατὰ τῶν δημοσίων ἐπηρείας.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ ἡμῶν δηλούμενα τύπου ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. XVII......[6])

IV.

Nov. 152.

Summam praestat Theod. Nov. 152.

Περὶ τοῦ τοὺς ἐπὶ δημοσίοις προϊόντας[1]) θείους τύπους μὴ ἄλλως ἐῤῥῶσθαι, εἰ μὴ ἐγένοντο ἢ γένοιντο καταφανεῖς[2]) τοῖς τῶν πραιτωρίων ἐνδοξοτάτοις ὑπάρχοις καὶ ἐκεῖθεν κυρωθεῖεν.

Ὁ αὐτὸς Βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ πραιτωρίων.

Σπουδάζοντες μετὰ τῆς τοῦ θεοῦ βοηθείας σὺν ἐπιμελείᾳ διοικεῖν τὰ τῆς ἐμπιστευθείσης ἡμῖν πολιτείας παρὰ τοῦ δεσπότου θεοῦ πράγματα, κελεύομεν μὴ ἄλλως ἰσχύειν τύπον περὶ δημοσίων γινόμενον πρὸς τὸν μεγαλοπρεπέστατον δοῦκα[3]) ἢ καὶ αὐγουστάλιον ἢ πρὸς τοὺς τῶν ἐπαρχιῶν λαμπροτάτους ἄρχοντας, εἰ μὴ πρότερον ἐμφανισθῇ τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς, τοὺς δὲ μὴ γενομένους καταφανεῖς μηδεμίαν ἰσχὺν ἔχειν. ἄτοπον γὰρ προφάσει δημοσίων γινό-

6) Hanc constitutionem ei quae sequitur anteriorem esse ex ipso eius argumento concludere est; scilicet Ioannes PP. pragmatica sanctione quam hoc loco edimus post generalem sanctionem const. IV ad eum datam carere facile potuit. itaque subscriptio forte sic restituenda: Dat. XVII [K. Ian. CP. DN. Iustiniano PP. Aug. III cons.] Die XVII K. Ian. eius anni etiam c. Tanta circa nos et c. Δέδωκεν datae sunt.

1) Ven. et Flor. προσιόντας. 2) Hal. ἐμφανεῖς. 3) Θηβαΐδος τῆς ἄνω? cf. Hierocles ed. Parthey p. 49.

μενον θεῖον τύπον μὴ πρότερον τῷ θρόνῳ τῆς σῆς ὑπεροχῆς ἐμφανῆ τοῦτον[4]) *καθίστασθαι, εἶτα οὕτω καταπέμπεσθαι πρὸς τὸν μεγαλοπρεπέστατον δοῦκα ἢ αὐγουστάλιον ἢ τοὺς λοιποὺς τῶν ἐπαρχιῶν ἄρχοντας. δεῖ γὰρ ἐμφανεῖς γινομένους τοὺς τοιούτους θείους τύπους τῷ θρόνῳ τῆς σῆς ὑπεροχῆς οὕτως καταπέμπεσθαι εἰς τὰς ἐπαρχίας, καὶ πέρατι παραδίδοσθαι.*

α'. Εἴ τι τοίνυν[5]) *πρὸς βλάβην τοῦ δημοσίου γέγονε, τοῦτο ἄκυρον εἶναι κελεύομεν, θεσπίζοντες, τοῦ λοιποῦ ἕκαστον θεῖον πραγματικὸν τύπον (εἴτε πρὸς τὸν αὐγουστάλιον εἴτε πρὸς τὸν δοῦκα εἴτε πρὸς τοὺς λοιποὺς τῶν ἐπαρχιῶν ἄρχοντας γένοιτο προφάσει δημοσίων καθὰ εἴρηται) πάντως ἐμφανίζεσθαι τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς, καὶ οὕτως εἰς τὰς ἐπαρχίας πέμπεσθαι προταττόμενον*[6]) *μετὰ προσταγμάτων καθὰ εἴρηται τῆς σῆς ὑπεροχῆς. ὥστε ὅσοι μὲν μὴ πρὸς βλάβην γίνοιντο τοῦ δημοσίου θεῖοι τύποι, τούτους καὶ δέχεσθαι καὶ προτάττειν τῶν προσταγμάτων καὶ πέμπεσθαι παρὰ τῆς σῆς ὑπεροχῆς εἰς τὰς ἐπαρχίας ἐφ' ᾧ τε πέρατι παραδίδοσθαι· ὅσοι δὲ πρὸς βλάβην τοῦ δημοσίου κατὰ συναρπαγὴν γίνονται, δέχεσθαι μὲν τὴν σὴν ὑπεροχὴν τοὺς τοιούτους θείους τύπους, μὴ πράττειν δὲ τὰ ἐν αὐτοῖς ἐγκείμενα πρὶν ἢ πρότερον εἰς ἡμᾶς ἀνενέγκοι, ἵνα εἴ τι ὡς εἰκὸς πρὸς βλάβην τοῦ δημοσίου γέγονε τοῦτο ἐπανορθωθῇ. οἱοσδήποτε τοίνυν θεῖος πραγματικὸς τύπος προφάσει δημοσίων γενόμενος μὴ ἐμφανὴς γένηται τῷ θρόνῳ τῆς σῆς ὑπεροχῆς, τοῦτον ἐν οὐδενὶ χρόνῳ κρατεῖν βουλόμεθα.* Dat. K. Iun. CP. DN. Iust. PP. Aug. [IV] et Paulino v. c. cons.[7])

4) Verbum *τοῦτον* non satis aptum est, nisi paulo ante *γινομένου θείου τύπου* legas. 5) Flor. addit *μέχρι τοῦ νῦν.* Non male. 6) Vide quae dixi ad const. III not. 5. 7) Ita Ven. nisi quod IV omittit. Verba „et Paulino v. c. cons.“ Scrimgerus omisit, opinatus, ut videtur, in coll. 168 Novv. nonnisi constitutiones post Codicem editas collectas haberi, ideoque erroneam esse Codicis Veneti subscriptionem.

V. Ed. 2.

Περὶ τοῦ μὴ παρέχειν τοὺς ἄρχοντας ἀσυλίας λόγον ἐπὶ δημοσίαις προφάσεσιν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων.

Ἐκ τῶν ἀνενεχθέντων ἡμῖν ἀγράφως παρὰ τῆς σῆς ἐνδοξότητος ἔγνωμεν, οὐ μικρὰν πεποιηκέναι δυσκολίαν τῇ τῶν δημοσίων φόρων εἰσκομιδῇ τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας οἷς ἂν ἐθέλοιεν λόγον ἀσυλίας παρέχοντας. τὴν ἐξ αὐτοῦ γὰρ τοὺς ὑποδεχομένους τοὺς δημοσίους φόρους προβαλλομένους ἀσφάλειαν μὴ ἐκπέμπειν τὸ ἐπ' αὐτοὺς καταβαλλόμενον χρυσίον, πλείστην δὲ μοῖραν αὐτοὺς παρακατέχειν, καὶ ἐπειδὰν ὀφλήσειαν χρυσίον, ἀποκεχρῆσθαι τῷ κακῶς αὐτοῖς τῆς ἀσυλίας παρεχομένῳ λόγῳ. [§ α'.] Θεσπίζομεν τοίνυν τῷδε τῷ θείῳ πραγματικῷ χρώμενοι τύπῳ πρὸς τὴν σὴν ὑπεροχὴν, διὰ προσταγμάτων οἰκείων ἀπαγορεῦσαι πᾶσι τοῖς λαμπροτάτοις τῶν ἐπαρχιῶν ἄρχουσι λόγον ἀσυλίας παρέχειν ἐπὶ δημοσίαις αἰτίαις· ὑπὲρ δὲ τῶν ἰδιωτικῶν μόνων προφάσεων ἐξεῖναι αὐτοῖς τοῖς δεομένοις παρέχειν τὸν τῆς ἀσυλίας λόγον, καὶ ἐπὶ ῥητὸν χρόνον, οὐ δυναμένοις διηνεκῶς αὐτὸν[1]) ..... περαιουμένης τῆς προθεσμίας αὖθις ἀνανεοῦν. εἰδότων ἁπάντων, ὡς οὐδὲν ὠφεληθήσονται τὸν τοιοῦτον παρ' αὐτῶν λαμβάνοντες λόγον, ἀλλ' ἄδεια ἔσται παντὶ συνέχειν αὐτοὺς προσταττομένῳ τοὺς ἐποφειλομένους παρ' αὐτῶν δημοσίους φόρους κατατιθέναι, τοῦ διδομένου κατὰ χώραν αὐτοῖς λόγου πρὸς οὐδὲν αὐτοῖς συνοίσοντος, ἐκείνων δὲ μόνων ἐχόντων ἀσφάλειαν τῶν κατὰ θείαν ἡμῶν κέλευσιν λόγον ἀσυλίας κομιζομένων ἢ κατὰ προστάξεις τῆς σῆς ὑπεροχῆς.

1) Excidit παρέχειν ἤ.

α΄. Ἐπειδὴ δὲ παρὰ τῆς σῆς ἐνδοξότητος ἐδιδάχθη ὥς τινες ἐπὶ ζητήσει κατελθόντες ἐν διαφόροις ἐπαρχίαις ἑαυτοὺς τῇ τῶν αἱρετικῶν ἐκδεδωκότων πλάνῃ καὶ ποι ὑπὲρ τῆς τοιαύτης αἰτίας τῶν ὑποτελῶν συσχόντες σπορτούλων πλεῖστον παρ᾽ αὐτῶν χρυσίον εἰλήφασι, θ ζομεν, τοὺς τοιοῦτό τι τετολμηκότας καὶ συσχεθῆναι προσαχθῆναι τοῖς λαμπροτάτοις τῶν ἐπαρχιῶν ἄρχουσιν μετ᾽ ἐλέγχους τὸ ληφθὲν[2]) καταθεῖναι, καὶ τὸ μὲν sim τοῖς ζημιωθεῖσιν αὐτοῖς ἀναδοῦναι, τὸ δὲ duplum εἰσ σθῆναι τῷ δημοσίῳ. [§. α΄.] Τοὺς δὲ τεταγμένους εἰς βικαριανὴν τάξιν τὴν ὑπηρετουμένην τῷ περιβλέπτῳ βικ τῆς Ἀσιανῆς διοικήσεως κινδύνῳ οἰκείῳ καὶ τῶν ὑπα των αὐτοῖς πραγμάτων τὴν εἰσκομιδὴν τῶν δημοσίων π σθαι φόρων, ἐκλελοιπότων μὲν (καθάπερ ἡ σὴ ὑπεροχὴ τοῦτο εἰς τὴν ἡμετέραν ἀνήγαγεν εὐσέβειαν) τῶν εἰς ἐπιχώριον ἀναφερομένων τάξιν καὶ εἰς ὀλίγους σφόδρα στάντων αὐτῶν, ἐκ πολλῶν δὲ χρόνων τοῦ βικαρίου καὶ τοῦ λαμπροτάτου τῆς ἐπαρχίας ἄρχοντος τοῦ Φρυγῶν Π τιανῶν ἔθνους παρειληφότος ἀρχήν. ἀδείας οὔσης τοῖ τὴν βικαριανὴν ἀναφερομένοις τάξιν κατὰ πρόσταξιν νῦν τε καὶ κατὰ καιρὸν βικαρίου τὰς δημοσίας εἰσπρά συντελείας καὶ παρασκευάζειν αὐτὰς εἰσφέρεσθαι τῷ δ σίῳ. [§. β.] Τοὺς δὲ ὄντας ἐθνικοὺς ἀποδέκτας καθ᾽ στην ἐπαρχίαν θεσπίζομεν ἐν ταῖς παρ᾽ αὐτῶν γινομ ἀποδείξεσι διακεκριμένως τὸ ἐπ᾽ αὐτοὺς καταβαλλόμ χρυσίον ἐγγράφειν, καὶ διακρίνειν τήν τε καταβαλλομ ἐπ᾽ αὐτοὺς ποσότητα προφάσει τῶν ἀνηκόντων τῇ τῆς ὑπεροχῆς τραπέζῃ καὶ τὴν ἀνήκουσαν ταῖς θείαις λαργιτιόσι, καὶ διὰ τῶν τοιούτων ἀποδείξεων δηλοῦν καταβαλλομένην ποσότητα, καὶ μὴ τὰ ἐξ ἑτέρων τίτλων ἄι ἔχειν τινὰς εἰς ἑτέρους μετατιθέναι.

2) Aperte excidit ἐν τριπλῷ.

Τα τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ εἰς ἔργον ἀχθῆναι προσταξάτω.[3])

VI. Ed. 10.

Ad Ioannem PP. data videtur.

Περὶ ταξεωτῶν.

Τὴν τῶν ἐπιχωρίων βουλευτῶν ἐπιβουλὴν, ἣν περὶ τὸ δημόσιον ἔχουσιν, ἐξ αὐτῶν πολλάκις ἔγνωμεν τῶν πραγμάτων.

α΄. Ἐπειδὴ τοίνυν ἐδιδάχθημεν[1]) *καὶ τοῦτο ἓν εἶναι τῆς αὐτῶν θρασύτητος, τὸ τὰ δημόσια μὲν ἐν χερσὶ λαμβάνειν, ἔσω δὲ τῶν ἱερῶν χωρίων ἑαυτοὺς κατακρύπτειν, καὶ οἴεσθαι ταύτῃ διαδιδράσκειν τὰς ἐφ' αἷς εὐθυνθῆναι δίκαιοι καθεστᾶσι ποινὰς, θεσπίζομεν τὴν σὴν ὑπεροχὴν ....*[2]) *τοῦτο ὅπερ δὴ καὶ τοῖς θεοφιλεστάτοις τῶν ἐπαρχιῶν ἐπισκόποις ἐγράψαμεν*[3])*, ὥστε εἴ τινες αὐτῶν προσφύγοιεν εἰς τοὺς θείους περιβόλους, ἄδειαν εἶναι τῇ σῇ ὑπεροχῇ τούτους προστάττειν ἔξω γίνεσθαι τῆς ἐπαρχίας ἐκείνης, εἶναί τε ἐν ᾧπερ ἂν βουληθείης τόπῳ· τούτου δὲ προσταχθέντος ἀνάγκην ἔχειν τοὺς θεοφιλεστάτους ἐπισκόπους ἔξω καθιστᾶν αὐτοὺς τῶν ἱερῶν χωρίων τὸν καλού-*

3) Cap. 2 memoratur vicarius Asianae dioeceseos, qui vice praesidis Phrygiae Pacatianae fungatur, in const. XVI autem (quae XVII Kal. Maii Belisario v. c. cons. data est) c. 2 statuitur *τὸ χρῆναι τὸν βικάριον τῆς Ἀσιανῆς, ὄντα δὲ καὶ ἄρχοντα τῆς Πακατιανῆς Φρυγίας, μηκέτι μὲν οὕτω προσαγορεύεσθαι, ἀλλὰ τοῦ λοιποῦ κόμητα Φρυγίας Πακατιανῆς ὀνομάζεσθαι.* Proinde haec nostra pragmatica forma data est ante XVII Kal. Maii anni 535, fortasse non multo post quam Ioannes (anno 531) thronum praefecti occupavit.

1) Videtur referre ad const. III. 2) Manifesto aliquid deest, forte *προστάξεσι χρῆσθαι κατὰ τοῦτο, ὅπερ κτλ.* 3) Edictum ad episcopos directum, de quo hic sermo est, omnino in-

μενον λαμβάνοντας λόγον ὅτι περ ἐν ἐκείνοις τοῖς τόποις ἐν οἷς ἀπελθεῖν ......[4]) αὐτοὺς τοὺς δημοσιεύοντας[5]) ἄγειν ἐπὶ τοὺς εἰρημένους τόπους χωρὶς τῆς οἱασοῦν δυσκολίας· κατὰ τοῦτο τοίνυν ἡ σὴ ὑπεροχὴ ταῖς κατὰ τῶν ταξεωτῶν χρήσθω προστάξεσι. κἀκεῖνο γὰρ ἠπείληται τοῖς τε θεοφιλεστάτοις [ἐπισκόποις τοῖς τε][6]) αὐτῶν κληρικοῖς, ὡς εἴπερ μὴ βουληθεῖεν αὐτοὺς μετὰ τοῦ καλουμένου λόγου τῆς ἐπαρχίας ἐκβαλεῖν, καὶ εἰς τοὺς τόπους εἰς οὓς ἀπεστάλησαν ἄγειν μετὰ τῆς τοῦ λόγου πίστεως καὶ τοῦ ἐν[7]) ἴσῳ τῶν ἱερῶν χωρίων ἐκεῖσε διατρίβειν, οἴκοθεν ἀλλ' οὐχὶ ἐκ τῶν ἐκκλησιαστικῶν πόρων οὗτοι τὸ ἀζήμιον τοῖς δημοσίοις περιποιήσουσιν, οὐδὲ αὐτοῦ τοῦ περὶ τὴν ἱερωσύνην ἐξῃρημένοι κινδύνου.

Ἡ τοίνυν ση ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα νόμου ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat.[8])

teriit. 4) Exciderunt nonnulla, forte: προσετάχθησαν ἀπαθεῖς διατρίψουσι, καί. 5) Δημοσιεύοντες fere appellantur qui fisco ministrant v. c. exactores. Hoc autem loco accipiendi sunt pro episcoporum ministris publicis v. c. viatoribus, propterea quod episcopis et clericis profugorum transportandorum cura iniuncta sit. 6) Quae inclusa sunt recte post Agylaeum supplevit Osenbrüggen. 7) Cod. τῷ pro τοῦ ἐν. 8) Reliqua subscriptionis pars deest. Anno autem 535 hanc constitutionem anteriorem esse conjicere est tum propter brevitatem prooemii tum propter formulam epilogi hoc potissimum tempore usitatam. Denique Praef. Praet. ad quem directa est, Ioannes fuisse videtur, qui sicut const. III ita etiam huic constitutioni relatione ad imperatorem facta ansam dederit.

VII. Nov. 160.

Cap. 1 receptum est in Bas. XXXIII, 3, 79. Summa est apud Theod. Nov. 160. Laudatur in Append. Iuliani ed. Haenel p. 197.

Ἴσον θείου πραγματικοῦ τύπου περὶ τόκων.[1])
Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Πανίῳ.

Ἀριστοκράτης ὁ ἐλλογιμώτατος[2]) πατὴρ τῆς Ἀφροδισιέων πόλεως καὶ οἱ κατ' αὐτὴν κεκτημένοι ἱκέται γεγόνασιν ἡμῶν[3]), φάσκοντες τὴν εἰρημένην πόλιν. καὶ μετά τινα· πρῶτον μὲν ἐκεῖνο νομίζομεν, τὸ τοὺς ἡμετέρους νόμους οὕτω τινὰς ἐκλαμβάνειν τε καὶ νοεῖν, ὡς ἐντεῦθεν ἑαυτοῖς[4]) καθ' ὧν ἥκιστα ἐχρῆν ἀδικημάτων παρέχειν ἀφορμάς. ἐδιδάχθημεν γὰρ παρὰ τοῦ τῆς πόλεως πατρὸς χρυσίον συχνὸν ἠθροῖσθαι τῇ πόλει ἐκ πρεσβείων καταλελειμμένων παρά τινων τῇ Ἀφροδισιέων πόλει, καὶ ὅπως ἂν μὴ τοῦτο ἐξαπόλοιτο, τινὰς τῶν ἐν δυνάμει τῆς πόλεως νείμασθαι τὸ χρυσίον τοῦτο, ἐφ' ᾧ τε ὑπὲρ αὐτοῦ τῇ πόλει συντελεῖν ἔτους ἑκάστου ὅπερ εἴτε τις νομὴν εἴτε πόρον εἴτε καὶ τόκον καλεῖν βουληθείη τοῦτο ὃ προσῆκόν ἐστι φέρεσθαι τῇ πόλει, ἕως ἂν τὸ χρυσίον παρὰ τῷ λαβόντι μένῃ· τοὺς μέντοι τὸ χρυσίον εἰληφότας, ἐπειδὴ διάταξιν[5]) ἐθήκαμεν ὑπὲρ τὸ διπλάσιον μὴ συγχωρεῖσθαι τοῖς δανεισταῖς ἀπαιτεῖν τὸ χρέος ἀλλ' ἀρκεῖσθαι τούτῳ καὶ μόνῳ, φάσκειν, ὡς ἐπειδὴ καταβεβλήκασιν ὑπὲρ τὸ διπλάσιον, δεῖν[6]) τὸ πρεσβεῖον ἀπολέσθαι τῇ πόλει, καὶ ἀδικεῖσθαι μὲν τὰς ἐκπυρώσεις τῶν δημοσίων βαλανείων ἐντεῦθεν γινομένας, ἐλαττοῦσθαι δὲ τὰ ἔργα τὰ δημόσια, καὶ τὸν ἡμέτερον νόμον κατὰ[7]) τὴν ἐκείνων ἑρμηνείαν τῇ πόλει λυμαίνεσθαι.

1) περὶ τόκων addo ex Hal. 2) Ita Ven., quod firmat Theod. Hal.: λογιώτατος. 3) Malim ἡμῖν. 4) Hal. αὐτοῖς. 5) l. 27 C. de usuris 4, 32. Const. II supra. 6) Ven. δεῖ. Hal. δή. 7) Ven. καί.

α΄. Ταῦτα ἅπαντα πόῤῥω τῆς ἡμετέρας ἐλαύνοντες πολιτείας θεσπίζομεν, τοὺς τὸ χρυσίον εἰληφότας ἐφ' ᾧ τε ἀντ' αὐτοῦ διδόναι τὶ τέλος τῇ πόλει, τούτους ἀναγκασθῆναι μέχρι περ ἂν ἔχοιεν τὸ χρυσίον εἰσφέρειν τὸ ὑπὲρ αὐτοῦ ἀντιπεφωνημένον[8]) *ἔτους ἑκάστου, μὴ κεχρημένους παντελῶς πρὸς τοῦτο τῇ θείᾳ ἡμῶν διατάξει. ἐκείνην μὲν γὰρ ἐπὶ δανειστῶν ἐγράψαμεν καὶ τῶν ῥητῶς αὐτῇ περιεχομένων θεμάτων, τὸ δὲ παρὸν οὐδὲν ἐκείνης ἅπτεται, εἴ γε προσόδῳ μᾶλλον ἐτησίᾳ ἢ τόκων ἔοικε καταβολῇ, ἡμᾶς τε ἐν ἴσῳ τοῖς δημοσίοις κήδεσθαι χρὴ*[9]) *καὶ τῶν πόλεων. Εἰ δέ τις καὶ μετὰ τόνδε ἡμῶν τὸν παρόντα τύπον ἑτέρως καταλάβοι*[10]) *τὰ παρ' ἡμῶν νομοθετηθέντα καὶ ἀποστερῆσαι βουληθείη τὴν πόλιν τοῦ δεδομένου χρυσίου, καὶ τοῦ χρόνου παντὸς ὁπόσον τῇ πόλει ἐποφείλει καταθήσει, καὶ ἀποδώσει τὸ διπλάσιον, ἵνα τῆς κακούργου ἑρμηνείας δικαίαν ἀμοιβὴν ἀπολάβοι, διότι παρὸν αὐτῷ πολίτῃ φαίνεσθαι χρηστῷ οὕτως ἐστὶ πονηρός, ὡς*[11]) *τὴν ἐνεγκοῦσαν αὐτὸν ἀδικεῖν.*[12])

VIII.

Auth. 88.

Summam praestant Athanas. XIX, 2 et Theod. Nov. 36: Theodori summam repraesentat Haloander Nov. 36, eademque repetita est in Basil. XLV, 6, 2.

UT HI QUI IN AFRICA SUNT INTRA QUINQUENNIUM COMPETENTES SIBI RES USQUE AD CERTUM GRADUM DEBEANT VINDICARE.

Idem A. Salomoni P. P. Africae.

Omne infinitum et perperam effusum merito et incivile et incompositum esse credentes certis finibus nos

8) Verba *ἀντιπεφ. — διατάξει* Ven. omittit. 9) Deest in Ven. 10) Ven. *καταβάλοι.* 11) Ven. *καὶ ἐπί.* 12) Quo tempore haec forma data sit, et quis fuerit Papius ille ad quem directa est, incertum est. Controversias tamen, quibus con-

actiones limitare[1]) censemus. nuper itaque in Africa nostra, quam deus Romanae[2]) ditioni nostris vigiliis subiugavit, nostram pragmaticam sanctionem[3]) promulgavimus, ut omnes, quae iam Vandalicis temporibus amiserunt, ea possint a detentatoribus iniustis tam abstrahere quam sibimet vindicare, et quinquennale spatium statuimus, intra quod liceret hoc facere. quam sanctionem in suo quidem robore manere volumus, sed cum certo moderamine certaque definitione, ut non liceat Afris tam prolixa annositate elapsa et antiquis generibus paene deletis calumnias veteres resuscitare et invicem sibi molestias ingerere et in tanta pace bella gerere intestina.

Per hanc itaque legem sancimus, si quis praetendat res vel ad se vel ad patrem suum vel avum pertinere et inique contra leges nostras ab aliis detineri, posse eas recuperare, scilicet antea legi cognitis probationibus praestitis, vel ab instrumentis legitimis recitandis vel a testibus idoneis educendis et quorum gravitas iudicibus acceptabilis sit, videlicet cognitionali certamine agitato; et extendi hanc nostram constitutionem tantummodo ad patres et avos, non autem ad superiorem alium gradum. et hoc in utrumque videlicet sexum sancimus, ut qui suum vel ad patrem vel ad matrem vel avum vel aviam quisquam masculus sive femina pertinuisse ostenderit, hoc ab iniustis detentatoribus abstrahat, ulteriore requisitione penitus quiescente, [ne] quis proavum suum

stitutio Iustiniani de usuris ultra duplum non computandis ansam dedit, quum mox post eius sanctionem passim agitatas esse verisimile sit, ideo hanc nostram constitutionem anno 534 assignare non dubitavi.

1) Coni. Osenbrüggen. Codd. militari. 2) Vulgo: *divae memoriae,* quibus verbis Belisarii nomen (qui tamen tempore datae constitutionis e vivis non excesserat) addendum esse *Cramerus* suspicatus est. Equidem lectionem Codicis Vindob. (duιrōιne) ita ut in textu posui, explicandam esse censeo. 3) Quae non extat.

vel abavum vel atavum vel proaviam vel abaviam vel ataviam inducens miscere pietati calumniae cumulum ingerat. hocque in transversa linea observari praecipimus, ut usque ad tertium gradum tantummodo stetur, id est ad fratres et germanas, ad patruos et amitas et avunculos et materteras, non autem ad alios superiores agnationis seu cognationis gradus. et si quis huiusmodi quaestionem deferre sit paratus, non alibi sed ad iudicium sublimitatis tuae vel praesidum provinciarum et insularum[4]) stricto iudicio celebrato huiusmodi praebeat probationes, et non ex una parte neque in aliis provinciis vel in hac florentissima civitate, sed tantummodo in Africa dioecesi praesentibus adversariis suis, et tunc mereat nostri numinis nostraeque constitutionis auxilium. de fide enim generis probationes praestari ex una parte nullo concedimus modo, et si quis huiusmodi acta ostenderit quasi in hac florentissima civitate confecta vel in alio loco, ea non esse audienda censemus, licet antea hoc fuerit permissum. inventa etenim circa tales requisitiones summa calliditate, respuendas esse huiusmodi concinnitates sancimus, ne dum sua reddere cuidam cupimus, alienas ei substantias dolose accipere concedamus. rerum autem requisitionem secundum antelatum modum apud sublimitatem tuam vel praesides provinciarum intra definitum tempus nostrae sanctioni fieri volumus in quinquennium, annum[5]) qui iam transactus est ex prioris pragmaticae sanctionis editione in quinquennium computando, ut actor reliquum habeat quadriennium ad huiusmodi inquisitionem, scilicet si temporis computatio legitimas exceptiones excedit. huiusmodi enim quadriennii metas[6]) praeterire

4) *Insulae Sardiniae* (cf. Cod. 1, 27) pro *insularum stricto?*
5) Malim *anno,* et deleverim *in quinquennium,* quod praecedit.
6) Ex coni. Heimb. Codd. etas.

nullo patimur modo, ne immortalis fiat iudiciorum completus.

Quae igitur pro securitate Africae mea sanxit aeternitas, haec sublimitas tua per edicta sua in omnem Africanum tractum proponenda manifestare cunctis civibus Africanis deproperet, ut omnes quid in transactis annis observare oporteat scientes hoc observare festinent. De cetero enim si quis casus talis emerserit, successiones omnes et temporales cursus sic procedere disponimus, quemadmodum in omnibus terris nostro orbe inclusis sacratissima iura disponunt, ut et sint et descendentium et ab utroque latere venientium gradus omnes et temporales cursus intacti, quemadmodum generales nostri numinis leges eos omnibus tradiderunt. *Dat. Kal. Ian. CP. Belisario V. C. Cons.*[6])

Auth. 1. IX. Nov. 1.

Particula extat in Cod. Ambrosiano. Recepta in Basil. XLI, 4, 1, unde nonnulla habet Syn. A., 54, 6. K, 14, 59. Summas praestant Iulian. 1, Athanas. XI, 1, Theod. 1, *αἱ ῥοπαὶ* 24, 38 (= C. 1 § 1). Cf. etiam Ecloga V, 7 *'Ανέκδ.* mea p. 212.

Περὶ κληρονόμων καὶ τοῦ Φαλκιδίου.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἐνησχολημένοις ἡμῖν περὶ τὰς ἁπάσης τῆς πολιτείας φροντίδας καὶ μικρὸν οὐδὲν αἱρουμένοις ἐννοεῖν, ἀλλ' ὅπως

6) Theod. *Ἐξεφωνήθη μηνὶ ἰαννουαρίῳ μετὰ τὴν ὑπατείαν βελισαρίου*, i. e. a. 536. Atqui mense Decembri anni 533 Africa recuperata est: anno 534 constitutiones de ordinanda Africa Iustinianus proposuit: ex prioris sanctionis editione annum transactum esse nostra constitutio praedicat: itaque anno 535, non 536 prodiit.

ἂν Πέρσαι μὲν ἠρεμοῖεν, Βανδίλοι δὲ σὺν Μαυρουσίοις ὑπακούοιεν, Καρχηδόνιοι δὲ τὴν παλαιὰν ἀπολαβόντες ἔχοιεν ἐλευθερίαν, Τζάνοι[1]) τε νῦν πρῶτον ὑπὸ τὴν Ῥωμαίων γενόμενοι πολιτείαν ἐν ὑπηκόοις τελοῖεν (τοῦτο ὅπερ οὔπω καὶ νῦν[2]) πλὴν ἐπὶ τῆς ἡμετέρας βασιλείας δέδωκε Ῥωμαίοις ὁ θεός), ἐπιῤῥέουσι καὶ ἰδιωτικαὶ φροντίδες παρὰ τῶν ἡμετέρων ὑπηκόων ἀεὶ προσαγγελλόμεναι, ὧν ἑκάστῃ μὲν δίδομεν τὸν προσήκοντα τύπον, ὁπόσα δὲ συχνῆς μὲν ἀπολαύει τῆς κατὰ μέρος βοηθείας, δυνατὰ δέ ἐστιν ἐγγραφέντα νόμῳ κοινὴν ἅπασι δοῦναι τὴν ἐφ' οἷς χρήζουσιν ὠφέλειαν, ταῦτα χρῆναι νομίζομεν καὶ νομοθετῆσαι καὶ παραδοῦναι τοῖς ὑπηκόοις αὐτόθεν βοηθοῦντα καὶ μὴ τῆς ἀεὶ κελεύσεως τῆς ἐκ τῶν βασιλέων δεόμενα. [§. 1.] ἀεὶ τοίνυν ἡμᾶς ἐνοχλοῦσιν οἱ μὲν ὑπὲρ πρεσβείων καταλελειμμένων οὐ μὴν διδομένων προσιόντες, οἱ δὲ ἐλευθεριῶν οἱ δὲ ἑτέρου τινός, ὅπερ οἱ μὲν παραδόντες τοὺς κλήρους δοθῆναί τισιν ἢ γενέσθαι διετάξαντο, οἱ δὲ ἀγνωμόνως καὶ τῶν πραγμάτων ἐφίενται καὶ ταῦτα λαμβάνουσι καὶ τὸ κελευσθὲν οὐ πληροῦσι· καίτοιγε καὶ τοῖς πάλαι νομοθέταις εἴρητο, προσήκειν τὰς τῶν τελευτώντων διατυπώσεις, ὅσαι μὴ μάχονται νόμοις, πᾶσι πληροῦσθαι τρόποις. ἀλλ' ἐπειδὴ τοὺς οὕτω γεγραμμένους νόμους ἤδη κατὰ τὸ πλεῖστον ἀμεληθέντας εὕρομεν, ἀνακτήσασθαί τε αὐτοὺς ἡγησάμεθα δεῖν καὶ τοῖς τε περιοῦσι δοῦναι τὴν ἐξ αὐτῶν ἀσφάλειαν, καὶ τοῖς τετελευτηκόσι τὴν ἐντεῦθεν ἀποτίσαι τιμήν. [§. 2.] πρῶτον μὲν οὖν ἐκεῖνο σκεπτέον, ὅτι δὴ τῶν διατιθεμένων τοῖς μὲν ἀνάγκην ἐπιτίθησιν ὁ νόμος ἀπονέμειν τινὰ μοῖραν προσώποις τισὶν ὡς δὴ τοῦτο κατ' αὐτὴν τὴν φύσιν ὀφειλομένοις, ὁποῖον δή τι παισὶ καὶ ἐγγόνοις καὶ πατράσι καὶ μητράσιν, ἔσθ' ὅτε καὶ ἀδελφοῖς, καὶ εἴ τι τοιοῦτο πρόσ-

1) Cf. ad h. l. Agathias ed. Paris. p. 145. 2) Auth. legit ἄχρι νῦν.

ιον ἢ ἐν τοῖς ἐξ ἡμῶν ἢ ἐν τοῖς ἐξ ὧν ἐσμεν ἠρίθμη-
ν οἱ νόμοι· τοῖς δὲ οὐδεμία καθέστηκεν ἀνάγκη μοῖραν
δόναι τινὶ[3]) τῆς ἑαυτῶν περιουσίας, ἀλλ' αὐτεξούσιός ἐστιν
φιλοτιμία, πρὸς οὓς ἂν ὁ διατιθέμενος βούλοιτο φερομένη.

α'. Τούτων οὖν ἡμῖν προδιωρισμένων, θεσπίζομεν
ὺς παρά τινων γεγραμμένους κληρονόμους ἢ καὶ τυχόντας
leicommissων[4]) τῶν καθ' ὁμάδα τυχὸν ἢ κατ' εἶδος ἢ καὶ
ϰεσβείων ἀνάγκην ἔχειν, ὅπερ ἂν ὁ διαθέμενος καὶ τιμή-
ις αὐτοὺς διατάξειεν, ἐκ παντὸς τρόπου πληροῦν, εἰ τὸ
ροσταχθὲν νόμιμον εἴη, ἢ εἰ μή τις αὐτὸ νόμος[5]), εἰ καὶ
ἡ γένοιτο παρὰ τοῦ τιμηθέντος, ἀλλ' οὖν κύριον εἶναι
ητῶς ἀποφαίνει. [§. 1.] εἰ δέ τις μὴ πληρῶν τὸ δια-
:ταγμένον, ἀλλ' ἁρμόσαντος τῷ τετιμημένῳ τοῦ καταλει-
φθέντος ἐκ ψήφου δικαστικῆς ὑπομνησθεὶς ἐνιαυτὸν ὅλον
ϰύσοι, μὴ πράττων τοῦτο ὅπερ προσετάχθη, εἰ μέν τις
:ίνων εἴη τῶν ἀναγκαστικῶς ἐκ τοῦ νόμου τὶ λαμβανόν-
ων, εἰς πλεῖον δὲ ἢ καθ' ὅσον ὁ νόμος αὐτῷ δίδοσθαι
ύλεται γέγραπται κληρονόμος, τοσοῦτον λαμβάνειν μόνον,
ϊόσον ὁ νόμος αὐτῷ δίδοσθαι κατὰ τὴν τετάρτην τῶν ἐξ
ιαθέτου μοῖραν συγχωρεῖ, τὸ δὲ ἄλλο σύμπαν ἀφαιρεῖσθαι·
:ὶ εἰ μὲν καὶ ἕτεροί τινες γεγραμμένοι τυγχάνουσι κληρονό-
ι, προσαύξειν ἐκείνοις κατὰ τὸ μέρος τῆς ἐνστάσεως, ὅπερ
άστῳ προσνενέμηται· εἰ δὲ μηδεὶς ἄλλος εἴη κληρονόμος,
τύχοιεν μὲν γεγραμμένοι τινὲς, μὴ προσίοιεν δὲ τῷ κλήρῳ,
νικαῦτα τὸ ἀφαιρούμενον προστιθέσθω τοῖς ἄλλοις πράγ-
ισιν καὶ ἄδεια παρεχέσθω[6]) καὶ ληγαταρίοις καὶ fidicom-
issarioις[7]) καὶ οἰκέταις ἐλευθερίᾳ τιμηθεῖσι προσιέναι καὶ
ῦτο οἰκειοῦσθαι, ἐφ' ᾧ πᾶσι τρόποις τὸ προστεταγμένον

3) Hal. τινά. 4) Cod. Ven. inter lineas ἀποκαταστά-
ιων. Et in margine βι. μα' τῶν βασιλ. τί. δ'. 5) Ven.
ι margine: ὅπερ εἴρηται ἐν τῷ λε' βι. τί. α' καί βι.
' τοῦ λς' (?) κώδ. τί. μς' διατ. β'. 6) Ven. Bas. ἄδειαν
αρεχέσθω. 7) Ven. inter lineas ἤγουν τὴν ἀποκατάστασιν
αμβάνουσιν. Et sic mox.

πληρῶσαι· ἀσφαλείας δηλαδὴ πρότερον παρ' αὐτῶν γινομένης, καθάπερ ἂν ὁ τῶν πραγμάτων καὶ τῶν προσώπων ἐπιδέχοιτο τρόπος, ὅτι τὰ πράγματα λαβόντες πράξουσι ἐπ' αὐτοῖς, ἅπερ ὀρθῶς ἐβουλήθησαν οἱ διαθέμενοι. ἢ εἴπερ μηδεὶς τῶν μνήμης ἐν τῇ διαθήκῃ τυχόντων βουληθείη προσελθεῖν, τουτέστι συγκληρονόμος ἢ ληγατάριος ἢ φιδεϊκομμισσάριος ἢ οἰκέτης ἐλευθερίᾳ τετιμημένος, τηνικαῦτα ἐπὶ τοὺς ἄλλους τοὺς ἐξ ἀδιαθέτου, οὓς ὁ νόμος καλεῖ μετὰ τὸν γεγραμμένον μέν, τῇ νομίμῳ δὲ ὑπὸ τοῦδε τοῦ νόμου περικλεισθέντα μοίρᾳ, φέρεσθαι τὰ πράγματα, καὶ αὐτοὺς ὁμοίως διδόντας ἀσφάλειαν, ὅτι πληροῦσι τὰ τῇ διαθήκῃ περιεχόμενα. ἄτακτον δὲ οὐδὲν οὐδὲ συγκεχυμένον οὐδὲ ἐπὶ τούτων γίνεσθαι βουλόμεθα, ἀλλ' ὁ πρῶτος κατὰ τὴν τάξιν καλούμενος μετὰ τὸν ἤδη περικεκλεισμένον ὑπὸ τοῦ νόμου τοῦ καθ' ἡμᾶς, οὗτος καλείσθω πρότερος, εἶτα ὁ μετ' ἐκεῖνον καὶ ἐφεξῆς οὕτως, ἕως ἂν ὁ τελευταῖος ἐκλιπὼν χώραν ποιήσῃ καὶ τῶν ἔξωθέν τινι βουλομένῳ καὶ προσελθεῖν καὶ τὰ καταλελειμμένα πληρῶσαι. μεθ' οὓς καὶ τὸ δημόσιον, εἴγε βούλοιτο, τίθεμεν. καὶ γὰρ καὶ ἐπὶ τῶν ληγαταρίων καὶ φιδεϊκομμισσαρίων τοιαύτην εἶναι βουλόμεθα τάξιν, ὥστε προτέρῳ δίδοσθαι παῤῥησίαν τῆς προσελεύσεως τῷ καθ' ὁμάδα φιδεϊκομμισσαρίῳ, ἢ πλειόνων ὄντων τῷ μείζονα μοῖραν ἔχοντι, ἐπειδὴ καὶ μίμημά τι κληρονόμου καθέστηκε καὶ μάλιστα ἐφ' ἡμῶν, οἵπερ τῷ Τρεβελλιανίῳ[8]) μόνῳ δόγματι δεδώκαμεν ἐπὶ τῶν τοιούτων φιδεϊκομμίσσων χώραν τὰς τοῦ Πηγασιανίου περιόδους μισήσαντές τε καὶ ἐκβαλόντες. εἰ δὲ ἢ οὐκ εἴη τὶς καθ' ὁμάδα τετιμημένος ἢ οὐ βούλοιτο πρᾶξαι τὸ κελευσθέν, ἐπὶ τοὺς τοῖς μείζοσιν ἰδικοῖς ληγάτοις ἢ καὶ fideicommissοις τετιμημένους τὴν τοιαύτην ἔρχεσθαι παῤῥησίαν. οὕτω τε καὶ τοῖς οἰκέταις[9]) δίδοσθαι καιρὸν τοῖς

8) Quae inter lineas notat Ven., vix leguntur. Ad marginem notat: ἐν τῷ κγ' τί. τοῦ β' βι. τῶν ἰνστιτ. 9) Ven. in margine: ὁμοίως βι. ζ' τοῦ κώδ. τί. β' διατ. ς' ἥτις καὶ

ἐλευθερίᾳ τετιμημένοις καὶ προσιέναι καὶ ἐλευθέρους ἀσφαλῶς εἶναι, καὶ τὰ πράγματα λαμβάνειν καὶ πληροῦν τὰ κελευσθέντα μετὰ τῆς ἔμπροσθεν εἰρημένης ἀσφαλείας. εἰ δὲ μηδεὶς εἴη τῶν ληγαταρίων ἢ φιδεϊκομμισσαρίων τῶν καθ' ὁμάδα ἢ καὶ κατ' εἶδος μείζονι μοίρᾳ ἢ πρεσβείῳ τετιμημένος, ἀλλὰ πάντες ἴσην ἐπέχοιεν τύχην, τηνικαῦτα προκρίνεσθαι μὲν καὶ οὕτως τοὺς καθ' ὁμάδα φιδεϊκομμισσαρίους διὰ τὸν ἔμπροσθεν ἡμῖν εἰρημένον λόγον ἢ τὸν ἐξ αὐτῶν βουλόμενον πληρῶσαι τὸ προστεταγμένον, τοὺς δὲ λοιποὺς ληγαταρίους ἢ φιδεϊκομμισσαρίους, ὅσοι μηδὲν ἀλλήλων ἐν τῷ καταλελειμμένῳ προέχουσι, καὶ πάντας εἰ βούλοιντο καλεῖσθαι ἢ τοὺς ἐξ αὐτῶν βουλομένους. εἰ δὲ μηδεὶς ληγατάριος ἢ fidicommissarios ἕλοιτο τοῦτο πρᾶξαι, δίδομεν τοῖς οἰκέταις παῤῥησίαν τοῖς ἐλευθερίᾳ τετιμημένοις κατὰ τὴν τάξιν τῆς ὀνομασίας, καθ' ἣν αὐτοὺς ὁ δεσπότης ὠνόμασε, κατὰ τοῦτο ἔχειν τὴν πρὸς ἀλλήλους προτίμησιν.[10]) [§. 2.] καὶ ταῦτα μὲν ἅπαντα νομοθετοῦμεν, ἔνθα ἀναγκαστική τις ὑπόκειται δόσις εἴς τινα τῶν ἐκ φύσεως ὀφειλομένων τινὰ διαδοχὴν παρὰ τοῦ διαθεμένου τε καὶ τελευτῶντος. εἰ δὲ οὐδὲν ὑπόκειται τοιοῦτον πρόσωπον ἐν ταῖς ἐνστάσεσιν, ἀλλ' ἑκούσιος ἡ φιλοτιμία τῆς διατυπώσεως παρὰ τοῦ διαθεμένου γίνοιτο, εἶτα ὁ γεγραμμένος οὐ πληροῖ τὸ προστεταγμένον εἴσω τοῦ ῥηθέντος ἡμῖν ἔμπροσθεν χρόνου[11]), τὸν[12]) μὲν ἀφαιρεῖσθαι πάντων τῶν καταλελειμμένων οὐδ' ὁτιοῦν οὔτε κατὰ φαλκιδίου πρόφασιν οὐδὲ κατ' ἄλλην αἰτίαν λαβεῖν δυνάμενον, ὁμοίως δὲ τὰ αὐτὰ κρατεῖν· καὶ εἰ μὲν εἶεν συγκληρονόμοι, τούτους καλεῖσθαι, ἐπείτοιγε εἰς φιδεϊκομμισσαρίους καὶ ληγαταρίους καὶ οἰκέτας καὶ τοὺς

ἐξωτικῷ τὴν τοιαύτην δίδωσιν ἄδειαν, καὶ βι. μ' τί. ε' dig. β'. 10) Ven. ad marginem: ὁμοίως βι. κη' τί. ϛ' διγ. νθ' καὶ βι. ζ' τί. α' διγ. λδ' καὶ βι. λα' τί. διγ. ν'. Quae quo pertineant non satis intelligo. 11) Ven. in marg.: τοῦ μεθ' ὑπόμνησιν ἐκ ψήφου δικαστικῆς φησιν. 12) Ven. ἤτοι τόν, quod secundum Flor. Bas. Auth. delendum fuit.

ἐξ ἀδιαθέτου πάντας κατὰ τὴν ἔμπροσθεν ὑφ' ἡμῶν παραδεδομένην τάξιν τὰ πράγματα χωρεῖν, πανταχοῦ τοῦ βάρους συνημμένου τοῦ δεῖν πληροῦν ταῦτα, ἅπερ ὁ διαθέμενος κατὰ νόμον καθάπερ ἔμπροσθεν εἰπόντες ἔφθημεν ἐπιτάξειεν. [§. 3.] *εἰ δὲ ἡ ἔνστασις καὶ ὑποκατάστασιν ἔχοι, πρόδηλον ὡς πρότερον ἐπὶ τὸν ὑποκατάστατον βουλόμενον ἐλεύσεται τὰ πράγματα πάντα κατὰ τὸν νόμον πληροῦντα τὰ καταλελειμμένα· οὕτω τε ἐκείνου μὴ βουλομένου, τηνικαῦτα ἐπὶ τοὺς συγκληρονόμους καὶ ληγαταρίους καὶ οἰκέτας καὶ τοὺς ἐξ ἀδιαθέτου καὶ τοὺς ἔξωθεν καὶ τὸ δημόσιον κατὰ τὴν παρ' ἡμῶν εἰρημένην παρατήρησιν τὰ ἀφαιρούμενα παραγενήσεται, πληροῦντας πανταχοῦ τὰς τῶν τελευτώντων νομίμους διατυπώσεις. διὰ τοῦτο γὰρ δὴ καὶ ἐπὶ τοσαύτας εἴδομεν διαδοχάς, ἵνα μὴ μείνοι ἀπροσέλευστος ὁ τοῦ τελευτῶντος κλῆρος.* [§. 4.] *ἐξνερεδάτους δὲ παῖδας, εἴ γε δικαίως παρὰ τοῦ πατρὸς ἀποκλεισθεῖεν καὶ μηδὲν ἐκ τῆς τοῦ πατρὸς ἔχοιεν γνώμης, οὐ καλοῦμεν οὐδὲ προσιέμεθα, κἂν εἰ μυριάκις βουληθεῖεν. εἷς γάρ ἐστι τῷ νόμῳ σκοπός, τὰ διατεταγμένα παρὰ τῶν τελευτώντων πληροῦσθαι.*[13]) *τὸν γὰρ ἐξ αὐτοῦ τοῦ διαθεμένου τῆς αὐτοῦ περιουσίας ἀπελαυνόμενον πῶς ἂν εἴη δίκαιον καλεῖν εἰς πράγματα, ὧν αὐτὸν ἐκεῖνος διὰ τῆς ἐπ' αὐτῷ ῥητῶς γενομένης* exheredationos[14]) *γενέσθαι μέτοχον οὐκ ἠβουλήθη; εἰ δὲ τὸ ἀφαιρούμενον μέρος παρὰ τοῦ μὴ πληροῦντος τὴν τοῦ τελευτήσαντος βουλὴν πρότερον ἠγάγομεν ἐπὶ τοὺς ὑποκαταστάτους, ἔπειτα ἐπὶ τοὺς συγκληρονόμους καὶ μετ' ἐκείνους ἐπὶ ληγαταρίους καὶ* fidicommissarios *καὶ πρός γε καὶ οἰκέτας, οὕτω τε ἐπὶ τὴν ἐξ ἀδιαθέτου κλῆσιν καὶ τοὺς ἔξωθεν καὶ τὸ δημόσιον ἤλθομεν, οὐκ ἄπο τρόπου*[15]) *τοῦτο γέγονεν οὐδὲ ἐκ τοῦ παρήκοντος*

13) Venet. in marg. *ὁμοίως φησὶν κεφ. λζ΄ τῆς κβ΄ νεαρᾶς* (nobis c. XLVIII c. 43). 14) Venet. inter lineas: *ἀποκηρύξεως.* 15) Flor. inter lineas *ἀτόπως.* Idem notat *βι. ς΄ τοῦ κώδ. τί. μ΄ διατ. β΄.*

οὐδὲ ὡς ἄν τινα καὶ διαλάθοι τὸ προσῆκον, ἀλλ' ἐκ προνοίας καὶ κατὰ τὸν νόμον, ἵνα πεπερασμένων πρῶτον ἁπάντων τῶν κατὰ τὰς διαθήκας προσώπων εἶτα ἀπειπόντων, οὕτως ἐπὶ τὴν ἐξ ἀδιαθέτου κλῆσιν καὶ τοὺς ἄλλους ἀφικώμεθα. ἐφ' ἁπάντων δὲ, ἐφ' ὧν τῶν προγεγραμμένων οὐ πληρούντων καλοῦμεν ἢ τὰ ἐκ τῆς διαθήκης πρόσωπα ἢ τοὺς ἐξ ἀδιαθέτου καὶ τοὺς λοιποὺς, δίδομεν ἅπασι τοῖς τοιούτοις προσώποις γίνεσθαι κληρονόμοις καὶ aditionos ἤτοι pro herede gestionos[16]) ἔχειν δίκαιον (ταῦτα δὴ τὰ τοῦ νόμου ῥήματα) καὶ ὡς κληρονόμους ἅπαντα πράττειν ἐναγομένους τε καὶ ἐνάγοντας· τοῦτο ὅπερ καὶ οἱ παλαιότατοι τῶν νόμων[17]) ἐκ τῆς οἰκείας αὐθεντίας ἐδίδοσαν καὶ κληρονόμους ἐποίουν τοὺς οὐδὲ γεγραμμένους κληρονόμους οὐδὲ ἐξ ἀδιαθέτου πρὸς τὸν κλῆρον καλουμένους. τούτων ἁπάντων κρατούντων, κἂν εἰ μὴ παρὰ κληρονόμου, παρὰ δὲ ληγαταρίου ἢ φιδεϊκομμισσαρίου ἢ τοῦ μόρτις καῦσα δωρεὰν λαβόντος[18]) δοθῆναί τι ἢ γενέσθαι ὁ διαθέμενος ἠβουλήθη, τῆς αὐτῆς τάξεως προφάσει τῶν ἀφαιρουμένων πραγμάτων φυλαττομένης καὶ ἀρχομένης μὲν ἀπὸ τῶν ὑποκαταστάτων τοῦ ληγαταρίου, ληγούσης δὲ εἰς τὸ δημόσιον. καὶ μηδεὶς πρὸς τὸν νόμον δυσχεραινέτω τοῦτον ὡς τῶν καταλελειμμένων ἀποστερούμενος, ἀλλ' ἐννοῶν, ὡς ἅπασιν ἀνθρώποις πέρας ἐστὶ τοῦ βίου ὁ θάνατος, μὴ μόνον τὸ παρ' ἑτέρων αὐτὸς λαβεῖν θεωρείτω, προσεννοείτω δὲ, ὅτι καὶ αὐτὸς ἑτέροις τελευτῶν ἐπιτάξει καὶ, εἰ μὴ παρὰ[19]) τοῦδε τοῦ νόμου τύχοι βοηθείας, οὐδὲν ὧν ἂν μετὰ σπουδῆς ἁπάσης διατάξειεν εἰς ἔργον ἄξει. οὐ γὰρ τοῖς ἐφ' ἡμῶν οὐδὲ τοῖς νῦν μόνον ἀνθρώποις, ἀλλὰ παντὶ καὶ τῷ μετὰ ταῦτα ῥέοντι νομοθετοῦμεν χρόνῳ.

16) Venet. inter lineas: ἤτοι ὑπεισελεύσεως et κληρονομίας ἐγχειρήσεως. 17) Venet. inter lineas ὡς τί. ια' βι. γ' τῶν ἰνστιτούτων. 18) Venet. λαβόντων. 19) Ven. παρὰ τῆς τοῦδε. Unde *Hombergk* legendum censet τῆς παρὰ τοῦδε.

β΄. Ἐντεῦθεν ἡμᾶς εἰσῆλθε βουλὴ καί τις ἔννοια τοῦ Φαλκιδίου νόμου, ὃς καὶ ἀκόντων τῶν διατιθεμένων, εἴπερ ἐξαναλίσκοιεν τὰ πράγματα διὰ τῶν πρεσβείων, δίδωσι παρακατέχειν τοῖς κληρονόμοις ὅσον αὐτοῖς ποιεῖ τὸ τέταρτον τῆς περιουσίας. κἀνταῦθα[20]) γὰρ μάχεσθαι μὲν δοκεῖ τῇ γνώμῃ τοῦ τελευτήσαντος, ἐπερείδεσθαι[21]) δὲ τῷ ταῦτα ἐφιέντι νόμῳ. θεσπίζομεν τοίνυν (ἀνθεκτέον γὰρ ἡμῖν πανταχοῦ τῆς τῶν τελευτησάντων γνώμης) τοὺς κληρονόμους, εἰ βούλοιντο τῆς ἐντεῦθεν ὠφελείας ἀπολαύειν, καθαρὰν φυλάξαι τῷ νόμῳ τὴν ἐξουσίαν, καὶ μὴ δι' ὧν ἂν ὡς εἰκὸς ὑποκλέψαιεν ἢ κακουργήσαιεν εἰσάγειν πειρᾶσθαι τὸν Φαλκίδιον, καίτοιγε εἰ μηδὲν ἐκακούργησαν οὐκ ἂν ἴσως ἁρμόσαντα. [§. 1.][22]) γινέσθω τοίνυν inventariον[23]) παρὰ τοῦ κληρονόμου τοῦ δεδιότος μή ποτε οὐκ ἔχοι μετὰ τὰ χρέα καὶ τὰ πρεσβεῖα φαλκίδιον, κατὰ τὸν τρόπον καὶ τοὺς χρόνους, καθ' οὓς πρῴην ἐνομοθετήσαμεν[24]), ὅτε τοὺς ἀνθρώπους ἐξῃροῦμεν τῆς ἐκ τῶν προσελεύσεων ἐπὶ τοῖς οἰκείοις πράγμασι ζημίας, ἱστάντες τὰ βάρη μέχρι τοῦ τῆς οὐσίας τῆς καταλελειμμένης μέτρου. ἐκείνου[25]) προστιθεμένου μόνου, τοῦ χρῆναι τὸν τοιοῦτον εἰδέναι[26]) κληρονόμον, ὃς οὐ δανειστὰς μόνον ἀλλὰ καὶ ληγαταρίους εὐλαβεῖται, καὶ δέδιεν οὐ τὸ ζημιωθῆναι μόνον ἀλλὰ καὶ τὸ μὴ κερδᾶναι, παραλαμβάνειν ἅπαντας τοὺς ληγαταρίους καὶ fidicomissarios, ὅσοι κατὰ τὴν αὐτὴν πόλιν τύχοιεν ἐνδημοῦντες, ἢ τινάς γε ὑπὲρ αὐτῶν πράττοντας, εἰ τυχὸν ἡ τῶν προσώπων φύσις ἢ ἀξία ἢ ποιότης ἢ ἡλικία ἢ καί τις ἀνάγκη εὐχέρειαν αὐτοῖς οὐ δίδωσι τῆς ἐπὶ τῷ inventariῳ παρουσίας.

20) καὶ ταῦτα? 21) Flor et Bas. σκήπτεσθαι. 22) Ven. hinc inchoat cap. γ΄. 23) Ven. inter lineas ἀπογραφή. 24) l. 22 C. de jure delib. 6, 30. Unde Flor. περὶ ἰβενταρίου . . βι. ϛ΄ τοῦ κώδ. τί. λ΄ διατ. κβ΄. ἀνάγν. . . . νεαρ. κϛ΄ καὶ τὸ τέλος τῆς ριε΄ νεα. καὶ τὴν ρ . . 25) Ven. hinc inchoat cap. δ΄. 26) Auth. non videtur habuisse. Forte εἰδότα κληρ. ὡς.

εἰ δὲ ἀπῶσί τινες, παραγίνεσθαι μάρτυρας τῶν ἐξ αὐτῆς τῆς πόλεως ἀξιοπίστων καὶ κεκτημένων οὐσίαν καὶ ἐπὶ χρηστῆς ὑπολήψεως ὄντων οὐκ ἐλάττους τῶν τριῶν (ταβουλαρίοις γὰρ μόνοις τό γε εἰς τοῦτο ἧκον οὐ πιστεύομεν), ἐφ' ὧν προσήκει γενέσθαι τὸ inventarion, ὥστε ἐπανελθοῦσι τοῖς ληγαταρίοις, καὶ μεμφομένοις ὑπεξαιρεῖσθαί τι τυχὸν τῶν πραγμάτων ἢ μὴ φανερὸν γενέσθαι, παῤῥησίαν εἶναι μὴ μόνον διὰ τῆς τῶν οἰκετῶν βασάνου τὸ πρᾶγμα ζητεῖν (καὶ γὰρ δὴ καὶ τοῦτο δίδομεν κατὰ τὴν πρῴην παρ' ἡμῶν εἰρημένην ἐπὶ ταῖς οἰκετικαῖς βασάνοις παρατήρησιν), ἀλλὰ καὶ διὰ τοῦ ὅρκου τοῦ κληρονόμου καὶ[27]) διὰ τοῦ ὅρκου τῶν μαρτύρων, λεγόντων παρεῖναί τε τοῖς πραττομένοις καὶ ἐπιδεῖν, τὰ τότε γινόμενα καὶ οὐδὲν συνειδέναι γενόμενον τῷ κληρονόμῳ κακούργημα, οὕτω τε τὴν ἐπὶ τοῖς καταλελειμμένοις ὑπὸ τοῦ διαθεμένου πράγμασιν εὑρίσκειν ἀλήθειαν πλὴν εἰ μὴ τυχὸν οἱ παρόντες τῶν ληγαταρίων, πάντες ἤ τινες, διαμαρτυρίας αὐτοῖς στελλομένης, οὐ βουληθεῖεν ἐλθεῖν οὐδὲ παρεῖναι τῷ inventario. τηνικαῦτα γὰρ ἄδεια ἔσται τῷ κληρονόμῳ καὶ μὴ παραγινομένων τῶν ληγαταρίων ἀρκεῖσθαι τῇ τῶν μαρτύρων παρουσίᾳ καὶ ποιεῖν τὴν ἀπογραφήν, ἀποκειμένου καὶ οὕτω τοῖς ληγαταρίοις τοῦ τε ὅρκου τοῦ κληρονόμου καὶ τῆς τῶν οἰκετῶν βασάνου· καὶ τούτων ἁπάντων παρατηρηθέντων ἔχειν τὴν ἐκ τοῦ Falcidiou βοήθειαν. οὕτω γὰρ οὐ δόξομεν οὐδὲ νόμον οὕτως εὐδοκιμήσαντα μέχρι νῦν ἐλαττοῦν οὐδὲ ἀδικεῖν τὸν τελευτήσαντα. εἰ γὰρ πάντως μὲν αὐτῷ βούλεταί τινας γίνεσθαι κληρονόμους καὶ ἔχειν τινὰ παραψυχὴν ἐκ τῆς αὐτοῦ διαδοχῆς, καὶ οἴεταί γε αὐτάρκη περιουσίαν ἔχειν, οὐ μὴν τοῦτο ἡ τοῦ πράγματος ἀλήθεια δείκνυσι, πρόδηλον ὡς οὐκ

27) Verba διὰ τοῦ ὅρκου τοῦ κλ. καὶ Venet. omittit. Genuina esse demonstrant tam Auth. Flor. Bas. quam Iulian. Athan. et Theodorus.

ἐναντίωσις ἔσται τοῦτο τῆς τοῦ κατοιχομένου βουλῆς, ἀλλὰ τῆς ἀγνοίας κάθαρσις τῆς ἐκείνου. [§. 2.][28] *εἰ μέντοι μηδὲ ποιήσειεν* inventarioν *κατὰ τοῦτο τὸ σχῆμα καθάπερ εἰπόντες ἔφθημεν, οὐ παρακαθέξει* falcidioν, *ἀλλὰ πληρώσει τοὺς ληγαταρίους καὶ* fidicommissar*ίους, κἂν εἰ τὸ τῆς καθαρᾶς οὐσίας τοῦ τελευτήσαντος ὑπερβαίνῃ μέτρον ἡ τῶν ληγάτων δόσις. καὶ τοῦτό φαμεν, οὐ τὸν ἡμέτερον ἐλαττοῦντες νόμον ὃν τεθείκαμεν ἐπὶ τῷ μηδὲν οἴκοθεν ζημιοῦσθαι τοὺς κληρονόμους τοῖς δανεισταῖς· δώσει γὰρ αὐτοῖς ποινὴν ἐκτιννὺς τῆς ἑαυτοῦ κακουργίας, διότι παρέβη τὸν νόμον, ἐξὸν ἀσφαλῶς ἅπαντα πράξαντι μηδὲν ἐξημιῶσθαι, τοὐναντίον μὲν οὖν καὶ τὰ ἐκ τοῦ* Falcid*ίου νόμου κερδᾶναι. ταῦτα*[29] *δὲ δή φαμεν, ἔνθα πεπλανημένος*[30] *ὁ διαθέμενος περὶ τῆς ἑαυτοῦ περιουσίας ταῦτα ἔπραξεν, ἢ τυχὸν-δέον καὶ πλείω ποσότητα τῷ κληρονόμῳ καταλιπεῖν ὑπὲρ ἐλάττονος διετύπωσε· καὶ γὰρ δὴ καὶ τοῦτο πεπλανημένης γνώμης ἐστίν, ἀλλ' οὐ καθαρᾶς καὶ ἀκριβοῦς ἐπισκήψεως. εἰ*[31] *μέντοι ῥητῶς ἐπισκήψειε μὴ βούλεσθαι τὸν κληρονόμον παρακατασχεῖν* falcidioν, *ἀνάγκη τὴν τοῦ διαθεμένου γνώμην κρατεῖν, καὶ ἢ βουλόμενον αὐτὸν ὑπηρετήσασθαι τῷ διαθεμένῳ, ἴσως καί τινα δίκαιά τε καὶ εὐσεβῆ καταλιπόντι, τὸ κέρδος οὐκ ἐν τῷ λαβεῖν ἀλλ' ἐν τῷ μόνον εὐσεβεῖν*[32] *ἔχειν, καὶ μὴ δοκεῖν ἀκερδῆ τὸν τοιοῦτον εἶναι κλῆρον, ἢ εἰ μὴ βούλοιτο, αὐτὸν μὲν ἀναχωρῆσαι τῆς τοιαύτης ἐνστάσεως, χώραν δὲ γενέσθαι καθάπερ ἔμπροσθεν εἰπόντες ἔφθημεν ὑποκαταστάτοις τε καὶ συγκληρονόμοις καὶ ληγαταρίοις καὶ* fidicomissari*οις καὶ οἰκέταις καὶ τοῖς*

28) Ven. facit. cap. *ε'*. 29) Quae sequuntur usque ad finem capitis in Flor. et in Bas. desunt. 30) Ven. *πεπλανημένως*. 31) In Ven. est. cap. *ς'*. 32) Ven. *εὐσεβῶς*. Veram lectionem produnt Auth. dum vertit *pie agendo,* et Theodorus dum §. 6 notat *ὅτι κέρδος νοεῖται καὶ ἡ τοῦ σκοποῦ ἀποπλήρωσις*.

ἐξ ἀδιαθέτου καὶ τοῖς ἄλλοις, κατὰ τὴν ἔμπροσθεν ὑφ' ἡμῶν ἐξηυρημένην ἐπὶ τοῖς τοιούτοις ὁδόν.

γ'[33]). Οὐ δώσομεν δὲ ἄδειαν τῷ κληρονόμῳ τὸ μέτρον τῆς οὐσίας ἀκριβῶς γινώσκοντι καταβάλλειν μὲν εὐθὺς ἐξ ἀρχῆς τισιν ὁλόκληρα τὰ πρεσβεῖα καὶ πλήρη τὴν γνώμην τοῦ διαθεμένου τηρῆσαι (τοῦτο ὅπερ καὶ αἱ τῶν πρὸ ἡμῶν λέγουσι διατάξεις)[34]), παρὰ δέ τινων παρακατέχειν ἐθέλειν, οὐδὲ ἐκ μέρους μὲν πληροῦν τὴν τοῦ διατιθεμένου γνώμην, ἐκ μέρους δὲ αὐτὴν ἐλαττοῦν. ἀλλὰ τόν γε ὅλως οὐ πεπλανημένον περὶ τὸ τῆς οὐσίας ποσὸν, ἀλλὰ γινώσκοντά τε καὶ εὐθὺς ἀκολουθήσαντα τῇ γνώμῃ τοῦ διατιθεμένου, διὰ πάντων αὐτῇ κατακολουθεῖν καὶ μὴ μεταμέλεσθαι πρὸς τὰ χείρω· οὐ γὰρ ἂν εἴη τοῦτο καθαρῶς ἀκολουθεῖν. οὐ μὴν οὐδὲ ἐφήσομεν αὐτοῖς τὴν ἀρχὴν ἐπισταμένοις μὲν, ἀφυλάκτως δὲ καταβαλοῦσιν, εἶτα ὕστερον πράγματα τοῖς λαμβάνουσι παρέχειν καὶ ἀναλαμβάνειν βούλεσθαι παρ' αὐτῶν ὅπερ ἂν τύχοιεν καταβαλόντες. δεῖ γὰρ πρὸ τῶν πράξεων βουλεύεσθαι καὶ πράττειν, ἀλλὰ μὴ πράξαντα ὀρθῶς εἶτα μεταβαλεῖν πρὸς ἀγνωμοσύνην, πλὴν εἰ μὴ δικαία τὶς αἰτία τοῦτο εἰσαγάγοι παραδόξου τινὸς ἀναφανέντος, ὅπερ ἐλαττοῖ τὴν οὐσίαν καὶ χώραν τῇ ἀναλήψει ποιεῖ.

δ'. Ἀλλὰ κἀκείνου πρόνοιαν ἐθέμεθα τοῦ μὴ χρόνον γίνεσθαι μακρὸν ἐν ταῖς τοιαύταις ζητήσεσιν. οὐδεμίαν γὰρ τῶν τοιούτων ζητήσεων ἢ δικῶν ὑπερβαίνειν τὸν τοῦ ἐνιαυτοῦ χρόνον θεσπίζομεν, ἀνάγκην ἐπιτιθέντες εἴσω πάντως ἐνιαυτοῦ μετὰ προσέλευσιν καὶ τὰ πρεσβεῖα καταβάλλειν καὶ τὰ ὑπὸ τοῦ διαθεμένου καταλελειμμένα πληροῦν κατὰ τὴν ἑαυτῶν φύσιν, καὶ πάντα πράττειν ὅσα ἔμπροσθεν εἰρήκαμεν. ἀρχὴν δὲ τῷ ἐνιαυτῷ δίδομεν, καθάπερ ἔμπροσθεν εἰπόντες ἔφθημεν, τὴν ἐκ δικαστικῆς ὑπόμνησιν ψήφου. τοῦ γὰρ ἐνιαυτοῦ παρ' αἰτίαν τοῦ κληρονόμου παραδραμόν-

33) In Ven. est ζ'. 34) l. 6 C. ad leg. Falc. 6, 50.

τος, τηνικαῦτα ὁ μὲν ἐκπεσεῖται τῶν καταλελειμμένων, ἕτεροι δὲ ἐπὶ ταῦτα ἥξουσιν, οὓς ἔμπροσθεν ἐκαλέσαμεν. [§. 1.] ἀνήβοις δὲ ἢ καὶ ἐλάττοσι τὴν ἡλικίαν οὐδὲν ὁ παρ' ἡμῶν προκρίνει νόμος. ἐστὶ γὰρ αὐτοῖς, εἴ τι κατὰ τὰς εἰρημένας ἡμῖν αἰτίας βλαβεῖεν, διπλῆ τις βοήθεια, καὶ ἡ διὰ τῆς ἀποκαταστάσεως καὶ ἡ διὰ τῆς κατὰ τῶν ἐῤῥαθυμηκότων κηδεμόνων ὁδοῦ. οὐκ ἐξαιροῦμεν δὲ τοῦ νόμου οὐδὲ τὰς πατρωνικὰς διαδοχάς· κἀκεῖσε γὰρ τῆς νομίμης αὐτοῖς φυλαττομένης μοίρας, ἣν ἡμεῖς διωρίσαμεν[35]), εἴ τι πέρα ταύτης αὐτοῖς καταλειφθείη καί τι παρὰ τῶν ἀπελευθέρων αἰτηθεῖεν ἐκεῖνοι πληρῶσαι, εἶτα μὴ βούλοιντο, ταύτην τὴν τάξιν κρατεῖν θεσπίζομεν ἥνπερ ἀρχόμενοι τῆς θείας ἡμῶν ταύτης διατάξεως εἴπομεν, ὥστε τὴν μὲν νόμιμοι μοῖραν μένειν παρ' αὐτοῖς καθαρὰν τῶν τοιούτων, τὰ λοιπὰ δὲ ἔρχεσθαι πρὸς τὴν παρ' ἡμῶν νῦν ἀνεῳγμένην ἐπὶ τοῖς τοιούτοις ὁδὸν, μάλιστα ἐπείπερ καὶ ἐν αὐτῇ τῇ περὶ τῶν πατρωνικῶν τεθείσῃ παρ' ἡμῶν διατάξει πρὸς ὁμοίωσιν σχεδὸν τῶν εὐγενῶν καὶ τὰς ἀπελευθερικὰς ἐτάξαμεν διαδοχάς. [§. 2.] ἐπειδὴ δὲ διπλοῦς ἐστιν ὁ τῶν διαθηκῶν τρόπος, ἢ εἰς ἔγγραφον φερόμενος διατύπωσιν ἢ εἰς ἄγραφον βούλησιν, ταῦτα ἅπαντα κρατεῖν ὁμοίως καὶ κατὰ τὴν ἴσην παρατήρησιν καὶ ἐπὶ ἀγράφων διαθηκῶν καὶ ἐπὶ πάσης τελευταίας βουλήσεως θεσπίζομεν, καὶ ἐπὶ προσώπου παντὸς, εἴτε ἰδιωτικοῦ εἴτε στρατιωτικοῦ εἴτε ἱερατικοῦ εἴτε βασιλικοῦ εἴτε ἑτέρου οἱουδήποτε. κοινὸν γὰρ ἐφ' ἅπασιν ἀνθρώποις τοῦτον τὸν νόμον ἀποτιθέμεθα.

Ταῦτα ἡμεῖς ὑπὲρ τοῦ κοινῇ πᾶσι λυσιτελοῦντος ἀνθρώποις ἐγράψαμεν, καὶ ὅπως ἂν οἵ τε ζῶντες τῶν καταλελειμμένων ἀπολαύοιεν, οἵ τε τελευτῶντες μετ' εὐθυμίας ἀπέλθοιεν, γινώσκοντες ὡς ὁ νόμος αὐτοῖς καὶ κειμένοις ὑπηρετήσεται, καὶ ἅπερ ἐκεῖνοι διατάξαιεν αὐτὸς εἰς ἔργον

35) l. 4 C. de bonis libert. 6, 4.

ἄξει. [§. 1.] ὥστε ἐπειδὴ κοινὸν[36]) τοῦτο ὄφελος ἅπασίν ἐστιν ἀνθρώποις, γενήσεται μὲν παρὰ τῆς σῆς ὑπεροχῆς ἐνταυθοῖ κηρύγματα πᾶσι παραγγέλλοντα τὴν τοῦ νόμου δύναμιν, σταλήσεται δὲ καὶ κατὰ χώραν ἐν ἅπασιν ἤδη τοῖς ἔθνεσι τοῖς πρώην τε οὖσι καὶ νῦν ὑπὸ θεοῦ δι' ἡμῶν τῇ Ῥωμαίων προσγενομένοις ἀρχῇ. οἱ δέ γε τῶν μητροπόλεων ἄρχοντες ταῦτα λαμβάνοντες, καθὰ καὶ ἤδη νενομοθέτηται παρ' ἡμῶν, ἑκάστῃ παραπέμψουσι πόλει. μενεῖ τε οὐδεὶς ἀνήκοος τοῦ νόμου τοῦ μήτε ἐν πενίᾳ ζῆν μήτε ἐν ἀθυμίᾳ τελευτᾶν συγχωροῦντος. Dat. K. Ian. Bilis. V. C. Cons. Ind. ιγ'.[37])

Auth. 2. **X.** Nov. 2.

Proch. 6, 2. 3. 9, 12. Epanag. 19, 2. Basil. 28, 13 (Syn. *II*, 29, 56). Extat in Cod. Ambrosiano. — Cap. 1—3 pr. occurrit in Cod. Marciano 172 fol. 109: *Νεαρὰ β' γενομένη πρὸς ἑρμογένην μάγιστρον τῶν θείων ὀφφικίων καὶ τοῦ μεγάλου βιβλίου τῆς ἐκλογῆς γ' βι. καὶ βι. κη' τί. ιδ'* (Basil.?) *περὶ δευτερογαμίας ἀνδρῶν καὶ γυναικῶν. τῆς μητρὸς ἅπαξ εἰς δευτέρους — — εἴτε καὶ μή.* — Summas exhibent Iulian. c. 2, Athan. X, 1, Theod. Nov. 2.

Περὶ τοῦ μὴ ἐπιλέγεσθαι τὰς δευτερογαμούσας γυναῖκας καὶ περὶ ἄλλων κεφαλαίων. ἔχει δὲ πρόφασιν ἡ διάταξις Γρηγορίαν τινά.[1])

Ὁ αὐτὸς Βασιλεὺς Ἑρμογένει τῷ ἐνδοξοτάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Καὶ τοῖς πρὸ ἡμῶν νενομοθετηκόσι Ῥωμαίοις τῆς ἀεὶ νομοθεσίας ἀφορμὴν ἡ τῶν ἀναφυομένων πραγμάτων ἐδίδου

36) Ven. *τὸ κοινόν*. 37) Ita Ven. Theod. et Auth. Athan.: *ἰνδ. α'*. — Iuliani Codices Kal. April. habent: videatur ed. *Haenelii* p. 168*.

1) In Codice Veneto inter subscriptionem const. IX et in-

ποικιλία, καὶ ἡμεῖς τὸ νομοθετικὸν ἅπαν κατακοσμήσαντες τῆς πολιτείας μέρος τὴν ὅλην σχεδὸν ἐπανόρθωσιν ποτὲ μὲν ἐπὶ ταῖς τῶν δεομένων προσαγγελίαις ποτὲ δὲ ἐπὶ ταῖς δικαστικαῖς φοιτήσεσιν ἐποιησάμεθα. καὶ πολλούς γε τῶν νόμων ἐντεῦθεν τοῖς ὑπηκόοις τοῖς ἡμετέροις ἐγράψαμεν, ὁποῖον δή τι καὶ νῦν ἀναστὰν εἰς τόνδε ἡμᾶς τὸν νόμον ἐκάλεσεν. [§. 1.] Γρηγορία[2]) γὰρ ἱκέτευσε, φήσασα συνῳκηκέναι πρῴην ἀνδρὶ καὶ δύο ποιήσασθαι παῖδας, ἄῤῥενά τε καὶ θήλειαν, καὶ ἀποβαλεῖν μὲν τὸν συνοικήσαντα, πολλῆς δὲ παρὰ τοῦ παιδὸς πειρωμένη τῆς εὐνοίας ᾠήθη χρῆναι μὴ καταλιπεῖν αὐτὸν ἀγέραστον μηδὲ ἔξω τῆς προσηκούσης ἀφεῖναι τιμῆς. τοιγαροῦν τὴν προγαμιαίαν δωρεὰν, καίτοι δευτέροις οὔπω προσομιλήσασα γάμοις, ὅμως ἀποκατέστησε καὶ δέδωκε τῷ παιδί. οὐ μὴν[3]) ζῶν ὁ παῖς αὐτῇ διετέλεσεν, ἀλλ' ἄπεισιν ἐξ ἀνθρώπων πρὶν εἰς δευτέρους ἐλθεῖν βουληθῆναι τὴν μητέρα γάμους. καὶ ὅ γε νόμος, ὅ τε ἀρχαῖος ὅ τε ἡμέτερος[4]), ἐκάλεσεν ἄμφω, τήν τε παῖδα τήν τε μητέρα, πρὸς τὴν τοῦ νέου διαδοχήν. καὶ εἴπερ τοῖς προτέροις ἡ μήτηρ ἐπέμενε γάμοις, οὐδὲν ἂν τὸ ζητούμενον ἦν. ἀλλ' ἡ[5]) μὲν εἰς ἀνδρὸς ἐπείγεται δευτέρου τὴν μὲν χρῆσιν ἅπασαν ἔχουσα τῆς προγαμιαίας δωρεᾶς (οὕτω γὰρ αὐτὴν καὶ ἐδεδώρητο, ἐφ' ᾧ τὴν μὲν χρῆσιν παρ' αὐτῇ μένειν, τὴν δεσποτείαν δὲ γενέσθαι παρὰ τῷ παιδί), τῆς δεσποτείας δὲ ἡ παῖς ἀντιλή-

scriptionem supra exhibitam haec leguntur: † τὸ ἴδικτον προς ἰωάνην ἔπαρχον PRαιτοRίων τὸ β' ἔχει DAT. IV Non. Quo videtur significari, aliud constitutionis IX vel X exemplar IV Non. (Ian. vel April.) ad Ioannem PP. directum esse. — Praeterea in Ven. (et similiter in Flor.) accedit scholium αὕτη ἡ νεαρὰ οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, ἀλλὰ παρεσιωπήθη διὰ τὸ τὰ μὲν αὐτῆς ὑπὸ τῆς κβ' νεαρᾶς ἀναιρεῖσθαι, τὰ δὲ πλατύτερον ὑπ' ἐκείνης νομοθετεῖσθαι· μόνον δὲ τὸ τελευταῖον ταύτης κεφάλαιον προσετέθη τῷ τῆς ϙα' νεαρᾶς τελευταίῳ κεφαλαίῳ. 2) Graeci cap. 1 vocant, ut proinde capita quae sequuntur ipsis sint cap. 2—6. 3) Ita legendum teste Auth. Ven. μή. 4) l. 7 C. ad SC. Tertull. 6, 56. 5) Ven. εἰ.

ψεσθαι πάσης ἀπειλεῖ, οὐ καθ' ὅσον κληρονομεῖ τοῦ ἀδελφοῦ, ἀλλὰ καθ' ὅσον ὁ πατὴρ ἐπιδέδωκε τῇ μητρὶ, φάσκουσα μηδεμίαν παῤῥησίαν ἔχειν τὴν μητέρα δευτέροις ὁμιλοῦσαν γάμοις τὴν δεσποτείαν ἔχειν τῆς δωρεᾶς καθ' οἱονδήποτε λόγον. ἀλλ' ἡ μήτηρ οὐκ ἔτι τοῦτο προγαμιαίαν εἶναι δωρεὰν παντελῶς ἀξιοῖ, συναναμεμίχθαι δὲ ἤδη τοῖς πράγμασι τοῦ παιδὸς, καὶ ὡς κληρονομίας, ἀλλ' οὐχ ὡς δωρεᾶς οὔσης ἔτι προσήκειν αὐτῇ τοῦ ἐξαουγγίου τήν τε δεσποτείαν τήν τε χρῆσιν ἔχειν. καὶ οὐ τοῦτο μόνον ἀμφισβητεῖται, ἀλλὰ καὶ περὶ αὐτοῦ τοῦ κλήρου τοῦ ἀδελφοῦ πρὸς αὐτὴν ἡ παῖς διαμάχεται, τῆς μὲν μητρὸς ἀξιούσης αὐτοῦ κληρονομεῖν κατὰ τὴν ἡμίσειαν μοῖραν (καθ' ἣν αὐτὴν ἡμεῖς ἐπὶ τὸν κλῆρον τοῦ παιδὸς καλοῦμεν, μιᾶς οὔσης ἀδελφῆς τῷ τελευτήσαντι παιδὶ τῆς μετ' αὐτῆς καλουμένης), τῆς δὲ παιδὸς ἔχεσθαι τοῦ κλήρου τοῦ ἀδελφοῦ μάλα ἰσχυρῶς ἐκ τῶν ἔμπροσθεν νενομοθετημένων ἐνισταμένης, φασκούσης τήν γε μητέρα, εἰ μὲν δευτέροις μὴ ὁμιλήσειε γάμοις, ὀρθῶς ἀντιποιεῖσθαι τοῦ κλήρου τοῦ παιδός, ἀφικνουμένην δὲ εἰς ἀνδρὸς ἑτέρου πάντων ἀφαιρεῖσθαι τῶν ὅσα ἐκ τῆς πατρῴας οὐσίας ὁ παῖς ἐκτήσατο, ὡς εἴγε μετὰ τὸν δεύτερον γάμον ὁ παῖς ἐτελεύτησε, καὶ τῆς ὁθενδήποτε κτηθείσης αὐτῷ περιουσίας ἑαυτὴν ἂν γενέσθαι κυρίαν, τοῦτο τῶν διατάξεων ἀμφοτέρων βουλομένων, αἳ τὰ τοιαῦτα διακρίνουσιν. ἡ δέ γε μήτηρ μάλιστα μὲν ἀπηνῶς ἔχειν τὰς διατάξεις ἐκείνας καὶ ἀναξίως τῶν φιλανθρώπων ἡμῶν ἰσχυρίζεται χρόνων· πλὴν ἀλλὰ χρῆται τῇ παρ' ἡμῶν τεθείσῃ διατάξει, λέγουσα ταύτην οὐχ ὑποδιαιρεῖσθαι ταῖς διατάξεσι ταῖς πρώταις[6]), οὐδὲ τὰς μὲν οὔπω πρὸς ἀνδρὸς ἐλθούσας δευτέρου μητέρας μετὰ τῶν παίδων καλεῖν, τὰς δὲ δευτέροις ὁμιλησάσας γάμοις οὐκ ἔτι. ἐνταῦθα δὲ καί τι ξένον ὑπεῖναι· ἑαυτὴν γὰρ φιλοτιμίαν εἰς τὸν παῖδα ποιουμένην προφάσει τῆς ἐπιλογῆς, ἀντιδωρεὰν

6) προτέραις?

μᾶλλον εἰληφέναι δοκεῖν, ἤπερ ἁπλῶς οὕτω κέρδος ἀσυλλόγιστον ἔχειν. ταῦτα ἡμεῖς ἐπὶ πολὺ κατεξετάσαντες καὶ τὴν ὅλην τῶν τοιούτων ἐπιλογῶν τε καὶ κληρονομιῶν θεωρίαν ἀνασκοπούμενοι, δεῖν ᾠήθημεν κοινὸν ἐπὶ τούτοις γράψαι νόμον, καθ' ὃν καὶ ἡ παροῦσα ζήτησις δέχεται[7]) πέρας.

α'. Συνείδομεν τοίνυν μὴ συγκεχυμένον τοῦτο τὸ περὶ τῶν ἐπιλογῶν καὶ ἀδιάκριτον καταλιπεῖν, ἀλλὰ τοιαύτην δοῦναι τῷ πράγματι τάξιν, ὥστε τῆς μητρὸς ἅπαξ εἰς δευτέρους γάμους ἐλθούσης κέρδος εὐθὺς ἁπάντων τῶν παίδων τὴν δεσποτείαν τῆς προγαμιαίας γίνεσθαι δωρεᾶς, καὶ μηδεμίαν ἄδειαν εἶναι τῇ μητρὶ τοὺς μὲν τῶν παίδων ἐπιλέγεσθαι τοὺς δὲ ἀτιμάζειν, διότι πάντας ὁμοῦ τοῖς δευτέροις ὕβρισε γάμοις. ὥστε καὶ ἐπὶ τοῦ παρόντος ἡ δεσποτεία τῆς προγαμιαίας δωρεᾶς ὅλη πρὸς τὴν παῖδα παραγενήσεται, τῆς χρήσεως παρὰ τῇ μητρὶ μέχρι περίεστι φυλαττομένης, καὶ κατὰ τὴν ἡμετέραν διάταξιν, εἰ μὲν ἡ μήτηρ προαπέλθοι, τῇ παιδὶ τῆς ὅλης προγαμιαίας δωρεᾶς ἁρμοζούσης· εἰ δὲ ἡ παῖς, μένειν μὲν παρὰ τῇ μητρὶ τὸ ἐκ τοῦ τῆς ἀπαιδίας συμφώνου κέρδος, τὸ δὲ λοιπὸν εἶναι τῆς παιδός, καὶ τελευτῶσαν τοῦτο παραπέμπειν εἰς τοὺς αὐτῆς κληρονόμους, εἴ τινες ἐκ τοῦ νόμου καλοῖντο.

β'. Τὸ δὲ γινόμενον μὲν ἀεί, ῥητῷ δὲ οὔπω νόμῳ διωρισμένον, τοῦτο εἰς καλὴν παραύξησίν τε καὶ παρενθήκην· δίδομεν τῷδε τῷ νόμῳ. εἰ γὰρ οὐ παιδὶ τυχόν, ἀλλά τινι τῶν ἔξωθεν ἡ μήτηρ ἔτι δευτέρων ἄπειρος οὖσα γάμων μοῖράν τινα τῆς προγαμιαίας δωρεᾶς ἤ τι πρᾶγμα ἐξ αὐτῆς ἢ καὶ πᾶσαν δωρήσεται ἢ κατὰ ἄλλον τυχὸν ἐκποιήσει τρόπον, εἶτα ὕστερον εἰς ἀνδρὸς φοιτήσειε δευτέρου, πρόδηλον ὡς τῷ ἐπιγινομένῳ δευτέρῳ γάμῳ τὸ τῆς ἐκποιήσεως ἀνατραπήσεται, καὶ οὐδὲ αὐτὸ πᾶσι τρόποις, ἀλλ' ἐν μετεώρῳ καὶ τὰ τῆς ἐκποιήσεως καὶ τὰ τῆς ἀνατροπῆς μενεῖ. εἰ μὲν γὰρ μεί-

7) δέξεται vel ἐδέξατο?

ναιεν περιόντες οἱ παῖδες, ἀνατραπήσεται καθάπαξ τὸ γενόμενον, τοῦ νόμου τὴν δεσποτείαν τῆς πρὸ γάμου δωρεᾶς εἰς τοὺς παῖδας ἄγοντος, καὶ οὐδὲ ἐπιστρεφομένου τῆς γυναικὸς εἴ τι πράξειεν ἐπὶ βλάβῃ τῶν παίδων. εἰ δὲ προτελευτήσαιεν ἅπαντες τῆς μητρὸς, μένειν τὸ συνάλλαγμα βέβαιον, οὐκ εἰς ὁλόκληρον, ἀλλὰ κατὰ τοῦτο δὴ τὸ ἐξ ἀπαιδίας σύμφωνον, ὅπερ ἡμεῖς εἰσηγησάμεθα πρῶτοι καὶ νενομοθετήκαμεν ἔναγχος τὸν περὶ τούτου γράψαντες νόμον.[8]) καὶ κατά τινα μὲν μοῖραν ἔσται τὸ συνάλλαγμα βέβαιον, κατά τινα δὲ ἄκυρον ἀποφανθήσεται, τουτέστι κατὰ μὲν τὸ μένον παρὰ τῇ μητρὶ προφάσει τοῦ ἐξ ἀπαιδίας συμφώνου κρατήσει, κατὰ δὲ τὸ παραπεμπόμενον εἰς τοὺς τοῦ παιδὸς διαδόχους ἄκυρον ἔσται, ὡς εἴγε ἡ μήτηρ μόνη τῷ παιδὶ διάδοχος εὑρεθείη, τὸ πᾶν αὖθις κύριον ἔσται. [§. 1.] ἐπειδὴ δὲ αἱ κατὰ τῶν δευτερογαμούντων ποιναὶ κοιναὶ καὶ ἀνδρός εἰσι καὶ γυναικὸς, καὶ ὁ μὲν ἐπὶ τῇ προικὶ πρὸς δευτέρους ἐλθὼν γάμους κινδυνεύσει ἡ δὲ ἐπὶ τῇ πρὸ γάμων ἤτοι διὰ τοὺς γάμους δωρεᾷ, καὶ ὁ νόμος οὗτος ἐφ' ἑκατέρου κείσθω προσώπου. καὶ ταῦτα καὶ περὶ τῆς ἐπιλογῆς καὶ περὶ τῆς ἐκποιήσεως καὶ περὶ τοῦ κέρδους νενομοθετήσθω.

γ'. Ὑπολοίπου τοίνυν ὄντος σκέψασθαι τὰ περὶ τῶν κλήρων τῶν παίδων, ὑπὲρ οὗ καὶ τὸ παρὸν ἀμφισβητεῖται, δεῖν ᾠήθημεν γενικῷ νόμῳ τῇ τε παρούσῃ ζητήσει διαιτῆσαι, ταῖς τε ἐφεξῆς κινηθησομέναις ἁπάσαις δοῦναι τομήν. καὶ θεσπίζομεν, τὰ ἄλλα πράγματα τὰ μετὰ τὴν πρὸ γάμου δωρεὰν εἰς τοὺς παῖδας ἀφιγμένα, εἰ μὲν ὁ παῖς ἄῤῥην ἢ θήλεια τυχὸν διάθοιτο κατὰ τὸν νόμον, χωρεῖν ἐπὶ τοὺς γεγραμμένους κληρονόμους (ἐνταῦθα τῆς μητρὸς οὐ κωλυομένης γράφεσθαι παρὰ τοῦ παιδὸς κληρονόμου, ἀλλὰ καὶ τῶν κατὰ τῆς διαθήκης αὐτῇ διδομένων δικαίων, εἴτε ὁ παῖς αὐτὴν παραλείψειεν ἢ καὶ ἀλόγως ἀπὸ κληρονόμων ποιή-

8) Constitutio tituli C. de sec. nupt. deperdita.

σηται, φυλαττομένων)· εἰ δὲ ἀδιάθετος τελευτήσειε, τῆς ἐκείνου μοίρας, εἰ μὲν ἔχοι παῖδας ἰδίους, ἐπὶ τοὺς παῖδας ἀφικνουμένης, εἰ δὲ οὐκ ἔχοι μὲν παῖδας ἰδίους, εἴη δὲ τῶν ἀδελφῶν ἡ κλῆσις, καὶ τῆς μητρὸς ἅμα τοῖς ἀδελφοῖς κατὰ τὸ παρ' ἡμῶν νενομοθετημένον ἐπὶ τὸν κλῆρον ἐρχομένης, καὶ τοῦτον ἰσχυρῶς ἐχούσης εἴτε δευτέροις ὡμίλησε γάμοις εἴτε καὶ μή. οὐ γὰρ πικροτέρας τὰς ποινὰς κατὰ τῶν εἰς δευτέρου παραγινομένων ἀνδρὸς γυναικῶν ποιήσομεν, οὐδὲ ἐντεῦθεν αὐτὰς εἰς ἀνάγκην καταστήσομεν πικρὰν καὶ τῶν ἡμετέρων ἀναξίαν καιρῶν, ὥστε δέει τῶν σωφρόνων γάμων εἰ καὶ δεύτεροι καθεστήκοιεν τούτους μὲν ἀποτρέπεσθαι, φοιτᾶν δὲ εἴς τινας ἀπηγορευμένας μίξεις καὶ ἴσως καὶ πρὸς οἰκετῶν φθορὰς, καὶ ἐπειδήπερ οὐκ ἔξεστι νομίμως σωφρονεῖν, παρανόμως ἀσελγαίνειν. οὐκέτι τοίνυν κρατεῖν βουλόμεθα οὔτε τὴν ἐν τῷ ε' βιβλίῳ[9]) τοῦ ἐπωνύμου τῆς ἡμετέρας εὐσεβείας συντάγματος κειμένην διάταξιν, τὴν διορίζουσαν τὰ περὶ τῶν κλήρων τῶν παίδων οὓς αἱ μητέρες δευτέροις ὁμιλοῦσαι γάμοις εἶδον προαπελθόντας, οὔτε τὴν ἐν τῷ ς' βιβλίῳ τοῦ αὐτοῦ συγγράμματος[10]) ὑπὸ τὸν τοῦ Τερτυλλιανίου τίτλον[11]), τὴν περὶ τῶν γυναικῶν διαλεγομένην τῶν δευτέροις μὲν ὁμιλουσῶν γάμοις, πρὸ μέντοι τῆς δευτέρας[12]) ἀποβαλουσῶν τοὺς παῖδας, ἀλλὰ καλείσθω πάντως ἡ μήτηρ μετὰ τῶν ἀδελφῶν ἐπὶ τὸν τοῦ παιδὸς κλῆρον, καὶ τοῦτον ἐχέτω βεβαίως οὐδὲν ἐκ τῶν δευτέρων βλαπτομένη γάμων. ὅπερ καὶ ἐπὶ τῆς ὑποκειμένης ζητήσεως ἣ τὸν νόμον τοῦτον ἐκίνησε κρατείτω, καὶ ἡ μήτηρ ἅμα τῇ παιδὶ διαδεχέσθω τὸν κλῆρον ἢ καὶ διαδεξαμένη τοῦτον ἀναφαιρέτως ἐχέτω οὐδὲν ἐκ τῆς ἐλπίδος τῶν δευτέρων βλαπτομένη γάμων, ἀλλὰ κυρία τούτου μετὰ τῆς παιδὸς καθάπαξ καθεστῶσα. καλὸν μὲν γὰρ ἂν εἴη καὶ

9) l. 3 §. ult. C. de sec. nupt. 5, 9. 10) συντάγματος? 11) Intelligitur l. 5 C. ad SC. Tertull. 6, 56. 12) Adde συνα-

ἐπαινετὸν καὶ ἄξιον εὐχῆς τὸ τὰς γυναῖκας οὕτω διακεῖσθαι σεμνῶς, ὡς τὰς ἅπαξ εἰς ἀνδρὸς ἐλθούσας τηρεῖν ἄθικτον τῷ τελευτήσαντι τὴν εὐνήν, καὶ τήν γε τοιαύτην γυναῖκα καὶ θαυμάζομεν καὶ ἐπαινοῦμεν καὶ οὐ πόῤῥω τίθεμεν παρθενίας· εἰ δὲ οὐκ ἰσχύει (καὶ γὰρ εἰκὸς καὶ νέαν αὐτὴν οὖσαν τοῦτο παθεῖν) οὐδὲ ἀντέχοι πρὸς τὰς τῆς φύσεως ὁρμάς, οὐ κολαστέον αὐτὴν διὰ τοῦτο, οὐδὲ ἀπαγορευτέον αὐτῇ τῶν κοινῶν[13]) νόμων, ἀλλὰ καὶ εἰς ἀνδρὸς ἑτέρου γάμον ἐλθέτω σεμνῶς καὶ ἀκολασίας ἀπεχέσθω πάσης καὶ ἀπολαυέτω τῆς τῶν παίδων διαδοχῆς. οὕτω γὰρ αὐτοὺς ἔτι μᾶλλον ἀγαπήσει, καὶ οὐχ ὥς τινας τῶν δυσμενῶν ὄψεται ποιναῖς οὕτως ὑποβαλλομένη πικραῖς. ὥσπερ γὰρ τοὺς πατέρας, εἴπερ εἰς δευτέρους ἔλθοιεν γάμους, οὐκ ἀποστεροῦμεν τῆς τῶν παίδων διαδοχῆς οὐδέ τις ἐστὶ νόμος τοιοῦτό τι λέγων, οὕτως οὐδὲ τὰς μητέρας ἀφαιρήσομεν τῆς τῶν παίδων διαδοχῆς, εἴπερ αἱ μητέρες εἰς ἀνδρὸς ἔλθοιεν δευτέρου, κἂν εἰ πρὸ τῶν δευτέρων γάμων κἂν εἰ μετὰ τοὺς δευτέρους οἱ παῖδες τελευτήσαιεν. ἐπείτοιγε ἐκ τῆς ἀτοπίας τοῦ νόμου, κἂν εἰ προαπέλθοιεν οἱ παῖδες ἅπαντες μὴ καταλιπόντες παῖδας ἢ ἐγγόνους, οὐδὲν ἧττον ἡ τιμωρία μενεῖ, καὶ οὐ διαδέξεται τούτους ἡ μήτηρ οὐδ' ἂν ἄπαιδες τελευτήσαιεν, ἀλλ' ἀπελαθήσεται τῆς αὐτῶν διαδοχῆς ἀπανθρώπως, μάτην μὲν ὠδινήσασα μάτην δὲ ἐκθρέψασα, ταῖς τε διὰ τὸν ἔννομον γάμον ὑποβαλλομένη ποιναῖς, ἀλλὰ διαδέξονται αὐτούς τινες τῶν ποῤῥωτέρω συγγενῶν, ἡ μήτηρ δὲ ἀλόγως ἐκβληθήσεται. ὥστε καὶ αὐτὴ διαδεχέσθω τοὺς παῖδας, καὶ ἔστω νόμος οὗτος φιλάνθρωπός τε καὶ πρᾶος καὶ τὰς μητέρας τοῖς παισὶ διαλλάττων. συνελόντες[14]) τοίνυν τόδε τοῦ νόμου τὸ μέρος θεσπίζομεν, ἐπειδήπερ τὴν μητέρα κατὰ τὸ ἔμπροσθεν εἰρημένον ὡμοιώσαμεν τῷ πατρί, τὰς

ψείας secundum Auth. 13) Ven. inter lineas ἤτοι τῶν ἀποστολικῶν. 14) Ven. in margine ε', quasi cap. 5 hinc incipiat.

μὲν ἐπὶ τῇ προγαμιαίᾳ δωρεᾷ καὶ αὐτὰς[15]) ὑπέχειν ποινάς, καθάπερ ὑπέχει καὶ ὁ πατὴρ ἐπὶ τῇ προικὶ, ἐπὶ δὲ τοὺς κλήρους τῶν παίδων ἀπραγμόνως ἐρχέσθωσαν· ὅ τε πατὴρ ἥ τε μήτηρ κατὰ τὰς ὑποκειμένας ἐφ' ἑκάστῳ θέματι ζητήσεις, ὥστε ὅπερ οἱ πατέρες ἔχουσιν, εἴτε εἰς δευτέρους ἔλθοιεν γάμους εἴτε καὶ μὴ, τοῦτο καὶ αἱ μητέρες ἐχέτωσαν, καλείσθω τε ἡ μήτηρ πρὸς τὸν τοῦ παιδὸς κλῆρον, εἴτε ἤδη δευτέροις ὡμίλησε γάμοις εἴτε καὶ ὕστερον ἔλθοι. [§. 1.] τῆς δὲ προγαμιαίας δωρεᾶς εἰς δεύτερον ἐλθοῦσα συνοικέσιον μηδὲ καθόσον κληρονομεῖ τοῦ παιδὸς ἀπολαυέτω, ἀλλὰ τοῦτο τῶν παίδων ἔστω μόνον κέρδος αὐτοῖς παρὰ τοῦ νόμου δεδομένον, καὶ μὴ δοκοῦν εἶναι μέρος τοῦ κλήρου τοῦ παιδὸς, ἀλλ' ἔτι τὴν τῆς προγαμιαίας δωρεᾶς οὐκ ἀποβάλλον φύσιν. ἅπερ προσήκει κρατεῖν καὶ ἐπὶ τῶν νῦν ἤδη χηρευουσῶν γυναικῶν καὶ τοὺς οἰκείους διαδεξαμένων παῖδας, ἐν ᾧ μήπω δευτέροις προσῆλθον γάμοις, κἂν εἰ μετὰ ταῦτα προσέλθοιεν. τὸ μὲν οὖν ἐπὶ τούτοις ἔχον ὧδε τῷ παντὶ νενομοθετήσθω χρόνῳ.

δ΄. Καὶ ἕτερον δέ τι[16]) προφάσει τῶν δευτερογαμουσῶν γυναικῶν καὶ τῆς προγαμιαίας δωρεᾶς προσθεῖναι τοῖς ἔμπροσθεν καλῶς ἔχειν ᾠήθημεν. τῶν γὰρ προτέρων διατάξεων παρεχουσῶν ἐπιλογὴν τῇ γυναικὶ τῇ δευτέροις ὁμιλησάσῃ γάμοις, εἴτε βουληθείη λαβεῖν τὴν πρὸ γάμου δωρεὰν καθόσον ἐφίησι τὰ σύμφωνα καὶ δοῦναι τοῖς παισὶν ἀσφάλειαν ὡς τελευτῶσα ταῦτα ἀποκαθίστησιν, εἴτε οὐ δυνηθείη δοῦναι τὴν ἀσφάλειαν ἢ μὴ βουληθείη τυχὸν, μένειν μὲν τὰ πράγματα παρὰ τοῖς παισὶ τῆς προγαμιαίας δωρεᾶς, τελεῖν δὲ αὐτῇ τὸν ἀπὸ τρίτου μέρους τῆς ἑκατοστῆς τόκον, ἡμεῖς ἐκ τῆς τῶν ἀναφυομένων ζητήσεων ὁρμώμενοι ποικιλίας, ἐπειδήπερ εὕρομεν νέους ἐπὶ τούτῳ κινδυνεύοντας τῆς πρὸ γάμου δωρεᾶς ἐν κτήμασιν[17]) οὔσης,

15) Malim αὐτήν. 16) Ven. τῇ. 17) Cuiac. emendat

κἀκείνους χρυσίον μὲν οὐκ ἔχοντας, ἀναγκασθέντας δὲ τὰ πατρῷα πωλῆσαι πάντα ὅπως ἂν λυθείη τὸ τῆς προγαμιαίας δωρεᾶς ὄφλημα, καίτοιγε ἐπ' αὐτοὺς κατὰ τὸν νόμον τῆς πρὸ γάμου δωρεᾶς ἐλευσομένης, διὰ τοῦτο ᾠήθημεν χρῆναι τοιαύτην δοῦναι τῷ πράγματι τάξιν, ἵνα εἴ τις ἐπιδοίη πράγματα κατὰ προγαμιαίαν δωρεὰν, εἰ μὲν ἅπαντα ἀκίνητα καθεστήκοι, μένῃ τούτων ἡ χρῆσις παρὰ τῇ μητρί, καὶ αὐτὴ ταῦτα ἐκλέγοι καὶ μὴ παραιτοῖτο μηδὲ ἀπαιτοίη τοὺς παῖδας ὑπὲρ τῆς τούτων ἀποτιμήσεως τόκον, ἀλλ' ἐπιμελοῖτό τε αὐτῶν καθόσον ὁ νόμος δίδωσι τοὺς τῆς χρήσεως ὄντας κυρίους, φυλάττοι τε ταῦτα κατὰ τοὺς νόμους τοὺς παλαιοὺς τοῖς παισὶ περιοῦσιν, ἢ εἰ πάντες τελευτήσαιεν, κατὰ τὸν ἡμέτερον νόμον τοῦ μὲν ἐξ ἀπαιδίας κάσσου τῇ μητρί, τοῦ δὲ λειπομένου τοῖς τῶν παίδων κληρονόμοις φυλαττομένου. εἰ δὲ πᾶσα καθεστήκοι τυχὸν ἐν χρήμασιν ἢ ἄλλοις κινητοῖς πράγμασιν ἡ προγαμιαία δωρεὰ, τὸ τρίτον τοῦ[17a]) τόκου μέρος λαμβάνουσαν τὴν μητέρα σὺν τῇ ἤδη νενομοθετημένῃ ἀσφαλείᾳ μὴ ἀπαιτεῖν παρὰ τῶν παίδων χρυσίον, πλὴν εἰ μὴ ἄφθονος ἡ τοῦ ἀνδρὸς εἴη περιουσία καὶ ἔχοι καὶ χρυσίον καὶ ἄργυρον καὶ ἐσθῆτα καὶ εἴ τι καταγεγραμμένον ἦν τῇ μητρί· τηνικαῦτα γὰρ τὴν ἐπιλογὴν τῇ μητρὶ δώσομεν, εἴτε βούλεται τὰ πράγματα λαβεῖν καὶ δοῦναι τὴν ἀσφάλειαν, εἴτε καὶ τὸν εἰρημένον κομίζεσθαι τόκον κατά τε τοὺς ἔμπροσθεν νόμους κατά τε τὸν ἡμέτερον. εἰ δέ γε ἀναμὶξ εἴη τὰ πράγματα, καὶ ἡ δωρεὰ τὸ μὲν ἐν χρήμασι τὸ δὲ ἐν ἀκινήτοις ἔχοι πράγμασι, τὰ μὲν ἀκίνητα πάντως μένειν παρὰ τῇ μητρὶ διὰ τὸ τὴν ἀποτροφὴν ἔχειν ἐκεῖθεν, ἐπὶ δὲ τοῖς κινητοῖς ταῦτα κρατεῖν, ἅπερ ἐνομοθετήσαμεν ἔμπροσθεν εἴπερ ἐτύγχανεν ἐν κινητοῖς πάντα τὰ τῆς πρὸ γάμου δωρεᾶς καθεστῶτα.

χρήμασιν. Ita legit Auth. Idem mox καὶ ἄλλους legisse videtur, ut proinde lectio ἐν χρήμασιν ferri possit. 17a) Supple ἑκατοστιαίου.

έ. Κἀκεῖνό γε μὴν ἐν τοῖς ἔμπροσθεν ἀμυδρῶς μὲν νομοθετηθέν, σπανίως δὲ ἐν δικαστηρίοις ἐξητασμένον ᾠήθημεν χρῆναι νόμῳ τε σαφεῖ περιλαβεῖν καὶ παραδοῦναι τῇ χρήσει καὶ κατατάττειν εἰς τὰ δικαστήρια πρὸς κοινὴν ἀποκεισόμενον βοήθειαν. εἰ γὰρ συναφθεῖέν τινες ἀλλήλοις ἐπὶ προικὸς καὶ προγαμιαίας δωρεᾶς συμβολαίοις, εἶτα ὁ μὲν ἀνὴρ προγαμιαίαν ἐπιδοίη[18]) *δωρεάν, ἡ δὲ γυνὴ ἐπεισενέγκοιτο προῖκα, ἢ αὐτὴ παρεσχημένη ταύτην ἢ δόντος πατρὸς ἤ τινος τῶν ἔξωθεν, εἶτα φανείη παρ' ὅλον τὸν τοῦ γάμου καιρὸν ἡ προῖξ μὴ δοθεῖσα τῷ συνοικήσαντι, ἀλλ' ἀνασχόμενος ἐκεῖνος εἴη*[19]) *τῶν τοῦ γάμου βαρῶν, καὶ ὁ γάμος θανάτῳ τοῦ ἀνδρὸς διαλυθείη, οὐκ ἂν εἴη δικαία παντελῶς ἡ γυνὴ προῖκα μὴ δοῦσα τῷ συνοικήσαντι τὴν προγαμιαίαν λαβεῖν δωρεάν. εἰ δὲ καὶ μὴ εἰς ὁλόκληρον δοίη, καὶ αὐτὴ κατὰ τοσοῦτον ἀπαιτείτω τὴν δωρεάν, καθ' ὅσον δοίη τὴν προῖκα· ἰσότητος γὰρ ἐσμὲν καὶ δικαιοσύνης ἐρασταί, καὶ ταύτην ἐν ἅπασί τε τοῖς ἄλλοις καὶ πρός γε ἐν τοῖς συνοικεσίοις βουλόμεθα κρατεῖν. ὥστε ἡ μηδ' ὁτιοῦν ἐπιδοῦσα μηδ' ὁτιοῦν λαμβανέτω, ἡ δὲ ἔλαττον ἤπερ ὡμολόγησε δοῦσα τοσοῦτον ἀπολαμβανέτω μόνον ὅσον ἐπέδωκε. καὶ ἔστω καὶ αὕτη καλὴ τῷ παρόντι νόμῳ προσαύξησις, πολλὰ τῶν ἀεὶ μὲν ἀμφισβητουμένων, μόλις δὲ νῦν εἰς νομοθεσίαν καταχθέντων διακρίναντι. τοῦτον δὲ κρατεῖν βουλόμεθα τὸν νόμον ἐπί τε τοῦ δόντος αὐτῷ τὴν ἀρχὴν θέματος, ἐπί τε τῶν ἐν δικαστηρίοις ἠρτημένων, ἐπί τε τῶν ἐφεξῆς γενησομένων ἁπάντων.*

Τὰ τοίνυν παραστάντα ἡμῖν ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω καὶ φανερὰ πᾶσι διὰ προγραμμάτων οἰκείων ποιησάτω, ὥστε ἐν ἁπάσαις ταῖς πόλεσιν,

18) Epanag. *ὑπόσχοιτο*. Contra Iulian: „non solum adscripserit, sed etiam re ipsa dederit". 19) In omnibus praeter Ven. deest, ita ut a *φανείη* pendeat. Epan. *ἠνέσχετο ἐκεῖνος*.

ὅσας ὁ ἡμέτερος κατέχοι θεσμὸς, ταῦτα κρατεῖν καὶ δῆλα πᾶσι γενέσθαι[20]) κατὰ τὸ παρ' ἡμῶν διατεταγμένον. Dat. XVII Kal. April. Constant.[21]) Belisario V. C. Cons.[22])

Auth. 4. XI. Nov. 4.

Stephano antecessori laudatur tanquam Nov. 4 Bas. ed. Heimb. II p. 186 passim, item in App. Eclogae XXXI. — Cap. 1—3 est in Basil. XXVI, 2, 1; cap. 1 et 2 pr. in Proch. 16, 10 et Epan. 28, 11; cap. 3 pr. in Proch. 16, 11 et Epan. 28, 12. — Summas praestant Iulian. c. 3, Athanas. XV, 1, Theod. Nov. 4, Appendix Ecl. 1. 1. denique Epit. XVII, 64. XIX, 5. 7.

Περὶ τοῦ τοὺς δανειστὰς πρότερον χωρεῖν κατὰ τῶν πρωτοτύπων χρεωστῶν καὶ ἐν δευτέρᾳ τάξει ἀπόρων τούτων εὑρεθέντων κατὰ τῶν μανδατώρων ἢ τῶν ἀντιφωνητῶν ἢ ἐγγυητῶν.

Ὁ αὐτὸς Βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν πραιτωρίων.[1])

Νόμον παλαιὸν τεθειμένον μὲν ἤδη, τῇ χρήσει δὲ οὐκ ἴσμεν ὅπως οὐκ ἐνευδοκιμήσαντα, διὰ δὲ τῶν ἀεὶ ζητουμένων πραγμάτων ἀναγκαῖον αὐτῇ φαινόμενον, αὖθις ἀνακαλέσασθαί τε καὶ εἰς πολιτείαν καταγαγεῖν καλῶς ἔχειν ἐνομίσαμεν, οὐχ ἁπλῶς αὐτὸν οὕτως ὡς ἔκειτο θέντες (ἦν γάρ τις αὐτῷ μοῖρα παντελῶς ἀδιάκριτος), ἀλλὰ μετὰ τῆς προσηκούσης τε καὶ θεοφιλοῦς διελόντες προσθήκης.

α'. Εἴ τις τοίνυν δανείσειεν καὶ ἐγγυητὴν ἢ μανδάτωρα ἢ ἀντιφωνητὴν προσλάβοι, οὗτος μὴ τὴν πρώτην

20) Malim γίνεσθαι. 21) Ven. Cωnsταnτίνουπόλεως. 22) Ath. cum Auth. ιβ' καλ. ἀπριλ. Ven: XV K. April. Iulian: K. April. Theod. μηνὶ ἀπριλλ. Sed secundum const. XLVIII c. 46 legendum XVII K. April. — Ind. XIII addit Athanasius, Theod. corrupte ἰνδ. γ'.

1) Ven. inscriptioni addit βι. μθ' τί. ιδ' διγ. μζ'. βι. δ' τοῦ κώδ. τί. ιη' δ. γ' καὶ βι. τῶν ἰνστιτούτων ιγ' (l. γ') τί. κ'. — Flor. laudat βι. τῶν βασιλ. κϛ' τί. β'.

εὐθὺς κατὰ τοῦ μανδάτωρος ἢ τοῦ ἐγγυησαμένου ἢ ἀντιφωνήσαντος χωρείτω μηδὲ ἀμελήσας τοῦ δανεισαμένου τὰς παρενθήκας διενοχλείτω[2]), ἀλλὰ χωρείτω πρῶτον ἐπὶ τὸν τὸ χρυσίον εἰληφότα καὶ τὸ δάνεισμα πράξαντα. καὶ εἰ μὲν ἐκεῖθεν ἀπολάβοι[3]), τῶν ἄλλων ἀπεχέσθω (τί γὰρ ἂν αὐτῷ πρὸς τοὺς ἔξωθεν εἴη παρὰ τοῦ λαβόντος πεπληρωμένῳ;), εἰ δὲ οὐκ ἰσχύσειε παρὰ τοῦ δανεισαμένου λαβεῖν ἢ εἰς μέρος ἢ εἰς ὁλόκληρον, καθ' ὅσον ἂν παρ' αὐτοῦ μὴ δυνηθείη λαβεῖν, κατὰ τοσοῦτον ἐπὶ τὸν ἐγγυητὴν ἢ τὸν ἀντιφωνητὴν ἢ μανδάτωρα χωρείτω καὶ παρ' ἐκείνου τὸ λειπόμενον κομιζέσθω. καὶ εἰ μὲν παρόντες αὐτῷ τύχοιεν ἀμφότεροι, ὅ τε πρωτότυπος ὅ τε ἐγγυησάμενος ἢ μανδατωρεύσας ἢ ἀντιφωνήσας, ταῦτα ἐκ παντὸς φυλαττέσθω τρόπου. εἰ δὲ ὁ μὲν ἐγγυητὴς ἢ ὁ μανδάτωρ ἢ ὁ τὴν ἀντιφώνησιν ὑπελθὼν παρείη, τὸν δὲ πρωτότυπον ἀπεῖναι συμβαίη, πικρόν ἐστι τὸν δανειστὴν πέμπειν ἀλλαχόσε, παρὸν εὐθὺς τὸν ἐγγυητὴν ἢ μανδάτωρα ἢ ἀντιφωνητὴν εἰσπράττειν. ἀλλὰ τοῦτο δὴ θεραπευτέον ἡμῖν τὸν ἐγχωροῦντα τρόπον· οὐδὲ γὰρ ἦν τις ἐνταῦθα τῷ παλαιῷ νόμῳ διωρισμένη πρὸς θεραπείαν μέθοδος, καίτοι Παπινιανὸς ὁ μέγας ἦν ὁ ταῦτα πρῶτος ὑφηγησάμενος. ἐνδεικνύτω τοίνυν τὸν ἐγγυητὴν ἢ ἀντιφωνητὴν ἢ μανδάτωρα, καὶ ὅ γε τῷ πράγματι καθήμενος δικαστὴς διδότω καιρὸν τῷ ἐγγυητῇ ταὐτὸν δὲ εἰπεῖν ἀντιφωνητῇ τε καὶ μανδάτωρι βουλομένοις τὸν πρωτότυπον ἀγαγεῖν[4]), ἐφ' ᾧ τε ἐκεῖνον πρότερον ὑπομεῖναι τὴν ἐναγωγὴν, οὕτω τε αὐτοὺς ἐν καταλοίπῳ πεφυλάχθαι βοηθείᾳ. καὶ ἀμυνέτω γε τῷ ἐγγυητῇ καὶ τῷ ἀντιφωνητῇ καὶ μανδάτωρι πρὸς τοῦτο καὶ ὁ τοῦ δικάζειν κύριος (ἐγγυηταῖς γὰρ καὶ τοῖς τοιούτοις βοηθεῖν ὅσιον), ὥστε αὐτὸν ἀχθέντα[5]) τῆς ἐν τῷ τέως ἐναγωγῆς ἀπαλλάξαι τοὺς ὑπὲρ αὐτοῦ

2) Ven. διοχλ. 3) Ven. ἀπολαύοι. 4) Proch. ἄγειν. 5) Epan. βίᾳ ἀχθέντα. Forte διαχθ.

διενοχλουμένους. εἰ δὲ ὁ χρόνος ὁ ἐπὶ τοῦτο ταχθεὶς ἐξήκοι (δεῖ γὰρ καὶ χρόνον ὁρίζειν τὸν δικάζοντα), τηνικαῦτα ἢ ὁ ἐγγυητὴς ἢ ὁ μανδάτωρ ἢ ὁ ἀντιφωνητὴς ἀγωνιζέσθω τὴν δίκην, καὶ τὸ χρέος ἐκτιννύτω τὰς κατὰ τοῦ ἐγγυηθέντος ἢ ὑπὲρ οὗ τὰς ἐντολὰς ἔγραψεν ἢ τὴν ἀντιφώνησιν ὑπῆλθε παρὰ τοῦ δανείσαντος ἐκχωρούμενος ἀγωγάς.

β'. Οὐ μὴν οὐδὲ ἐπὶ τὰ πράγματα τῶν δανεισαμένων εἰ παρ' ἑτέρων κατέχοιντο χωρήσει πρότερον, πρὶν ἂν διελθεῖν τὴν ἐπὶ ταῖς περσοναλίαις ὁδὸν κατά τε μανδατώρων καὶ ἐγγυητῶν καὶ ἀντιφωνητῶν· οὕτω τε ἐπὶ τὰ πράγματα ἐλθὼν τοῦ πρωτοτύπου εἴγε παρ' ἑτέρων κατέχοιτο καὶ τοῖς ἐπειλημμένοις αὐτῶν ἐνοχλήσας, εἴγε μηδὲ ἐκεῖθεν σχοίη τὸ ἱκανόν, τηνικαῦτα χωρείτω κατὰ τῶν πραγμάτων τῶν ἐγγυητῶν καὶ μανδατώρων καὶ ἀντιφωνητῶν· ταὐτὸν δ' ἐστὶν εἰπεῖν, κἂν εἴ τινας ἔχοιεν ἅπαντες οὗτοι σφίσιν αὐτοῖς ὑπευθύνους καὶ ταῖς ὑποθηκαρίαις ἀγωγαῖς ἐνέχεσθαι δυναμένους. κατὰ μέντοι τοῦ πρωτοτύπου καὶ τῶν ὄντων παρ' αὐτῷ πραγμάτων εἴτε ταῖς περσοναλίαις εἴτε ταῖς ὑποθηκαρίαις εὐθὺς εἴτε ἀμφοτέραις χρήσασθαι βουληθείη, πᾶσαν αὐτῷ δίδομεν ἄδειαν, τὴν ἔμπροσθεν ἡμῖν εἰρημένην ὁδόν τε καὶ τάξιν ἐπὶ[6]) τῶν ἄλλων προσώπων τε καὶ θεμάτων νομοθετήσαντες. καὶ οὐ τοῦτο μόνον ἐπὶ δανειστῶν φαμεν, ἀλλὰ καὶ εἴ τις ὠνήσαιτό τι παρά τινος, εἶτα τὸν καλούμενον λάβοι βεβαιωτήν, καὶ σαλεύοιτο κατά τι τὰ τῆς πράσεως ἐναγωγῆς κατὰ τοῦ πράτου γινομένης, μὴ πρὸς τὸν βεβαιωτὴν εὐθὺς ὁ ἀγοραστὴς χωρείτω μηδὲ τὸν κατέχοντά τι τῶν τοῦ πεπρακότος πραγμάτων, ἀλλ' ἐπὶ τὸν πρατῆρα πρότερον, οὕτω τε ἐπὶ τὸν βεβαιωτὴν καὶ κατὰ τρίτην τάξιν ἐπὶ τὸν κατέχοντα. τῆς αὐτῆς κἀνταῦθα διαιρέσεως οὔσης ἐπί τε τῶν παρόντων ἐπί τε τῶν ἀπόντων, ἣν ἔμπροσθεν

6) Hal. καὶ ἐπί. Male.

ἐπί τε τῶν ἐγγυητῶν καὶ μανδατώρων καὶ ἀντιφωνητῶν ἐπί τε τῶν δανεισαμένων ἐνομοθετήσαμεν. ὁμοίως τούτου κρατοῦντος καὶ ἐπὶ τῶν ἄλλων συναλλαγμάτων, ἐν οἷς ἐγγυηταί τινες ἢ μανδάτωρες ἢ ἀντιφωνηταὶ προσληφθεῖεν, ἐπί τε αὐτῶν τῶν πρωτοτύπων ἑκατέρωθεν ἐπί τε τῶν κληρονόμων αὐτῶν καὶ διαδόχων. ὁ μὲν οὖν παλαιὸς νόμος ταύτῃ[7]) *κρατείτω τε αὖθις καὶ μετὰ ταύτης τῆς δικαιοσύνης τε καὶ τῆς διαιρέσεως τοὺς ἡμετέρους ὑπηκόους θαλπέτω.*

γ΄. Τὸ δὲ ἐφεξῆς ταῖς ἀνθρωπίναις βοηθοῦν θεραπείαις, εἰ καί τισι τῶν δανειζόντων οὐ καταθύμιον ἴσως ἐστὶν, ἀλλ' οὖν ἡμῖν πρὸς φιλανθρωπίαν νενομοτεθήσθω. εἰ γάρ τις δανείσειε χρυσίον τῇ τοῦ δεδανεισμένου περιουσίᾳ πιστεύων, ὁ δὲ εἰς ἔκτισιν χρυσίον μὲν οὐκ εὐποροίη, περιουσίαν δὲ ἀκίνητον ἔχοι, ὁ δανειστὴς δὲ ἐπικέοιτο καὶ χρυσίον πάντως ἐπιζητοίη, τῷ δὲ οὐκ εἴη πρόχειρον, οὐδέ τις κινητὴ περιουσία (δίδομεν γὰρ τῷ δανειστῇ βουλομένῳ καὶ κινητὰ[8]) *πράγματα λαβεῖν ἀντὶ χρυσίου), ἀλλ' οὐδέ τις ὠνούμενος ἀκίνητα αὐτοῦ πράγματα παρείη, τοῦ δανειστοῦ πολλάκις καὶ θρυλλοῦντος ὡς ὑπόκειται τὰ τοῦ δανεισαμένου πράγματα καὶ ταύτῃ φοβοῦντος τοὺς προσιέναι βουλομένους ταῖς ἀγορασίαις, τηνικαῦτα ἐπὶ μὲν τῆς εὐδαίμονος ταύτης πόλεως οἱ ἐνδοξότατοι τῆς ἡμετέρας πολιτείας ἄρχοντες κατὰ τὴν ἑκάστῳ τεταγμένην παρὰ τοῦ νόμου καὶ ἡμῶν δικαιοδοσίαν, ἐν δὲ ταῖς ἐπαρχίαις οἱ τῶν ἐθνῶν*[9]) *ἡγούμενοι παρασκευαζέτωσαν ἀκριβοῦς διατιμήσεως γινομένης τῶν πραγμάτων τοῦ χρεωστήσαντος δίδοσθαι πρὸς ἀναλογίαν τοῦ χρέους κτῆσιν ἀκίνητον τοῖς δανεισταῖς μετὰ τοιαύτης ἀσφαλείας, μεθ' ἧς ἂν ὁ χρεώστης δοῦναι δυνηθείη. τὰ δὲ τῆς τῶν πραγμάτων δόσεως ἔστω τοιαῦτα· ὁποῖα μὲν*[10])

7) Ita Hal. Ven. et Bas: *ταῦτα*. 8) Ita Proch. et Epan. Ven. vero nec non Hal. et Bas. *ἀκίνητα*. 9) Proch. et Epan. *θεμάτων*. In themata Heraclianis demum temporibus regnum divisum est. 10) Ven. *τὰ μέν*.

τὰ καλλίω δίδωσι τῷ δανειστῇ, τὰ δὲ ἐλάττω παρὰ τῷ χρεώστῃ μετὰ τὴν τοῦ χρέους λύσιν μένειν ἐᾷ. καὶ γὰρ οὐκ ἂν εἴη δίκαιον, τὸν δόντα μὲν χρυσίον, λαβεῖν δὲ χρυσίον οὐ δυνάμενον, ἀλλ' ἀναγκαζόμενον καταδέξασθαι κτῆσιν ἀκίνητον, μὴ τὰ γοῦν καλλίονα τῶν τοῦ χρεώστου πραγμάτων λαβεῖν, καὶ ταύτην γοῦν ἔχειν παραψυχὴν, ὅτιπερ εἰ καὶ χρυσίον οὐκ εἴληφεν ἢ ἕτερα τῶν φέρεσθαι δυναμένων πραγμάτων, ἀλλ' ἔξεστιν αὐτῷ κτῆσιν οὐ φαύλην ἔχειν. ἀλλὰ τοῦτο μὲν ἔστω φιλανθρωπία τὶς σαφὴς τοῦ νόμου, γινωσκέτωσαν δὲ οἱ δανείζοντες, ὡς κἂν εἰ μὴ τοῦτον ἐγράψαμεν τὸν νόμον ὁ τῆς ἀνάγκης λόγος εἰς τοῦτο τὸ πρᾶγμα περιῆγε. καὶ γὰρ οὐκ εὐπορῶν χρημάτων ὁ δανεισάμενος οὐδὲ ἀγοραστῶν ἤμελλεν οὐδὲν ἕτερον πράττειν ἢ τῶν οἰκείων ἐξίστασθαι, καὶ αὖθις τὰ πράγματα πρὸς τὸν δανειστὴν εἰκότως ἐχώρει χρυσίον λαβεῖν οὐκ ἰσχύοντα. ὥστε ὅπερ μεθ' ὕβρεως καὶ ἐξ ἀποτελέσματος πικροῦ περιΐστατο τόν τε δανειστὴν τόν τε χρεώστην, τοῦτο ἡμεῖς φιλανθρώπως τε ἅμα καὶ νομοθετικῶς διελόμενοι καὶ τοῖς ἠτυχηκόσι χρεώσταις βοηθοῦμεν καὶ τοῖς πικροτάτοις τῶν δανειστῶν οὐκ ἂν φανείημεν δύσκολοι, πρᾶγμα αὐτοῖς ἐπιτάττοντες, εἰς ὅπερ εἰ διέμειναν ἀπειθοῦντες πάντως ἂν ἀφίκοιντο. εἰ μέντοιγε ὁ δανειστὴς ἕτοιμός ἐστι παρασκευάσαι τινὰ τὸν ὠνούμενον, ἀνάγκην ἔχειν τὸν χρεώστην τοῦτο πράττειν, διδόντα τοιαύτην ἀσφάλειαν δοκιμασίᾳ τοῦ δικάζοντος, ὁποίαν ὅλως ἐστὶ δοῦναι δυνατός. πανταχόθεν γὰρ οὕτω τῶν δανειστῶν προνοητέον, ὡς μὴ τοὺς χρεώστας βαρῦναι καθάπαξ. [§. 1.] δανειστὴν δὲ τίθεμεν τοῖς ἀρχαίοις ἀκολουθοῦντες νόμοις πάντα τὸν ἀγωγὴν ἔχειν κατά τινος δυνάμενον, εἰ καὶ μὴ δάνεισμα τὸ πεπραγμένον ἀλλ' ἕτερόν τι συνάλλαγμα καθεστήκοι, δηλαδὴ τῶν ἀργυροπρατικῶν ἀντιφωνήσεων διὰ τὸ χρήσιμον τῶν συναλλαγμάτων ἐπὶ τῆς νῦν μενουσῶν τάξεως.[11])

11) Ven. addit: μέχρις ὧδε τὸ βασιλικόν.

Τὰ τοίνυν παρ' ἡμῶν ἐπ' ὠφελείᾳ τῶν ὑπηκόων νενομοθετημένα μανθάνουσα ἡ σὴ ὑπεροχὴ τοῖς συνήθεσι προγράμμασιν ἐνταῦθά τε καὶ πανταχόσε τῆς ὑπηκόου φανερὰ γενέσθαι παρασκευασάτω, ὥστε κἂν τοῖς ἔθνεσι γινώσκειν τοὺς ὑπηκόους, ὁπόση γέγονεν ἡμῖν τῆς ἐκείνων ὠφελείας ἡ πρόνοια. Dat. XVII. Kal. April. Indict. XIII. Fl. Belisario V. C. Cons.[12])

Nov. 6. XII. Auth. 6.

Est in Cod. Ambrosiano. Particulas et summas praestant Coll. 87 capp. c. 1—5, Iulian. 6, Athan. I, 1, Nomoc. XIV titulorum 1, 8. 11. 28. 8, 2. 14. 9, 29. 30. 32. Theod. Nov. 6, *αἱ ῥοπαὶ* 19, 5, Epitome VIII, 47. 48, Basil. III, 1, 34.

Περὶ τοῦ πῶς δεῖ χειροτονεῖσθαι τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους, ἄῤῥενας καὶ θηλείας, καὶ ποῖα ἐπιτίμια κατὰ τῶν παραβαινόντων τὸν τύπον τῆς διατάξεως.

Ὁ αὐτὸς Βασιλεὺς[1]) *Ἐπιφανίῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ τῆς βασιλίδος ταύτης πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.*[2])

Μέγιστα τῶν ἐν ἀνθρώποις ἐστὶ δῶρα θεοῦ παρὰ τῆς ἄνωθεν δεδομένα φιλανθρωπίας ἱερωσύνη τε καὶ βασιλεία, ἡ μὲν τοῖς θείοις ὑπηρετουμένη ἡ δὲ τῶν ἀνθρωπίνων

12) Ita subscriptio restituenda est. Ven. Dat. *τῇ πρὸ ιζ'* Cal. April. Ind. *ιγ' ὑπατείας* Falbio Bilis. *τοῦ λαμπροτάτου.* Iulian: D. K. April. cons. Belis. Athan: *Ἐγράφη ιζ' καλανδῶν ἀπριλ. ὑπατείας Βελισαρίου.* Theod: *Ἐξεφωνήθη μηνὶ ἀπριλλ. ὑπ. Βελισ.* Auth. apud Heimb. Kal. Iul. habet.

1) Coll. 87 capp. *Αὐτοκράτωρ καῖσαρ Φλάουιος Ἰουστινιανὸς εὐσεβέστατος Αὔγουστος.* Ibidem mox verba *τῆς βασ. τ. πόλ.* desunt. Athan. *Αὐτοκράτωρ Ἰουστινιανὸς Ἐπιφ. ἀρχιεπισκόπῳ κωνσταντινουπόλεως.* 2) Venetus addit: *αὕτη ἡ νεαρὰ οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Κεφ. β' τοῦ α' τί. τοῦ νομοκάνονος.*

ἐξάρχουσά τε καὶ ἐπιμελουμένη, καὶ ἐκ μιᾶς τε καὶ τῆς αὐτῆς ἀρχῆς ἑκατέρα προϊοῦσα καὶ τὸν ἀνθρώπινον κατακοσμοῦσα βίον, ὥστε οὐδὲν οὕτως ἂν εἴη περισπούδαστον βασιλεῦσιν ὡς ἡ τῶν ἱερέων σεμνότης, οἵ[3]) γε καὶ ὑπὲρ αὐτῶν ἐκείνων ἀεὶ τὸν θεὸν ἱκετεύουσιν. εἰ γὰρ ἡ μὲν ἄμεμπτος εἴη πανταχόθεν καὶ τῆς πρὸς θεὸν μετέχοι παῤῥησίας, ἡ δὲ ὀρθῶς τε καὶ προσηκόντως κατακοσμοίη τὴν παραδοθεῖσαν αὐτῇ πολιτείαν, ἔσται συμφωνία τις ἀγαθὴ, πᾶν εἴ τι χρηστὸν τῷ ἀνθρωπίνῳ χαριζομένη γένει. ἡμεῖς τοίνυν μεγίστην ἔχομεν φροντίδα περί τε τὰ ἀληθῆ τοῦ θεοῦ δόγματα περί τε τὴν τῶν ἱερέων σεμνότητα, ἧς ἐκείνων ἀντεχομένων πεπιστεύκαμεν ὡς δι' αὐτῆς μεγάλα ἡμῖν ἀγαθὰ δοθήσεται παρὰ θεοῦ, καὶ τά τε ὄντα βεβαίως ἕξομεν τά τε οὔπω καὶ νῦν ἀφιγμένα προσκτησόμεθα. καλῶς δὲ ἂν ἅπαντα πράττοιτο καὶ προσηκόντως, εἴπερ ἡ τοῦ πράγματος ἀρχὴ γένοιτο πρέπουσα καὶ φίλη θεῷ. τοῦτο δὲ ἔσεσθαι πιστεύομεν, εἴπερ ἡ τῶν ἱερῶν κανόνων παρατήρησις φυλάττοιτο, ἣν οἵ τε δικαίως ὑμνούμενοι καὶ προσκυνητοὶ καὶ αὐτόπται καὶ ὑπηρέται τοῦ θεοῦ[4]) λόγου παραδεδώκασιν ἀπόστολοι, καὶ οἱ ἅγιοι πατέρες ἐφύλαξάν τε καὶ ὑφηγήσαντο.

α'. Θεσπίζομεν τοίνυν, τοῖς θείοις διὰ πάντων ἑπόμενοι κανόσιν, ἡνίκα τις εἰς τὸν λοιπὸν ἅπαντα χρόνον ἐπὶ χειροτονίαν ἐπίσκοπος[5]) ἄγοιτο, σκοπεῖσθαι πρότερον αὐτοῦ τὸν βίον κατὰ τὸν θεῖον ἀπόστολον, εἰ σεμνός τε καὶ ἄμεμπτος καὶ πανταχόθεν ἀνεπίληπτος εἴη, καὶ ἐπ' ἀγαθοῖς μεμαρτυρημένος τε καὶ ἱερεῖ πρέπων· [§. 1.] καὶ οὔτε ἐκ ταξεωτικῆς ἢ ἐκ βουλευτικῆς ὁρμώμενος τύχης, πλὴν εἰ μὴ ἐκ νέας ἡλικίας κατὰ τὸ ἤδη διατυπωθέν[6]) ἐν μοναστηρίῳ καταλεγεὶς ἐλευθερωθείη τῆς τύχης, τὸ τέταρτον μέντοι πρό-

3) Ven. εἴ. Emendavi ex Coll. 87 capp. 4) Coll. cit. θείου. 5) Coll. cit. ἐπισκόπου. 6) l. 52 C. de episc. 1, 3.

τερον τῆς περιουσίας ἀποδιδοὺς τῇ βουλῇ· [§. 2.] οὔτε ἐξ ἰδιώτου[7]) καὶ τῶν καλουμένων λαϊκῶν εἰς καθεστὼς, εἶτα εὐθὺς ἐπὶ τὴν ἐπισκοπὴν ἀναβαίνων, οὐδὲ ἐσχηματισμένην λαμβάνοι[7a]) τὴν χειροτονίαν, ὡς ἄρτι μὲν ἰδιώτης, εὐθὺς δὲ κληρικὸς, εἶτα βραχύ τι διαλιπὼν ἐπίσκοπος ἀναφαίνεσθαι· [§. 3.] οὔτε γαμετῇ συνοικῶν, ἀλλ' ἢ παρθενίᾳ συζήσας ἐξ ἀρχῆς, ἢ γυναῖκα μὲν σχὼν, ἐκ παρθενίας δὲ εἰς αὐτὸν ἐλθοῦσαν, ἀλλ' οὐδὲ χήραν οὐδὲ διαζευχθεῖσαν ἀνδρὸς οὔτε παλλακήν· [§. 4.] οὔτε παῖδας ἢ ἐγγόνους ἔχων, οὔτε γνωριζομένους τῷ νόμῳ οὔτε ὑπ' ἐκείνου μεμισημένους. ἐπείτοιγε ὁ παρὰ ταῦτά τι πράττων αὐτός τε ἐκπεσεῖται τῆς ἱερωσύνης, καὶ ὁ τοῦτον χειροτονῶν ὁμοίως ἔξω τῆς ἐπισκοπῆς ἐλαθήσεται, τῷ νόμῳ τούτῳ προσκεκρουκώς. [§. 5.] ἀλλ' οὐδὲ χρημάτων ὠνήσασθαι τὴν ἱερατείαν αὐτῷ συγχωροῦμεν, μόνῃ δὲ προσέχειν αὐτὸν τῇ τοῦ δεσπότου θεοῦ θεραπείᾳ βουλόμεθα καὶ μὴ πολλαῖς ἀνθρωπίναις φροντίσι περιέλκεσθαι. [§. 6.][8]) ἀλλὰ μηδὲ ἀμελέτητος ὢν τῶν ἱερῶν δογμάτων πρὸς ἐπισκοπὴν εἰσίτω. [§. 7.] πρότερον δὲ ἢ μοναχικὸν βίον ἀσκήσας ἢ ἐν κλήρῳ καταλεγόμενος οὐκ ἔλαττον μηνῶν ἕξ, γυναικὶ μέντοι καθάπερ εἰπόντες ἔφθημεν μὴ συνοικῶν ἢ παῖδας ἢ ἐγγόνους ἔχων. ταῦτα γὰρ πάντως ἐπὶ τῶν θεοφιλεστάτων ἐπισκόπων ζητοῦμεν, καθάπερ καὶ πρότερον δύο θείαις ἡμῶν τοῦτο διατάξεσι[9]) νενομοθέτηται, καθ' ἃς τοὺς[10]) μὲν ἤδη συνοικοῦντας γυναιξὶν οὐ περιειργασάμεθα τὸ παρῳχηκὸς ἅπαν ἀφέντες, τοῦ λοιποῦ δὲ ἐκ τῆς θέσεως τοῦ νόμου μηδενὶ συγχωροῦντες γαμετὴν ἔχοντι τοιαύτην ἐπιτιθέναι χειροτονίαν. ὅνπερ νόμον καὶ νῦν ἀνανεοῦμεν, μή ποτε εἰ παρὰ ταῦτα γένηται αὐτός τε ἐκπέσοι τῆς ἱερωσύνης, τὸν χειροτονήσαντά τε ὁμοίως ἐκβληθῆναι ταύτης παρασκευάσειεν. ὁ[11]) τοίνυν χειροτονούμενος ἐπίσκοπος ἢ

7) Ven. ἰδιωτικοῦ. 7a) λαμβάνων? 8) Ven. in marg. δ', quasi incipiat cap. 4. 9) l. 41. 47 C. de episc. 1, 3. 10) Ven. καθ' αὐτούς. 11) Ven. in marg. ε.

ἀπὸ μοναχῶν ἢ ἀπὸ κληρικῶν ἔστω, εἴγε καὶ ἐν τῷ τοιούτῳ βίῳ μαρτυροῖτο σεμνὸς καὶ δόξης ἀπολαύων ἀγαθῆς καὶ ταύτην κρηπῖδα τῆς ἀρχιερωσύνης ἐναποθέμενος τῇ ψυχῇ. [§. 8.] ἀλλὰ καὶ οὕτως αὐτὸν διακείμενον καὶ πρὸς τὴν ἐπισκοπὴν παρασκευαζόμενον προσῆκόν ἐστι τοὺς εὐαγεῖς καὶ πανταχόθεν ἐκκεκριμένους[11a]) ἀναγινώσκειν κανόνας πρὸ τῆς χειροτονίας, οὓς ἡ ὀρθὴ καὶ ἀμώμητος ἡμῶν ἐδέξατο πίστις καὶ ἡ καθολικὴ τοῦ θεοῦ καὶ ἀποστολικὴ προσήκατό τε καὶ παραδίδωσιν ἐκκλησία. καὶ ἐπειδὰν διὰ τῆς συνεχοῦς αὐτῶν ἀναγνώσεως ὁ πρὸς τὴν χειροτονίαν ἀγόμενος ἔλθοι, τηνικαῦτα τὸν τὴν χειροτονίαν ἐπιτιθέναι μέλλοντα πυνθάνεσθαι αὐτοῦ, εἴπερ οἷός τε φυλάττειν ἐστὶ καὶ πράττειν ἅπερ οἱ θεῖοι κανόνες ἐνομοθέτησαν. καὶ εἰ μὲν ἀποφήσειε καὶ λέγοι τὰ παραγγέλματα τῶν θείων κανόνων οὐχ ἱκανὸς εἶναι τηρεῖν κατὰ μηδένα τρόπον αὐτῷ τὴν χειροτονίαν ἐπιτιθέναι. εἰ δὲ καταδέξοιτο καὶ φήσειεν, ὡς καθ' ὅσον ἀνθρώπῳ δυνατὸν πληρώσει τὰ τούτοις περιεχόμενα, τηνικαῦτα νουθετεῖν αὐτὸν καὶ λέγειν, ὡς εἰ μὴ ταῦτα φυλάξοι θεοῦ τε ἀλλότριος ἔσται καὶ ἐκπεσεῖται τῆς δοθείσης τιμῆς, καὶ οὐδὲ οἱ πολιτικοὶ νόμοι τὸ πλημμεληθὲν ἀτιμώρητον καταλείψουσι (διότι καὶ τοῖς πρὸ ἡμῶν βεβασιλευκόσι καὶ ἡμῖν αὐτοῖς ὀρθῶς εἴρηται, δεῖν τοὺς ἱεροὺς κανόνας ἀντὶ νόμου κρατεῖν)· καὶ εἴπερ καὶ οὕτως[12]) ἐμμείνοι τοῦ πράγματος ἀντεχόμενος, τηνικαῦτα ἐπὶ ταύταις ταῖς ὁμολογίαις ἕκαστον τὴν ἱερὰν καταδέχεσθαι τῆς ἐπισκοπῆς χειροτονίαν. [§. 9.][13]) καὶ ταύτην μὴ χρημάτων ὠνεῖσθαι μηδὲ διὰ πραγμάτων τινῶν δόσεως λαμβάνειν, ἀλλὰ καθαρὰν δέχεσθαι καὶ ἄμισθον οἷα παρὰ θεοῦ δεδομένην. εἰ γὰρ καὶ τἄλλα πάντα ἔχοι χρηστὰ τὰ πρόσθεν ἡμῖν εἰρημένα, χρημάτων δὲ ἢ πραγμάτων φανείη τὴν ἐπισκοπὴν ἐξωνησάμενος, ἴστω τῆς τε ἐπισκοπῆς αὐτὸς ἐκπεσούμενος, καὶ τοῦτο δῶρον ἀντιδοὺς τῷ χειροτονήσαντι

11a) ἐγκεκρ? 12) Ven. οὗτος. 13) Ven. in marg. ς'.

τὸ κἀκεῖνον τὴν ἐπισκοπὴν ἀπολλύναι καὶ ταύτης ἐκπ
καὶ ἑκατέρῳ τὸ πρᾶγμα τοιαύτην φέρειν ἀντίδοσιν, ὥσ
μὲν μὴ τυχεῖν τῶν ἐλπιζομένων, τὸν δὲ καὶ ὧν εἶχει
τυχεῖν· δηλαδὴ τῶν δεδομένων χρημάτων ἢ πραγμάτω
φάσει χειροτονίας τῇ ἁγιωτάτῃ προσκυρουμένων ἐκι
εἴτε ἐπίσκοπος ὁ λαβὼν εἴη καὶ διὰ τοῦτο τῆς ἱερο
ἐκπεσών, εἴτε καί τις τῶν ἐν τῷ κλήρῳ καταλεγομένω
γὰρ δὴ κἀκείνῳ τὴν ἴσην ἐπιτίθεμεν ποινήν, τὸ κ
τάξεως ἣν ἐν ἱερεῦσιν εἶχεν ἐκπεσεῖν καὶ ἀποδοῦ
χρυσίον ἢ τὰ πράγματα τὰ προφάσει τῆς χειροτονίας
μένα τῇ περιυβρισμένῃ τό γε κατ' αὐτὸν ἐκκλησίᾳ.
τις τῶν ἔξωθεν εἴη καὶ οὐκ εἰς κλῆρον τελῶν ὁ τὸ χ
ἢ τὸ πρᾶγμα διὰ προστασίαν τὴν ἐπὶ τῇ χειροτονίᾳ
καὶ μάλιστα εἴπερ ἀρχὴν ἔχοι τινά, ἕξει μὲν αὐτὸς
θεοῦ ποινὴν καὶ διαδέξονταί γε αὐτὸν αἱ ἐξ οὐραι
μωρίαι, πλὴν ἀλλὰ καὶ τὸ δοθὲν ἅπαν ἀφαιρεθὲν παρ'
τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ πᾶσιν ἀποδιδόσθω τρόποις διπ
πρὸς τῷ κἂν εἴ τινα ἀρχὴν ἔχοι ταύτης ἐκπίπτειν κ
φυγίᾳ ζημιοῦσθαι. κἀκεῖνο δέ γε ἴστω σαφῶς ὁ χρ
ἢ πράγμασι τὴν ἐπισκοπὴν ἐξωνησάμενος, ὡς εἴπερ πρ
διάκονος ἢ πρεσβύτερος εἴη, εἶτα κατὰ δωροδοκίαν ε
ἱερωσύνην ἔλθοι, οὐ μόνον ἐκπεσεῖται τῆς ἐπισκοπῆς
οὐδὲ τὸ πρότερον αὐτῷ περιλειφθήσεται σχῆμα, τὸ τοι
σβυτέρου τυχὸν ἢ διακόνου. προσαπολέσῃ γὰρ καὶ αι
τῶν οὐ πρεπόντων ἀναξίως ἐφιέμενος, πάσης τε ἱερ
ἀπελαθήσεται τάξεως. δεῖ[14]) δὲ κατ' αὐτὸν τὸν τῆς
τονίας καιρὸν τὸν ἐπιτιθέντα ταύτην αὐτῷ ἐπὶ παντι
πιστοτάτου λαοῦ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας
ἅπαντα προαγορεύειν αὐτῷ, ὡς ἂν μαθὼν αὐτὸν ὁ
τὰ ἔμπροσθεν εἰρημένα παρ' ἡμῶν ἔχειν ἐπὶ τὴν ἱερὰν
ἄγῃ χειροτονίαν, ὥστε κἀκεῖνον πάντων ἐναντίον ταῦτα

14) Ven. in marg. ζ'.

οντα μη μόνον ἔχειν τὸ τοῦ θεοῦ δέος, ἀλλὰ καὶ τὴν ἐφ' ἁπάντων ἀνακήρυξίν τε καὶ ὁμολογίαν ἐρυθριᾶν. [§. 10.] εἰ δέ τις τοιοῦτος μὲν εἶναι νομίζοιτο καὶ πρὸς τὴν τῆς ἐπισκοπῆς χειροτονίαν παρέλθοι, ἀντείποι δέ τις καὶ φήσειε συνειδέναι τὶ τῶν ἀτόπων αὐτῷ, μὴ πρότερον ἀξιούσθω τῆς χειροτονίας, πρὶν ἂν ἐξέτασίς τε τῶν προσηγγελμένων γένηται καὶ φανείη πανταχόθεν ἀνεύθυνος, ὡς εἴ γε καὶ μετὰ τὴν τοιαύτην ἀντίῤῥησιν οὐκ ἀνασχόμενος ὁ τὴν χειροτονίαν ποιῶν τὴν νενομισμένην ἐξέτασιν ἐπιθεῖναι τῷ πράγματι δράμοι πρὸς τὴν χειροτονίαν, ἴστω τὸ παρ' αὐτοῦ γινόμενον ἀντ' οὐδενὸς ὄν· ἀλλ' ὅ τε παρὰ τὸν νόμον γενόμενος ἐκπεσεῖται τῆς ἱερωσύνης, ὅ τε ἀδοκίμαστον ἐπιθεὶς τὴν χειροτονίαν καὶ αὐτὸς μὲν ὁμοίως ἐκπεσεῖται τοῦ θρόνου τῆς ἱερατείας, καὶ ὑπεύθυνος ἔσται θεῷ τῷ μάλιστα πάντων ζητοῦντι τὴν τῶν οἰκείων ἱερέων καθαρότητα. εἰ μέντοιγε ὁ πρὸς τὴν χειροτονίαν ἀντειπὼν ἢ ἐπεξελθὼν δειχθείη συκοφάντης ἢ καὶ αὐτὸ[14a]) τὴν ἀρχὴν μηδὲ ἐπεξελθεῖν θαῤῥῆσαι, χωριζέτω τοῦτον διηνεκῶς τῆς ἱερᾶς κοινωνίας ὁ τὴν χειροτονίαν ποιῆσαι βουλόμενος, ἵνα μηδὲ ἐκεῖνο τὸ ψεῦδος ἀνεύθυνον ᾖ. ὥσπερ γὰρ τὴν ἀγαθὴν δόξαν ἐπὶ τῷ χειροτονουμένῳ ζητοῦμεν, οὕτω καὶ τὴν συκοφαντίαν ἐπὶ τῷ μάτην κατηγοροῦντι κολάζομεν. εἰ δὲ μηδεὶς κατηγοροίη παντελῶς, ἢ προσαγγείλας ὅλως οὐκ ἐπεξέλθοι ἢ ἐπεξελθὼν ἀποδεῖξαι καθάπερ εἰπόντες ἔφθημεν μὴ δυνηθείη τὴν κατηγορίαν ἀληθῆ, τηνικαῦτα προσήκει τὸν διὰ τοσούτων ὁδῶν ἀνεύθυνον ὀφθέντα προσίεσθαι πρὸς τὴν ἐσομένην χειροτονίαν. ὁ γὰρ οὕτω χειροτονούμενος αὐτόθεν τὰ πλεῖστα καὶ κάλλιστα γνώσεται τῶν μαθημάτων, καὶ οὐκ ἐκπεσεῖται πρὸς βίον ἀκόλαστον τὴν τοιαύτην πεπαιδευμένος λόγῳ τε καὶ ἔργῳ σοφίαν.

β'. Κἀκεῖνό γε μὴν προσδιορίζομεν, ὥστε μηδένα τῶν θεοφιλεστάτων ἐπισκόπων ἔξω τῆς καθ' ἑαυτὸν ἐκκλησίας

14a) αὐτός? Auth.: in ipso principio.

πλεῖον ἢ κατ' ἐνιαυτὸν ὅλον ἀπολιμπάνεσθαι, πλὴν εἰ μ τοῦτο κατὰ βασιλικὴν γίνοιτο κέλευσιν (τότε γὰρ μόνο ἐστὶν ἀνεύθυνον), τῶν ὁσιωτάτων πατριαρχῶν ἑκάστης διο κήσεως ἀναγκαζόντων τοὺς θεοφιλεστάτους ἐπισκόπους ταί αὐτῶν ἐγκαρτερεῖν ἁγιωτάταις ἐκκλησίαις, καὶ μὴ μακρὰ ὁδὸν στέλλεσθαι μηδὲ ἐν ξένῃ διατρίβειν ἐθέλειν μηδὲ τῶ ἁγιωτάτων ἐκκλησιῶν ἀμελεῖν, μηδὲ τὸν ἐνιαυτὸν ὑπερβαι νειν, ὃν δὴ καὶ αὐτὸν διὰ φιλανθρωπίαν ἐτάξαμεν. εἰ μὲν τοιγε καὶ ὑπὲρ τὸν ἐνιαυτὸν πλανῷτο καὶ ἀλητεύοι, κα μήτε πρὸς τὴν ἐπισκοπὴν ἐπανίοι τὴν οἰκείαν, μηδὲ βασι λική τις αὐτὸν καθάπερ εἰπόντες ἔφθημεν κατέχοι κέλευσι τηνικαῦτα εἰ μὲν εἴη μητροπολίτης, πρὸς τὴν ἐκκλησιαστική εὐταξίαν ἀφορῶν ὁ τοῦ κλίματος πατριάρχης καλείτω μὲ αὐτὸν τοῖς νενομισμένοις κηρύγμασι, φυλάττων πανταχο τὴν τῶν ἱερῶν κανόνων παρατήρησιν· εἰ δὲ μείνοι μέχρ παντὸς ἀπειθῶν, καὶ ἐξωθείτω τοῦ θείου τῶν ἐπισκόπω χοροῦ καὶ ἕτερον ἀντεισαγέτω τῆς τοιαύτης αἰδοῦς τε κα σεμνότητος ἄξιον. εἰ δὲ οὐ μητροπολίτης ἀλλὰ τῶν ἄλλω τὶς ἐπισκόπων ὁ πλανώμενος εἴη, ταὐτὰ[15]) παρὰ τοῦ μητρο πολίτου γινέσθω. οὐδὲ γὰρ ἄν τις αὐτῶν ταύτην προσδέξοιτ τὴν πρόφασιν, εἰ λέγοιεν διὰ τοῦτο τὰς ἑαυτῶν καταλιμ πάνειν ἐκκλησίας, διότι δικῶν ἕνεκεν ἢ ἄλλων πραγμάτω ἰδίων ἢ εἰς τὴν ἁγιωτάτην ἐκκλησίαν ὁρώντων περινοστοῦσι καὶ ἢ τοῖς ἐνταῦθα προσκαρτεροῦσιν ἢ εἰς ἑτέρους ἀφικνοῦν ται τόπους. τοῦτο γὰρ οὐκ ἂν ἔχοι πρέποντα λογισμὸν τ μετὰ πλήθους, ὅπερ ἀνάγκη τὰς τῶν ἐπισκόπων ἔχειν θερα πείας, περινοστεῖν τε ἐν ξένῃ καὶ δαπανᾶν καὶ μηδεμία ταῖς ἁγιωτάταις ἐκκλησίαις παρέχειν ὠφέλειαν, μηδὲ κατ τὸ πρέπον ἱερεῦσι διαγίνεσθαι σχῆμα, παρὸν εἴ τινες εἶε δίκαι τυχὸν ταῖς ἁγιωτάταις ἐκκλησίαις δι' ἃς ταῦτα προ φασίζονται, ταύτας διὰ τῶν ὑπ' αὐτὴν εὐλαβεστάτων κλη

15) Ven. ταῦτα. Auth. legit ταῦτα πάντα. Sane πάντα ol sequens παρὰ propter similitudinem siglae facile potuit excidere

ρικῶν ἢ ἀποκρισιαρίων ἢ οἰκονόμων κινεῖν, καὶ δεήσεις μὲν πρὸς τὴν βασιλείαν. ἐκπέμπειν, τυγχάνειν δὲ τῶν ζητουμένων. ὥστε διὰ ταῦτα θεσπίζομεν, εἴ ποτέ τις ἐκκλησιαστικῆς ἕνεκεν προφάσεως ἐμπέσοι χρεία, ταύτην ἢ διὰ τῶν τὰ πράγματα πραττόντων τῶν ἁγιωτάτων ἐκκλησιῶν, οὓς ἀποκρισιαρίους καλοῦσιν, ἢ διά τινων κληρικῶν ἐνταῦθα στελλομένων ἢ διὰ τῶν οἰκονόμων αὐτῶν γνώριμα τῇ βασιλείᾳ γίνεσθαι ἢ ταῖς ἡμετέραις ἀρχαῖς, τυγχάνειν τε αὐτὰς τοῦ προσήκοντος, καὶ μὴ τοῦτο τοῖς θεοφιλεστάτοις ἐπισκόποις πλάνης τε καὶ ἀπουσίας καὶ τῆς τῶν ἁγιωτάτων ἐκκλησιῶν βλάβης αἴτιον γίνεσθαι, τῶν τε ἐν ταῖς ἐπαρχίαις ἐκκλησιαστικῶν πραγμάτων παρὰ[15a]) τὴν ἀπουσίαν αὐτῶν ἀμελουμένων, τῆς τε ἐνταῦθα δαπάνης πολλῆς αὐτοῖς γινομένης, τῆς τε ἐν ξένῃ διαίτης οὐκ εὐσχήμονος[16]) καθεστώσης, καὶ πανταχόθεν τοῦ πράγματος οὐδεμίαν ὠφέλειαν, μᾶλλον μὲν οὖν βλάβην ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐπάγοντος.

γ΄. Μὴ ἄλλως δέ τινα τῶν θεοφιλεστάτων ἐπισκόπων θαῤῥεῖν στέλλεσθαι πρὸς ταύτην τὴν εὐδαίμονα πόλιν, πρὶν ἂν εἰ μέν τις ἐπίσκοπος εἴη γράμματα λάβοι τοῦ οἰκείου μητροπολίτου πρὸς τὴν βασιλείαν, ταῦτα δὴ τὰ κατὰ τοὺς θείους κανόνας συστατικὰ καλούμενα, τὰ μαρτυροῦντα τῷ ἀναγκαίῳ τῆς αὐτοῦ παρουσίας· εἰ δέ γε μητροπολίτης εἴη ὁ παραγενέσθαι βουλόμενος, γράμματα κομίσαιτο τοῦ τῆς διοικήσεως πατριάρχου τὴν αὐτοῦ παρουσίαν ἀναγκαίαν εἶναι λέγοντα. οὕτω τε δεῖσθαι βασιλέως καὶ ἐπιτρέπεσθαι τὴν ἐνταῦθα παρουσίαν, καὶ μὴ προχείρως παρὰ γνώμην τῶν μητροπολιτῶν ἢ τῶν πατριαρχῶν ἀποδημεῖν, διότι τοῦτο καὶ τοῖς θείοις διηγόρευται κανόσι. καὶ ἐνταῦθα δὲ αὐτοὺς παραγινομένους μὴ θαῤῥεῖν δι' ἑαυτῶν τὴν πρώτην μηνύειν εἰς τὴν βασιλείαν, ἀλλὰ πρότερον ἢ πρὸς τὸν θεοφιλέστατον πατριάρχην παραγίνεσθαι ἢ πρὸς τοὺς ἑκάστης διοικήσεως

15a) περί? 16) Ven. ἀσχήμονος.

ἐξ ἧς εἰσὶν ἀποκρισιαρίους, καὶ αὐτοῖς κοινοῦσθαι τὰς αἰτία δι' ἃς ἦλθον, συνεισιέναι τε πρὸς τὴν βασιλείαν αὐτοῖς, κα τοῦ λοιποῦ δὲ τῆς βασιλικῆς ἀπολαύειν θέας ἡνίκα ἂν τῳ βασιλεύοντι παρασταίη. ἐξέστω μέντοι τοῖς δεομένοις ἐπισκό ποις καὶ διὰ τῶν καλουμένων ῥεφερενδαρίων τῆς ἁγιωτάτη μεγάλης ἐκκλησίας ἢ διὰ τῶν εὐλαβεστάτων ἀποκρισιαρίω τῶν ἑκάστης διοικήσεως ἁγιωτάτων πατριαρχῶν ἀναφέρει τῇ βασιλείᾳ, καὶ τυγχάνειν ἀποκρίσεως συντόμου, ὥστε αὐτοὺ ἢ δίκαια παρὰ τῆς βασιλείας αἰτοῦντας ταῦτα λαμβάνει ἢ ἄδικα ζητοῦντας θᾶττον ἀναλύειν ὅθεν καὶ παρεγένοντο

δ'.[17]) Ταῦτα ἐπὶ τοῖς θεοφιλεστάτοις ἐπισκόποις κατ τοὺς θείους κανόνας διατάξαντες, καὶ τοὺς ὑπ' αὐτοὺς εὐλα βεστάτους κληρικοὺς μετὰ πλείστης ὅσης γίνεσθαι ζητήσεω κατὰ τοὺς ἱεροὺς κανόνας, καὶ μεμαρτυρημένους ἄνδρα χειροτονεῖσθαι θεσπίζομεν, γραμμάτων παντοίως ἐπιστήμονα ὄντας (γράμματα γὰρ ἀγνοοῦντα παντελῶς οὐ βουλόμεθα ἐ οὐδεμίᾳ τάξει κληρικὸν εἶναι). δηλαδὴ τῶν πρεσβυτέρω καὶ τῶν διακόνων τάς τε ἱερὰς εὐχὰς διδασκομένων, τ τε τῶν ἐκκλησιαστικῶν κανόνων ἀναγινωσκόντων βιβλία τή τε χειροτονίαν ἄμεμπτόν τε καὶ ἀνεύθυνον καὶ δίχα τινὸ ἀντιῤῥήσεως καὶ δόσεως χρημάτων ἢ πραγμάτων δεχομένω οὔτε δὲ αὐτοὺς βουλόμεθα παντελῶς ἢ ταξεώτας ἢ βουλευ τὰς ὄντας δέχεσθαι τὴν χειροτονίαν, εἰ μὴ κατὰ τοὺς νό μους οὓς ὑπὲρ τούτων ἐθήκαμεν ἔμπροσθεν[18]), οὓς δὴ κα νῦν βεβαιοῦμεν· καὶ αὐτοὺς δὲ χειροτονουμένους τὰ ἱερ παραγγέλματα παντὸς ἐναντίον τοῦ λαοῦ δέχεσθαι, διὰ τὰ αὐτὰς αἰτίας, δι' ἃς τοῦτο πράττεσθαι καὶ ἐπὶ τῶν θεοφι λεστάτων ἐπισκόπων ἐνομοθετήσαμεν·

ε'. μήτε δὲ τὸν δευτέρους ἔχοντα γάμους ἢ σχόντ χειροτονεῖσθαι διάκονον ἢ πρεσβύτερον, μήτε εἰ γυναικὶ συ νοικοίη διεζευγμένῃ καὶ τὸν οἰκεῖον ἄνδρα καταλιπούσῃ, μηδ

17) Ven. in marg. ια'. 18) l. 52 C. de episc. 1, 3.

εἰ παλλακὴν ἔχοι, ἀλλὰ καὶ αὐτοὺς ἢ μετὰ σωφροσύνης ζῶντας ἢ[18a]) γαμεταῖς οὐ συνοικοῦντας, ἢ μιᾶς γαμετῆς ἄνδρα γενόμενον ἢ ὄντα καὶ αὐτῆς σώφρονος καὶ ἐκ παρθενίας. οὐδὲν γὰρ οὕτως ἐν ταῖς ἱεραῖς χειροτονίαις ὡς σωφροσύνην ἐπιλεκτέον, πρώτην ἀρχὴν καὶ θεμέλιον ἀκριβῆ κατὰ τοὺς θείους κανόνας καὶ τῆς λοιπῆς ἀρετῆς καθεστῶσαν. εἰ δὲ καί τις πρεσβύτερος ἢ διάκονος ἢ ὑποδιάκονος ὢν εἶτα εἰσαγάγοι[19]) γαμετὴν ἢ παλλακὴν ἢ φανερῶς ἢ ἐσχηματισμένως τῆς ἱερᾶς εὐθὺς ἐκπιπτέτω τάξεως καὶ τὸ λοιπὸν ἰδιώτης ἔστω. εἰ[20]) δὲ καὶ ἀναγνώστης δευτέραν εἰσαγάγοιτο γαμετὴν διά τινα καὶ τοῦτο ὡς εἰκὸς ἀπαραίτητον αἰτίαν, μηκέτι πρὸς ἑτέραν χωρείτω μηδὲ ἀπολαυέτω βαθμοῦ μείζονος ἐν ἱερατείᾳ, μενέτω δὲ ἐπὶ τούτου τοῦ βαθμοῦ διηνεκῶς, μὴ μέντοι καὶ πρὸς τρίτους ἐρχέσθω γάμους· ἱκανὸν γὰρ δὴ καὶ τὸ δεύτερον. εἰ δέ γε τοιοῦτό τι πράξειε καὶ πρὸς δευτέρους ἐλθὼν γάμους ἐπὶ μείζονα βαθμὸν σπεύσειεν, αὐτόθεν ἰδιώτης ἔσται καὶ λαϊκὸς, πάσης τε ἱερᾶς λειτουργίας ἐκπίπτων· σώφρονος γὰρ ἡμῖν διὰ πάντων μέλει βίου. εἰ γὰρ τοιοῦτοι καθεστῶτες οἱ εἰς κλῆρον ἀγόμενοι χειροτονηθεῖεν, εὔκολος αὐτοῖς ἡ πρὸς τὴν ἐπισκοπὴν ἄνοδος ἔσται, ἐκ πολλῶν ἀνδρῶν ἀγαθῶν ῥαδίως εὑρισκομένων τῶν ἀνάγεσθαι πρὸς ἱερωσύνην ἀξίων.

ϛ'. Ὅσα[21]) γε μὴν ἐπὶ τῶν εὐλαβεστάτων κληρικῶν ἡμῖν εἴρηται, ταῦτα καὶ ἐπὶ τῶν θεοφιλεστάτων διακονισσῶν πράττεσθαι βουλόμεθα, ὥστε μηδὲ αὐτὰς ἔξω τῆς πρεπούσης παρατηρήσεως γίνεσθαι, ἀλλὰ πρότερον μὲν αὐταῖς τὴν ἡλικίαν μηδὲ νέαν εἶναι μηδὲ ἀκμάζουσαν μηδὲ αὐτόθεν πρὸς τὰ πλημμελήματα πηδῶσαν, ἀλλ' ὑπὲρ τὸν μέσον ἤδη καθεστῶσας χρόνον καὶ ἀμφὶ τοὺς πεντήκοντα ἐνιαυτοὺς κατὰ

18a) Locus suspectus, quod vel ex Iul. et Auth. intellegitur. Si epitomae in Nomoc. IX, 29 fides, legendum: αὐτοὺς μετὰ σωφρ. ζῶντας καὶ ἢ γαμ. 19) In Nomoc. XIV titt. est εἰσάγοιτο. 20) Ven. in marg. ιγ'. 21) Ven. in marg. ιδ'.

τοὺς θείους κανόνας ἀγούσας, οὕτω τε τῆς ἱερᾶς τυγχάνε χειροτονίας, καὶ ἢ παρθένους καθεστώσας ἢ ἑνὸς ἀνδρ γαμετὰς γινομένας. οὐ γὰρ ἐφήσομεν οὐδὲ δευτερογαμούσαι οὐδὲ βίον ἐχούσαις οὔτι φαμὲν κατεγνωσμένον, ἀλλ' οὐ ὕποπτον ὅλως ἐπὶ τὴν ἱερὰν παριέναι διακονίαν, καὶ το τε προσκυνητοῖς ὑπηρετεῖσθαι βαπτίσμασι, τοῖς τε ἄλλο παρεῖναι τοῖς ἀποῤῥήτοις, ἅπερ ἐν τοῖς σεβασμιωτάτοις μυστ ρίοις δι' αὐτῶν εἴωθε πράττεσθαι. εἰ γάρ τις ἀνάγκη γένοι καὶ τὴν ἐλάττονα ταύτης τῆς ἡλικίας ἧς εἴπομεν χειροτον θῆναι διάκονον, ἀλλ' ἔξεστι ταύτην ἔν τινι τῶν εὐαγ ἀσκητηρίων χειροτονεῖσθαι καὶ κατ' ἐκεῖνο οἰκεῖν καθ' ὅπ οὐδὲ ἀνδρῶν ἐπιμιξία καθέστηκεν, οὐδὲ αὐτεξούσιος δίαιτ ἀλλὰ βίος συνεσταλμένος καὶ μέτριος καὶ ὑπὸ τοῦ συνόντ πλήθους μαρτυρούμενος. βουλόμεθα δὲ καὶ αὐτὰς τὰς ἐ τὴν χειροτονίαν ἀγομένας διακόνους, εἴτε ἐκ χηρείας εἴ ἐκ παρθενίας, μή τινας συνόντας ἔχειν ἐν τάξει δῆθεν ἀδε φῶν ἢ συγγενῶν ἢ τῶν καλουμένων ἀγαπητῶν (τοῖς γ τοιούτοις ὀνόμασι χρώμεναι πάσης πονηρᾶς ὑποψίας τ ἑαυτῶν πληροῦσι βίον), ἀλλ' ἢ καθ' ἑαυτὰς οἰκεῖν, ἢ γ νεῦσι μόνοις καὶ παισὶν ἢ ταῖς ἀληθείαις ἀδελφοῖς ἢ θείο συνεῖναι, ἐφ' ὧν εἴ τις ὑποπτεῦσαί τι τολμήσειε[22]) πονηρὸ αὐτὸς ἀνόσιός τε ἅμα καὶ ἀσεβὴς εἰκότως νομισθήσετ ὥστε εἰ λέγοιτό τι τοιοῦτο περί τινος τῶν εἰς διακονίσσ χειροτονίαν ἐμβαίνειν βουλομένων, ὥς τινι σύνεστιν ἐσχημ τισμένη μὲν ἀγαθῇ προσηγορίᾳ πονηρᾷ δὲ ὑποψίᾳ, οὐ τὴν τοιαύτην γυναῖκα προσίεσθαι παντελῶς εἰς χειροτονί διακονίας, ἐπειδὴ κἂν εἰ χειροτονηθείη καί τι τοιοῦτο πρ ξειε καὶ συνοικοίη τινὶ μετὰ τοῦ ῥηθέντος ὀνόματος ἢ σχ ματος, ἐκπεσεῖται μὲν τῆς διακονίας, καὶ αὐτὴ δὲ κἀκεῖν ὑπεύθυνοι ἔσονται τῷδε ἡμῶν τῷ νόμῳ καὶ τοῖς λοιπο τοὺς[23]) φθορέας κολάζουσι. δεῖ[24]) δὲ πάσας τὰς χειροτονο

22) Ven. ὑποπτεύσειεν ἢ τολμήσειε. 23) Nomoc. c τοῖς τούς. 24) Ven. in marg. ιϛʹ.

μένας εὐλαβεστάτας διακόνους καὶ αὐτὰς κατὰ τὸν τῆς χειροτονίας καιρὸν καὶ νουθετεῖσθαι καὶ τῶν ἱερῶν ἀκούειν παραγγελμάτων ἐπὶ τῶν λοιπῶν τῶν ἤδη οὐσῶν εὐλαβεστάτων διακόνων, ὥστε αὐτὰς καὶ τὸ τοῦ θεοῦ δέος ἐχούσας καὶ τὴν προσοῦσαν τοῖς ἱεροῖς παραγγέλμασι παῤῥησίαν φοβεῖσθαί τε καὶ αἰσχύνεσθαι τῆς ἱερᾶς ἐκπεσεῖν τάξεως, εἰδυίας, ὡς εἰ θαῤῥήσαιεν ἢ καταισχύναι τὴν χειροτονίαν ἢ ἀπολιπούσας τὴν ἱερὰν χειροτονίαν προσομιλῆσαι γάμοις ἢ ἄλλην ὅλως ἑλέσθαι βίου πονηρὰν πορείαν, αὐταί τε ἔνοχοι γενήσονται θανάτου, καὶ τὰ τῆς περιουσίας αὐτῶν προσκυρωθήσεται ταῖς ἁγιωτάταις ἐκκλησίαις ἢ τοῖς μοναστηρίοις, ἐν οἷς εἰσίν. οἵ τε ταύτας φθεῖραι ἢ γῆμαι θαῤῥήσαντες ὑπεύθυνοι μὲν καὶ αὐτοὶ ξίφους ἔσονται, τὴν δὲ οὐσίαν αὐτῶν καθέξει τὸ δημόσιον. εἰ γὰρ ἐν τοῖς πάλαι νόμοις ταῖς παρ' ἐκείνοις εἰς τὴν αὐτῶν πλάνην καλουμέναις παρθένοις θάνατος ἐπῆν ἡ ζημία φθαρείσαις, πῶς οὐ μᾶλλον ἡμεῖς τοῦτο ἐπὶ τῶν τἀληθῆ περὶ θεοῦ δοξαζουσῶν ὁριοῦμεν, τὴν σωφροσύνην ἣ μάλιστα γυναῖκας κοσμεῖ φυλάττεσθαι βουλόμενοι διαφερόντως ἐπὶ τῶν εὐλαβεστάτων διακονισσῶν, ὅπως ἂν τό τε πρέπον τῇ φύσει φυλάττοιεν τό τε ὀφειλόμενον τῇ ἱερωσύνῃ τηροῖεν;

ζ'.[25]) Τοὺς δὲ ἅπαξ ἐπὶ τούτοις γενομένους διακόνους ἢ πρεσβυτέρους κατὰ μηδένα τρόπον ἀπολιμπάνειν τὴν ἱερατείαν. ὅπερ οὐ μόνον ἐπὶ πρεσβυτέρων καὶ διακόνων θεσπίζομεν, ἀλλὰ κἂν ὑποδιάκονος κἂν εἰ τυχὸν ἀναγνώστης εἴη τις, μηδὲ τοῦτον ἀπολιμπάνειν τὸ πρότερον σχῆμα καὶ εἰς ἕτερον μετατίθεσθαι βίον, γινώσκοντα ὡς εἴπερ τοιοῦτό τι πράξειε κατὰ τὸ ἤδη παρ' ἡμῶν νομοθετηθὲν[26]) ἢ εἰς βουλευτήριον μετα τῆς οὐσίας ἢ ἐν ἀπορίᾳ πρὸς ταξεωτικὴν κατενεχθήσεται τύχην.

25) Ven. in marg. ιζ'. 26) l. 52 §. 5 sqq. C. de episc. 1, 3.

η'.[27]) Οὐ μὴν οὐδὲ ἐκκεχυμένας προσήκει γίνεσθαι τοῦ λοιποῦ τὰς τῶν εὐλαβεστάτων κληρικῶν χειροτονίας. τὰ μὲν γὰρ μέχρι νῦν εἰ καὶ ἐπανορθοῦν ἐχρῆν, ἀλλ' οὖν διὰ τὸν χρόνον ἀφίεμεν, τοῦ λοιποῦ δὲ μὴ προχείρως αὐτὰς γίνεσθαι μηδὲ εἰς ζημίαν τῶν ἁγιωτάτων ἐκκλησιῶν χωρεῖν θεσπίζομεν. ὅσα μὲν οὖν ἐχρῆν περὶ τοῦ τοιούτου τρόπου κατὰ τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν τῆς βασιλευούσης ἡμῶν ταύτης πόλεως καὶ τὰς ὑπ' αὐτὴν ἁγιωτάτας ἐκκλησίας καὶ τὰς ἄλλας τὰς ἐνταυθοῖ γίνεσθαι, ταῦτα ἰδικῷ[28]) περιελάβομεν νόμῳ. ἐν δὲ ἅπασι τοῖς ἔξω τόποις θεσπίζομεν, εἰ μὲν ὁ συστησάμενος ἐξ ἀρχῆς καὶ οἰκοδομήσας τὴν ἐκκλησίαν ὥρισε τὸ τῶν χειροτονουμένων μέτρον οἷα πρὸς αὐτὸ καὶ τὴν δαπάνην περιστήσας, μὴ πρότερον χειροτονηθῆναί τινα κατὰ τὴν αὐτὴν ἐκκλησίαν, πρὶν ἂν εἰς τὸν ἀριθμὸν τὸν ἐξ ἀρχῆς ὁρισθέντα τὸ μέτρον αὐτοῦ περισταίη. εἰ δὲ μὴ τοῦτο γέγονεν, αὐτὴ δὲ ἡ τῆς πόλεως ἐκκλησία χορηγοίη τὰς σιτήσεις ἑαυτῇ τε καὶ ταῖς ἄλλαις ἐκκλησίαις, τηνικαῦτα μὴ προχείρως αὔξειν τοὺς ἐκεῖσε κληρικούς, μηδὲ διά τινας ἴσως προσπαθείας ἢ χάριτας ταῖς ἐντεῦθεν αὐτὴν καταφορτίζειν δαπάναις (οὐκ εὐσεβῆ γὰρ τὰ τοιαῦτα οὐδὲ ἱερέων ἄξια), ἀλλ' ἐξ ὧν ὁ δεσπότης διδοίη θεὸς ἐκ τούτων τὰ δυνατὰ χορηγεῖν, ἢ τὴν γοῦν παλαιὰν φυλάττειν συνήθειαν μηδ' ὁτιοῦν παντελῶς καινιζομένην. ὥστε προσήκει τοὺς θεοφιλεστάτους πατριάρχας καὶ μητροπολίτας τούτου τίθεσθαι πρόνοιαν, καὶ τοὺς μὲν μέχρι νῦν ὄντας ἐᾶν ἐπὶ τοῦ αὐτοῦ σχήματος ἐφ' οὗπερ εἰσὶ κληρικούς, συμμετρεῖν δὲ τὴν ἑκάστης ἐκκλησίας δύναμιν, καὶ οὕτως αὐτούς τι

27) Ven. in marg. ιη'. 28) Ven. γενέσθαι τούτῳ τῷ Respicit ad const. XIV. Nec tamen ideo haec nostra constitutio constitutioni XIV postponenda fuit. Etenim constitutiones eodem die datae haud raro altera ad alteram quasi priorem respicit; ut hic ad c. XIV, ita infra in c. XIV ad hanc nostram relegamur.

τοὺς ὁσιωτάτους πατριάρχας τὰς ὑφ' ἑαυτοὺς τάττειν ἐκκλησίας, τούς τε μητροπολίτας αὐτὸ τοῦτο παρὰ τῶν ὁσιωτάτων πατριαρχῶν ὑπομιμνησκομένους ποιεῖν, ἐκείνους τε τοὺς ἄλλους ἅπαντας τοὺς ὑφ' ἑαυτοὺς ἐπισκόπους ἐπὶ τὴν συμμετρίαν ταύτην ἐμβιβάζειν, καὶ σπεύδειν μὴ ὑπὲρ τὴν δαπάνην ποιεῖσθαι τὰς τῶν κληρικῶν χειροτονίας. ἴσμεν γὰρ ὅσαι τῶν ἁγιωτάτων ἐκκλησιῶν διὰ τοῦτο δὴ τὸ τῶν χειροτονουμένων τε καὶ τῆς ἄλλης δαπάνης ἐκκεχυμένον ἠπόρησαν, καὶ ὅτι τινὰς ἐξ αὐτῶν μόλις μὲν περιεσώσαμεν δὲ ὅμως, τινὲς δὲ ἔτι καταπεφορτισμέναι κεῖνται, ἐκ τῆς τοιαύτης ἀνενεγκεῖν στενοχωρίας οὐ δυνάμεναι. ὥστε τούτου προνοήσουσιν οἱ ἁγιώτατοι πατριάρχαι καὶ οἱ μητροπολῖται καὶ οἱ λοιποὶ θεοφιλέστατοι ἐπίσκοποι, ἐφ' ᾧ τε ἡμᾶς τὰ παρ' αὐτῶν γινόμενα μανθάνοντας ἀποδέξασθαι αὐτούς, ὅτι τὸν ἐν γράμμασιν ἡμῶν νόμον[29]) ἐν αὐτοῖς ἔδειξαν τοῖς ἔργοις πολιτευόμενον.

Τὰ τοίνυν παρ' ἡμῶν νομοθετηθέντα καὶ τὴν ἱερὰν τάξιν τε καὶ κατάστασιν φυλάττοντα κατὰ τὴν τῶν θείων κανόνων δύναμίν τε καὶ παρατήρησιν τοῦ λοιποῦ φυλαττέτωσαν διηνεκῶς ἀκέραια οἵ τε ἁγιώτατοι πατριάρχαι διοικήσεως ἑκάστης, οἵ τε θεοφιλέστατοι μητροπολῖται οἵ τε λοιποὶ εὐλαβέστατοι ἐπίσκοποι οἵ τε κληρικοί, πανταχοῦ τὴν τοῦ θεοῦ λειτουργίαν καὶ τὴν ἱερὰν εὐκοσμίαν τηροῦντες ἀκέραιον, ποινῆς ἐπικειμένης τῷ ταῦτα παραβαίνοντι τὸ παντελῶς αὐτὸν ἀλλότριον εἶναι θεοῦ τε καὶ τῆς ἐπικειμένης αὐτῷ κατὰ τὴν ἱερωσύνην ἀξίας· ὡς γὰρ ἀνάξιος ταύτης ἐξελαθήσεται. ἄδειαν[30]) δὲ πᾶσι δίδομεν ὁποίᾳ δήποτε τάξει καθεστᾶσι καὶ σχήματι βίου θεωμένοις τι τούτων παραβαινόμενον μηνύειν ἡμῖν τε καὶ εἰς τὴν ἀεὶ βασιλείαν, ὅπως ἂν ἡμεῖς οἱ ταῦτα κατὰ τὴν τῶν θείων κανόνων ὑφήγησιν καὶ τὴν ἀποστολικὴν παράδοσιν διατάξαντες πρέπουσαν καὶ

29) Const. XIV. 30) Ven. in marg. ιθ'.

ἐπὶ τοῖς παραβαίνουσιν ἐνέγκοιμεν ἀγανάκτησιν· δηλαδὴ κ τῶν νενομοθετημένων παρ' ἡμῶν περὶ τῶν κληρονόμων[31] τῶν θεοφιλεστάτων ἐπισκόπων φυλαττομένων. [§. 1.] μὲν οὖν ἁγιώτατοι πατριάρχαι διοικήσεως ἑκάστης ταῦ προθήσουσιν ἐν ταῖς ὑφ' ἑαυτοὺς ἁγιωτάταις ἐκκλησία δῆλα δὲ ποιήσουσι τοῖς θεοφιλεστάτοις μητροπολίταις παρ' ἡμῶν διατεταγμένα, οἱ δὲ αὖθις καὶ αὐτοὶ προθήσοι τε αὐτὰ κατὰ τὴν τῆς μητροπόλεως ἁγιωτάτην ἐκκλησία τοῖς τε ὑφ' ἑαυτοὺς ἐπισκόποις φανερὰ ταῦτα καταστήσου κἀκείνων δὲ ἕκαστος ἐν τῇ οἰκείᾳ ἐκκλησίᾳ ταῦτα προθήσ ὥστε μηδένα τῶν τῆς ἡμετέρας πολιτείας ἀγνοεῖν τὰ πα ἡμῶν εἰς τιμήν τε καὶ αὔξησιν τοῦ μεγάλου θεοῦ καὶ σωτ ρος ἡμῶν Ἰησοῦ Χριστοῦ διατετυπωμένα, ἐφ' ᾧ τε ἀκολο θοῦσαν τούτοις τὴν σὴν ἁγιωσύνην ἅπασι τοῖς ὑπ' αὐτ ὁσιωτάτοις μητροπολίταις φανερὰ ταῦτα καταστῆσαι τῷ παι συμπαραδοθησόμενα χρόνῳ.

Ἐγράφη[32]) τὰ ἰσότυπα τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ Ἀ ξανδρείας[33]) Αἰφρεμίῳ τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ Θεουπ λεως Πέτρῳ τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ Ἱεροσολύμων Ἰωάν τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερ ἀπὸ ὑπάτων καὶ πατρικίῳ, Δομνίνῳ[34]) τῷ ἐνδοξοτά ἐπάρχῳ τῶν παρὰ Ἰλλυριοῖς ἱερῶν πραιτωρίων. Dat. XV Kal. April. Constantinop. Belisario[35]) V. C. Cons.

31) κληρονομιῶν? Indicatur l. 41 §. 5 sqq. C. de episc. 1, 32) Ven. in marg. κ'. 33) Nomen archiepiscopi Alexandr deest: hoc enim tempore sedes Alexandrina vacasse videt Videatur Chron. Orientale ed. Venet. II p. 82 et Victor Tunn nensis ad a. 540. — Theophanes (ed Paris. p. 183) anno 5 assignat Timotheum episc. Alexandrinum, Euphremium epi Antiochenum (quem Euphrasium vel Euphemium vocat Vict Tunnunensis), Ioannem episc. Hierosolymitanum. 34) Fo Δομνίκῳ. Cf. inscriptionem const. XXX. 35) Athan. Ἐγρά τῇ ιζ' καλ. ἀπριλ. ὑπατείᾳ βελισαρίου καὶ εὐτροπίου. similit Theod. ἐξεφωνήθη μηνὶ ἀπριλίῳ ὑπατείᾳ βελισαρίου καὶ εὐτρ πίου. (Eutropium fasti silent.) Iuliani Codices: D. Kal. Apr

Auth. 5. XIII. Nov. 5.

Hal. nonnisi rubricam et inscriptionem habet. Extat in Cod. Ambrosiano. Versionem antiquam ex Anselmi Lucensis Coll. can. edidit Savinius in Zeitschr. f. gesch. RW. II p. 128 sqq. Particulas textus praestant Coll. 87 capp. c. 6—11 et Basil. IV, 1, 1; summas Iulian. c. 4, Athanas. I, 13 et Theod. Nov. 5, Nomoc. XIV titt. 9, 29. 32. 11, 1. Ad c. 1 videsis Eclogam ad Proch. mut. 23, 11, ad c. 2 τὰς ῥοπὰς 26, 12. Cod. Venetus post inscriptionem habet: *αὕτη ἡ νεαρὰ οὐκ ἐτέθη ὅλη εἰς τὰ βασιλικὰ, ἀλλὰ παρεσιωπήθη, ὅτι τὰ μὲν αὐτῆς ἀναιρεῖται ὑπὸ τῆς ρκγ' νεαρᾶς, τὰ δὲ ὁμοίως διατάττεται ὑπ' αὐτῆς· μόνον δὲ τὸ ἐν ταύτῃ πρῶτον κεφάλαιον κατεστρώθη ἐν βι. δ' τῶν βασιλικῶν τι. α' κεφ. α', τὸ δὲ δεύτερον ταύτης κεφάλαιον μετετέθη ἐν τῇ ρκγ' νεαρᾷ.* — Idem scholium licet in brevius contractum praestat Flor.

Περὶ μοναστηρίων καὶ μοναχῶν καὶ ἡγουμένων.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἐπιφανίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς βασιλίδος ταύτης πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Ὁ ἐν ἀσκήσει μοναχικῇ βίος οὕτως ἐστὶ σεμνός, οὕτως οἰκειοῦν οἶδε θεῷ τὸν εἰς τοῦτο ἐρχόμενον ἄνθρωπον, ὥστε πάντα μὲν ἀνθρώπινον αὐτοῦ σπῖλον ἀποξύειν, καθαρὸν δὲ ἀποφαίνειν καὶ τῇ λογικῇ πρέποντα φύσει καὶ τὰ πολλὰ κατὰ νοῦν ἐνεργοῦντα καὶ τῶν ἀνθρωπίνων φροντίδων ὑπέρτερον. εἰ τοίνυν μέλλοι τὶς ἔσεσθαι μοναχὸς ἀκριβής, δεῖ καὶ τῆς τῶν θείων αὐτῷ λογίων παιδείας καὶ ἀσκήσεως ἀκριβοῦς, ὥστε τηλικαύτης ἀξίῳ γενέσθαι μεταβολῆς. ᾠήθημεν τοίνυν καὶ ἡμεῖς ὑφηγήσασθαι τὸ πρακτέον αὐτοῖς καὶ ἀγωνιστὰς αὐτοὺς ἀληθεῖς τῆς ἐπὶ τὸ θεῖον ὁδοῦ καταστῆσαι. καὶ οὗτος ἡμῖν ὁ σκοπὸς τοῦ παρόντος ἐστὶ νόμου, ὥστε μετὰ τὰ περὶ τῶν θεοφιλῶν ἐπισκόπων νενομοθετη-

num D. XVIII Kal. Apr., quod aperte pro XVII Kal. positum est. — addenda fuerat Ind. XIII.

μένα καὶ τὰ περὶ τῶν εὐλαβεστάτων κληρικῶν διατεταγμένα[1]) μηδὲ τὸ μοναχικὸν ἔξω καταλιπεῖν τοῦ προσήκοντος.

α'. Ἐκεῖνο τοίνυν πρὸ τῶν ἄλλων ῥητέον, ὥστε κατὰ πάντα χρόνον καὶ ἐν ἁπάσῃ τῇ γῇ ἡμετέρας βασιλείας εἴ ποτέ τις οἰκοδομεῖν εὐαγὲς μοναστήριον βούλοιτο, μὴ πρότερον ἄδειαν εἶναι τοῦτο πράττειν, πρὶν ἂν τὸν θεοφιλέστατον τῶν τόπων ἐπίσκοπον προσκαλέσοιτο, ὁ δὲ χεῖράς τε ἀνατείνειεν εἰς οὐρανὸν καὶ διὰ τῆς εὐχῆς τὸν τόπον ἀνιερώσειε θεῷ, πηξάμενος ἐν αὐτῷ τὸ τῆς ἡμετέρας σύμβολον σωτηρίας (φαμὲν δὲ τὸν προσκυνητὸν καὶ τίμιον ὄντως σταυρὸν), οὕτω τε ἄρξηται τῆς οἰκοδομίας καλὸν δή τινα τοῦτον καὶ πρέποντα θεμέλιον ἀποθέμενος. αὕτη μὲν οὖν ἀρχὴ τῆς εὐσεβοῦς τῶν εὐαγῶν μοναστηρίων ποιήσεως ἔστω.[2])

β'. Ἐντεῦθεν δὲ ἡμῖν καὶ τὰ περὶ τῶν καθ' ἕκαστον μοναχῶν σκεπτέον, τίνα προσήκει γίνεσθαι τρόπον αὐτοὺς, καὶ πότερον ἐλευθέρους μόνον ἢ καὶ οἰκέτας τυχὸν, διότι πάντας ὁμοίως ἡ θεία δέχεται χάρις, προκηρύττουσα σαφῶς ὡς τόγε ἐπὶ τῇ τοῦ θεοῦ λατρείᾳ οὐκ ἔστιν ἄρσεν οὐδὲ θῆλυ οὔτε ἐλεύθερος οὔτε δοῦλος· πάντας γὰρ ἐν Χριστῷ ἓν εἰκότως νομίζεσθαι.[3]) θεσπίζομεν τοίνυν τοῖς θείοις ἀκολουθοῦντες κανόσι τοὺς εἰς μονήρη βίον παραγγέλλοντας μὴ προχείρως εὐθὺς παρὰ τῶν εὐλαβεστάτων ἡγουμένων τῶν εὐαγῶν μοναστηρίων σχῆμα λαμβάνειν μοναχικὸν, ἀλλ' ἐπὶ τριετίαν ὅλην εἴτε ἐλεύθεροι τυχὸν εἴτε δοῦλοι καθεστήκοιεν προσκαρτερεῖν οὔπω τοῦ μοναχικοῦ σχήματος ἠξιωμένους, ἀλλὰ κουρᾷ τε καὶ ἐσθῆτι τῇ τῶν καλουμένων χρῆσθαι λαϊκῶν καὶ μένειν τὰ τοῦ θεοῦ διδασκομένους λόγια. καὶ τοὺς εὐλαβεστάτους αὐτῶν ἡγουμένους πυνθάνεσθαί τε αὐτῶν, εἴτε ἐλεύθεροι καθεστήκοιεν εἴτε οἰκέται, καὶ πόθεν αὐτοὺς ἐπιθυμία τοῦ μονήρους εἰσῆλθε βίου, καὶ μανθά-

1) Loquitur de constitutione XII. 2) Ven. in textu: μέχρις ὧδε τὸ βασιλικόν. 3) Cf. Epist. ad Galat. III, 28.

νοντας παρ' αὐτῶν, ὡς οὐδεμία πονηρὰ πρόφασις εἰς τοῦτο αὐτοὺς ἤγαγεν, ἔχειν αὐτοὺς ἐν τοῖς διδασκομένοις ἔτι καὶ νουθετουμένοις, καὶ διάπειραν λαμβάνειν τῆς αὐτῶν καρτερίας τε καὶ σεμνότητος. οὐ γὰρ ῥᾴδιον βίου μεταβολὴ μὴ μετὰ συντονίας ψυχῆς γινομένη. [§. 1.] καὶ εἰ μὲν τὸν τριετῆ βίον ἅπαντα διαμένοιεν ἀρίστους ἑαυτοὺς καὶ καρτερικωτάτους τοῖς τε ἄλλοις μοναχοῖς καὶ τῷ ἡγουμένῳ δεικνύντες, τούτους τῆς μοναχικῆς ἀξιοῦν στολῆς τε καὶ κουρᾶς, καὶ εἴτε ἐλεύθεροι καθεστήκοιεν ἀνεπηρεάστους μένειν, εἴτε οἰκέται μηκέτι παντελῶς ἐνοχλεῖσθαι, μεταβάντας εἰς τὴν κοινὴν ἁπάντων (φαμὲν δὴ τὴν ἐξ οὐρανοῦ) δεσποτείαν· καὶ ἀναρπαζέσθωσαν εἰς ἐλευθερίαν· εἰ γὰρ ἐν πολλοῖς θέμασι καὶ ὑπὸ τοῦ νόμου τοῦτο γίνεται καὶ ποιά τις ἐλευθερία δίδοται, πῶς οὐκ ἂν ἰσχύσειεν ἡ θεία χάρις τῶν τοιούτων αὐτοὺς ἀπολῦσαι δεσμῶν; εἰ δὲ εἴσω τῆς τριετίας ἔλθοι τὶς, καί τινα τῶν εἰς ἄσκησιν παραγγελλόντων ἕλκειν ὡς οἰκέτην βουληθείη (τοῦτο ὅπερ ἔναγχος ἡμῖν ἐκ *Λυκίας* προσήγγειλε Ζώσιμος ὁ θεοφιλέστατος ἀνήρ, πρεσβύτης ἐν ἀσκήσει, καὶ σύνεγγυς μὲν εἰς εἰκοστὸν καὶ ἑκατοστὸν ἐνιαυτὸν τῆς ἡλικίας παραγενόμενος, ἀκμάζων δὲ ταῖς τε τῆς ψυχῆς ἀρεταῖς ταῖς τε τοῦ σώματος ἐνεργείαις, τοσαύτη τὶς αὐτῷ τοῦ θεοῦ χάρις ἐπανθεῖ), εἴ τις τοίνυν καθάπερ εἰπόντες ἔφθημεν εἴσω τῆς τριετίας ἔλθοι τινὰ πρὸς δουλείαν ἕλκων τῶν βουλομένων καὶ προσκαρτερούντων ἐφ' ᾧ γενέσθαι μοναχὸς, λέγοι τε ὡς ὑφείλετό τινα πράγματα καὶ διὰ τοῦτο εἰσέδραμε τὸ μοναστήριον, θεσπίζομεν αὐτὸν μὴ προχείρως τοῦτο πράττειν, ἀλλὰ πρότερον ἀποδεικνύναι ταῖς ἀληθείαις ὡς καὶ δοῦλός ἐστι καὶ ἐπὶ κλοπῇ τυχὸν ἢ ἐπὶ βίῳ πονηρῷ καὶ πταίσμασι χαλεποῖς ἀποδράσειε μὲν διὰ τὸ οἰκεῖον πταῖσμα, εἰς δὲ τὸ μοναστήριον ἔλθοι. καὶ εἰ μὲν ἀληθεύων ἀποδειχθείη, καὶ φανείη διὰ τοιαύτην αἰτίαν μοναχικὴν ὑποδυόμενος ἄσκησιν ἢ καὶ δι' αἰσχρότητα βίου τυχὸν ἀποδρὰς, καὶ οὐ ταῖς ἀλη-

θείαις ἀσκήσεως ἐρῶν[4]), τοῦτον ἀποδίδοσθαι τῷ κεκτημένῳ μεθ' ὧν ὡς εἰκὸς ὑφείλετο, εἴγε καὶ ταῦτα κατὰ τὸ μοναστήριον εἶεν, τὸν δὲ ἀποδειχθέντα δεσπότην τὴν καλουμένην αὐτῷ διδόναι πίστιν ὡς οὐδὲν αὐτὸν δράσει κακὸν, παραλαμβάνειν τε καὶ ἄγειν οἴκοι. [§. 2.] εἰ δὲ ὁ μὲν φάσκων ἑαυτὸν εἶναι δεσπότην οὐδὲν ἐλέγχοι τοιοῦτο, φαίνοιτο δὲ ὁ τὰ τοιαῦτα ἐγκαλούμενος καὶ ἐξ αὐτῆς τῆς ἀσκήσεως σεμνός τε καὶ ἐπιεικὴς, καὶ ἴσως καὶ μαρτυροῖτο ὡς καὶ παρὰ τῷ κεκτημένῳ καθεστὼς κόσμιός τε ἦν καὶ σεμνότητος ἐραστὴς, κἂν μήπω τύχοι πεπερασμένος ὁ τῆς τριετίας χρόνος, ἀλλ' οὖν καὶ οὕτω μενέτω κατὰ τὸ σεβασμιώτατον μοναστήριον τῆς τῶν ἑλκόντων ἀπηλλαγμένος θρασύτητος· τοῦ τριετοῦς δὲ ἅπαξ διελθόντος χρόνου ἐγκριθεὶς ὡς τῆς μοναχικῆς ἄξιος καθεστήκοι σεμνότητος, μενέτω κατὰ τὸ μοναστήριον. οὐκ ἔτι γὰρ δίδομεν ἄδειαν οὐδενὶ παντελῶς πολυπραγμονεῖν τι τῶν κατ' αὐτὸν, ἀλλ' εἴτε οἰκέτης εἴτε ἐλεύθερος εἴη, μένειν αὐτὸν ἐπὶ τῆς ἀσκήσεως βουλόμεθα. καὶ γὰρ κἂν εἴ τι πταῖσμα κατὰ τὸν ἔμπροσθεν αὐτῷ τυχὸν πέπρακται βίον (ἡ γὰρ ἀνθρώπου φύσις ὀλισθηρά πως ἐστὶ πρὸς τὰ πλημμελήματα), ἀλλ' οὖν ἀρκεῖ πρὸς μετρίαν κάθαρσιν τῶν ἡμαρτημένων καὶ πρὸς ἀρετῆς ἐπίδοσιν ἡ τοῦ τριετοῦς χρόνου μαρτυρία· τῶν μέντοι κλαπέντων καὶ οὕτω παρ' οἷς ἂν εὑρεθεῖεν πάντως ἀποδιδομένων τῷ πάλαι δεσπότῃ. [§. 3.] εἰ μέντοι τὴν τῆς δουλείας ἀνάγκην ἐκφυγὼν πειραθείη τὸ μὲν μοναστήριον ἀπολιπεῖν, ἑτέρου δὲ βίου μεταδιώκειν σχῆμα, παῤῥησίαν δίδομεν τῷ κεκτημένῳ καὶ ἕλκειν αὐτὸν καὶ ἀποδεικνύντι τὴν τύχην εἰς οἰκέτας ἔχειν. οὐ γὰρ ἂν ὑβρισθείη τοσοῦτον εἰς ἀληθῆ δουλείαν ἑλκόμενος, ὅσον αὐτὸς ἐξύβρισε τὴν τοῦ θεοῦ λατρείαν ἀποφυγών. καὶ ταῦτα μὲν περὶ τῆς τύχης τῶν εἰς μοναχοὺς παραγγέλλειν βουλομένων θεσπίζομεν.

4) Coll. 87 capp. addit εἰσελήλυθεν.

γ'. Σκεπτέον δὲ ὅπως αὐτοὺς οἰκοῦντας καὶ διαιτω-
ένους μοναχικῆς φιλοσοφίας ἀγωνιστὰς ἀξίους ἀποδείξω.[5])
ουλόμεθα γὰρ μηδὲ ἓν μοναστήριον τῶν ἐπὶ τῆς ὑπηκόου
κθεστὼς, εἴτε πλειόνων ἀνθρώπων ἐστὶν εἴτε ἐλαττόνων,
ὺς ἐν αὐτῷ μοναχοὺς κεχωρισμένους ἀπ' ἀλλήλων ἔχειν
ὶ ἰδίοις οἰκήμασι χρωμένους, ἀλλὰ κοινῇ μὲν αὐτοὺς
τιᾶσθαι θεσπίζομεν, καθεύδειν δὲ ἅπαντας ἐν κοινῷ,
άστου μὲν ἐπί τινος ἰδιαζούσης χαμεύνης κειμένου, ἐν
κῳ δὲ ἑνὶ κατακλινομένους, ἢ εἴπερ οὐκ ἀρκοίη πρὸς τὸ
ῆθος τῶν μοναχῶν οἶκος εἷς, ἐν δύο τυχὸν ἢ καὶ πλειο-
ν, οὐ μὴν ἰδίᾳ καὶ καθ' ἑαυτοὺς ἀλλ' ἐν κοινῷ, ὥστε
άρτυρας τῆς ἀλλήλων γίνεσθαι κοσμιότητός τε καὶ σωφρο-
ύνης, καὶ μηδὲ τὸν ὕπνον αὐτὸν ῥάθυμον ἔχειν ἀλλὰ
ελπῶντα τὴν εὐκοσμίαν διὰ τὴν τῶν ὀψομένων ἐπιτίμησιν·
λὴν[6]) εἰ μή τινες αὐτῶν τὸν ἐν θεωρίᾳ τε καὶ τελειότητι
αζῶντες βίον ἰδιάζον ἔχοιεν οἰκημάτιον, οὓς δὴ καλεῖν
ναχωρητάς τε καὶ ἡσυχαστὰς εἰώθασιν, ὡς τῆς κοινότητος
ὶ τὸ κρεῖττον ἐξῃρημένους. ἐπείτοιγε τοὺς ἄλλους ὅσοις
ς πλῆθος ἡ ἄσκησίς ἐστιν ἐν τοῖς καλουμένοις κοινοβίοις
ναι βουλόμεθα. οὕτως[6a]) γὰρ ὁ ζῆλος αὐτοῖς εἰς ἀρετὴν
ιδώσει, καὶ μάλιστα τοῖς νεάζουσιν, εἴγε μετὰ τῶν
εσβυτέρων τάττοιντο, γενήσεται γὰρ ἡ τῶν παλαιο-
ρων πολιτεία τῆς νεότητος ἀκριβὴς παιδαγωγία· οὕτω τε
τωσαν ἐν τοῖς κοινοβίοις τῷ σφῶν αὐτῶν ἡγεμόνι πειθό-
νοι καὶ τὴν παραδεδομένην αὐτοῖς ἄσκησιν ἀμέμπτως
ροῦντες.

δ'. Εἰ δέ τις ἅπαξ ἑαυτὸν καθιερώσας καὶ τοῦ σχή-
πος τυχὼν εἶτα ἀναχωρῆσαι τοῦ μοναστηρίου βουληθείη
ὶ ἰδιώτην τυχὸν ἑλέσθαι βίον, αὐτὸς μὲν ἴστω ποίαν
ὲρ τούτου δώσει τῷ θεῷ τὴν ἀπολογίαν, τὰ πράγματα

5) Hombergk emendat ἀποδείξωμεν. 6) Ven. πολλήν.
mendavi ex Auth. 6a) Ven. οὗτος.

μέντοι ὁπόσα ἂν ἔχοι ἡνίκα εἰς τὸ μοναστήριον εἰσῄει, τα τῆς δεσποτείας ἔσται τοῦ μοναστηρίου καὶ οὐδ᾽ ὁτιοῦν π τελῶς ἐξάξει.

ε΄. Κἀκεῖνο δὲ προσδιορίζομεν, ὥστε τὸν εἰς μα στήριον εἰσιέναι βουλόμενον πρὶν εἰς τὸ μοναστήριον σέλθοι ἄδειαν ἔχειν τοῖς ἑαυτοῦ χρῆσθαι καθ᾽ ὃν βούλ τρόπον. εἰσελθόντι γὰρ συνακολουθήσει πάντως τὰ πρ ματα, κἂν εἰ μὴ ῥητῶς εἰσάγειν ταῦτα φήσειε, καὶ ἔσται κύριος[7] αὐτῶν οὐκ ἔτι κατ᾽ οὐδένα τρόπον. εἰ γε παῖδας ἔχοι, εἰ μὲν ἔτυχεν ἤδη πράγματά τινα δωρη μενος αὐτοῖς ἢ κατὰ προγαμιαίαν δωρεὰν ἢ κατὰ προι πρόφασιν ἐπιδοὺς, καὶ ποιεῖ ταῦτα τὸ τέταρτον τῶν[8] ἀδιαθέτου τῆς αὐτοῦ περιουσίας, μηδεμίαν ἐπὶ τοῖς λοιτ πράγμασιν ἐχέτωσαν μετουσίαν οἱ παῖδες. εἰ δὲ ἢ οὐ αὐτοῖς δωρήσηται ἢ ἔλαττον τοῦ τετάρτου, καὶ μετὰ παραγγεῖλαι τὸν ἀποταττόμενον εἰς μοναχοὺς οὐδὲν ἦι τὸ τέταρτον ὀφειλέσθω τοῖς παισὶν ἢ εἰς ἀναπλήρωσιν ἔτυχον ἤδη τὶ λαβόντες ἢ καὶ ἐφ᾽ ᾧ τὸ πᾶν αὐτοῖς δοθῇ εἰ δὲ γαμετὴν ἔχων εἶτα αὐτὴν ἀπολιπὼν εἰς μοναστής εἰσίοι, ἥ τε προῖξ τῇ γυναικὶ φυλαττέσθω καὶ τὸ ἀπὸ τε τῆς σύμφωνον (τοῦτο ὅπερ καὶ ἐν ἑτέρᾳ ἡμῶν νενομο τηται διατάξει)[9]· πάντων τῶν ἐπὶ μοναχοῖς περὶ τού ῥηθέντων καὶ ἐπὶ γυναικῶν εἰς μοναστήριον εἰσιου κρατούντων.

ϛ΄. Εἰ δὲ ἀπολιπὼν τὸ μοναστήριον εἴς τινα ἔλ στρατείαν ἢ ἕτερον βίου σχῆμα, τῆς οὐσίας αὐτοῦ καὶ οὗ εἰς τὸ μοναστήριον κατὰ τὸ ἔμπροσθεν ἡμῖν εἰρημένον ἀ μενούσης αὐτὸς ἐν τοῖς ταξεώταις τοῦ λαμπροτάτου ἐπαρχίας ἄρχοντος τετάξεται, καὶ τοῦτον ἕξει τῆς μεταβο

7) Ven. κυρίως a recentione manu. 8) Malim cum A et Coll. 87 capp. scribere: τῆς ἐξ ἀδ. αὐτοῦ περ. 9) l. 52 C. de episc. 1, 3.

τὸν καρπὸν, καὶ ὅ γε τὴν θείαν λειτουργίαν ὑπεριδὼν δικαστηρίου χθαμαλοῦ[9a]) προσκαρτερείτω δουλείᾳ.

ζ΄. Εἰ δὲ ἀπολιπὼν τὸ μοναστήριον καθ' ὅπερ τὴν ἄσκησιν εἶχεν εἰς ἕτερον μεταβαίνοι μοναστήριον, καὶ οὕτω μὲν ἡ αὐτοῦ περιουσία μενέτω τε καὶ ἐκδικείσθω ὑπὸ τοῦ προτέρου μοναστηρίου, ἔνθα ἀποταξάμενος τοῦτο[10]) κατέλιπε. προσῆκον δέ ἐστι, τοὺς εὐλαβεστάτους ἡγουμένους μὴ εἰσδέχεσθαι τὸν τοῦτο πράττοντα. ἀλήτης γὰρ ὁ τοιοῦτος βίος καὶ μοναχικῆς καρτερίας οὐδ' ὅλως ἐγγὺς, οὐδὲ σταθερᾶς καὶ μονίμου ψυχῆς, ἀλλὰ περιφερομένης τε καὶ ἄλλοτε ἄλλα ζητούσης ἀπόδειξιν ἔχων. ὥστε καὶ τοῦτο κωλύσουσιν οἱ θεοφιλέστατοι ἐπίσκοποι καὶ οἵ γε ἀρχιμανδρῖται λεγόμενοι καὶ καλούμενοι, τὴν μοναχικὴν σεμνότητα κατὰ τοὺς θείους κανόνας φυλάττοντες.

η΄. Εἰ δέ τις τῶν μοναχικὴν ἐπαγγειλαμένων ἄσκησιν ἀξιωθείη κληρικοῦ χειροτονίας, μενέτω καὶ οὕτω καθαρὰν φυλάττων τὴν ἄσκησιν, ὡς εἴγε τῇ τοῦ γενέσθαι κληρικὸς ἀποχρήσαιτο παῤῥησίᾳ καὶ πρὸς γάμον ἐλθεῖν θαῤῥήσειεν, δηλαδὴ τοιούτου βαθμοῦ καθεστὼς ἐν κληρικοῖς ὃς αὐτῷ γαμεῖν ἐφίησι (λέγομεν δὲ ψαλτῶν τε καὶ ἀναγνωστῶν· τοῖς γὰρ ἄλλοις ἅπασι τὸν γάμον παντελῶς κατὰ τοὺς θείους κανόνας ἀπαγορεύομεν ἢ παλλακὴν ἔχειν ἢ ἀσελγείαις ἐκδοῦναι τὸν βίον), ἐκβαλλέσθω παντοίως τοῦ κλήρου, οἷα τὴν προτέραν ἄσκησιν καὶ τὸν μονήρη καταισχύνων βίον, καὶ ἰδιώτης ἔστω τὸ λοιπὸν, πρὸς στρατείαν μὲν ἢ ἑτέραν ἐπιτήδευσιν ἐλθεῖν οὐ θαῤῥῶν, εἰ μὴ βούλοιτο τοῖς ἔμπροσθεν ἠπειλημένοις παρ' ἡμῶν ὑποπεσεῖν ἐπιτιμίοις, αὐτὸς δὲ ἐφ' ἑαυτοῦ διαζῶν καὶ γινώσκων ὁποίαν ὑπὲρ τούτου δώσει τῷ μεγάλῳ θεῷ τὴν ἀπολογίαν.

θ΄. Τὴν δὲ τῶν ἡγουμένων χειροτονίαν, εἴ ποτε συμβαίη δεῖσθαι τὸ μοναστήριον ἡγουμένου, μὴ κατὰ τὴν τάξιν

9a) χθαμαλῇ? 10) ταύτην?

τῶν εὐλαβεστάτων γίνεσθαι μοναχῶν, μηδὲ πάντως τὸν μετ τὸν πρῶτον εὐθὺς ἡγούμενον γίνεσθαι μηδὲ τὸν μετ' ἐκεῖνο δεύτερον μηδὲ τὸν τρίτον ἢ τοὺς ἐφεξῆς (τοῦτο ὅπερ κα νόμος ἡμῶν ἕτερος[11]) λέγει), ἀλλὰ τὸν θεοφιλέστατον τῶ τόπων ἐπίσκοπον χωρεῖν μὲν ἐφεξῆς διὰ πάντων (οὐδὲ γὰ ἀτιμαστέον πάντως τὸν χρόνον καὶ τὴν ἐξ αὐτοῦ τάξιν καὶ τὸν ἀναφαινόμενον πρῶτον ἄριστον ἐν τοῖς μοναχοῖ καθεστῶτα καὶ ἄξιον τῆς ἡγεμονίας αὐτῶν τοῦτον αἱρεῖσθα διότι τὰ τῆς ἀνθρωπίνης φύσεως τοιαῦτά ἐστιν, ὡς μή πάντας ἐφεξῆς ἐν τοῖς ἄκροις μηδ' αὖθις ἅπαντας ἐν το ἐσχάτοις τετάχθαι. ἀλλὰ προΐτω μὲν κατὰ τὸν βαθμὸν τοῦ ἡγησαμένου πάντως ἐποψία, ὁ δὲ πρῶτος εὐθὺς ἐν το ἀριθμουμένοις ἄριστος ἀναφανεὶς οὗτος ἡγεμὼν ἔστω, κ τὴν τάξιν ὁμοῦ καὶ τὴν ἀρετὴν συμμαχοῦσαν ἔχων. δεῖ γὰ διακρίνοντας τὸ κρεῖττον ἐκ τοῦ φαυλοτέρου τὸ[12]) μὲν ἡγεμ νεῖν ἐᾶν, θάτερον δὲ ὑποκεκλίσθαι συγχωρεῖν, καὶ τῇ κα ὀλίγον παιδαγωγίᾳ καὶ τοῦτο[13]) πρὸς τὸ κρεῖττον ἐμβαίνει [§. 1.] Ὅσα μέντοι παρ' ἡμῶν ἐν ἁπάσαις ταῖς τε πρότερο ταῖς τε νῦν γενομέναις θείαις ἡμῶν διατάξεσι νενομοθέτη ται περὶ κληρικῶν ἢ μοναχῶν ἢ μοναστηρίων, ταῦτα κοιν τίθεμεν περί τε ἀῤῥένων καὶ θηλειῶν, καὶ μοναστηρίων κα ἀσκητηρίων, οὐ διακρίνοντες τό γε ἐπὶ τούτοις τὸ ἄῤῥεν ἀπ τοῦ θήλεος, διὰ τὸ καθάπερ ἔμπροσθεν εἰπόντες ἔφθημεν ἅπαντα ἐν Χριστῷ καθεστάναι.

Ταῦτα τοίνυν ἅπαντα οἵ τε ὁσιώτατοι πατριάρχαι τοῖ ὑφ' ἑαυτοὺς θεοφιλεστάτοις μητροπολίταις φανερὰ ποιείτω σαν, οἱ δὲ τοῖς ὑφ' ἑαυτοὺς θεοφιλεστάτοις ἐπισκόποι δηλούτωσαν, ἐκεῖνοί τε τοῖς μοναστηρίοις τοῖς ὑπὸ τὴν ἑα τῶν χεῖρα καθεστῶσι γνωριζέτωσαν, ὅπως ἂν διὰ πάντω ἡ τοῦ δεσπότου θεοῦ θεραπεία μενεῖ πανταχόθεν ἀδιάφθο ρος. ἐπικείσονται γὰρ μέγισται ποιναὶ τοῖς ταῦτα παραβα

11) l. 46 C de episc. 1, 3. 12) τόν? 13) τοῦτον?

νουσι, φαμὲν δὲ τὰς ἐξ οὐρανοῦ, ἃς ἀνάγκη τοῖς τῶν ὀρθῶν δογμάτων ὑπερόπταις ἐπικεῖσθαι. καὶ οἱ τῆς ἡμετέρας μέντοι πολιτείας ἄρχοντες, εἰ ταῦτα αὐτοῖς προσαγγελθείεν, πᾶσι σπευδέτωσαν τρόποις τὰ τοῖς θείοις κανόσι περιεχόμενα οἷς ὁ παρ' ἡμῶν κατακολουθεῖ νόμος εἰς ἔργον ἄγεσθαι παρασκευάζειν· οὐδὲ γὰρ ἐκείνους ἐπιλείψει ποινὴ τούτων ῥᾳθυμήσαντας. ὥστε ἀκολουθοῦσαν τούτοις προσήκει τὴν σὴν ἁγιωσύνην ἅπασι τοῖς ὑπ' αὐτὴν ὁσιωτάτοις μητροπολίταις φανερὰ ταῦτα καταστῆσαι. Dat. XVII Kal. April[14]) Constantinop. Belisario V. C. Cons.

Auth. 3. XIV. Nov. 3.

Basil. III, 2, 1—3 exhibent c. 1—3. Summas praestant Iulian. c. 5, Ath. I, 9, Coll. 87 capp. c. 20, Theod. Nov. 3, Nom. XIV titt. 1, 30.

Περὶ τοῦ ὡρισμένον εἶναι τὸν ἀριθμὸν τῶν κληρικῶν τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ τῶν λοιπῶν ἁγιωτάτων ἐκκλησιῶν τῆς πανευδαίμονος ταύτης πόλεως.[1])

Ὁ αὐτὸς Βασιλεὺς Ἐπιφανίῳ ἀρχιεπισκόπῳ τῆς βασιλίδος ταύτης πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Ἤδη μὲν κοινῷ τε καὶ γενικῷ[2]) νόμῳ πρός τε τὴν μακαριότητα[3]) τὴν σὴν πρός τε τοὺς λοιποὺς ἁγιωτάτους πατριάρχας γεγραμμένῳ τὰ περὶ τῆς χειροτονίας τῶν εὐαγῶν

14) Ven. D. XVI K. April. Coonstantinuπόλει Bilisar. v. c. cons. Athan. Ἐγράφη πρὸ ιη' Καλ. ἀπρ. Et sic est apud Anselmum. Auth. XII vel XIII K. April. Theod. ἐξεφ. μηνὶ ἀπριλ. Iulian. D. K. April. Legendum XVII Kal. April. utpote qua die constt. XII. XIII. XIV. inter se cohaerentes simul datae esse videntur.
1) Verba ταύτης πόλεως Ven. non habet. Supplevi ex Hal. 2) Ita secundum Hal. Auth. Theod. Athanasius: ἰδικῷ. Ven. ἡγεμονικῷ. Intelligitur const. XII. 3) Hal. addit ὦ πατριάρχη.

ἐπισκόπων καὶ εὐλαβεστάτων κληρικῶν, καὶ γυναικῶν ;
μὴν διακόνων, καὶ τοῦ μὴ πλείους εἶναι τοῦ ἐξ ἀρχ
μέτρου τοὺς χειροτονουμένους διετυπώσαμεν, ἅπερ ἡμ
ἐδόκει καλῶς τε καὶ προσηκόντως ἔχειν καὶ τῶν ἱερά
κανόνων ἀξίως· τὸν δὲ παρόντα νόμον ἰδικὸν πρὸς τ
σὴν μακαριότητα γράφομεν τὰ περὶ τοῦ ἀριθμοῦ τῶν εὐλ
βεστάτων κληρικῶν τῶν ἐνταῦθα διατάττοντες. ἐπειδὴ γ
οὐδὲν σχεδὸν τῶν ἐν ἀμετρίᾳ καλὸν, προσῆκον ἂν εἴη μη
τὰς χειροτονίας τὰς ἐν τοῖς εὐλαβεστάτοις κληρικοῖς ἢ τα
εὐλαβεστάταις διακόνοις[4]) γίνεσθαι τοσαύτας, ὡς ταῖς ἐκε
νων ἀποτροφαῖς τὴν ἁγιωτάτην μεγάλην[5]) ἐκκλησίαν ε
διανεισμάτων ἐμπίπτειν χρείαν μεγάλων καὶ κατὰ μικρ
εἰς τὴν ἐσχάτην ἀπορίαν καταφέρεσθαι. ἴσμεν γὰρ παρὰ[6]) τ
τοιαύτην πρόφασιν τὴν τῆς βασιλίδος ταύτης πόλεως ἁγιω
τάτην μεγάλην ἐκκλησίαν, τὴν τῆς ἡμετέρας βασιλεί
μητέρα, δανείσμασιν ἐνοχλουμένην μεγάλοις καὶ οὐκ ἄλλα
ἰσχύουσαν ἑκάστην ποιεῖσθαι διάδοσιν τοῖς εὐλαβεστάτο
κληρικοῖς, πρὶν ἂν χρυσίον οὐ μέτριον δανείσαιτο, ποιουμ
νην τοῦτο μὲν ὑποθήκας τοῦτο δὲ ἐνεχύρων δόσεις ἐπὶ το
καλλίστοις αὐτῆς χωρίοις τε καὶ προαστείοις. διὰ ταῦτ
τοίνυν συνείδομεν ἑαυτοὺς καθεῖναι πρὸς τὴν τοῦ πρά
ματος ζήτησιν, καὶ μαθεῖν τίνα μὲν τρόπον ἔμπροσθεν εἶχ
τί δὲ τὸ τοῦ χρόνου μῆκος ἐξεῦρεν. ἀνιχνεύοντες τοίν
αὐτὸ πανταχόθεν, εὑρίσκομεν ὡς ἕκαστος τῶν τὰς ἁγιωτ
τας ἐκκλησίας οἰκοδομησάντων ἐπὶ τῆς εὐδαίμονος ταύτ
πόλεως οὐκ οἰκοδομίας ἐφρόντισε μόνης, ἀλλὰ καὶ τ
χορηγίαν αὐτάρκη δοῦναι τοῖς παρ' αὐτοῦ γενομένο
εὐαγέσιν οἴκοις, καὶ ὁρίσαι πόσους μὲν προσῆκόν ἐσ
πρεσβυτέρους καθ' ἑκάστην ἐκκλησίαν, πόσους δὲ διακόνο
ἄῤῥενάς τε καὶ θηλείας, πόσους τε ὑποδιακόνους, καὶ αὖθ

4) Hal. διακονίσσαις. Sed αἱ διάκονοι satis usitatum e
5) Venet. μεγ. omittit. 6) περί?

ψάλτας τε καὶ ἀναγνώστας καὶ πυλωροὺς καθεστάναι· καὶ πρὸς τοῦτο καὶ τὴν τοῦ οἴκου δαπάνην ὥρισε καὶ πρόσοδον οἰκείαν ἐπέδωκεν, ἀρκοῦσαν τοῖς παρ' αὐτοῦ καταστᾶσιν[7]), εἰ δέ τις προσεπιθείη πλῆθος, οὐκέτι παντελῶς ἐκτείνεσθαι δυνατήν. καὶ διέμεινέ γε μέχρι πολλοῦ τὰ τοιαῦτα φυλαττόμενα, καὶ ἕως τοῦτο ἦν, ἔμεινε καὶ τὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν τοῖς οἰκείοις ἀρκούμενα. ὡς δὲ οἱ θεοφιλέστατοι ἐπίσκοποι ταῖς δυσωπήσεσί τινων ἀεὶ προσέχοντες ἐξεχέθησαν πρὸς τὸ τῶν χειροτονουμένων πλῆθος, ηὔξηται μὲν ἡ τῆς δαπάνης ποσότης εἰς ἀμετρίαν πολλήν, δανεισταὶ δὲ πανταχόθεν καὶ τόκοι, καὶ τὸ τελευταῖον οὐδὲ δανεισταὶ λοιπὸν διὰ τὴν ἀπιστίαν ἤδη τοῦ πράγματος, ἀλλ' ἐκποιήσεις τε ἠναγκασμέναι καὶ παράνομοι καὶ πράγματα ἀπρεπῆ, καὶ οὐδὲ οἰκίας ἰδιωτικῆς ἄξια σωφρονούσης, ὥστε ἐκ τῆς τοιαύτης ἀτοπίας μηδὲ τὰ χωρία μηδὲ τὰ προάστεια ἐξαρκεῖν ταῖς ὑποθήκαις καὶ τοῖς ἐνεχύροις, μηδὲ δανειστῶν διὰ τοῦτο εὐπορεῖν, ἀλλ' εἰς ἀπορίαν κατελθεῖν παντελῆ, καὶ μηδὲ αὐτοῖς τοῖς λειτουργοῦσι τὴν ἀποτροφὴν διδόναι δύνασθαι, ἀλλ' εἰς τὴν πασῶν ἀθλιωτάτην ὁδὸν τὸ πρᾶγμα καταφέρεσθαι τὸ τῶν ὄντων ἁπάντων τοῖς δανεισταῖς ἐκστῆναι. ὅπερ καὶ λέγοντες ὀκνοῦμεν, καὶ ὅπως ἂν μὴ γένοιτο προνοοῦμεν. εἰ γὰρ οὐκ ἄν τις ἐνέγκοι πρᾴως τὸν ὑπὲρ τὴν οὖσαν αὐτῷ περιουσίαν δαπανῶντα, πῶς οὐχὶ καὶ τὰ περὶ τούτων ἡμῖν φροντιστέον; οὐ γὰρ δεῖ πρὸς τὰς δαπάνας ἐπιζητεῖν καὶ τὰς κτήσεις (τοῦτο γὰρ εἰς ἀπληστίαν τε ὁμοῦ καὶ ἀσέβειαν ἄγει), ἀλλὰ τοῖς οὖσι συμμετρεῖν καὶ τὰς δαπάνας. ὥστε προσηκόντως καὶ τὰ περὶ τούτων νομοθετήσομεν, καὶ τὴν ἀοριστίαν ἐκβαλοῦμεν ῥητῇ τὸ πρᾶγμα παραδιδόντες θεραπείᾳ.

α'. Θεσπίζομεν τοίνυν, τοὺς μὲν ἄχρι νῦν ὄντας κατὰ τὴν αὐτὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν καὶ τοὺς λοιποὺς

7) Hal. τῇ παρ' αὐτοῦ καταστάσει. Forte καταστάσῃ scil. δαπάνῃ.

ἅπαντας εὐαγεῖς οἴκους εὐλαβεστάτους[8]) *κληρικοὺς καὶ γυναῖκας διακόνους καὶ πυλωροὺς μένειν ἐφ' οὗπερ εἰσὶ σχήματος· οὐ γὰρ τὸ ὂν ἐλαττοῦμεν, πρόνοιαν δὲ τοῦ μέλλοντος ποιούμενοι ταῦτα νομοθετοῦμεν. τοῦ δὲ ἑξῆς χρόνου μηδεμία γινέσθω χειροτονία μέχρις ἂν εἰς τὸν ἐξ ἀρχῆς ἀριθμὸν τὸν ἐνστάντα παρὰ τῶν τὰς ἁγιωτάτας ἐκκλησίας οἰκοδομησαμένων ἢ τῶν εὐλαβεστάτων κληρικῶν περισταίη ποσότης. ἀλλ' ἐπειδὴ πρῴην καὶ τὸ τῶν εὐλαβεστάτων κληρικῶν τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος ἡμῶν πόλεως ὥριστο μέτρον, καὶ σφόδρα συνεσταλμένον ἦν οἷα μιᾶς οὔσης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ὕστερον δὲ ὅ τε προσκυνητὸς οἶκος τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας ὁ πρὸς τῷ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας γειτονήματι κείμενος ᾠκοδομήθη παρὰ τῆς εὐσεβοῦς τὴν λῆξιν Βηρίνης*[9]), *ὅ τε σεβάσμιος οἶκος τοῦ ἁγίου μάρτυρος Θεοδώρου παρὰ Σφωρακίου τοῦ τῆς ἐνδόξου μνήμης ἀνιερώθη, ἦν δὲ καὶ ὁ προσκυνητὸς οἶκος τῆς ἁγίας Εἰρήνης ὁ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ συνημμένος, διὰ τοῦτο περιστῆναι τὸν ἀριθμὸν εἰς τὸ ἀρχαῖον σχῆμα τῶν ἀδυνάτων ἐστίν. οὐ γὰρ ἂν ἀρκέσειαν τοσαύταις ἐκκλησίαις ὀλίγοι καθεστῶτες, ἐπείπερ οὐκ ἰδιάζοντας κληρικοὺς οὐδὲ εἷς τούτων ἔχει τῶν τριῶν οἴκων, κοινοὶ δέ εἰσι τῆς τε ἁγιωτάτης μεγάλης ἐκκλησίας καὶ αὐτῶν, καὶ τούτους*[10]) *ἅπαντες περινοστοῦντες κατά τινα περίοδον καὶ κύκλον τὰς λειτουργίας ἐν αὐτοῖς ποιοῦνται· ἄλλως τε καὶ πολλοῦ πλήθους ἐκ τῶν πρῴην αἱρετικῶν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ προσαχθέντος χάριτι μὲν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πόνοις δὲ καὶ προτροπαῖς ἡμετέραις, δεῖ πλείονας*[11])

8) Ven. *καὶ τοὺς εὐλ.* 9) Bas. *Μηρίνης*, mox Hal. *Σφρακίου.* 10) Flor. *καὶ αὐτῶν* non habet. Quid si his omissis legamus *καὶ τούτων?* 11) Ita omnino cum Auth. legendum. Ven. et Bas. *διπλασίονας*. Hal. *ὡς διπλασίονας*. Atqui numerum clericorum duplicatum esse nequaquam verisimile est. Caeterum

ῶν ἐξ ἀρχῆς εἰς τὴν εὐσεβῆ λειτουργίαν τὰς ὑπηρεσίας φορισθῆναι. [§. 1.] ὥστε θεσπίζομεν, μὴ περαιτέρω μὲν ›xaginta[12]) πρεσβυτέρους[13]) κατὰ τὴν ἁγιωτάτην μεγάλην ικλησίαν εἶναι, διακόνους δὲ ἄῤῥενας centum, καὶ quadra- inta δὲ θηλείας, καὶ ὑποδιακόνους nonaginta, ἀναγνώ- ιας δὲ centum decem, καὶ ψάλτας viginti quinque, ὡς ναι τὸν πάντα ἀριθμὸν τῶν εὐλαβεστάτων κληρικῶν τῆς ;γάλης ἐκκλησίας ἐν τετρακοσίοις εἰκοσιπέντε προσώποις, ιὶ centum πρὸς τούτοις τῶν καλουμένων πυλωρῶν. κατὰ ἰν οὖν τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν τῆς εὐδαίμονος ιῶν ταύτης πόλεως καὶ τοὺς τρεῖς εὐαγεῖς οἴκους τοὺς νωμένους αὐτῇ τοσούτων κληρικῶν ἔστω πλῆθος, οὐδε- ὸς μὲν τῶν νῦν ἐκβαλλομένου κἂν εἰ πολλῷ πλείων ριθμὸς εἴη παρὰ τὸν ὑφ' ἡμῶν ὡρισμένον, μηδενὸς δὲ ῦ λοιποῦ προστιθεμένου καθ' ἕκαστον τάγμα τὸ νῦν ἕως ' εἰς τοῦτον τὸν ἀριθμὸν περισταίη τὸ μέτρον.

β'. Κἀκεῖνου προστιθεμένου, ὥστε τὸ μέχρι τοῦ νῦν ἰκ εὐπρεπῶς γινόμενον μηκέτι πολιτεύεσθαι τὸ πολλοὺς ὶν εὐλαβεστάτων κληρικῶν ἀπαξιοῦν μὲν ἐν αἷς ἐχειροτο- ιθησαν ἁγιωτάταις ἐκκλησίαις ἢ ἐνταῦθα ἢ κατὰ χώραν νειν, εἰς δὲ τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν καὶ τὸν αγῆ κλῆρον αὐτῆς διά τινος προστασίας ἐμβαίνειν. ὅπερ ῦ λοιποῦ παντελῶς γίνεσθαι κωλύομεν. εἰ γὰρ ἐπὶ τῶν αγῶν μοναστηρίων κωλύομεν ἐξ ἑτέρου μοναστηρίου πρὸς ;ρον μεταβαίνειν[14]), πολλῷ μᾶλλον οὐδὲ τοῖς εὐλαβεστά- ις κληρικοῖς τοῦτο ἐφήσομεν, κέρδους τε καὶ ἐμπορίας ;όδειξιν ἔχειν τὴν τοιαύτην ἐπιθυμίαν ἡγούμενοι. εἰ δὲ ἰ ποτε τοιαύτην τινὰ μετάστασιν ἡ σὴ μακαριότης ἢ ἡ τὰ καιρὸν βασιλεία γενέσθαι συνίδοι, μὴ ἄλλως τοῦτο

›r. hic laudat βι. α' τοῦ κώδ. τί. β' διατ. δ'. 12) Ven. er lineas ἑξήκοντα, et mox ἑκατὸν, τεσσαράκοντα, ἐνενή- ντα, ἑκατὸν δέκα, εἴκοσι πέντε. 13) Ven. πρεσβυτέρων. Const. XIII c. 7.

πράττεσθαι, πρὶν ἂν εἰς τὸν εἰρημένον ἡμῖν ἀριθμὸν π
σταίη τὸ πρᾶγμα, ὥστε τὴν μετάστασιν εἰς τὴν τοῦ λεἰ
τος τάξιν γίνεσθαι, ἀλλ' οὐχ ὑπὲρ τὸν ἀριθμόν τινα ι
τελῶς ἐμβαίνειν. τοῦτο γὰρ ἐξ οὐδεμιᾶς μηχανῆς οὐδὲ
τινος τρόπου γίνεσθαι συγχωροῦμεν. καὶ ταῦτα μὲν
τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας. [§. 1.] ἐν δὲ ταῖς ἄλ
ἁπάσαις ἐκκλησίαις ὧν τὴν χορηγίαν ἡ ἁγιωτάτη μεγ
ἐκκλησία ποιεῖται θεσπίζομεν τοὺς μὲν νῦν ὄντας μέ
ὁμοίως καὶ αὐτοὺς ἐπὶ σχήματος, τοῦ δὲ λοιποῦ μηι
χειροτονεῖσθαι, πρὶν ἂν εἰς τὸ καλούμενον στατοῦτον
στης ἐκκλησίας, ὅπερ ἐξ ἀρχῆς ὥρισται παρὰ τῶν ται
οἰκοδομησαμένων, ὁ τῶν πρεσβυτέρων τε καὶ διακό
ἀῤῥένων τε καὶ θηλειῶν καὶ ὑποδιακόνων καὶ ἀναγνωc
καὶ ψαλτῶν καὶ πυλωρῶν ἀριθμὸς περισταίη· καὶ μηδὲ
ἐν μέσῳ παντελῶς προστιθέσθω. ἡμεῖς τε γὰρ αὐτοὶ φ
ξόμεθα τοιοῦτό τι πράττειν καὶ τοὺς χειροτονηθησομέι
στέλλειν, οὐδείς τε τῶν ἡμετέρων ἀρχόντων τοιοῦτό
πράξει τὸν ἡμέτερον εὐλαβούμενος νόμον. ἄδειά τε ἰ
τῷ μακαριωτάτῳ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ τῆς βασιλ
ταύτης πόλεως πρὸς τὴν χειροτονίαν ἀντιλέγειν κἂν π
τῆς αὐλῆς ἡ κέλευσις ἔλθοι· ὅ τε γὰρ ἐπιτάττων ὅ τε
ταττόμενος ὑπὸ ἐκκλησιαστικὸν ἔσται ἐπιτίμιον, εἴ τι του
πράξειεν. ἀλλ' οὐδὲ ἐν ταῖς ἐκκλησίαις ταῖς ἄλλαις,
μὴ τὴν τροφὴν καὶ χορηγίαν ἔχουσιν ἐκ τῆς ἁγιωτι
μεγάλης ἐκκλησίας, προσῆκόν ἐστι πλῆθος ἐπαφιέναι
χειροτονουμένων ἐν αὐταῖς, οὐδὲ ὑπερβαίνειν τοῦ λοιπο
τεταγμένον ἐξ ἀρχῆς καὶ ἐπ' ἐκείναις μέτρον, μή ποτε
οἱ κατ' αὐτὰς ἱερωμένοι πρὸς πλῆθος ἐκπίπτοντες ἅμε
καὶ τοὺς προσιόντας αὐτοῖς παρὰ τῶν εὐσεβούντων πό
μεριζόμενοι, κἀκεῖθεν πρὸς τὸ μέτρον αὐτῶν οὐκ ἀρκοῦ
ὁρῶντες, εἰς μεγάλην στενοχωρίαν ἐμπίπτοιεν. εἰ δὲ ι
τὸ μέτρον τὸ ὡρισμένον ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησ
ἐν ταῖς ἄλλαις ἐκκλησίαις χειροτονήσειεν ὁ τῆς ἁγιωτ

μεγάλης ἐκκλησίας προεστὼς κατὰ καιρὸν ἁγιώτατος ἀρχιπίσκοπος, καὶ οἱ[15]) θεοφιλέστατοι τῆς αὐτῆς ἁγιωτάτης κκλησίας οἰκονόμοι δαπάνην ἐκ τῶν ἐκκλησιαστικῶν ἐπιοῖεν πόρων, αὐτοί τε οἴκοθεν καὶ ἐκ τῆς ἑαυτῶν περιυσίας διδότωσαν τὴν δαπάνην ὅ τε ταῦτα χορηγεῖν αὐτοῖς πιτρέψας μακαριώτατος πατριάρχης. ἴστωσαν γάρ, ὡς εἴ τι οιοῦτο πράξαιεν, ἄδειαν δίδομεν καὶ τοῖς μετὰ τὸν τοιοῦτο ράξαντα ὁσιωτάτοις πατριάρχαις καὶ τοῖς μετὰ ταῦτα οἰκονόμοις καὶ πᾶσι τοῖς λοιποῖς εὐλαβεστάτοις κληρικοῖς τὰ οιαῦτα καὶ πολυπραγμονεῖν καὶ γινόμενα κωλύειν καὶ προαγγέλλειν τῇ βασιλείᾳ, ὥστε ταύτην μανθάνουσαν προστάτειν ἐκ τῆς οὐσίας τῶν τοῦτο πραξάντων οἰκονόμων ἢ καὶ οῦ ἐπιτρέψαντος ἀρχιεπισκόπου ταῦτα ἀποσώζεσθαι τῇ γιωτάτῃ μεγάλῃ[16]) ἐκκλησίᾳ, ὥστε μὴ καὶ αὖθις γενέσθαι ινὰ τοιαύτην τῷ πράγματι σύγχυσίν τε καὶ ταραχήν. τοῦ ράγματος δὲ εἰς τὸ ἐξ ἀρχῆς περιϊσταμένου μέτρον, τηνιαῦτα χειροτονεῖν ἐξέστω κατὰ τοσοῦτον, ὥστε μὴ ὑπερβαλειν τὸ ῥηθὲν μέτρον μηδὲ τὸν ἀριθμὸν ὑπερβάλλειν ἢ ίνεσθαί τινα περὶ τοῦτο κακουργίαν. οὐδὲ γὰρ ἐκεῖνο νεξόμεθα παντάπασι γενέσθαι τὸ φάσκειν, ὡς ἄδεια ἔσται ειροτονεῖν μέν, οὐ μὴν ἐπιδιδόναι τροφάς. τοῦτο γάρ στιν αὖθις σύγχυσιν ἐργαζομένων καὶ τῇ τῶν ὑπὲρ τὸν ριθμὸν προσθήκῃ δευτέρους καταλόγους συνιστάντων· λλως τε καὶ πολλὰς ἂν σχοίη τὸ πρᾶγμα περιγραφάς, ὥστε τέρας αὐτοὺς ὁδοὺς ἀπληστίας ἐξευρίσκειν ἀντὶ τῆς περὶ ὴν τροφὴν χορηγίας. καὶ τοῦτο τοίνυν πράττεσθαι παντεῶς ἀπαγορεύομεν καὶ ὑπὸ τὸ καλούμενον ἐκκλησιαστικὸν πιτίμιον ἄγομεν, μεγάλην[17]) ὠφέλειαν εἶναι νομίζοντες τὸ ὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν ἰδεῖν μήτε δανειζομένην ιήτε στενοχωρουμένην μήτε διηνεκῶς ἐλλείπουσαν, ἀλλὰ διὰ άντων εὐθηνουμένην.

15) Ven. et Bas. οἵ τε. 16) Ven. et Bas. omittunt μεγάλῃ. 17) Ven. et Bas. ἑαυτῶν intercalant. An ταύτην?

γʹ. Ὥσπερ δὲ τὴν περὶ τοῦτο δαπάνην ὡρίσαμεν, οὕτω προσήκει τὸν κατὰ καιρὸν ἁγιώτατον πατριάρχην καὶ τοὺς εὐλαβεστάτους οἰκονόμους περισκοπεῖν τὸ καὶ τὰς ἄλλας δαπάνας τὰς γινομένας ἐκ τῶν ἐκκλησιαστικῶν πόρων περὶ εὐσεβεῖς δαπανᾶσθαι πράξεις καὶ θεῷ ἀρεσκούσας, καὶ εἰς ἐκείνους ταῦτα χορηγεῖν τοὺς ταῖς ἀληθείαις δεομένους καὶ οὐκ ἔχοντας ἑτέρωθεν τροφῆς ἀφορμὴν (ταῦτα γὰρ τὸν δεσπότην θεὸν θεραπεύει), ἀλλὰ μὴ προστασίαις καὶ σπουδαῖς ἀνθρώπων τὰς ἐκκλησιαστικὰς δαπάνας εἰς ἀνθρώπους εὐπορoῦντας ἐπιδιδόναι καὶ ἐντεῦθεν τοὺς ἀπορουμένους μὴ τυγχάνειν τῶν ἀναγκαίων. ἴστωσαν γὰρ οἱ θεοφιλέστατοι οἰκονόμοι, οἵ τε νῦν οἵ τε κατὰ καιρὸν ἐσόμενοι, ὡς εἴ τι παρὰ ταῦτα πράξαιεν, ταῖς τε ἐκ τοῦ θεοῦ ποιναῖς ὑποκείσονται, καὶ ἐκ τῆς ἑαυτῶν οὐσίας τὸ ἀζήμιον τῇ ἁγιωτάτῃ περιποιήσουσιν ἐκκλησίᾳ.18)

Τὴν μακαριότητα τοίνυν τὴν σὴν, ἥπερ ἐξ ἀρχῆς καὶ ἐκ νηπίας σχεδὸν ἡλικίας ἐν ἱερατικῷ παντὶ βαθμῷ τε καὶ σχήματι τὴν ἁγιωτάτην κατεκόσμησεν ἐκκλησίαν, οἷα καὶ ἐξ ἱερατικῆς καταβαίνουσα γενεᾶς, ταῦτα φυλάττειν διηνεκῶς θεσπίζομεν, γινώσκοντες ὡς οὐκ ἔλαττον ὑμῖν18a) μελήσει τῶν ταῖς ἁγιωτάταις ἐκκλησίαις λυσιτελούντων ἤπερ αὐτῆς τῆς ψυχῆς. Dat. XVII. Kal. April. CP. Belisario V. C. Cons.19)

18) Ven. in textu addit: μέχρις ὧδε τὸ βασιλικόν. 18a) γινώσκοντα — ἡμῖν? 19) Ita Ven. (nisi quod DX. pro CP. habet) et Iulian. Athan. Ἐγράφη πρὸ ιθʹ (quod omnino mutandum) καλ. ἀπριλ. ὑπατείᾳ βελισαρίου. Theod. Ἐξεφωνήθη μηνὶ ἀπριλλίῳ τῆς ὑπατείας βελισαρίου.

Auth. 7. **XV.** Nov. 7.

Extat in Cod. Ambrosiano. Apud Hal. deest. Cap. 3 §. 1 sq. est in Coll. 87 capp. c. 14 in fine, Cap. 3 §. 2 recepta est in Bas. XX, 2, 5. Summas praestant Iulian. c. 7, Athan. II, 1, Theod. Nov. 7, Nomoc. XIV titt. 2, 2. 11, 1. Ecloga ad Proch. mut. 23, 1.

Περὶ τοῦ μὴ ἐκποιεῖσθαι ἢ ἀνταλλάττεσθαι τὰ ἐκκλησιαστικὰ πράγματα ἢ εἰς ἰδικὴν ὑποθήκην δίδοσθαι τῷ δανειστῇ, ἀλλ' ἀρκεῖσθαι αὐτὸν ταῖς γενικαῖς ὑποθήκαις.

Αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανὸς Αὔγουστος Ἐπιφανίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς εὐδαίμονος ταύτης πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.[1]

Ἕνα σκοπὸν ἀεὶ τοῦτον ἐθέμεθα, τὸ πᾶν εἴ τι πρότερον ἀτελὲς ἢ συγκεχυμένον ἐδόκει, τοῦτο καὶ ἀνακαθᾶραι καὶ τέλειον ἐξ ἀτελοῦς ἀποφῆναι. ὅπερ καὶ ἐπὶ τῆς ὅλης νομοθεσίας ποιήσαντες ἡγούμεθα χρῆναι καὶ ἐπὶ τῶν ἐκποιήσεων τῶν γινομένων ἐπὶ τοῖς ἱεροῖς πράγμασιν ἑνὶ περιλαβεῖν νόμῳ τοὺς ἔμπροσθεν ἅπαντας καὶ ἀνανεουμένῳ καὶ ἐπανορθοῦντι, καὶ τό τε ἐλλιπὲς προστιθέντι τό τε περιττὸν ἀφαιροῦντι. Λέοντι μὲν οὖν τῷ τῆς εὐσεβοῦς λήξεως, ὃς δὴ μετὰ Κωνσταντῖνον τὸν τῆς εὐσεβοῦς μνήμης καὶ τὸν τῆς Χριστιανικῆς πίστεως ἐν βασιλεῦσιν ἀρχηγέτην ηὔξησέ τε καὶ κατεστήσατο τὴν τῶν ἁγιωτάτων ἐκκλησιῶν τιμήν τε καὶ

1) Cod. Ambrosianus in fine: *Ἐγράφη γὰρ τὸ ἰσότυπον τοῖς ὁσιωτάτοις ἀρχιεπισκόποις Ῥώμης, Αἰλίας, Ἀλεξανδρείας καὶ Θεουπόλεως, Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς ἑῴας πραιτωρίων τὸ τέταρτον ἀπὸ ὑπάτων καὶ πατρικίῳ καὶ Δομνίκῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν παρὰ Ἰλλυρίοις ἱερῶν πραιτωρίων.* Cf. const. XII in fine.

κατάστασιν, γέγραπται νόμος[2]) περὶ τῶν ἐκκλησιαστικῶν ἐκποιήσεων μόνῃ περικεκλεισμένος τῇ κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ· καὶ ἐπαινοῦμέν γε τὰ πλείω τούτου τοῦ νόμου μετὰ πάσης σφοδρότητός τε καὶ θεοφιλίας τεθειμένα, ἀλλὰ τῷ γε μὴ γενικῶς αὐτὸν κεῖσθαι κατὰ πάντων ἐπισκήπτομεν, δεῖσθαι μέντοι καὶ αὐτόν τινος ἐπανορθώσεως πεπιστεύκαμεν. Ἀναστασίῳ δὲ τῷ τῆς εὐσεβοῦς λήξεως γέγραπταί τις περὶ τῶν τοιούτων νόμος[3]), οὔτε ὅμοιος τῷ προτέρῳ, παντοίως τε ἐλλιπής· ἐκχεθεὶς γὰρ καὶ ἐπὶ τοὺς ἔξω τόπους οὐδὲν ἧττον ἔμεινεν ἀτελής, πρὸς μόνην τὴν ἀρχιερωσύνην καὶ τὴν διοίκησιν ὁρῶν τὴν τεταγμένην ὑπὸ τὸν μακαριώτατον πατριάρχην τῆς βασιλίδος ταύτης καὶ εὐδαίμονος πόλεως, τοὺς δὲ ἄλλους ἅπαντας μὴ περιεργαζόμενος θρόνους· καίτοιγε εἴπερ ἄξιον ἐπανορθώσεως εἶναι τὸ πρᾶγμα ᾤετο κατὰ μίαν πρόφασιν, τὰ μὲν ἐπηνώρθου τὰ δὲ ἀκόσμητα κατελίμπανεν. ὥστε αὐτὸν καὶ πεπαῦσθαι τοῦ λοιποῦ θεσπίζομεν, ἀτελῆ τε καθεστῶτα καὶ τόπῳ περικλειόμενον, ἀλλ' οὐ γενικὸν ἐν νόμοις ὄντα οὐδέ τι σπουδαῖον εἰσαγαγόντα. ταῦτα οὖν ἡμεῖς ἐπανορθοῦντες ἅπαντα μίαν ᾠήθημεν χρῆναι νομοθεσίαν ἐπιθεῖναι πᾶσι τοῖς τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ ξενώνων καὶ νοσοκομείων καὶ πτωχείων καὶ μοναστηρίων καὶ βρεφοτροφείων καὶ γεροντοκομείων καὶ παντὸς ἱερατικοῦ συστήματος πράγμασι, καὶ τοῦτον τὸν νόμον τῇ Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως διατάξει προσθεῖναι, πρότερον αὐτῆς ἐν βραχεῖ τὴν νομοθεσίαν ἐκτιθέμενοι, οὕτω τε ἅπαν τὸ λοιπὸν προσυφαίνοντες. βούλεται γὰρ ἐκείνη, μήτε τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον καὶ πατριάρχην τῆς εὐδαίμονος ταύτης πόλεως ἤτοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας μήτε οἰκονόμον πιπράσκειν ἢ δωρεῖσθαι ἢ ἄλλως ἐκποιεῖν πρᾶγμα ἀκίνητον, οἰκίαν τυχὸν ἢ ἀγρὸν ἢ γεωργὸν ἢ ἀνδράποδα

2) l. 14 C. de SS. eccles. 1, 2. 3) l. 17 C. de SS. eccl. 1, 2.

γροικικὰ ἢ πολιτικὰς σιτήσεις[4]) (καὶ ταύτας ἐν τοῖς ἀκι-
ήτοις ἀριθμητέον) προσηκούσας τῇ κατὰ Κωνσταντινούπολιν
γιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, ἀλλὰ μηδὲ ἐπ' ἀντιδώρῳ[5]) ἢ
ἄλλῳ τινὶ σοφισμῷ τοιοῦτό τι πράττειν. καὶ ἀπειλεῖ τῷ μὲν
ωνημένῳ τὴν τοῦ πράγματος ἀνάδοσιν, ὥστε αὐτὸν ἀναδι-
όναι τῷ κατὰ καιρὸν οἰκονομοῦντι τὰ πράγματα τῆς ἁγιω-
άτης μεγάλης ἐκκλησίας τὸ παρ' αὐτοῦ ληφθὲν πρᾶγμα
ετὰ παντὸς τοῦ κατὰ τὸν μέσον χρόνον καρποῦ καὶ τῶν
ἄλλων κερδῶν, ἐκπτώσεως ἐπικειμένης τῶν τιμημάτων τῷ
οιοῦτό τι λαμβάνειν ἢ ὠνεῖσθαι θαῤῥοῦντι, διότι τὸ παρὰ
οὺς νόμους πραχθὲν ἐν ἴσῳ τίθησι τῷ μηδὲ τὴν ἀρχὴν
γενομένῳ. τὸν δὲ οἰκονόμον τὸν ταῦτα ὑπερβάντα διδόναι
μὲν οἴκοθεν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ κελεύει πᾶν
ὅπερ ἂν ἐκ τῆς αὐτῆς αἰτίας ἐκέρδανεν ἢ τὴν ἁγιωτάτην
ἐκκλησίαν ἐζημίωσε· πρὸς τούτοις δὲ καὶ ἀπελαύνει τῆς
οἰκονομίας, καὶ δίδωσιν ἀγωγὴν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ οὐ
κατὰ μόνων τῶν θεοφιλεστάτων οἰκονόμων, ἀλλὰ καὶ κατὰ
διαδόχων αὐτῶν, εἴτε αὐτοὶ τοῦτο ἐξεποίησαν εἴτε τὸν κατὰ
καιρὸν θεοφιλέστατον ἐπίσκοπον ἤ τινα τῶν ἄλλων κληρι-
κῶν ὁρῶντες ἐκποιοῦντα σιωπὴν ἀγεννῆ τε καὶ ἀνελευθέ-
ραν ἤσκησαν, καὶ πολλῷ μᾶλλον εἰ συναινοῦντα βλέποντες
τοιούτῳ τινὶ συνεχώρησαν, ἀλλ' οὐ τὸ πρᾶγμα διεκώλυσαν.
καὶ πρός γε καὶ τὸν συμβολαιογράφον τὸν τὰ τοιαῦτα συν-
τάξαντα συμβόλαια διηνεκεῖ παραδίδωσιν ἐξορίᾳ, μηδεμιᾶς
αὐτῷ φιλανθρωπίας μηδὲ ἐπανόδου ποτὲ μεταδιδοῦσα· καὶ
αὐτοὺς μέντοιγε τοὺς μεγίστους ἄρχοντας τοὺς τὰ τοιαῦτα
προσιεμένους καὶ ὑπουργοῦντας τοῖς τοιούτοις πράγμασιν ἢ
συνίστασθαι παρ' ἑαυτοῖς ὑπομνήματα πρὸς σύστασιν τῶν
τοιούτων δωρεῶν ἢ τῶν ἄλλων πράξεων ἀνεχομένους τῆς

4) Post σιτήσεις in Ven. spatium breve interpositum omissa quaedam indicat. Legendum sine dubio καὶ γὰρ καὶ ταύτας, ut et Vet. Interpres legit. 5) „Gratiae referendae" in l. 14 C. cit.

τε ἀρχῆς καὶ τῆς ἀξίας καὶ τῆς περιουσίας ἐκβάλλειν ἀπ
λοῦσα. ταῦτα[6]) *οὖν ἐπιτιμήσασα σφοδρῶς ἐπιτρέπει πρά*
ματος ἐκκλησιαστικοῦ χρῆσιν ἤτοι τὸν καλούμενον οὐσο
φρουκτον ἐπὶ ῥητόν τινα χρόνον ἢ καὶ ἄχρι τῆς ζωῆς τ
λαβόντος διδόναι τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, ἐ
τούτῳ μέντοι τῷ ὅρῳ, ἐφ' ᾧ τὸν τοιαύτην δεχόμενον φιλ
τιμίαν τῆς αὐτῆς ποσότητος ἀντιδιδόναι πρᾶγμα τῇ ἁγιωτά
μεγάλῃ ἐκκλησίᾳ κατὰ δεσποτείας λόγον, ἐξ οὗ δυνήσετ
τὴν αὐτὴν πρόσοδον ἡ ἁγιωτάτη ἐκκλησία κομίζεσθαι ὅσ
ἐκεῖνος ἀπὸ τῆς χρήσεως ἔλαβεν, δηλαδὴ μετὰ τὴν τ
λαβόντος τελευτὴν ἢ τὸν ὁρισθέντα χρόνον ἐπὶ τῇ χρήσ
καὶ τῆς χρήσεως τοῦ δοθέντος ἐκκλησιαστικοῦ πράγματ
ἐπὶ τὴν ἁγιωτάτην ἐκκλησίαν ἐπανιούσης, καὶ τῆς τοῦ δ
ρηθέντος χρήσεως ἅμα τῇ δεσποτείᾳ τῆς ἁγιωτάτης ἐκκλ
σίας γινομένης[7])· *ἀκίνδυνον γὰρ εἶναι τὸ τοιοῦτον σ*
νάλλαγμα τίθησιν ὁ νόμος. εἰ δὲ ἔλαττον εἴη τοῦ δεδομέν
παρὰ τῆς ἁγιωτάτης ἐκκλησίας τὸ ἀντιδοθὲν αὐτῇ, οὐκ
αὐτίκα μὲν λήψεται τὴν δεσποτείαν ἐλπίζει δὲ καὶ τ
χρῆσιν λαβεῖν, ἀκυροῖ τὸ συνάλλαγμα καὶ ἀντὶ μηδὲ γεγ
νότος τίθησι, καὶ δίδωσιν ἄδειαν· ἐκδικήσεως οἷα περ
γραφῆς κατὰ τῶν δικαίων τῆς ἁγιωτάτης ἐκκλησίας γεν
μένης. [§. 1.] *ὁ μὲν οὖν νόμος ὡς ἐν βραχεῖ τοιαῦ*
διορίζεταί τε καὶ ἐπιτιμᾷ, καὶ μέχρι τῶν πραγμάτων τ
ἁγιωτάτης ἐκκλησίας ἵσταται μόνης. καὶ ἅπαντα μὲν ἀναμ
σοφισμὸν, τοῦτο ὅπερ εἰπόντες ἔφθημεν, οὐ μὴν ἐπισχε
τὴν τῶν μετὰ ταῦτα πανουργίαν ἴσχυσεν. τινὲς γὰρ δὴ
καλούμενον παροικικὸν ἐξευρόντες, μήτε τοῖς ἡμετέροις νόμ
μήτε ἄλλῳ τινὶ τῶν ἁπάντων γνωριζόμενον, περιγραφὴν
μικρὰν ἐμελέτησαν κατὰ τοῦ νόμου, διηνεκῆ σχεδὸν ἐπινο
σαντες ἐκποίησιν· ὅπερ ἡμεῖς τοῦ λοιποῦ πράττεσθαι κεκ

6) Ven. in marg. *β'*, quasi cap. 2 hinc incipiat. 7) V
γινόμενον.

ἰύκαμεν ἐξ οὗ τὸν ὑπὲρ τούτων ἐγράψαμεν νόμον.[8]) ἤδη δὲ καὶ εἰς ἐμφυτεύσεις εἶδον, καὶ ἠλάττωσαν πολλῷ τὸ ποσὸν τῆς ἀληθοῦς προσόδου τοῖς ἐμφυτευταῖς χαριζόμενοι οἱ τῶν πραγμάτων πρώην τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας προστάντες, ὥστε ἡμᾶς ἔν τινι[9]) τῶν ἡμετέρων διατάξεων ὁρίσαι μὲν ἄχρι προσώπων τριῶν τὴν ἐμφύτευσιν γίνεσθαι, τοῦ τε λαμβάνοντος καὶ δύο διαδόχων ἑτέρων, τοῦτο καὶ ἐπὶ τοῖς τῆς ἁγιωτάτης ἐκκλησίας πράγμασι γίνεσθαι συγχωρήσαντες· μὴ περαιτέρω δὲ τῆς ἕκτης μοίρας συγχωρεῖσθαι τοῖς ἐμφυτευταῖς διὰ τὰς τυχηρὰς περιστάσεις νομοθετήσαντες, ἐπειδήπερ ἐμανθάνομεν οὕτως ἐκκεχυμένως τε καὶ ἀσεβῶς παρά τινων γίνεσθαι τὰ συμβόλαια, ὡς μηδὲ τὴν ἕκτην καταλιμπάνεσθαι τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μοῖραν, τῶν λοιπῶν ἁπάντων τῷ ἐμφυτευτῇ κεχαρισμένων. Ἀναστάσιος δὲ ὁ τῆς εὐσεβοῦς λήξεως πρᾶξιν ὑπομνημάτων διατάξας γίνεσθαι ἐπὶ ταῖς ἐκποιήσεσιν, εἴ που καὶ τούτου γένοιτο καιρὸς, καὶ τὰς ἐμφυτεύσεις στήσας δίχα μὲν τῆς πράξεως ἄχρι μόνης τῆς ζωῆς τοῦ ποιουμένου τὴν ἐμφύτευσιν, μετὰ δὲ ταύτης καὶ εἰς τὸ διηνεκὲς αὐτὴν ἐκτείνας, οὔτε ἀκριβῆ πεποίηκεν οὔτε συμφέροντα νόμον, παντοίως τε ἀτελῆ, μέχρι μόνης τῆς διοικήσεως τοῦ πατριαρχικοῦ θρόνου τῆς εὐδαίμονος ταύτης πόλεως καθάπερ εἴπομεν τὴν νομοθεσίαν στήσας.

α΄. Ἡμεῖς οὖν (ἤδη γὰρ ἐπὶ τὸν νόμον ἰτέον) θεσπίζομεν, μήτε τὴν ἁγιωτάτην τῆς εὐδαίμονος ταύτης πόλεως μεγάλην ἐκκλησίαν μήτε τὰς ὑπ' αὐτὴν οὔσας, ὧν αὐτὴ τὴν χορηγίαν ἐδέξατο[10]), καθάπερ αὐτὴν Ἀναστάσιος ὁ τῆς εὐσεβοῦς λήξεως ἡρμήνευσε, μήτε τὰς ἄλλας ἁπάσας ἐκκλησίας τὰς κατὰ τὴν εὐδαίμονα ταύτην οὔσας πόλιν ἢ τὴν αὐτῆς περιοικίδα, μήτε τὰς ὑπὸ τὸν πατριαρχικὸν

8) l. 24 C. de SS. eccles. 1, 2. 9) Ita cum Auth. legendum. Significatur enim l. 24 C. cit. Ven. τισι. 10) In const. Anastasii hic est: ὧν αὐτὴ τά τε πράγματα καὶ τὴν τῶν καλουμένων διαίων καὶ λοιπῶν δαπανημάτων εἰς ἑαυτὴν ἐδέξατο χορηγίαν.

θρόνον τῆς εὐδαίμονος ταύτης πόλεως καθεστῶσας ὧν τοὺς μητροπολίτας αὐτὸς χειροτονεῖ, μήτε ἄλλον μηδένα πανταχοῦ μήτε πατριάρχην μήτε ἐπίσκοπον, φαμὲν δὲ τούς τε ἐπὶ τῆς Ἑῴας, τούς τε ἐπὶ τῆς Ἰλλυρίδος, καὶ πρός γε τοὺς ἐπ' Αἰγύπτου τε καὶ τῆς προσεχοῦς καὶ ἡνωμένης αὐτῇ Λιβύης, τούς τε ἐπὶ τῆς Ἀφρῶν χώρας, καὶ συνελόντα ἅπαντας εἰπεῖν ὅσοι τῆς ἡμετέρας εἰσὶ γῆς, μήτε μὴν τοὺς ἐπὶ τῆς Ἑσπερίας ὄντας θεοφιλεστάτους ἐπισκόπους ἀπ' αὐτῆς τῆς πρεσβύτιδος Ῥώμης μέχρι τῶν εἰς ὠκεανὸν καθεστωσῶν ἁγιωτάτων ὀρθοδόξων ἐκκλησιῶν, μήτε τινὰ ξενοδόχον ἢ πτωχοτρόφον ἢ νοσοκόμον ἢ ὀρφανοτρόφον ἢ γεροντοκόμον ἢ βρεφοτρόφον ἢ μοναστηρίου ἀνδρῶν καὶ γυναικῶν ἡγούμενον ἢ ἡγουμένην, ἤ τινα ὅλως προεστῶτα τῶν εὐαγῶν συστημάτων ἄδειαν ἔχειν ἐκποιεῖν πρᾶγμα ἀκίνητον ἐν οἰκίαις ἢ ἐν ἀγροῖς ἢ ἐν κήποις ἢ ὅλως ἐν τοῖς τοιούτοις, μήτε γεωργικὸν ἀνδράποδον μήτε πολιτικὴν σίτησιν, μήτε κατὰ ἰδικοῦ πρόφασιν ἐνεχύρου παραδιδόναι τοῖς δανεισταῖς. τὸ δὲ τῆς ἐκποιήσεως ὄνομα γενικώτερον διὰ τοῦτο τεθείκαμεν, ἵνα κωλύσωμεν καὶ πρᾶσιν καὶ δωρεὰν καὶ ἄμειψιν καὶ τὴν εἰς τὸ διηνεκὲς ἐκτεινομένην ἐμφύτευσιν, ἥ γε οὐδὲ πόῤῥω καθέστηκεν ἐκποιήσεως. ἀλλὰ πάντας πανταχοῦ τοὺς ἱερεῖς τῆς τοιαύτης ἐκποιήσεως εἴργομεν ταῖς ποιναῖς ὑποκειμένους, αἷς ἡ Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως ἐχρήσατο διάταξις. ἐκείνην γὰρ κατὰ πάντων κρατεῖν καὶ κυρίαν εἶναι θεσπίζομεν, διόπερ αὐτὴν καὶ προὐθήκαμεν[11]), καὶ οὐ τῇ πατρίῳ φωνῇ τὸν νόμον συνεγράψαμεν, ἀλλὰ ταύτῃ δὴ τῇ κοινῇ τε καὶ ἑλλάδι, ὥστε ἅπασιν αὐτὸν εἶναι γνώριμον διὰ τὸ πρόχειρον τῆς ἑρμηνείας. τὸ μὲν οὖν ἤδη παρῳχηκὸς ἀφίεμεν (τὸ γὰρ τοσαῦτα συμβόλαια χρόνῳ τι μακρῷ γενόμενα νῦν ἀνακινεῖν πολλῆς ἂν εἴη τῆς πολυπραγμοσύνης), ὥστε τὰ μέχρι νῦν ὄντα τὸ οἰκεῖον ἐχέτω σχῆμα

11) Scil. supra in prooemio.

οῦ λοιποῦ δὲ πᾶσαν ἐκποίησιν ἀπαγορεύομεν τὰς εἰρημένας ὐτῇ ποινὰς ἐπιτιθέντες.

β΄. Ὅπως δὲ ἂν ὁ νόμος πρὸς τὸ τῆς ἀνθρωπίνης ρύσεως ποικίλον καὶ τὸ παρασυμβαῖνον ἀεὶ μετρηθεὶς μένῃ ιὰ πάντων ἀκίνητος, (τί γὰρ ἂν εἴη σταθερὸν τῶν ἐν ἀνθρώποις καὶ οὕτως ἀσάλευτον, ὡς μηδεμίαν ὑπομένειν μεταβολήν, τῆς πάσης ἡμῶν συστάσεως ἐν διηνεκεῖ καθεστώσης κινήσει;) ἀναγκαῖον ᾠήθημεν τινὰς ἐξαιρέσεις δοῦναι τῷ νόμῳ μετὰ πολλῆς τῆς ἀγρυπνίας τε καὶ ἀκριβείας ἐξηυρημένας, ἵνα ταύτας ἔχων εἰς βοήθειαν ὁ νόμος μηδαμῶς σαλευθείη. [§. 1.] ἐφίεμεν τοίνυν τῇ βασιλείᾳ, εἴπου τὶς κοινωφελής ἐστι καὶ πρὸς λυσιτέλειαν τῆς πολιτείας βλέπουσα χρεία καὶ κτῆσιν ἀπαιτοῦσα τοιούτου τινὸς ἀκινήτου πράγματος ὁποῖον ὑπεθέμεθα, τοῦτο αὐτῇ παρὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῶν λοιπῶν εὐαγῶν οἴκων τε καὶ συστημάτων λαμβάνειν ἐξεῖναι, τοῦ πανταχόθεν ἀζημίου τοῖς ἱεροῖς οἴκοις φυλαττομένου καὶ ἀντιδιδομένου πράγματος αὐτοῖς παρὰ τοῦ λαμβάνοντος ἴσου ἢ καὶ πλείονος τοῦ διδομένου. τί γὰρ ἂν καὶ αἰτιάσαιτο βασιλεὺς πρὸς τὸ μὴ δοῦναι τὸ κάλλιον, ᾧγε πολλὰ μὲν δέδωκεν ὁ θεὸς ἔχειν, πολλῶν δὲ κύριον καθεστάναι, καὶ ῥᾳδίως διδόναι καὶ μάλιστα εἰς ἁγιωτάτας ἐκκλησίας, ἐφ᾽ ὧν ἄριστον μέτρον ἡ τῶν δωρουμένων καθέστηκεν ἀμετρία. ὥστε εἰ τοιοῦτό τι γένοιτο, καὶ πραγματικὸς προέλθοι τύπος, ὁ ἐπιτρέπων τῇ βασιλείᾳ δοθῆναί τι τῶν τοιούτων πραγμάτων καὶ ἀντιδιδοὺς εὐθὺς πρᾶγμα κάλλιόν τε καὶ δαψιλέστερον καὶ ἐπωφελέστερον, ἔστω τὰ τῆς αὐτῆς ἀμείψεως βέβαια, καὶ οἱ προεστῶτες τῶν οἴκων ἐξ ὧν τὸ ἐκποιούμενον ἐστὶ καὶ οἱ τοῖς τοιούτοις ὑπηρετούμενοι γράμμασιν ἀνεύθυνοι πανταχόθεν ἔστωσαν, μηδεμίαν εὐλαβούμενοι ποινὴν τῶν παρὰ Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως ἠπειλημένων καὶ παρ᾽ ἡμῶν κυρωθεισῶν. αἱ γὰρ οὐδὲ πολλῷ διεστᾶσιν ἀλλήλων ἱερωσύνη τε καὶ βασιλεία, καὶ τὰ ἱερὰ πράγματα τῶν κοινῶν τε καὶ δημο-

σίων, ὅπου γε πᾶσα ταῖς ἁγιωτάταις ἐκκλησίαις εὐπορία τε καὶ σύστασις ἐκ τῶν παρὰ τῆς βασιλείας φιλοτιμιῶν διηνεκῶς ἐπιδίδοται· ἀλλήλαις οὖν ἀντιδιδοῦσαι τὰ πρέποντα οὐκ ἂν ὑπό τινος εἰκότως μεμφθεῖεν. ἄλλην δὲ πᾶσαν εἴτε πρὸς αὐτὴν τὴν βασιλείαν εἴτε πρὸς ἕτερον οἱονοῦν πρόσωπον γινομένην εἴτε πρᾶσιν εἴτε δωρεὰν εἴτε ἄμειψιν εἴτε ἐμφύτευσιν διηνεκῆ παντελῶς ἀναιροῦμεν· οὐ μὴν οὐδὲ δόσιν τινὸς ἐνεχύρου ἐπ' ἀκινήτῳ πράγματι γινομένην προφάσει δανεισμάτων γίνεσθαι συγχωροῦμεν. καὶ τοῦτο κρατεῖν βουλόμεθα ἐπί τε πάσης ἐκκλησίας, παντός τε μοναστηρίου καὶ νοσοκομείου καὶ ξενῶνος καὶ βρεφοτροφείου καὶ ἀσκητηρίου καὶ γεροντοκομείου καὶ παντὸς ἁπλῶς συστήματος ὅπου πρᾶξις εὐσεβὴς συνίστησιν, οὐδενὸς παντελῶς. τούτων τι λαμβάνειν παρ' αὐτῶν δυναμένου. ὥστε οὐδὲ τῆς διατάξεως Ἀναστασίου τοῦ τῆς θείας λήξεως ἔτι δεήσειεν, οὐδὲ τῶν κατ' ἐκείνην φερομένων δεκρέτων καὶ τῆς εἰρημένης παρα τηρήσεως· αὐτὰς γὰρ τὰς ἀρχὰς τοῦ πράγματος ἀναιροῦντες καὶ κωλύοντες τὸ γινόμενον οὐκ ἂν τῆς ἐφεξῆς δεηθείημεν πολυπραγμοσύνης.

γ'. Ἐμφύτευσιν δὲ εἴτε ἐπὶ τῆς ἁγιωτάτης ἐκκλησίας εἴτε ἐπὶ πάντων τῶν λοιπῶν προσκυνητῶν οἴκων γίνεσθαι συγχωροῦμεν ἐπί τε τοῦ λαμβάνοντος προσώπου, ἐπί τε δύο τοῦ αὐτοῦ προσώπου κληρονόμων ἐφεξῆς, παίδων μέντοι μόνων ἀῤῥένων ἢ θηλειῶν ἢ ἐγγόνων ἑκατέρας φύσεως, ἢ γαμετῆς ἢ ἀνδρὸς, εἴγε τοῦτο τῆς γαμετῆς ἢ τοῦ ἀνδρὸς ῥητῶς ὀνομασθείη· ἐπείτοιγε μὴ διαβαίνειν εἴς τινα ἕτερον κληρονόμον, ἀλλὰ μέχρι μόνης τῆς ζωῆς τῶν λαμβανόντων ἵστασθαι, εἰ μὴ παῖδας ἢ ἐγγόνους ἔχοιεν. ἄλλως δὲ παντελῶς ἐμφύτευσιν πράττεσθαι ἐκκλησιαστικοῦ τινος ἢ πτωχικοῦ πράγματος ἀκινήτου ἢ ἀνδραπόδου γεωργικοῦ ἢ πολιτικῆς σιτήσεως οὐδενὶ συγχωροῦμεν τρόπῳ, οὐδὲ τὸ γινόμενον ἔχειν τινὰ παντελῶς ἰσχὺν ἐῶμεν. [§. 1.] ἐπειδὴ δὲ ἡ μὲν Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως διάταξις ἐπ' οὐδεμι

παντελῶς ἐλαττώσει δίδοσθαι πρᾶγμα ἐκκλησιαστικὸν ἐνομοθέτησεν, ἡμεῖς δὲ ἐν ἑτέρᾳ διατάξει παρ' ἡμῶν γεγραμμένῃ τὸ ἕκτον ἐξαιρεῖσθαι μόνον ἐπὶ τῶν ἐμφυτεύσεων ἐνομοθετήσαμεν, τοιαύτην τινὰ τῷ τῆς ἐλαττώσεως πράγματι δίδομεν τάξιν, ἵνα ζητοῖτο μετὰ πάσης ἀληθείας καὶ ἀκριβείας ὁ κανὼν τῶν ἐκδιδομένων τοσοῦτος ὁπόσος ἐξ ἀρχῆς ἦν καὶ εἰς τὴν ἁγιωτάτην ἦλθεν ἐκκλησίαν, καὶ διδοῖτο τὰ τῆς ἐμφυτεύσεως τοιούτοις προσώποις ὁποῖα πρόσθεν εἰρήκαμεν· τηνικαῦτα γὰρ τὴν ἕκτην αὐτῶν μοῖραν σὺν ἀκριβείᾳ λογιζομένην ἐφίεμεν. εἰ δὲ ἐλαττωθείη κατά τινας περιπετείας ὁ κανών, ἢ ἐπὶ ὁλοκλήρῳ τῷ τότε ὑφεστῶτι κανόνι λαμβάνειν τὸν τὴν ἐμφύτευσιν ὑπελθεῖν βουλόμενον ἢ μηδὲ λαμβάνειν ὅλως, ἐξὸν μισθοῦν μᾶλλον ἢ τοιαύτας ἐλαττώσεις ἐπ' ἐμφυτεύσεσι πράττειν. εἰ δέ τινος ἐκκλησιαστικοῦ προαστείου τῶν πολυτιμήτων ἐμφύτευσις διδοῖτο (ὁποῖα πολλὰ μάλιστα κατὰ ταύτην ἴσμεν τὴν εὐδαίμονα καθεστάναι πόλιν, πολλῆς μὲν ἄξια τιμῆς, ἐλαχίστην δὲ φέροντα πρόσοδον ἢ οὐδὲ πρόσοδον ὅλως), μὴ τῇ προσόδῳ μετρεῖσθαι τὴν ἐμφύτευσιν, ἀλλὰ διατιμᾶσθαι τὸ προάστειον ἀκριβῶς, καὶ συλλογίζεσθαι τὴν ἐκ τοῦ ἀθροιζομένου τιμήματος δυναμένην κατὰ εἴκοσι ἐνιαυτοὺς ὠνεῖσθαι πρόσοδον καὶ ἐπὶ τῇ ἐντεῦθεν συλλογιζομένῃ προσόδῳ πράττεσθαι τὴν ἐμφύτευσιν οὐ διηνεκῶς, ἀλλ' εἰς αὐτόν τε τὸν λαμβάνοντα καὶ δύο τῶν ἐξ αὐτοῦ διαδόχων καὶ ἀνδρὸς ἢ γαμετῆς καθάπερ ἔμπροσθεν εἰπόντες ἔφθημεν γινομένην. [§. 2.] εἰδέναι δὲ τοὺς ἐμφυτευτὰς προσήκει, ὡς εἴπερ ἐπὶ διετίαν ἐφεξῆς μὴ καταθεῖεν τὸν ἐμφυτευτικὸν κανόνα (τοῦτον γὰρ τὸν χρόνον ἀντὶ τῆς ἐπὶ τῶν ἄλλων ἀνθρώπων τριετίας ἀρκεῖν εἰς ἔκπτωσιν τῶν ἐκκλησιαστικῶν ἢ πτωχικῶν ἐμφυτεύσεων ἐξ ἀγνωμοσύνης τίθεμεν), γενήσονται[12]) παντοίως ἔξω τοῦ ἐμφυτεύματος, καὶ βουλομένοις τοῖς προεστῶσι τῶν

12) Ven. γενήσεται.

εὐαγῶν οἴκων ἐξέσται τῶν χωρίων ἢ τῶν οἴκων ἀντιλ
βάνεσθαι, μηδεμίαν εὐλαβουμένοις ἐμπονημάτων ἀπόδοι
ἀλλ' εἴπερ χεῖρον πεποίηκε τὸ χωρίον ἢ τὸ προάστειοι
τὴν οἰκίαν ὁ τὴν ἐμφύτευσιν δεξάμενος, ἀναγκάζεσθαι αὐ
οἴκοθεν τὴν ἐπιμέλειαν καὶ ἀποκατάστασιν τῆς ὄψεως π
εῖσθαι, καὶ ὑποκεῖσθαι τούτῳ αὐτόν τε καὶ κληρονόμ
αὐτοῦ καὶ διαδόχους καὶ τὰ αὐτοῦ πράγματα, πρὸς τῷ
τὴν ὀφειλομένην πᾶσαν πρόσοδον ἀνυπερθέτως εἰσπρά
σθαι.[13]) τὸ δὲ εἰρημένον ἡμῖν, ὥστε μηδενὸς ἀκινή
πράγματος ἐκκλησιαστικοῦ ἢ πτωχικοῦ ἐκποίησιν ἐπ
τράφθαι πρὸς μηδὲν τῶν τῆς ἡμετέρας πολιτείας πρόσωπ
θεσπίζομεν κρατεῖν μὴ μόνον ἐπὶ τῶν συνεστώτων οἰκη
των καὶ προαστείων καὶ ἀγρῶν καὶ κήπων, ἀλλὰ καὶ ἐ
πίων, εἴτε ἀπὸ πυρὸς εἴτε ἀπὸ σεισμοῦ εἴτε ἐξ ἄλλης
σδήποτε αἰτίας τὸ ἐρείπιον ᾖ, ἀλλὰ καὶ ἐπὶ τῶν παντοίω
καθῃρημένων καὶ εἰς ἔδαφος κειμένων, εἴτε καὶ ψιλῶν ἐ
πίων μηδεμίαν ἐχόντων οἰκοδομίαν μηδὲ ὕλην κειμέ
οὐδὲ γὰρ ἐπ' ἐκείνοις τὴν ἐκποίησιν γίνεσθαι συγχωροῦ
πλὴν εἰ μὴ ἐπὶ μόνης ἐμφυτεύσεως προσκαίρου κατὰ
ἔμπροσθεν ἡμῖν εἰρημένον ἐπὶ τρισὶ προσώποις τοιούτ
ὁποῖα πρόσθεν εἰρήκαμεν. καὶ ἵνα μή τις περιγραφὴ μ
ἐπὶ τούτῳ γένηται, δύο τῶν κατὰ καιρὸν πρωτευόντων
χανικῶν ἢ ἀρχιτεκτόνων, εἴτε κατὰ τὴν βασιλίδα ταύτην
μεγάλην πόλιν ἅμα τοῖς θεοφιλεστάτοις οἰκονόμοις καὶ π
τῶν εὐλαβεστάτων πρεσβυτέρων καὶ δύο διακόνων, παρ
τος καὶ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου, εἴτε καὶ κ
χώραν δύο τῶν ἐπισήμων μηχανικῶν ἢ ἀρχιτεκτόνων ἢ
ἑνὸς, εἰ ἕνα μόνον ἡ πόλις ἔχοι, παραγινομένου[15])
τόποις, ὥστε τῶν θείων προκειμένων εὐαγγελίων ὁρισθῆ
παρὰ τῶν ἀρχιτεκτόνων, ὅσον προσῆκόν ἐστιν ὑπὲρ τοῦ

13) Ven. in textu addit: *μέχρις ὧδε τὸ βασιλικόν.* 14) Μ
πάντως. 15) Auth. „intervenientibus in illis locis — definiat
quasi scriptum sit: *παραγινομένων ἐν τοῖς τόποις ἐκείνοις*

ελεῖν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κατὰ τρόπον ἐμφυτεύσεως, καὶ
τὶ τούτοις ἐμφυτευτικὴν συγγραφὴν εἰς αὐτὸν γίνεσθαι
ατὰ τὸ σχῆμα τὸ ἔμπροσθεν εἰρημένον. τὸν δὲ καὶ οἰκοδο-
εῖν καὶ κεχρῆσθαι ταῖς ὕλαις εἴπερ ὕλας ἔχοι, καὶ παρα-
έμπειν τὴν ἐμφύτευσιν ἄχρι δύο διαδόχων ὡς εἴρηται,
ὕτω τε ἐπανιέναι μετὰ τὴν τῶν τριῶν προσώπων τελευτὴν
τὶ τὴν ἁγιωτάτην ἐκκλησίαν ἢ τὸν εὐαγέστατον οἶκον παρ'
ὗ γέγονεν ἡ ἐμφύτευσις· καὶ ἐῤῥῶσθαι καὶ τὸ τοιοῦτο συ-
άλλαγμα ὡς τῷ παρόντι μὴ μαχόμενον νόμῳ. [§. 3.] οὐδὲ
κείνου τοῦ μέχρι νῦν κατὰ τῶν τοιούτων συναλλαγμάτων
κινοηθέντος κρατεῖν συγχωρουμένου, τοῦ προστίθεσθαι ὥστε
ἂν εἰ ὁ τῶν δύο κληρονόμων πληρωθείη χρόνος, ἄδειαν
ἶναι τοῖς μετ' ἐκείνους ἐμφυτεύεσθαι αὐτὸ καὶ ἀεὶ προ-
ρίνεσθαι τῶν ἄλλων· τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ κατὰ
ερίοδον καὶ μηχανὴν διηνεκεῖς ἐπ' αὐτοῖς ἐμφυτεύσεις
ἄλλον δὲ ἀφαιρέσεις τῶν ἐκκλησιαστικῶν ἐργάζεσθαι πραγ-
άτων· ἀλλὰ κἂν εἴτι γέγονε τοιοῦτον, μηδεμίαν ἀνάγκην
ναι τοῖς εὐλαβεστάτοις οἰκονόμοις τῶν δύο κληρονόμων
ανομένων τοῖς ἐφεξῆς ἐκδιδόναι.

δ'.[16]) Εἰ δέ τις βουληθείη λαβεῖν κατὰ λόγον χρή-
εως ἤτοι τοῦ καλουμένου οὐσουφρούκτου πρᾶγμα ἐκκλη-
ιαστικὸν ἢ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἢ ἄλλης οἱα-
δήποτε τῶν ἐν ἁπάσῃ τῇ ἡμετέρᾳ ὑπηκόῳ κειμένων ἢ
πτωχείων, μὴ ἄλλως λαμβανέτω τοῦτο, εἰ μὴ κατά τε τὴν
ρημένην παρατήρησιν καὶ κατὰ τὸν τύπον τῆς Λέοντος
ῦ τῆς εὐσεβοῦς λήξεως διατάξεως, ὥστε αὐτὸν εὔπορον
θεστῶτα καὶ οὐσίας ἀκινήτου δεσπότην ἕτερον εὐθὺς
ᾶγμα κατὰ δεσποτείας δίκαιον ἀντιδιδόναι τῇ ἁγιωτάτῃ
κλησίᾳ ἢ τῷ εὐαγεῖ οἴκῳ ἐξ οὗ τοῦτο λαμβάνει, τοσαύτην
ὶ τοιαύτην φέρον πρόσοδον, ὁπόσην ἢ ὁποίαν ἔχει τὸ
δόμενον, ὥστε μετὰ τὴν αὐτοῦ τελευτὴν τό τε ἐκκλησια-

ίων κτλ. 16) Ven. in marg. ε'.

στικὸν ἢ πτωχικὸν πρᾶγμα ἀνατρέχειν ἐπὶ τὸν εὐαγέστατον οἶκον μετὰ τῆς χρήσεως τῆς δεδομένης, οὐχ ὑπερβαινούσης τὸν χρόνον τῆς ζωῆς τοῦ λαμβάνοντος· λαμβάνειν δὲ ὁμοίως καὶ τοῦ ἀντιδεδομένου πράγματος τὴν χρῆσιν, ὥστε εἶναι μετὰ τὴν τοῦ λαμβάνοντος τελευτὴν ἢ τὸν χρόνον, εἰς ὃν ἡ δωρεὰ τῆς χρήσεως συμπεφώνηται, οὐκ ἐκβαίνοντος δηλαδὴ τὴν τοῦ λαμβάνοντος ζωὴν, ἑκάτερον ἐξ ὁλοκλήρου καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν παρὰ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ.

ε΄. Ἐπειδὴ δὲ ἡ Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως διάταξις τὰς ποινὰς σχεδόν τι μόνον ἐπὶ πράσεως ὥρισεν, ἡμεῖς δὲ ἀπηγορεύσαμεν οὐ πράσεις μόνον, ἀλλὰ καὶ δωρεὰς καὶ ἀμείψεις καὶ διηνεκεῖς ἐμφυτεύσεις καὶ ἐνεχύρων δόσεις ἐπὶ πράγμασιν ἀκινήτοις, ὁρῶμεν δέ τινας οὕτως φιλοκινδύνους καθεστῶτας, ὥστε τολμᾶν καὶ τοῖς ἀπηγορευμένοις προσιέναι καὶ ἀπόπειραν ποιεῖσθαι τῶν νόμων, ἐξ ἧς ἔχουσι γνώμης τε καὶ τόλμης καὶ τὰ παντοίως ἀπηγορευμένα φέροντα δὲ καὶ εἰς θάνατον ἴσως ἀνθρώπους πράττουσι, διὰ τοῦτο ἀναγκαῖον ᾠήθημεν ἐφ' ἑκάστῳ συναλλάγματι καὶ ῥητὴν τάξαι ποινὴν, δηλαδὴ τῶν ἠπειλημένων κατὰ τῶν οἰκονόμων ποινῶν ἐκ τῆς εἰρημένης τοῦ τῆς εὐσεβοῦς μνήμης Λέοντος διατάξεως ὁμοίως καὶ νῦν ἐπηρτημένων τῷ οἰκονόμῳ ἢ τῷ ξενοδόχῳ ἢ νοσοκόμῳ ἢ βρεφοτρόφῳ ἢ ἡγουμένῳ ἢ ἡγουμένῃ μοναστηρίου ἢ ἀσκητηρίου κατὰ τὸ ἔμπροσθεν διατεταγμένον. εἴ τις τοίνυν ὠνήσασθαι τολμήσειε πρᾶγμα ἐκκλησιαστικὸν ἢ πτωχικὸν, ἐκπιπτέτω μὲν εὐθὺς τοῦ τιμήματος, ἀπαιτείσθω δὲ τὸ πρᾶγμα ὅπερ ἔλαβε μετὰ πάσης τῆς ἐν τῷ μέσῳ χρόνῳ προσθήκης. καὶ κατὰ μὲν τῆς ἁγιωτάτης ἐκκλησίας ἢ τοῦ εὐαγοῦς οἴκου μηδεμίαν παντελῶς ἐχέτω ἀγωγὴν, κατὰ μέντοι τῶν εὐλαβεστάτων οἰκονόμων ἢ ὅλως τῶν πεπρακότων ἐπὶ ταῖς ἰδίαις αὐτῶν περιουσίαις ἐχέτω τὴν ἐκ τοῦ συναλλάγματος ἀγωγὴν, ἵνα δέει τῆς ἑαυτῶν γοῦν περιουσίας, εἰ καὶ μὴ διὰ τὸν

τοῦ θεοῦ φόβον, ἀλλ' οὖν ὀκνηρότεροι περὶ τὰς πράσεις γίγνοιντο. [§. 1.] εἰ δέ τις κατὰ δωρεὰν λαβεῖν τολμήσειε πρᾶγμα ἐκκλησιαστικὸν ἢ πτωχικόν, αὐτοῦ τε τοῦ δωρουμένου παντὸς ἐκπιπτέτω καὶ ἕτερον τοσοῦτον ἐκ τῆς αὐτοῦ περιουσίας ἀντιδιδότω τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἢ τῷ εὐαγεῖ οἴκῳ ἐξ οὗ τοῦτο ἔλαβεν, ἵνα ἣν ἐπεχείρησεν ἐργάσασθαι κατ' αὐτῆς καινοτομίαν, ταύτην αὐτὸς ἐν τοῖς ἑαυτοῦ διδοὺς τῆς οἰκείας αἴσθοιτο πανουργίας. [§. 2.] εἰ δὲ ἄμειψις ἐπί τισι γένοιτο προσώποις, χωρὶς μόνης τῆς βασιλείας καθάπερ ἔμπροσθεν εἰπόντες ἔφθημεν, καὶ ὁ τὴν ἄμειψιν λαβὼν ὑποκείσθω ποινῇ τοῦ καὶ τὸ δεδομένον αὐτῷ πρᾶγμα ἀποβαλεῖν[17]) καὶ ἀνατρέχειν αὖθις τοῦτο ἐπὶ τὸν εὐαγῆ οἶκον ὅθεν ἐξέβη, καὶ τὸ ἀντιδεδομένον μεῖναι παρὰ τῷ εὐαγεῖ οἴκῳ, καὶ τὸν προσελθόντα πράγματι παρανόμῳ ἐκπίπτειν τε ἑκατέρου δικαίως, ὥστε κατὰ τοῦτο ποινὴν αὐτὸν ὑπέχειν, καθ' ὃ καὶ τῶν οἰκείων ἐκπίπτει καὶ ὅπερ ἤλπισεν οὐ προσέλαβεν· κἀνταῦθα τῆς ἀγωγῆς αὐτῷ φυλαττομένης ἐπὶ τῇ ἰδίᾳ περιουσίᾳ τῶν τὸ συνάλλαγμα πρὸς αὐτὸν πραξάντων.

ϛ'. Εἰ δὲ δανειστὴς εἰς σωματικὸν ἐνέχυρον ἕλοιτο λαβεῖν πρᾶγμα ἀκίνητον ἐκκλησιαστικὸν ἢ πτωχικὸν ἐν οἰκίαις τυχὸν ἢ προαστείοις ἢ ἀγροῖς ἢ κήποις ἢ πολιτικαῖς σιτήσεσιν ἢ ἀγροικικοῖς ἀνδραπόδοις καὶ δοίη χρυσίον ὑπὲρ τούτου, ἐκπιπτέτω τοῦ δανείσματος καὶ ἐχέτω κέρδος ἡ δανεισαμένη ἁγιωτάτη ἐκκλησία ἢ ὁ εὐαγὴς οἶκος τὸ δανεισθὲν χρυσίον· κἀνταῦθα κατὰ τοῦ τὸ δάνεισμα πράξαντος οἰκονόμου ἢ ξενοδόχου ἢ πτωχοτρόφου ἢ ἡγουμένου μοναστηρίου ἢ ἀσκητηρίου ἢ τῶν ἄλλων εὐαγῶν συστημάτων τῆς ἀγωγῆς οὔσης τῷ δεδανεικότι· πάντων τούτων καὶ ἐπὶ τῶν ἡγουμένων τῶν γυναικείων ἀσκητηρίων ἤτοι μοναστηρίων κρατούντων. [§. 1.] εἰ γὰρ ὅλως ταῖς ἁγιωτάταις ἐκκλησίαις ἢ τοῖς ἄλλοις εὐαγέσιν οἴκοις δανείσματος γένηται

17) Ven. ἀπολαβεῖν.

χρεία, εἰς μόνην ἀναγκαίαν δηλαδὴ καὶ ἀπαραίτητον φασιν καὶ ἧς χωρὶς οὐκ ἔνεστι τὸ κατεπεῖγον πληρωθῆ ἢ εἴς τι πρᾶγμα λυσιτελέστατον τῇ ἁγιωτάτῃ καθεστὼς ἐκ σίᾳ, ἔξεστι τοῖς προεστῶσιν αὐτῶν μέχρι τῆς γενικῆς θήκης ἵστασθαι, μηδὲν ἰδικὸν ἐνέχυρον τοῖς δανείζουσι ρεχομένοις.

ζ΄. Εἰ δὲ καὶ διηνεκῆ τις ἐμφύτευσιν λαβεῖν ῥήσειεν, ὅπερ οὐκ ἔξεστιν, ἢ πρόσκαιρον μὲν μὴ μ κατὰ τὴν τοῦδε ἡμῶν τοῦ νόμου παρατήρησιν, καὶ ο ἐκπιπτέτω μὲν τῆς ἐμφυτεύσεως καὶ τὸ δεδομένον με παρὰ τῷ εὐαγεῖ οἴκῳ, διδότω δὲ διηνεκῶς καὶ μετὰ ἔκπτωσιν τοῦ ἐμφυτεύματος ὅσον ἤμελλε τελεῖν εἴπερ νόμον ὑπῆλθε τὴν ἐμφύτευσιν, οὐδενὸς παρ' αὐτῷ μέ τος ἐκ τῶν μάτην αὐτῷ κατ' ἐμφύτευσιν δεδομένων πι κῶν πραγμάτων. [§. 1.] ταῦτά τε οὖν ἅπαντα παραφι τέσθω ταῖς εἰρημέναις ὑποκείμενα ποιναῖς, μηδὲ συμβολαιογράφων θαῤῥούντων τοῖς τοιούτοις ὑπου συμβολαίοις, ἀλλὰ δεδιότων τὴν ἀειφυγίαν καὶ τὸ πώποτε ἐπανελθεῖν, μηδ' ἂν εἰ θεῖος τοῦτο δοίη τι μηδὲ τῶν ἀρχόντων ἢ ὑπαγορεύειν τοιαῦτα συμβόλαια ῥούντων ἢ γενόμενα προσδέχεσθαι καὶ πράξεσιν ὑπομν των αὐτὰ βεβαιοῦν, ὥστε μὴ καὶ αὐτοὺς τήν τε τῆς ἀ καὶ ἀξίας τήν τε τῆς οὐσίας ἔκπτωσιν κατὰ τὴν Λέ διάταξιν ὑπομεῖναι.

η΄. Τῶν αὐτῶν ἐπιτιμίων φυλαττομένων καὶ τῶν ἱερὰ σκεύη παρὰ τὸν ἡμέτερον νόμον ἢ ἐνεχυραζό ἢ πωλούντων ἢ χωνευόντων ἐπὶ ἐκποιήσει· καὶ γὰρ κἀκείνους τῆς ἴσης ἢ καὶ μείζονος εἶναι ποινῆς ἀξίους σπίζομεν, ὅσῳ καὶ περὶ ἱερὰ πράγματα καὶ ἤδη θεῷ θιερωμένα τολμῶσιν ἀσεβεῖν.[18]) πλὴν εἰ μὴ τοῦτο γένοιτο θάπερ εἴπομεν διὰ ἀνάῤῥυσιν αἰχμαλώτων, ἔνθα ψ

18) Ven. inter lineas: τοῦτο ἀναιρεῖ ἡ ρκ΄.

θρώπων ἐλευθεροῦσι θανάτου καὶ δεσμῶν τῇ τῶν ἀψύ-ν ἐκποιήσει κειμηλίων. δηλαδὴ τῆς ὁμοίας παρατηρήσεως ὶ ἐπὶ τῆς ἐκποιήσεως τῶν πολιτικῶν σιτήσεων παραφυλατ-μένης, καθὰ πολλάκις εἴπομεν, διότι τοιαύτας εἶναι σιτή-ις οὐ μόνον ἐπὶ τῆς βασιλίδος ταύτης πόλεως, ἀλλὰ καὶ ὶ τῆς μεγάλης Ἀλεξανδρείας καὶ ἐπὶ τῆς Θεουπολιτῶν ναι μεμαθήκαμεν, ἴσως δὲ τὸ[19]) τοιοῦτο καὶ ἐν ἑτέραις σὶν ἐπαρχίαις εἶναι. εἰ γὰρ καὶ ἀλλαχόσε τοιαύτη τὶς εἴη ήσις, καὶ ἐπ' ἐκείνης ὁ νόμος φυλαττέσθω καὶ τὴν ἑαυ-ῦ παρατήρησιν ἐκτεινέτω.

θ'. Ἐπειδὴ δὲ εἰκός τινας ἐπὶ παρακρούσει τοῦδε ῦ νόμου πειρᾶσθαι πραγματικοὺς ἡμῶν τύπους λαμβάνειν ιοῦτό τι πράττειν αὐτοῖς ἐπιτρέποντας, καὶ τοῦτο κωλύο-εν ἐπὶ παντὸς προσώπου μείζονός τε καὶ ἐλάττονος, εἴτε ρχὴν ἔχοι τινὰ εἴτε τῶν περὶ ἡμᾶς εἴη εἴτε τῶν ἄλλων τὶς ὂν εἰς δήμους τελούντων. καὶ θεσπίζομεν, μηδενὶ παντε-ῶς ἄδειαν εἶναι τοιοῦτόν τινα πραγματικὸν προΐσχεσθαι ὑπον, μηδὲ ἐντεῦθεν λαμβάνειν τὶ τῶν ταῖς ἁγιωτάταις κλησίαις προσηκόντων ἢ μοναστηρίοις ἢ πτωχείοις ἢ ἁγέσι συστήμασιν ἀκινήτων πραγμάτων, ἀλλὰ τῷ τε ἐνδο-πάτῳ κοιαίστωρι ποινὴν ἐπικεῖσθαι quinquaginta librarum uri[20]) εἴ τι τοιοῦτο ὑπαγορεύσειε, τοῖς τε δεχομένοις τὴν φάνισιν τοιούτου τινὸς θείου τύπου ἐνδοξοτάτοις ἄρχου-ν ἢ ἑτέροις τισὶ τὴν αὐτὴν ἐπικεῖσθαι[21]) ποινήν, τούς τε μβολαιογράφους ὑποπίπτειν τῇ Λέοντος τοῦ τῆς εὐ-βοῦς λήξεως διατάξει εἰ γράψαιέν τι τοιοῦτο συμβόλαιον, ύς τε θεοφιλεστάτους ἐπισκόπους ἢ τοὺς εὐλαβεστάτους κονόμους ἀκινδύνως ἀποσείεσθαι τοὺς τοιούτους θείους αγματικοὺς τύπους, μᾶλλον μὲν οὖν ἐπικινδύνως προ-εσθαι, καὶ γινώσκειν ὡς περὶ αὐτὴν κινδυνεύσουσι τὴν

19) Malim cum Auth. legere τι. 20) Ven. inter lineas λίτρας χρυσίου. 21) Ven. ὑποκεῖσθαι.

ἱερωσύνην, εἴ γε ἀμελήσαντες τῶν νόμων τοῖς οὕτω γινο- μένοις πραγματικοῖς ἀκολουθήσαιεν τύποις. [§. 1.] *δεῖ γὰρ τὰ κοινῇ καὶ ἐν γένει καὶ ἐπὶ τῇ πάντων ὠφελείᾳ νε- νομοθετημένα μᾶλλον κρατεῖν, ἢ τὰ κατά τινων σπουδῇ ἐπὶ παραφθορᾷ τῶν κοινῶν γενόμενα νόμων· ἐκείνων μόνων δηλαδὴ μισθουμένων τε καὶ ἐμφυτευομένων τῶν πραγμάτων ὁπόσα νομίζουσι τοιούτου τινὸς δεῖσθαι.*

ι'. Εἰ μέντοι βούλονταί τινα ὑπὸ τὴν ἑαυτῶν διοί- κησιν ἔχειν οἱ θεοφιλέστατοι οἰκονόμοι ἢ οἱ τῶν ἄλλων ἡγούμενοι συστημάτων, μηδενὶ τῶν ἐν δυνάμει μηδὲ κατὰ θεῖον πραγματικὸν τύπον παῤῥησίαν εἶναι ἀναγκάζειν αὐτοὺς ἢ κατὰ μίσθωσιν ἢ κατὰ ἐμφύτευσιν ταῦτα ἐκδιδόναι, ἐπεὶ τὸν τοῦτο πράττοντα ἱεροσυλίας τε ὑποκεῖσθαι ποινῇ καὶ πᾶσι τοῖς τῷδε τῷ θείῳ ἡμῶν νόμῳ περιεχομένοις ἐπιτιμίοις.

ια'.[22]) *Ἐπειδὴ δὲ ἔγνωμεν δεινόν τι πλημμέλημα γινό- μενον παρά τε Ἀλεξανδρεῦσι καὶ Αἰγυπτίοις ἤδη δὲ καὶ ἐν τισιν ἑτέροις τῶν ὑπηκόων τόποις, τό τινας θαῤῥεῖν αὐτὰ δὴ τὰ εὐαγῆ μοναστήρια πωλεῖν ἢ ἀμείβειν ἢ δωρεῖσθαι, ἐν οἷς θυσιαστήριόν*[23]) *τε καθιδρύθη καὶ ἱερὰ γέγονε λει- τουργία (ὁποίαν εἰωθός ἐστιν ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις γίνεσθαι, τῶν τε θείων ἀναγινωσκομένων γραφῶν τῆς τε ἱερᾶς καὶ ἀῤῥήτου μεταδιδομένης κοινωνίας) μοναχική τε ἐκεῖσε γέγονεν οἴκησις, ὥστε αὐτὰ μεταβαλεῖν ἐξ ἱεροῦ καὶ θεοφιλοῦς σχήματος εἰς ἰδιωτικὴν δίαιτάν τε καὶ κατάστασιν τοῦτο παντελῶς τοῦ λοιποῦ γίνεσθαι κωλύομεν, οὐδενὶ τῶν πάντων ἐφιέντες ταῦτα ἐξαμαρτάνειν, ἀλλὰ καὶ τὸ γινόμενον ἄκυρον πᾶσιν ἀποφαίνομεν τρόποις, καὶ τῶν τιμημάτων ἔκπτωσιν ἐπιτίθεμεν τῷ λαβόντι, καὶ τὸν πιπράσκοντα ζημιοῦ- μεν τῇ τε τοῦ πράγματος ἐκπτώσει τῇ τε τοῦ τιμήματος ἀπωλείᾳ, τῇ κατὰ τὸν τόπον ἁγιωτάτῃ ἐκκλησίᾳ καὶ τοῖς*

22) Ven. in margine: *ι'.* 23) Ven. *μοναστήριον*, quod ex reliquis fontibus corrigendum fuit.

κατὰ τόπον εὐαγέσι μοναστηρίοις ταῦτα προσνέμοντες. ὥστε αὐτοὺς προνοεῖν τοῦ τὸ κακῶς ἐκποιηθὲν αὖθις εἰς μοναχικὸν ἐπανάγειν σχῆμα, μηδὲ τῆς ὑποθήκης τῆς ἐπὶ τούτοις ἐῤῥωμένης ἀλλὰ καὶ αὐτῆς ἀκυρουμένης, καὶ τοῦ μοναστηρίου πάλιν τῇ ἱερᾷ προσκυρουμένου λειτουργίᾳ.

ιβ΄.[24]) Ὥσπερ δὲ τὰς ἐπιβλαβεῖς ἐκποιήσεις ἐκωλύσαμεν, οὕτω καὶ τὰς ἐπιβλαβεῖς κτήσεις ἀπαγορεύομεν. πολλαὶ γὰρ παρ' ἡμῖν κεκίνηνται ζητήσεις, ἔνθα τινὲς ἄπορα χωρία δεδώρηνται ταῖς ἁγιωτάταις ἐκκλησίαις ἢ τοῖς σεβασμιωτάτοις οἴκοις, ἢ καὶ πεπράκασι δῆθεν ὡς εὔπορα καίτοιγε ἄπορα τὴν ἀρχὴν καθεστῶτα, κἀντεῦθεν τοὺς εὐαγεῖς οἴκους ἠδίκησαν. ἀπαγορεύομεν τοίνυν τοῖς προεστῶσι τῶν σεβασμιωτάτων οἴκων τοιοῦτό τι πράττειν, ἢ γινώσκειν ὡς εἰ μὴ μετὰ πάσης ἀκριβείας ποιοῖντο τὰ συναλλάγματα, ἀλλὰ ἄπορός τις κτῆσις ἢ ἐπιβλαβὴς δοθείη ταῖς ἐκκλησίαις ἢ τοῖς μοναστηρίοις ἢ ξενῶσιν ἢ νοσοκομείοις ἢ τοῖς ἄλλοις εὐαγέσι συστήμασι, τὸ μὲν συνάλλαγμα ἀντὶ μὴ γεγονότος ἔσται καὶ ἀναλήψεται πάντως ὁ δοὺς τὸ κατὰ περίνοιαν καὶ ἀπάτην δεδομένον, ὁ δὲ τοιοῦτό τι πράξας οἰκονόμος ἢ ξενοδόχος ἢ νοσοκόμος ἢ πτωχοτρόφος ἢ ὀρφανοτρόφος ἢ γεροντοκόμος ἢ ἡγούμενος οἴκοθεν τῷ δεδωκότι θεραπεύσει τὴν ἐντεῦθεν ζημίαν. εἰ δὲ καὶ οὕτω τὸ πρᾶγμα σχηματισθείη ὥστε καί τι χρυσίον ὑπὲρ τούτου δοθῆναι, καὶ τοῦτο κερδανεῖ μὲν ὁ εὐαγὴς οἶκος ὁ τὸ ἄπορον λαβών, ὁ δέ γε δοὺς τὸ χρυσίον ἕξει κατὰ τοῦ τὸ συνάλλαγμα πράξαντος τὴν ἐντεῦθεν ἀγωγὴν καθάπερ ἔμπροσθεν εἴπομεν.

Οὗτος ἡμῖν ἐπὶ τῆς τῶν ἐκκλησιαστικῶν ἢ ὅλως πτωχικῶν πραγμάτων ἐκποιήσεως ἀποκείσθω νόμος, τῇ Λέοντος μὲν τοῦ τῆς εὐσεβοῦς λήξεως εὐσεβῶς ἑπόμενος διατάξει, ἀλλ' οὐ τὸ μὲν ἰώμενος, τὸ δὲ ἀθεράπευτον καταλιμπάνων. ἀλλ' ἐπὶ πάσης τῆς γῆς, ἣν ὁ Ῥωμαίων ἐπέχει νόμος καὶ

24) Ven. in marg. ια΄.

ὁ τῆς καθολικῆς ἐκκλησίας θεσμός, οὗτος ἐκτετάσθω καὶ ὁριζέτω τὰ οἰκεῖα καὶ κρατείτω διηνεκῶς, φυλαττόμενος παρά τε τῶν ὁσιωτάτων πατριαρχῶν διοικήσεως ἑκάστης παρά τε τῶν θεοφιλεστάτων μητροπολιτῶν παρά τε τῶν ἄλλων ἐπισκόπων τε καὶ κληρικῶν καὶ οἰκονόμων καὶ ἡγουμένων καὶ ξενοδόχων καὶ νοσοκόμων καὶ ὀρφανοτρόφων καὶ βρεφοτρόφων καὶ γεροντοκόμων καὶ πάντων ἁπλῶς τῶν ἡγουμένων τινῶν εὐαγῶν συστημάτων, ἅπασιν ἐπιτιθεὶς τὴν ἰδίαν ἰσχὺν καὶ ἄδειαν διδοὺς τῷ βουλομένῳ προσαγγέλλειν τὰ πλημμελήματα. ἐπαινετὸς γὰρ ὁ τοιοῦτος ἔσται, καὶ τὴν τοῦ συκοφάντου διαφεύξεται προσηγορίαν ὁ τὸ πρᾶγμα παρὰ τὸν νόμον γινόμενον ἐλέγχων καὶ αἴτιος εὐσεβείας καὶ ὠφελείας τοῖς ἱεροῖς οἴκοις γινόμενος. φυλάξουσι δὲ αὐτὸν οὐδὲν ἧττον καὶ οἱ τῆς ἡμετέρας πολιτείας ἄρχοντες μείζους τε καὶ ἐλάττους, πολιτικοί τε καὶ στρατιωτικοί, καὶ διαφερόντως οἵ τε πανταχόσε τῶν διοικήσεων ἐνδοξότατοι ἔπαρχοι τῶν ἱερῶν ἡμῶν πραιτωρίων, οἵ τε τὰς μέσας ἔχοντες τῶν ἀρχῶν, οὓς δὴ περιβλέπτους καλοῦσι, φαμὲν αὐγουστάλιόν τε καὶ ἀνθυπάτους καὶ τοὺς περιβλέπτους κόμητας, τούς τε ἄλλους καὶ τὸν τῆς Ἑῴας, καὶ αἱ μετ' ἐκείνους ἀρχαί, τουτέστιν οἵ τε τῶν ἐπαρχιῶν ἄρχοντες, εἴτε ὑπατικοὶ εἴτε ἡγεμονικοὶ καθεστήκασιν, ἔκδικοί τε πόλεων· καὶ ἁπλῶς πᾶσα πολιτική τε καὶ δημοσία καὶ στρατιωτικὴ βοήθεια τόνδε ἡμῶν τὸν νόμον ὡς κοινωφέλειάν τε καὶ ὑπὲρ τῆς πανταχοῦ γῆς εὐσεβείας τεθειμένον φυλαττέτω καὶ τοὺς παραβαίνοντας ὑποτιθέτω ταῖς ποιναῖς, ἃς ἔμπροσθεν εἴπομεν. εἰ δέ τι περὶ μισθώσεων ἐκκλησιαστικῶν πραγμάτων ἢ καὶ ἐφ' ἑτέροις κεφαλαίοις ἐνομοθετήσαμεν ἢ καὶ παρὰ τῶν πρὸ ἡμῶν νενομοθέτηται, μενέτω τοῦτο ἐπὶ τῆς οἰκείας ἰσχύος οὐδὲν ἀπὸ τῆς παρούσης θείας ἡμῶν διατάξεως καινιζόμενον. τὰ ἄλλα γὰρ πάντα μένειν ἐπὶ τῶν οἰκείων ὅρων ἐῶμεν, πλὴν εἰ μή τι περὶ τούτων ἔχοι ἅπερ ἐνταῦθα διετάξαμεν, ἀρκοῦντος ἀντὶ πάντων τούτου τοῦ νόμου πρὸς

τῷ[25]) παρὰ Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως γενομένῳ πᾶσαν κατὰ τῶν πτωχικῶν πραγμάτων ἀνελεῖν ἐκποιήσεως πρόφασιν. ἡ τοίνυν σὴ μακαριότης καὶ οἱ μετ' αὐτὴν τῶν ἀρχιερατικῶν γινόμενοι θρόνων τὰ παρ' ἡμῶν διατεταγμένα ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτωσαν. Divinitas te servet per multos annos sancte ac religiosissime pater. Dat. XVII.[26]) Kal. Maii CP. Bilisario V. C. Cons.[27])

Auth. 8. XVI. Nov. 8. [Ed. 1.]

Maior pars servata est in Basil. VI, 3, 1—8. 10. 16—21. 48—50 et Epanag. VII, 1—5. Summas praestant Iulian. c. 15, Athanas. IV, 1, Theod. Nov. 8.

Ἡ διάταξις[1]) περὶ τοῦ τοὺς ἄρχοντας χωρὶς τῆς οἱασοῦν δόσεως γίνεσθαι.

Ὁ αὐτὸς Βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἁπάσας[2]) ἡμῖν ἡμέρας τε καὶ νύκτας συμβαίνει μετὰ πάσης ἀγρυπνίας τε καὶ φροντίδος διάγειν, ἀεὶ βουλευομένοις ὅπως ἂν χρηστόν τι καὶ ἀρέσκον θεῷ παρ' ἡμῶν τοῖς ὑπηκόοις δοθείη. καὶ οὐ πάρεργον τὴν ἀγρυπνίαν λαμβάνομεν, ἀλλ' εἰς τοιαύτας αὐτὴν ἀναλίσκομεν βουλὰς διημερεύοντές τε καὶ νυξὶν ἐν ἴσῳ ταῖς ἡμέραις χρώμενοι, ὥστε τοὺς ἡμετέρους ὑπηκόους ἐν εὐπαθείᾳ γίνεσθαι πάσης φροντίδος ἀπηλλαγμένους, ἡμῶν εἰς ἑαυτοὺς τὰς ὑπὲρ ἁπάντων

25) Ven. τό. 26) Firmat Athan. 27) Athan. ἰνδ. β' vel τὸ β' vel τὸ ιβ' addit. Theodorus: ἐξεφωνήθη μηνὶ μαΐῳ ἰνδ. β' ὑπατείᾳ βελισαρίου. Sed ind. XII in a. 534, ind. II in a. 539 (Apione cons.) incidit. Heimb. in Auth. XVIII (!) Kal. Mart. dedit. Atqui Codices quos laudat „Mad." i. e. Maii legunt, ut etiam est apud Iulianum.

1) Ἡ διάταξις abest ab Hal. — Ven. in margine: ἕως ὧδε. Forte ab eo adiectum est qui Cod. Vaticanum exaravit, ut notaret quousque describendo pervenerit. 2) Ven. in marg. α'.

μερίμνας ἀναδεχομένων. διὰ πάσης γὰρ ἐρεύνης καὶ ζητήσεως ἀκριβοῦς ἐρχόμεθα πράττειν ἐκεῖνα ζητοῦντες, ἅπερ ὄφελος τοῖς ἡμετέροις ὑπηκόοις εἰσάγοντα παντὸς αὐτοὺς ἀπαλλάξει βάρους καὶ πάσης ζημίας ἔξωθεν ἐπεισαγομένης παρὰ τὴν δημοσίαν ἀπογραφὴν καὶ τὴν δικαίαν τε καὶ νενομισμένην συντέλειαν. εὑρίσκομεν γὰρ πολλὴν ἐπεισελθοῦσαν τοῖς πράγμασιν ἀδικίαν, καὶ ταύτην οὐκ ἄνωθεν, ἀλλ' ἔκ τινων χρόνων βιασαμένην τοὺς ἡμετέρους καὶ εἰς πενίαν[3]) ἐλαύνουσαν, ὡς εἰς τελειοτάτην αὐτοὺς ἀπορίαν κινδυνεύειν ἐλθεῖν καὶ μηδὲ τὰ συνήθη καὶ νενομισμένα τῶν δημοσίων καὶ ταῖς ἀληθείαις εὐσεβῶν φόρων κατὰ τὴν δημοσίαν ἀπογραφὴν δύνασθαι χωρὶς μεγάλης ἀνάγκης τιθέναι. πῶς γὰρ ἂν ἴσχυον οἱ συντελεῖς, τῶν τε ἔκ τινος χρόνου βεβασιλευκότων ἀεί τι κερδαίνειν ἐκ τῆς ἐπὶ ταῖς ἀρχαῖς προαγωγῆς βουλομένων, εἰκότως τε τούτοις ἀκολουθούντων καὶ τῶν ἐνδοξοτάτων ὑπάρχων, ἔκ τε[4]) τῆς ἐντεῦθεν ἀδικίας ταῖς τε ἔξωθεν ζημίαις ταῖς τε νενομισμέναις εὐσεβέσιν ἐπαρκεῖν εἰσφοραῖς; [§. 1.) ἔννοια τοίνυν ἡμῖν γέγονε, τί ποτε ἂν πράξαντες ἅπαν ὅσον ἐν ταῖς ἡμετέραις ἐπαρχίαις ἐστὶν ἐπιβλαβὲς πράξει μιᾷ κοινῇ πρὸς τὰ κρείττω μεταστήσαιμεν. τοῦτο δὲ πάντως ἀποβησόμενον εὑρίσκομεν, εἰ τοὺς ἡγουμένους τῶν ἐθνῶν, ὅσοι τὰς πολιτικὰς ἀρχὰς τῶν ἐπαρχιῶν ἔχουσι, καθαραῖς παρασκευάσαιμεν χρῆσθαι ταῖς χερσὶ καὶ παντὸς ἀπέχεσθαι λήμματος, μόνοις ἀρκουμένους τοῖς παρὰ τοῦ δημοσίου διδομένοις. ὅπερ οὐκ ἂν ἄλλως γένοιτο, εἰ μὴ καὶ αὐτοὶ τὰς ἀρχὰς ἀμίσθους παραλαμβάνοιεν οὐδ' ὁτιοῦν διδόντες οὐδὲ προφάσει τῶν καλουμένων suffragiorum οὐδὲ τοῖς τὰς ἀρχὰς ἔχουσιν οὐδὲ ἑτέρῳ τῶν πάντων οὐδενί. ἐσκοπήσαμεν γάρ, ὅτι περ εἰ καὶ πόρος οὐ μικρὸς ἐλαττοῦται τῇ βασιλείᾳ, ἀλλ' οὖν τῶν ἡμετέρων ὑποτελῶν ἐπίδοσιν

3) Hal. (cum Auth.) εἰσβιασαμένην καὶ τ. ἡμ. ὑπ. εἰς πεν. ἐλ.
4) Abundat.

μεγάλην λαμβανόντων εἴπερ ἀζήμιοι παρὰ τῶν ἀρχόντων φυλάττοιντο, ἥ τε βασιλεία τό τε δημόσιον εὐθηνήσει χρωμένη[5]) ὑπηκόοις εὐπόροις, μιᾶς τε ταύτης εἰσαγομένης τάξεως πολλὴ καὶ ἀμύθητος ἔσται τοῦ πράγματος ἀφθονία. ἢ οὐ πᾶσίν ἐστι φανερὸν, ὅτι περ ὁ χρυσίον διδοὺς καὶ οὕτω τὴν ἀρχὴν ὠνούμενος οὐκ αὐτὸ δίδωσι μόνον ὅσον προφάσει τῶν καλουμένων ἐπενοήθη suffragiων, ἀλλὰ καὶ ἕτερον ἔξωθεν προσεπιθήσει πλεῖον προφάσει τῆς τῶν ἄλλων τῶν τὴν ἀρχὴν ἢ διδόντων ἢ μνηστευόντων[6]) θεραπείας; καὶ μιᾶς ἀρχῆς ἀτόπου δοθείσης πολλὰς ἀνάγκη χεῖρας περινοστεῖν τὸν τῆς δόσεως ἀρχόμενον, καὶ τοῦτο[6a]) δὲ τὸ χρυσίον οὐκ οἴκοθεν ἴσως παρέχειν, ἀλλὰ δεδανεισμένον, καὶ ἵνα δανείσασθαι δυνηθείη ζημιούμενον, καὶ συλλογίζεσθαι κατ'[7]) αὐτὸν, ὅτι προσῆκόν ἐστι τοσοῦτον ἐκ τῆς ἐπαρχίας λαβεῖν, ὁπόσον διαλύσει μὲν αὐτῷ τὰ ὀφλήματα, κεφάλαιά τε καὶ τόκον, καὶ τὰς ὑπὲρ αὐτοῦ τοῦ δανείσασθαι ζημίας, δώσει δὲ καὶ τὴν ἐν μέσῳ δαπάνην δαψιλεστέραν τε ἤδη καὶ ἄρχοντι καὶ τοῖς ἀμφ' αὐτὸν πρέπουσαν, καί τινα ἑαυτῷ καὶ προσαποδοθήσεται πόρον κατὰ τὸν ἑξῆς χρόνον καθ' ὃν ἴσως οὐκ ἄρξει· ὥστε τοῦ παρ' αὐτοῦ διδομένου τριπλάσιον, μᾶλλον δὲ εἰ δεῖ τἀληθέστερον εἰπεῖν δεκαπλάσιον τὸ παρὰ τῶν ἡμετέρων ὑποτελῶν εἰσπραττόμενον ἔσται. ἐντεῦθέν τε καὶ τὸ δημόσιον ἐλαττωθήσεται· ἃ γὰρ ἐχρῆν εἰς τὸ δημόσιον εἰσαχθῆναι τοῦ τὴν ἀρχὴν ἔχοντος καθαραῖς χρωμένου ταῖς χερσὶ, ταῦτα εἰς τὴν οἰκείαν θεραπείαν λαβὼν ὁ τὴν ἀρχὴν ἔχων, ἄπορόν τε ἀποφήνας ἡμῖν τὸν συντελεστὴν, τὴν ἀπορίαν ἐκείνου τὴν δι' αὐτὸν γινομένην ἡμῖν ὑπολογίζεται. πόσα δὲ ἀσεβῆ καὶ ἄλλα γίνεται εἰς τὴν τῶν κλοπῶν τούτων εἰκότως ἀναφερόμενα πρόφασιν; οἱ γὰρ δὴ τὰς ἀρχὰς ἔχοντες τὰς ἐπιχωρίους εἰς τὸ λῆμμα προσέχοντες τοῦτο

5) Hal. *χρώμενον*. 6) Vox suspecta. Malim *μεσιτευόντων*. Auth. tamen pro *μνηστ.* facere videtur. 6[a]) *τοῦτον?* 7) *καθ' αὐτόν?*

πολλοὺς μὲν τῶν ὑπευθύνων ἀφιᾶσι πωλοῦντες αὐτοῖς τὸ πλημμέλημα, πολλοὺς δὲ τῶν ἀνευθύνων κατακρίνουσι ἵνα τοῖς ὑπευθύνοις χαρίσωνται, καὶ τοῦτο οὐκ ἐπὶ ταῖς χρηματικαῖς μόνον πράττουσιν αἰτίαις, ἀλλὰ κἀν τοῖς ἐγκλήμασιν ἔνθα περὶ ψυχῆς ἐστιν ὁ κίνδυνος. φυγαί τε ἐκ τῶν ἐπαρχιῶν γίνονται, καὶ συῤῥέουσιν ἐνταῦθα πάντες ὀδυῤῥόμενοι, ἱερεῖς τε καὶ βουλευταὶ καὶ ταξεῶται καὶ κτήτορες καὶ δημόται καὶ γεωργοὶ, ταῖς τῶν ἀρχόντων κλοπαῖς τε εἰκότως καὶ ἀδικίαις μεμφόμενοι. καὶ οὐ ταῦτα δὴ γίνεται μόνα, ἀλλὰ καὶ αἱ τῶν πόλεων στάσεις καὶ οἱ δημώδεις θόρυβοι τὰ πολλὰ χρημάτων γίνονταί τε καὶ παύονται. καὶ ὅλως μία τὶς ἐστὶν αὕτη πάντων ἀφορμὴ τῶν κακῶν καὶ τό γε[8]) ἀργυρολογεῖν τὰς ἀρχὰς πάσης ἐστὶ πονηρίας προοίμιόν τε καὶ πέρας· καὶ ἐστὶν ἄρα καὶ τοῦτο τῶν θείων λογίων θαυμαστόν τε καὶ ἀληθέστατον τὸ τὴν φιλαργυρίαν πάντων εἶναι μητέρα τῶν κακῶν, καὶ μάλιστα ὅταν μὴ ταῖς τῶν ἰδιωτῶν, ἀλλὰ ταῖς τῶν ἀρχόντων ἐγγένηται ψυχαῖς. τίς γὰρ οὐκ ἂν ἀκινδύνως κλέπτοι, τίς δὲ οὐκ ἂν ληστεύσειεν ἀνεύθυνα[9]) εἰς τὴν ἀρχὴν ἀποβλέπων κἀκείνην ὁρῶν ἅπαντα χρυσίου πιπράσκουσαν, καὶ θαῤῥῶν, ὡς ὅπερ ἂν πράξειεν ἄτοπον, τοῦτο χρήματα δοὺς ἐξωνήσηται; ἐντεῦθεν ἀνδροφονίαι τε καὶ μοιχεῖαι καὶ ἔφοδοι καὶ πληγαὶ καὶ ἁρπαγαὶ παρθένων καὶ πανηγύρεων συγχύσεις καὶ καταφρονήσεις τῶν τε νόμων καὶ τῶν ἀρχῶν, πάντων αὐτὰς ὠνίους προκεῖσθαι νομιζόντων ὥσπερ τὶ τῶν κακίστων ἀνδραπόδων. καὶ οὐκ ἂν ἀρκέσαιμεν προσεννοεῖν τε καὶ ἀφηγεῖσθαι ὁπόσα καὶ ἐκ τῆς κλοπῆς τῶν ἐπιχωρίων ἀρχόντων γίνεται χαλεπὰ[10]), οὐδενὸς αὐτοῖς θαῤῥοῦντος μετὰ παῤῥησίας ἐπιτιμᾶν ἐκείνων εὐθὺς τὸ τὰς ἀρχὰς ὠνήσασθαι προϊσχομένων.

α΄. Ταῦτα ἅπαντα καθ' ἑαυτοὺς βουλευσάμενοι, κἀνταῦθα κοινωνὸν τοῦ βουλεύματος παραλαβόντες τὴν ἐκ θεοῦ

8) Ven. *καίτοιγε*. 9) Hal. *ἀκίνδυνα*. 10) Ven. *χαλεπαί*

διδομένην ἡμῖν εὐσεβεστάτην σύνοικον καὶ τῇ σῇ γε ὑπεροχῇ τὸ πρᾶγμα κοινωσάμενοι καί τι καὶ παρὰ τῆς σῆς λαβόντες βουλῆς, ἐπὶ τόνδε τὸν θεῖον ἐληλύθαμεν νόμον, δι' οὗ θεσπίζομεν, μήτε ἀνθυπατείαν μηδεμίαν μηδὲ τὴν μέχρι νῦν καλουμένην βικαρίαν μήτε τὸν κόμητα τῆς Ἑῴας μήτε ἄλλην οἱανοῦν ἀρχήν, μήτε ὑπατικὴν μήτε ἡγεμονικὴν ἃς δὴ κονσουλαρίους τε καὶ κοῤῥηκτορίας καλοῦσιν (ὧντινων ῥητῶς μέμνηται ἡ ὑποκειμένη τῷδε ἡμῶν τῷ θείῳ νόμῳ ἀπογραφή, ἃς δὴ καὶ μόνας ὑπὸ τόνδε τὸν νόμον ἄγομεν), διδόναι τὶ suffragion[11]), μήτε ὑπὲρ τῆς ἀρχῆς τὴν οἱανοῦν δόσιν μηδὲ ἄρχοντι μηδενὶ μηδὲ τῶν περὶ τὰς ἀρχάς τινι μηδ' ἑτέρῳ προσώπῳ κατὰ πρόφασιν προστασίας, ἀλλὰ προῖκα μὲν κομίζεσθαι τὰς ἀρχάς, μέτρια δὲ παρέχειν προφάσει τῶν ὑπὲρ ἑκάστης διδομένων συμβόλων τε καὶ χαρτῶν. καὶ γὰρ δὴ καὶ ὑπεθήκαμεν ἀπογραφὴν τῷδε τῷ θείῳ ἡμῶν νόμῳ, δηλοῦσαν τί προσῆκόν ἐστιν ἑκάστην ἀρχὴν παρέχειν ἢ εἰς τὸ θεῖον ἡμῶν laterculon[12]) ἢ εἰς τὸ δικαστήριον τῆς σῆς ὑπεροχῆς προφάσει τῶν κωδικέλλων ἢ συμβόλων ἢ προσταγμάτων, ὥστε ἐκεῖνό τε συνεστάλθαι καὶ μὴ παρέχειν αὐτῷ[13]) μεγάλην αἴσθησιν.

β'. Ἐκεῖνο μέντοι διορίζομεν, τὸ χρῆναι τὸν βικάριον τῆς Ἀσιανῆς, ὄντα δὲ καὶ ἄρχοντα τῆς Πακατιανῆς Φρυγίας, μηκέτι μὲν οὕτω προσαγορεύεσθαι, ἀλλὰ τοῦ λοιποῦ κόμητα Φρυγίας Πακατιανῆς ὀνομάζεσθαι, καὶ κομίζεσθαι ἐκ τοῦ δημοσίου ἅπερ καὶ νῦν προφάσει ἀννόνων τε καὶ καπίτων[14]) ὑπὲρ ἑκατέρας ἀρχῆς ἐλάμβανεν, οὐδενὸς ἐλαττουμένου τούτων. καὶ μὴ δύο τάξεσι χρῆσθαι, ἀλλὰ ἀναμιγεῖσαν ἑκατέραν τήν τε τοῦ ἄρχοντος τήν τε τοῦ βικαρίου μίαν γενέσθαι, κομιτιανὴν οὖσάν τε καὶ ὀνομαζο-

11) Ven. inter lineas: *ἐπὶ βοηθείᾳ*. 12) Ven. inter lineas *ἤτοι ταμεῖον*. 13) Malim *αὐτῇ* scil. *τῇ ἀρχῇ*. 14) Ven. *καπιτατιάνων*. *ἤτοι κεφαλητιώνων καὶ συντελεῖν*. Scilicet de capitatione cogitavit librarius quae graece vertitur *κεφαλητίων*.

μένην, τοῦ κινδύνου τῶν δημοσίων φόρων αὐτῷ τε κα πᾶσιν ὁμοίως ἐπόντος[15]), οἷα μιᾶς τάξεως καθεστώσης, μ διῃρημένης αὐτῆς παντελῶς ἀλλὰ κατὰ μίαν ἁπάντων στρα τευομένων συνέχειαν, κομιζομένην μέντοι καὶ αὐτὴν διὰ τ διπλοῦν τοῦ κινδύνου τὰς ἀννόνας καὶ κάπιτα[16]), ἅπε ἑκατέρα πρῴην ἐκομίζετο τάξις. μὴ μὴν ἑτέρας τινὸς ἄρχει τὸν πρῴην μὲν βικάριον, νῦν δὲ περίβλεπτον κόμητα τῆ Πακατιανῆς Φρυγίας, οὐκ ἔχοντα παντελῶς οὐδεμίαν μετου σίαν ἐν ταῖς ἄλλαις ταῖς τῆς Ἀσιανῆς διοικήσεως ἐπαρχίαις ἀλλ' ἔχοντα μὲν τοῦ περιβλέπτου κόμητος τῆς Πακατιανῆ Φρυγίας ἐπωνυμίαν, ἀρκούμενον δὲ μόνῃ τῇ Πακατιαν καθάπερ εἰπόντες ἔφθημεν Φρυγίᾳ.

γ'. Αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ θατέρου τοῦ πρῴην βικα ρίου διορίζομεν, φαμὲν δὴ τοῦ κατὰ τὴν Ποντικὴν δι οίκησιν, ὥστε μὴ δύο καθεστάναι τὸ λοιπὸν ἀλλ' ἕνα, κόμητ μὲν Γαλατίας πρώτης ὀνομαζόμενον, καὶ ἔχοντα καὶ τὴ κατὰ τῶν στρατιωτῶν ἐξουσίαν καθάπερ ἔχει καὶ νῦν κ τὰς ἑκατέρας ἀρχῆς κομιζόμενον σιτήσεις, οὐ μὴν ἔξω τῆ πρώτης Γαλατίας. οὐδεμίαν γὰρ αὐτῷ ἑτέραν παντελῶς δ δομεν ἔχειν ἐξουσίαν κατ' οὐδεμιᾶς Ποντικῆς ἐπαρχίας, ἀλλ κατὰ μόνην Γαλατίαν τὴν πρώτην. τῆς τάξεώς τε ὁμοία ἀναμιγνυμένης καὶ κατὰ μίαν ὡς εἴρηται νοουμένης κ ἀριθμουμένης συνέχειαν, κομιτιανῆς οὔσης τε καὶ ὀνομαζ μένης, καὶ οὐδενὸς παντελῶς ἐξ αὐτῶν πρὸς τοὺς ἄλλο ἔχοντός[17]) τινα διαφορὰν, ἀλλὰ μίαν εἶναι τάξιν ὑφ' ἑ τεταγμένην ἄρχοντι μιᾶς ἐπαρχίας ἡγουμένῳ· πάσης ὁμοία τῆς τάξεως ἅμα τῷ σφῶν αὐτῶν ἄρχοντι περὶ τὰ δημόσ κινδυνευούσης.

δ'.[18]) Οὐδενὶ δὲ ἄρχοντι παντελῶς ἐφίεμεν, οὔ πολιτικῷ οὔτε στρατιωτικῷ, ἐκπέμπειν ἐν ταῖς πόλεσι τ

15) Ven. ἐποντος. Hal. ἔποντος. 16) Ven. καπιτατίονε 17) Ven. ἐχόμενος. 18) In Flor. et in Basil. hoc caput totu omittitur. Sane verba initialia cap. 5 Αὐτὸ δὲ τοῦτο sqq. ha

ἐπαρχίας ἧς ἄρχει τοὺς καλουμένους τοποτηρητὰς, γινώσκουσιν, ὡς εἰ τοιοῦτό τι πράξαιεν, αὐτοὶ παντελῶς ἐκπεσοῦνται τῆς ἀρχῆς οἱ θαῤῥήσαντες ἑτέρους εἰς τὴν ἑαυτῶν τάξιν ἐμβιβάζειν.

ε'. Αὐτὸ δὲ τοῦτο φαμὲν καὶ ἐπὶ τοῦ λαμπροτάτου κόμητος τῆς Ἑῴας[19]) καὶ τοῦ λαμπροτάτου ἄρχοντος[20]) (κἀκεῖσε γὰρ μίαν ἀρχὴν ἀμφοτέρας ποιούμεθα), ἔχοντος μὲν καὶ τὸ τοῦ περιβλέπτου κόμητος τῆς Ἑῴας ὄνομα, τάξεως δὲ μιᾶς ἄρχοντος κομιτιανῆς οὔσης τε καὶ ὀνομαζομένης, καὶ τῆς πρώτης μόνης Συρίας καὶ τῶν Κυῤῥεστικῶν[21]) ἡγουμένου καὶ τὰς ἑκατέρας ἀρχῆς ἔχοντος σιτήσεις. ἐν ἴσῳ γὰρ τοῖς βικαρίοις κἀκεῖνον τίθεμεν, ὥστε ἅμα καὶ αὐτὸν τῇ πειθομένῃ αὐτῷ τάξει κινδυνεύειν ὑπέρ τε τῆς τῶν δημοσίων εἰσπράξεως[22]) ὑπέρ τε τῆς πολιτικῆς καὶ δημοσίας καταστάσεως.

ϛ'. Βουλόμεθά γε μὴν ἅπασι τοῖς ἄρχουσι τῶν ἡμετέρων ἐπαρχιῶν πάντας ὑποκεῖσθαι, τοὺς μὲν ἰδιώτας κατὰ τὸ τῆς ἀρχῆς ἴδιον ἐπὶ πάσαις αἰτίαις καὶ πάσαις χρηματικαῖς τε καὶ ἐγκληματικαῖς προφάσεσι, τοὺς δέ γε ἐν στρατείαις ὄντας καὶ ὑπὸ ἰδικοὺς ἄρχοντας τεταγμένους καὶ τούτους οὐδὲν ἧττον προφάσει δημοσίων τε καὶ ἐγκλημάτων ὑποκεῖσθαι πᾶσι τρόποις αὐτῷ. ἀλλὰ[22a]) καὶ τοὺς ἐντεῦθεν κατιόντας ἐξ οἱουδήποτε δικαστηρίου καὶ τὰς οἱασοῦν μεταχειριζομένους ψήφους ἐξεῖναι τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας μὴ συγχωρεῖν πλεῖόν τι τῶν τῇ θείᾳ ἡμῶν διατάξει[23]) διηγορευμένων λαμβάνειν sportulων[24]), γινώσκοντας, ὡς εἰ τούτου

cum cap. 3 arctissime cohaerere demonstrant. Verumtamen cap. 4 non solum Cod. Venetus et Authenticum exhibent, sed argumentum et locum firmant etiam Iulian. Athan. Theod. 19) Athan. κόμης τῆς Ἀνατολίας (?). Theod. κόμης τῆς ἀνατολῆς. 20) Iulian. praesidis Antiochiae. 21) Ita Hal. Bas. Κυριστικῶν. Ven. Κυριευτικῶν. 22) Verba ὑπέρ τε τῆς τῶν δημ. εἰσπρ. in Ven. desunt. 22a) Ven. in marg. ζ'. 23) l. 5 C. de sportulis 3, 3. 24) Ven. inter lineas συνηθειῶν. Hal. ὑπὲρ

ῥαθυμήσειαν, πᾶσαν ζημίαν ἐντεῦθεν τοῖς ἡμετέροις τελέσιν ἐπαγομένην αὐτοὶ καταθήσουσι. δίδομεν δὲ α ἄδειαν καὶ γνωρίζειν τὰ περὶ τούτου μὴ μόνον εἰς τὰς χὰς ἐξ ὧν εἰσὶν οἱ στελλόμενοι, ἀλλὰ καὶ εἰς ἡμᾶς αἰ ὥστε ἡμᾶς ταῦτα γινώσκοντας τῷ πράγματι προσηκ ἐπεξιέναι. εἰ δὲ καὶ αὐτοί τινας εὕροιεν διὰ τὴν ἐκ ἀξίας ἢ τῆς ζώνης ὑπεροψίαν τοὺς ἡμετέρους ὑπο ἀδικοῦντας, ἄδειαν αὐτοῖς δίδομεν καὶ ἐξετάζειν τὰ ἀ ματα καὶ τοὺς ὑπευθύνους εὑρισκομένους ἀφαιρεῖσθαι τ ζώνης, καὶ τὴν ἡμετέραν τάξιν ἐν ταῖς ἐπαρχίαις πλη τοῦτο ὅπερ καὶ τοῖς ἀρχαίοις διηγόρευται τῶν νι ὥσπερ γὰρ αὐτοὺς παντὸς ἀδίκου κέρδους εἴργομεν, καὶ καθαρῶς ταῖς ἀρχαῖς κεχρημένους πάσης τιμῆς τ αἰδοῦς καὶ σεμνότητος ἀπολαύειν θεσπίζομεν.

ζʹ.[26]) Οὕτω τοίνυν ἡμῖν τῶν ἀρχῶν διακεκριμένων, σήκει τὸν ἐνταῦθα παραλαβόντα τὴν ἀρχὴν μετὰ τῆς θεοῦ μνήμης ἐναντίον ἡμῶν, ἢ εἴπερ ἡμῖν οὐκ εἴη τῆς τε σῆς ὑπεροχῆς[27]) καὶ τῶν ἀεὶ τὸν σὸν κατακ σόντων θρόνον, τοῦ τε ἀεὶ ἐνδοξοτάτου κόμητος τῶν ἡμῶν largitionων[28]), τοῦ τε ἐνδοξοτάτου quaestoroς θείου ἡμῶν παλατίου, τοῦ τε ἐνδοξοτάτου κόμητος ἁπανταχοῦ θείων ἡμῶν privatων[29]), παρόντος δὴ καὶ κατὰ καιρὸν μεγαλοπρεπεστάτου χαρτουλαρίου τῶν ἡμῶν κοιτώνων τοῦ τοῖς συμβόλοις τούτοις τοῖς παρ' ὑπηρετουμένου, ὅρκον διδόναι, μηδενὶ παντελῶς μηδὲ ἐ παρέχειν μήτε προφάσει δόσεως μήτε προστασίας,

συνηθειῶν ἢ σπορτούλων. 25) Ven. omittit articulun 26) Ven. in margine numerum ηʹ habet. Hoc caput con quae c. 2. 3 et 5 dicta sunt, unde patet c. 6, ut et ante ex post insertum esse. 27) Epanag. τοῦ τῆς πόλεως ἐπι Nec tamen inde concludendum haec ex exemplari ad Urbi dato manasse: vide enim quae dixi in libro: Ges griech.-röm. Rechts p. 340. 28) Ven. inter lineas πα θησαυρῶν. 29) Ven. inter lineas ἰδιοκτήτων.

ἐπαγγείλασθαι μήτε ἐκ τῆς ἐπαρχίας ὁμολογῆσαι στέλλειν, μήτε τοῖς ἐνδοξοτάτοις ἐπάρχοις μήτε τοῖς ἄλλοις τοῖς τὰς ἀρχὰς ἔχουσι μήτε τοῖς περὶ αὐτοὺς καθεστῶσι μήτε ἑτέρῳ τινὶ κατὰ πρόφασιν προστασίας. ἀλλ' ὥσπερ ἄμισθον λαμβάνει[30]) τὴν ἀρχὴν, προσλαμβάνει τε παρὰ τοῦ δημοσίου τὰς σιτήσεις (ταύτας γὰρ δὴ καὶ μόνας λαμβάνειν αὐτὸν ἐφίεμεν), οὕτως αὐτὴν καθαραῖς φυλάξει ταῖς χερσί, θεῷ τε καὶ ἡμῖν τὸν ὑπὲρ αὐτῆς ὑφέξων λόγον. ἴστω γὰρ ἡ σὴ ὑπεροχὴ καὶ οἱ μετά σε τὸν αὐτὸν ἐπιβησόμενοι θρόνον, ὡς εἴτε αὐτοὶ θαῤῥήσειάν λαβεῖν τι παρὰ τῶν εἰς τὰς εἰρημένας ἀρχὰς παριόντων εἴτε οἱ παραδυναστεύοντες αὐτοῖς, εἴτε καὶ ἡ τάξις ἡ σὴ περαιτέρω τῶν προφάσει συνηθειῶν παρ' ἡμῶν αὐτοῖς ὡρισμένων (ἅπερ δὴ καὶ ἀρκεῖν μόνα νομίζοντες δίδοσθαι διωρίσαμεν), ὡς οὐκ ἐν μικροῖς ἡ ποινὴ γενήσεται. ἀλλ' οἱ μὲν μέγιστοι ἄρχοντες οἱ λαβεῖν τι θαῤῥήσαντες παρὰ τῶν ἐπὶ τὰς ἀρχὰς παριόντων ἢ καὶ συγχωρήσαντες τῇ οἰκείᾳ τάξει τοιοῦτό τι πράττειν καὶ προσαγγελθὲν οὐ θεραπεύοντες, ὡς οὐ μόνον τετραπλάσιον ἀποδώσουσι πᾶν ὅσον εἰλήφασιν, ἀλλὰ καὶ μεγάλην ἀγανάκτησιν ὑποστήσονται καὶ τὸν ἐπὶ τῇ ἀρχῇ κίνδυνον εὐλαβηθήσονται· καὶ οἵ γε ἀμφ' αὐτοὺς ὄντες καὶ ἡ πειθομένη τάξις αὐτοῖς, εἰ πλεῖόν τι τῶν παρ' ἡμῶν δεδομένων ἐπιχειρήσαιεν λαβεῖν, αὐτοί τε ὑποκείσονται τοῖς ἐζημιωμένοις τῇ εἰς τὸ τετραπλοῦν ἀποδόσει, ἐκπεσοῦνταί τε καὶ οὐσίας καὶ ζώνης, πρὸς τῷ καὶ τιμωρίαις ὑποβάλλεσθαι πρεπούσαις τοῖς πλημμελήμασι τοῖς αὐτῶν.

η'.[31]) Τοὺς δὲ οὕτως ἀμίσθους παραλαμβάνοντας τὰς ἀρχὰς πρῶτον ἁπάντων σπούδασμα ἔχειν χρὴ τὸ τοῖς δημοσίοις ἀγρύπνως προσέχειν, καὶ τοὺς μὲν ἀγνωμονοῦντας καὶ δεομένους ἀνάγκης[32]) μετὰ πάσης εἰσπράττειν τῆς σφοδρό-

30) Ven. λαμβάνειν et mox προσλαμβάνειν. 31) Ven. θ' vocat. 32) Epan. ἀμελοῦντας ἐν τοῖς ἀναγκαίοις!

τητος, μηδὲν ὑποκατακλινομένους μηδὲ ὑπὲρ αὐτοῦ τι κέρδος τὶ παντάπασιν ἐννοοῦντας, τοῖς δὲ εὐγνώμοσι π κῶς προσφερομένους. ἔπειτα τὸ τοὺς ἡμετέρους ὑπη φυλάττειν πανταχόθεν ἀνεπηρεάστους, οὐδ' ὁτιοῦν οὐδενὸς αὐτῶν κομιζομένους, ἀλλ' ἴσοι μὲν ἐν ταῖς δ ἴσοι δὲ ἐν ταῖς δημώδεσι καταστάσεσιν[33]) ἔστωσαν, ἐπεξι τε τοῖς ἁμαρτήμασι, καὶ τοὺς μὲν ἀνευθύνους παντα φυλάττοντες καθαρούς, τοῖς δὲ[34]) ὑπευθύνοις ἐπιτιθ πρὸς τὸν νόμον τὴν ποινήν, καὶ οὕτως ἄρχοντες ὑπηκόων ὡς ἂν πατέρες υἱῶν, ἀγαπῶντες μὲν αὐτοὺς θύνους ὄντας, ὑπευθύνους δὲ φαινομένους σωφρονίζ τε καὶ τιμωρούμενοι, καὶ πᾶσαν δικαιοσύνην ἔν τε τοῖ μοσίοις ἔν τε τοῖς ἰδικοῖς συμβολαίοις[35]) αὐτοῖς διατη τες· καὶ οὐκ αὐτοὶ μόνοι τοῦτο πράττοντες, ἀλλὰ κα ἀεὶ παρεδρεύοντα τοιοῦτον λαμβάνοντες καὶ τοὺς περὶ α ἅπαντας, ὡς μὴ δοκεῖν ἐκείνους μὲν δῆθεν ἀνευθ εἶναι δι' ἑτέρων δὲ πλημμελεῖν τε καὶ κλέπτειν, τοῦτο ἔτι μᾶλλον αἰσχρότερόν ἐστι τὸ καὶ κοινωνοὺς τῶν ἀ μάτων λαμβάνειν. ὥστε ἐξέσται τῇ σῇ ὑπεροχῇ τῶν σ τέρων τινὰς ἐπὶ τὰς ἀρχὰς πέμπειν καὶ τῶν ἐπισται τὰ δημόσια, βουλευτῶν τε φαμὲν καὶ ἑτέρων προσο πεῖραν ἑαυτῶν δεδωκότων ἀγαθὴν καὶ πρὸς τὰς ἐπιτηδείων. τίς γὰρ οὐκ ἂν αὐτὸν[36]) ἀγαπήσειε καὶ σ τητος ἐμπεπλῆσθαι μεγάλης νομίσειεν, εἴπερ ἡμετέρᾳ ι καὶ κρίσει τῆς σῆς ὑπεροχῆς ἐπὶ τὴν ἀρχὴν παρέλθοι μαρτυρημένος μὲν ὡς εἴη χρηστός, προῖκα δὲ αὐτὴν μενος, οὐκ ἐνησχολημένος δὲ παντελῶς οὐδενὶ φαύλῳ τὴν χώραν, οὐδὲ ὅπως τὸ δοθὲν ἀθροίσειεν οὐδὲ ὅθεν

33) Epan. στάσεσιν. 34) Ita Hal. et Epan. Ven ὑπ. τε. 35) Ven. Hal. Bas. Epan. ἰδίοις, quod ex emendavi. Hal. et Bas. συναλλάγμασιν. Lectionem συμβο firmat Epan. 36) Ven. et Bas. τὶς γὰρ ἂν οὐκ ἀγαπ., andri lectionem firmat Auth.

λέξειε χρυσίον, ἀλλ' ἵνα δὴ[37]) τοῦτο μόνον ἔχοι σπούδασμα τὸ τῷ θεῷ τε καὶ ἡμῖν ἑαυτὸν συστῆσαι καὶ δόξης ἀπολαῦσαι χρηστῆς καὶ ἀμοιβὰς ἐλπίσαι μεγάλας; [§. 1.] εἰ δέ τις παρὰ ταῦτά τι πράξειεν, ἴστω καὶ ἕως ἐπὶ τῆς ἀρχῆς[38]), ἐφ' ἧς ἐστὶ δικαστὴς κλοπῆς αἰτίαν ὑποστησόμενος· καὶ εἴγε φανείη δοὺς χρυσίον ὑπὲρ τοῦ λαβεῖν τὴν ἀρχὴν ἢ λαβὼν ἐκ τῆς ἀρχῆς (ἑκάτερον γὰρ ὁμοίως ὑπεύθυνον), ὅτι καὶ δήμευσιν καὶ ἐξορίαν ὑποστήσεται καὶ τὴν εἰς τὸ σῶμα βάσανόν τε καὶ τιμωρίαν, καὶ αὐτὸν δὴ[39]) τὸν λαβόντα παρ' αὐτοῦ καθάπερ εἰπόντες ἔφθημεν κακοῖς ὑποθήσει μεγάλοις. καθαρὰς γὰρ ἀπαιτοῦμεν εἶναι ταῖς ἐπιχωρίοις ἀρχαῖς τὰς χεῖρας, ἵνα τοὺς ἀρχομένους ἀζημίους τε καὶ εὐθηνουμένους φυλάξαιμεν. καὶ αὗται μὲν ἔκ τε τῶν νόμων ἔκ τε τῶν ἀρχῶν[40]) ἐπικείσονται ποιναὶ τοῖς ἐν ταῖς εἰρημέναις ἀρχαῖς οὖσιν εἴ τι τοιοῦτο πράξαιεν. δίδομεν[41]) δὲ καὶ τοῖς ἐπαρχιώταις ἄδειαν, εἴ τι κατὰ τῆς ἐπαρχίας ἄδικον ὁ τὴν ἀρχὴν ἔχων διαπράξηται καὶ ζημίαις τισὶν ἢ ἐπηρείαις περιβάλοι τοὺς ἡμετέρους ὑποτελεῖς, ὥστε τὸν θεοφιλέστατον ἐπίσκοπον καὶ τοὺς ἐν τῇ χώρᾳ πρωτεύοντας δεήσεις εἰς ἡμᾶς ἀναπέμπειν, καταλέγοντας τοῦ τὴν ἀρχὴν ἔχοντος τὰ πλημμελήματα. ἡμεῖς γὰρ ταῦτα μανθάνοντες στελοῦμεν ἐν τῇ χώρᾳ τὸν ταῦτα ἐξετάσοντα, ἐφ' ᾧ τε αὐτὸν ἔνθα ἠδίκησεν ἐκεῖσε καὶ τὰς ποινὰς ὑποσχεῖν τῶν πλημμελημάτων, ὥστε μηδὲ ἕτερόν τινα τοιοῦτό τι πρᾶξαι θαῤῥῆσαι πρὸς τὸ παράδειγμα βλέποντα.

θ'. Ἀνάγκην ἔχοντος τοῦ τὴν ἀρχὴν διέποντος κατὰ τὰς ἔμπροσθεν διατάξεις[42]), ἐπειδὰν κατάθοιτο τὴν ζώνην τὰς πεντήκοντα ἡμέρας ἐν τῇ ἐπαρχίᾳ διατρίβειν δημοσίᾳ φαινόμενον καὶ τὰς παρὰ πάντων δεχόμενον ἐναγωγάς. εἰ μέντοι πρὶν πληρώσειε τὰς πεντήκοντα ἡμέρας ἀποδιδράσκων

37) Ven. διὰ pro δή. 38) Adde ἐστί. 39) Hal. δέ, quod forsitan praestat. 40) Forte ἐπάρχων. 41) Ven. ad marginem numerum ι' habet. 42) Cod. 1, 49.

ἁλοίη καθάπερ τὶ τῶν ἀτιμοτάτων ἀνδραπόδων, δίδομεν ἄδειαν τοῖς ὑποτελέσι[43]) κατέχειν αὐτὸν ἐν τῇ χώρᾳ ἢ τῇ ἐπαρχίᾳ[44]), καὶ πᾶν εἴ τι[45]) δεδώκασιν αὐτῷ προφάσει κλοπῆς τοῦτο εἰσπράττειν, παρόντος μέντοι τοῦ θεοφιλεστάτου ἐπισκόπου καὶ τὸ πρᾶγμα ἀγράφως[46]) διασκοποῦντος, ἕως ἂν ἀποδοίη πᾶν ὅπερ κεκλοφὼς φανείη. ἀλλὰ καὶ αὐτοὺς τοὺς ἐπαρχεώτας εἴπερ αἴσθοιντο τῆς τῶν ἀρχόντων κλοπῆς ἄδειαν ἔχειν, μᾶλλον μὲν οὖν καὶ ἀνάγκην, ταῦτα μηνύειν εἰς ἡμᾶς, ὥστε ἡμᾶς μανθάνοντας ὅτι περ ὅλως χρυσίου πιπράσκει τὸ δίκαιον ταῖς εἰρημέναις αὐτὸν ὑποβάλλειν ποιναῖς, πρὸς τῷ καὶ ταῖς ἐξ οὐρανοῦ τιμωρίαις ἔνοχον εἶναι παραβάντα τοὺς ὅρκους, ἐφ' οἷς ἔλαβε τὴν ἀρχήν. εἰ[47]) δὲ καὶ ἰσχύσειε καθ' οἱανοῦν αἰτίαν μὴ πεπληρωκὼς τὰς πεντήκοντα ἡμέρας ἐκ τῆς ἐπαρχίας φυγεῖν, τηνικαῦτα συλληφθεὶς ἔνθα ἂν διατρίβων φανείη ἐπαναχθήσεται μὲν εἰς τὴν ἐπαρχίαν ἧς ἦρχεν, ἅπαν δὲ ὅσον ἂν εὑρεθείη λαβὼν ἀποδώσει τετραπλάσιον.

ι'. Ἐκείνου δηλαδὴ φυλαττομένου τοῦ μηδεμίαν εἶναι τοῖς ἡμετέροις ὑπηκόοις ἄδειαν ἐφ' ἑτέρῳ τινὶ πλὴν ἢ κλοπῇ ταῦτα περὶ τοὺς ἄρχοντας πράττειν. οὐ γὰρ εἰ φανείη σφοδρότερος τοῖς ἀγνώμοσι διὰ τὴν τῶν δημοσίων εἴσπραξιν ἢ διὰ τὴν τῶν πλημμελημάτων ἐπεξέλευσιν, δώσομεν τοῖς ὑπηκόοις πράττειν τὶ κατ' αὐτοῦ. τοὐναντίον μὲν οὖν καὶ ποιναῖς αὐτοὺς ταῖς πασῶν πικροτάταις ὑπάξομεν, εἰ τοὺς καθαραῖς χρησαμένους ταῖς χερσὶ καὶ τῇ τῶν δημοσίων εἰσπράξει μετὰ πάσης προσενεχθέντας ἀκριβείας εἶτα καταθεμένους τὴν ἀρχὴν ὑβρίσαι θαῤῥήσαιεν, ἀλλὰ μὴ σὺν εὐφημίᾳ πάσῃ μετὰ τὸν νενομισμένον χρόνον τὰς ἐπαρχίας ἀπολιμπάνοντας ἀποπέμψαιεν. δεῖ γὰρ τοὺς μετὰ τόνδε ἡμῶν

43) Hal. συντελέσι. 44) Hal. ἢ τῇ ἐπαρχίᾳ, Bas. autem τῇ χώρᾳ ἢ omittunt. Et sane hoc vel illud abundat et Auth. teste delendum est. 45) Hal. ὅτι. 46) Ven. ἐγγράφως. 47) Quae sequuntur desunt apud Hal. et in Bas.

τὸν νόμον γινομένους λαμπροτάτους τῶν ὑποτεταγμένων ἐπαρχιῶν ἄρχοντας ἐντεθυμῆσθαι, πόσης μὲν ἀπολαύσουσι δόξης τοιοῦτοι φαινόμενοι, πόσαις δὲ περιπεσοῦνται δυσκολίαις τὸν νόμον τοῦτον παραλῦσαι τό γε ἐφ' ἑαυτοῖς θαῤῥήσαντες. εἴη γὰρ ἂν τῶν ἀτόπων, εἰ τοὺς μὲν ἐπ' εὐτελέσιν ἁλόντας κλοπαῖς αὐτοὶ κολάζοιεν καὶ βασάνοις αὐτοὺς ὑποβάλλοιεν καὶ οὐ πρότερον συγχωροῖεν ἕως ἂν ἀποδοῖεν τὰ φώρια, αὐτοὶ δὲ ἀνεύθυνοι μένοιεν ἐπὶ μεγάλων γενόμενοι κλοπῶν καὶ οὐδὲ τὸ πρὸς τοὺς ὑπηκόους ἐρυθριῶντες παράδειγμα, ὧν ἔξεστιν αὐτοῖς ὑπεριδοῦσι σεμνοῖς τε καὶ ἐλευθέροις καὶ πανταχόθεν ἐπαινουμένοις φανῆναι, καὶ τὴν ἐξ ἡμῶν ἔχειν καλὴν μαρτυρίαν τε καὶ ἐλπίδα. [§. 1.] οὐ[47a]) συγχωροῦμεν δὲ οὐδὲ τοῖς περιβλέπτοις δουξὶν οὐδὲ ἑτέρῳ τινὶ τὴν οἱανοῦν αὐτοῖς πλεονεξίαν ἢ ἀδικίαν ἐπαγαγεῖν ἢ πολιτικοῖς ὅλως πράγμασι κοινωνεῖν, ἵνα καὶ ἡμεῖς αὐτοῖς τὴν σεμνότητα φυλάττοιμεν, κἀκεῖνοι τὴν καθαρότητά τε ἡμῖν καὶ εὔνοιαν ἀντιδιδοῖεν. ἴστω γὰρ ἅπαν τὸ ὑπήκοον, ὡς διὰ τὴν αὐτῶν ὠφέλειαν καὶ τὸ πανταχόθεν αὐτῶν ἀζήμιον καὶ τὸ διὰ πάσης αὐτοὺς ἄγειν εὐπαθείας καὶ μὴ καταναγκάζεσθαι τὰς χώρας ἀπολιμπάνειν μηδὲ ἐν ξένῃ ταλαιπωρεῖσθαι, διὰ τοῦτο τὸν παρόντα νόμον ἐγράψαμεν, θεῷ τε αὐτὸν ἀνατιθέντες καὶ ταῖς παρούσαις σεβασμιωτάταις τῆς μεγάλης αὐτοῦ καὶ κοινοτάτης ἑορτῆς ἡμέραις[48]), ἵνα πᾶσιν ἐξῇ πατέρας δέχεσθαι μᾶλλον ἄρχοντας, ἢ κλέπτοντάς τε καὶ ἀνδραποδώδεις καὶ ταῖς αὐτῶν οὐσίαις ἐφεδρεύοντας. [§. 2.] δεῖ δὲ καὶ ὑμᾶς τοὺς ἡμετέρους ὑποτελεῖς, εἰδότας πόσην ὑμῶν ἐθέμεθα πρόνοιαν, μετὰ πάσης εὐγνωμοσύνης τοὺς δημοσίους ἀνελλιπῶς φόρους εἰσάγειν, καὶ μηδὲ τῆς παρὰ τῶν ἀρχόντων ἀνάγκης δεῖσθαι, ἀλλ' οὕτως εὐγνώμονας ἑαυτοὺς παρέχειν, ὥστε ἡμῖν ἐξ αὐτῶν ἐνδείξασθαι τῶν ἔργων, ὅτι καὶ αὐτοὶ τῆς τοσαύτης φι-

47a) Ven. ια' vocat. 48) De passionis festo sermo est.

λανθρωπίας τὴν οἰκείαν ἡμῖν εὐγνωμοσύνην ἀντιδίδοτε, καὶ εἰκότως ἕξετε πᾶσαν παρὰ τῶν ἀρχόντων προφάσει τῆς εὐγνωμοσύνης σπουδήν τε καὶ πρόνοιαν, ἐκεῖνο γινώσκοντες, ὡς ἐπειδὴ τοῖς ἄρχουσιν ἐπίκειται πανταχόθεν ὁ τῶν δημοσίων κίνδυνος καὶ τῶν ἀνωμολογημένων ἐστὶν ὡς ἐπὶ τῷ σφῶν αὐτῶν κινδύνῳ τὰς ἀρχὰς ὑπεισέρχονται, καὶ ὑμᾶς τοῦτο γινώσκοντας ἐκ τρόπου παντὸς εὐλαβεῖσθαι τὴν ἀγνωμοσύνην, καὶ μὴ τὰς ἑαυτῶν γνώμας οὕτω παρέχειν ἀπειθεῖς ὡς καὶ τῆς ἐξ αὐτῶν δεῖσθαι σφοδρότητος, ἣν ἀναγκαῖον αὐτοῖς ἐστι προσλαμβάνειν διὰ τὴν ἀπαραίτητον τῶν δημοσίων εἴσπραξιν. εἰδότων ὑμῶν τῶν ἡμετέρων ὑπηκόων, ὡς αἱ στρατιωτικαὶ δαπάναι καὶ αἱ τῶν πολεμίων διώξεις πολλῆς δέονται[49]) τῆς ἐπιμελείας, καὶ οὐκ ἔστι χρημάτων χωρὶς ταῦτα πραχθῆναι, τοῦ πράγματος μηδεμιᾶς ἀναβολῆς δεομένου[50]), οὔτε ἡμῶν αἱρουμένων περιορᾶν τὴν Ῥωμαίων γῆν ἐλαττωθεῖσαν, ἀλλὰ Λιβύην τε πᾶσαν ἀνακτησαμένων καὶ Βανδίλους καταδουλωσάντων, καὶ πολλά γε ἔτι καὶ μείζονα τούτων ἐλπιζόντων παρὰ τοῦ θεοῦ λαβεῖν τε καὶ πρᾶξαι, εἰς ἃ προσῆκόν ἐστι τοὺς δημοσίους φόρους ἀνελλιπῶς καὶ εὐγνωμόνως καὶ κατὰ τὰς ὡρισμένας εἰσπράττεσθαι προθεσμίας. ὥστε εἴπερ ὑμεῖς μὲν εὐγνωμόνως ἀπαντήσοιτε τοῖς ἄρχουσιν, οἱ δὲ ῥᾳδίαν τε καὶ ἐκ προχείρου τὴν τῶν δημοσίων εἰσκομιδὴν εἰς ἡμᾶς ποιοῖντο, καὶ τοὺς ἄρχοντας ἐπαινέσομεν τῆς σπουδῆς καὶ ὑμᾶς ἀποδεξόμεθα τῆς γνώμης, καὶ πανταχόθεν μία τὶς ἔσται καλή τε καὶ σύμφωνος τῶν τε ἀρχόντων καὶ τῶν ἀρχομένων ἁρμονία.

ια΄. Τῷ μεγάλῳ τοίνυν θεῷ καὶ σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ πάντες ὁμοίως ἀναπεμπέτωσαν ὕμνους ὑπὲρ τούτου δὴ τοῦ νόμου, ὃς αὐτοῖς δώσει καὶ τὰς πατρίδας οἰκεῖν ἀσφαλῶς καὶ τὰς οἰκείας περιουσίας ἔχειν βεβαίως καὶ τῆς

49) Sequimur Hal. Bas. et Auth. In Ven. est ἡ τ. π. δίωξις δεῖται. 50) Forte μηδεμίαν ἀναβολὴν δεχομένου, suadente Auth.

ῶν ἀρχόντων ἀπολαύειν δικαιοσύνης. καὶ γὰρ δὴ καὶ μεῖς διὰ τοῦτο αὐτὸν ἐθέμεθα, ὅπως ἂν ἐκ τῆς ἐν τῷ όμῳ δικαιοσύνης ἰσχύσωμεν τῷ δεσπότῃ θεῷ οἰκειῶσαι ιντοὺς καὶ τὴν ἡμετέραν συστῆσαι βασιλείαν, ἵνα μὴ όξωμεν περιορᾶν ἀνθρώπους ἀδικουμένους, οὓς ἡμῖν παέδωκεν ὁ θεὸς ὅπως ἂν αὐτῶν διὰ πάντων φειδώμεθα τῇ ὑτοῦ κατακολουθοῦντες ἀγαθότητι. ὥστε τό γε ἐφ' ἡμῖν φοσιούσθω τῷ θεῷ, διότι μηδὲν τῶν εἰς νοῦν ἡμῖν ἐρχοένων ἀγαθῶν ὑπὲρ κηδεμονίας τῶν ὑπηκόων παραλιμπάνομεν. ουλόμενοι γὰρ τὰς ἀνελευθέρους ταύτας καὶ ἀνδραποδώδεις ισπὰς ἀνελεῖν καὶ τοὺς ἡμετέρους ὑποτελεῖς ἐν εὐπαθείᾳ[51]) αρὰ τῶν τὰς ἐπιχωρίους ἀρχὰς ἐχόντων φυλάξαι, διὰ οῦτο ἐσπεύσαμεν προῖκα τὰς ἀρχὰς αὐτοῖς δοῦναι, ὅπως ν μηδὲ αὐτοῖς ἐξῇ πλημμελεῖν τε καὶ ἁρπάζειν τὸ ὑπήκοον ὑπερ ἕνεκα πάντα πόνον αἱρούμεθα, οὐκ ἀξιοῦντες μιμεῖθαι τοὺς πρὸ ἡμῶν βεβασιλευκότας, οἵπερ χρημάτων προὔάλλοντο τὰς ἀρχὰς, ἑαυτοῖς ἀναιροῦντες τὴν ἄδειαν τοῦ γε ῖς ἐν ταῖς ἀρχαῖς ἀδικοῦσιν ἐπιτιμᾶν δίκαια, ἀλλ' αὐτοὶ οἷς ἐλάμβανον ἐγκαλύπτεσθαι δίκαιοι καθεστῶτες, τούς τε κείους ὑποτελεῖς δι' αὐτὸ δὴ τοῦτο ἐξαρπάζειν τῶν κακῶς χόντων οὐ δυνάμενοι, οὐδὲ αὐτοὶ τοῖς ἄρχουσιν ἐπιτιμᾶν φρονεῖν προφάσει τῆς εἰρημένης αἰτίας. ἡμεῖς δὲ ἀρῦντα τῇ βασιλείᾳ πόρον εἶναι νομίζομεν τὸ μόνους ἐντεῖς τοὺς δημοσίους κομίζεσθαι φόρους, ἀλλὰ μή τι καὶ οθεν προσεπιζητεῖν, ὅπερ τοῖς ὑπηκόοις πάντα κατασείσει ν βίον.

ιβ'. Τὸ δὲ ἐν τοῖς ἔμπροσθεν ἡμῖν εἰρημένον ἔτι ίζονι χρῆναι καὶ ἀκριβεστέρᾳ περιλαβεῖν ᾠήθημεν νομοεσίᾳ, ὥστε τὸν ἡμέτερον σκοπὸν ἅπασι γενέσθαι φανερόν. ισπίζομεν γὰρ τοὺς λαμπροτάτους τῶν ὑποτεταγμένων παρχιῶν ἄρχοντας, χωρὶς ἁπάσης γινομένους χρημάτων

51) Hal. ἀπαθείᾳ, quocum Auth. facere videtur.

δόσεως καὶ τῶν παρ' αὐτῶν διδομένων ὅρκων μεμνημένους, ἔχειν καὶ ταύτην παρ' ἡμῶν τὴν παῤῥησίαν, τοῦ μηδεμίαν εἶναι μηδενὶ πρὸς αὐτοὺς παντελῶς φόρου[52]) παραγραφὴν μήτε ἐν ταῖς ἁμαρτανομέναις παρά τινων βίαις μήτε ἐπὶ τοῖς ἐγκλήμασι καὶ ταῖς ἐντεῦθεν ἀδικίαις μήτε ἐπὶ ταῖς στάσεσι[53]) ταῖς δημοσίαις μήτε ἐπὶ ταῖς τῶν δημοσίων φόρων εἰσπράξεσιν, ἀλλὰ πάντας ὁμοίως ὑποκεῖσθαι τῇ τούτων δικαιοδοσίᾳ, οὐκ ἀναμενόντων οὐδὲ προστάξεις λαβεῖν ἐκ τῶν ἀρχόντων οἷς ὑπόκεινται, οὐδὲ μηνύειν[53a]) εἰς αὐτούς, ἀλλ' ἀρκεῖσθαι τῷδε ἡμῶν τῷ νόμῳ, δι' οὗ πᾶσαν αὐτοῖς ἐξουσίαν παρέχομεν· οὐδενὸς ἄδειαν ἔχοντος παντελῶς ἐπὶ τῶν εἰρημένων αἰτιῶν οὐδὲ προνομίῳ χρῆσθαί τινι οὐδὲ ἐκεῖθεν ἑαυτῷ κατορθοῦν τὸ πλημμελεῖν ἀνευθύνως. οὐ γὰρ ἂν οἱ πάσης ἀπεχόμενοι λήψεως ἄρχοντες ἕτερόν τι τοῦ θεοῦ καὶ τοῦ νόμου καὶ τοῦ ἡμετέρου προθήσουσι δέους, ἀλλ' εἰς ἐκεῖνο βλέποντες φυλάξουσι τοῖς ὑπηκόοις τὸ δίκαιον, πάντα κατὰ τοὺς ἡμετέρους κρίνοντές τε καὶ πράττοντες νόμους. [§. 1.] ἐπὶ γὰρ τοῖς τοιούτοις καὶ τοὺς στρατιώτας τοὺς ἐν ταῖς ἐπαρχίαις ὄντας αὐτοῖς ὑποτάττομεν, οὐδὲ ἐκεῖσε δεομένοις προστάξεώς τινος ἰδίας ἢ παρ' ἡμῶν ἢ παρὰ τῶν ἡμετέρων ἀρχόντων, ἀλλὰ τῷ παρόντι νόμῳ χρωμένοις καὶ τοῦτον αὐτοῖς δεικνύουσιν, ὥστε ἐπαμύνειν αὐτοῖς χρωμένοις τῇ τῆς ἀρχῆς παῤῥησίᾳ· γινώσκοντας, ὡς εἰ μὴ τοῦτο πράξαιεν καὶ σιτήσεων καὶ αὐτῆς τῆς στρατείας ὑπομενοῦσιν ἔκπτωσιν καὶ[54]) τὸν εἰς σῶμα κίνδυνον ὑποστήσονται. ὥστε ἡμῖν μηδενὸς ἑτέρου παντελῶς δεῖν ἄρχοντος, καὶ ληστοδιώκτας ἢ τοὺς καλουμένους βιοκωλύτας μᾶλλον δὲ λωποδύτας ἢ ἀφοπλιστὰς ἐκπέμπειν, προφάσεσι μὲν δῆθεν εὐλόγοις χρωμένους, αὐτοὺς δὲ τὰ πάντων χείριστα πράττοντας. τῶν γὰρ

52) Ven. addit ἤτοι κριτηρίου. Glossema est. 53) Hal. et Scr. ἐνστάσεσι. 53a) μηνυόντων? 54) Ven. καὶ εἰς.

'ρχόντων τῶν ἐπαρχιῶν τὴν ἑκάστου[55]) τῶν μεγίστων 'ρχῶν πληρούντων τάξιν καὶ ἀντὶ πάσης ἑτέρας δὲ ἀρχῆς αῖς ἐπαρχίαις ἀρκούντων, καὶ τὰ ἐκ τῶν ἡμετέρων νόμων π' αὐτοῖς[56]) ψηφιζομένων, τίς ἂν θαῤῥήσειεν ἢ φόρου αραγραφῇ ἢ τοιούτῳ τινὶ πρὸς αὐτοὺς χρήσασθαι;

ιγ'. Ἀπαγορεύομεν δὲ καὶ τῷ ἐνδοξοτάτῳ στρατηγῷ ῆς Ἕω καὶ πᾶσι τοῖς ἡμετέροις ἄρχουσιν ἢ ληστοδιώκτας βιοκωλύτας ἢ ἀφοπλιστὰς ἤ τινας τοιούτους ἐν ταῖς ταρχίαις ἐκπέμπειν. ἴστωσαν[57]) γὰρ οἵ τε γενέσθαι μετὰ ὸνδε ἡμῶν τὸν νόμον θαῤῥήσαντες, ὡς σηλληφθέντες παρὰ ῶν ἀρχόντων τῶν ἐπαρχιῶν καὶ δεσμωτήριον οἰκήσουσι καὶ ἰς ἡμᾶς τοῦ πράγματος μηνυομένου τὸν ἔσχατον ὑποστήσονται κίνδυνον, οἵ τε τὰς τοιαύτας αὐτοῖς παραδιδόντες ροστάξεις triginta librarum auri[58]) ὑποστήσονται ποινὴν, αὶ μείζονος δὲ ἔτι καὶ σφοδροτέρας ἡμῶν ἀγανακτήσεως ειραθήσονται. δεῖ[59]) τοίνυν τοὺς ἄρχοντας τῶν ἐπαρχιῶν οσαύτης ἀξιωθέντας παρ' ἡμῶν ἐξουσίας οὕτω τῷ πράγατι χρῆσθαι, ὡς δικαίως καὶ νομίμως ἅπασιν εἶναι φοβεοὺς, εἰδότας, ὡς εἰ τῇ δεδομένῃ παρ' ἡμῶν ἀρχῇ κακῶς αὶ ἀναξίως τῆς ἐπιτραπείσης αὐτοῖς παρ' ἡμῶν παῤῥησίας ήσονται, ὑποκείσονται ταῖς τιμωρίαις αἷς ἔμπροσθεν ἴπομεν, καὶ ἕως τὴν ἀρχὴν ἔχουσι ταύτας ὑπομένοντες, αὶ ἐπειδὰν αὐτὴν κατάθοιντο μειζόνων ἔτι πειρώμενοι κινύνων. οὐδὲ γὰρ δίδομεν αὐτοῖς ἄδειαν, πρὶν τὸν νενοισμένον τῶν πεντήκοντα ἡμερῶν πληρώσουσι χρόνον, τῶν ταρχιῶν ὧν ἦρξαν ἀναχωρεῖν, ἢ κατὰ πρόφασιν revoatorias[60]) ἢ κατὰ πρόφασιν φυγῆς ἢ κατὰ ἄλλην οἱανοῦν ἰτίαν, γινώσκουσιν ὡς καθάπερ ἔμπροσθεν εἰπόντες ἔφθη-

55) ἑκάστης vel cum Bas. ἀρχόντων legendum. 56) αὐταῖς? 57) Hanc periodum ἴστωσαν — πειραθήσονται Hal. cum Bas. mittit. 58) Ven. inter lineas τριάκοντα λιτρῶν χρυσίου. 59) Ven. ad marg. numerum ιδ' adscribit. 60) Ven. addit τοι ἀνακλήσεως. — Glossema.

μεν εἴτε ἐπὶ ταύτης γένοιντο τῆς εὐδαίμονος πόλεως ἐν οἱᾳδήποτε χώρᾳ, πρὸς τὴν ἐπαρχίαν αὖθις ἐπαναχ τες ἧς ἦρξαν ποινὰς ὑφέξουσιν ἃς ἔμπροσθεν εἰπὶ ἔφθημεν.

ιδ'. Τὸν δὲ ὅρκον δώσουσιν ἐνταῦθα μὲν κατὰ ἀνωτέρω ῥηθέν· εἰ δέ τισιν ἐν ταῖς ἐπαρχίαις οὖσι πέμπ τὰ τῆς ἀρχῆς σύμβολα, ἐπί τε τοῦ θεοφιλεστάτου ἐπισκ τῆς μητροπόλεως καὶ τῶν ἐν αὐτῇ πρωτευόντων τὸν ὅ ὑφέξουσι καὶ οὕτω τῶν τῆς ἀρχῆς ἀντιλήψονται πράξ δηλαδὴ τῆς σῆς ὑπεροχῆς προνοούσης τοῦ, εἴτε ἐπὶ τα τῆς μεγάλης πόλεως παραλάβοι τὶς ἀρχὴν εἴτε κατὰ χι αὐτῷ τὰ σύμβολα ταύτης πεμφθείη παρὰ τῆς σῆς ὑπερ αὐτὸν τὸν λαμβάνοντα τὸ ἀσφαλὲς περιποιεῖν τῷ δημ περὶ τῆς τῶν φόρων ἀμέμπτου εἰσπράξεως, καθάπερ αὐτὸς καθαρῶς δοκιμάσειας. κείσθω δὲ ὁ νόμος ἡμῖν ο ἐφ' ἅπασιν τοῖς τὰς παρ' ἡμῶν ῥητῶς ὀνομασθησομ ἀρχὰς ἐκ τοῦ παρόντος χρόνου ἀμίσθους παραληψομέ τὰ γὰρ δὴ προειληφότα τοῖς ἔμπροσθεν κειμένοις ὑποκε νόμοις, οὐδεμιᾶς ποινῆς τῶν ἐν τῷδε ἡμῶν τῷ ι διωρισμένων ἐπικειμένης τοῖς μέχρι νῦν τὰς ἀρχὰς ἔχ πλὴν εἰ μὴ καὶ αὐτοὶ μετὰ τὴν ἐμφάνισιν τοῦδε τοῦ ν κλέπτοντες ἁλοῖεν.

Ταῦτα τοίνυν ἡ σὴ ὑπεροχὴ πάντα μανθάνουσι πᾶσι τοῖς ἔθνεσι τοῖς ὑποτεταγμένοις φανερὰ παρασκευα γίνεσθαι, κατὰ τὸ νενομισμένον προστάγμασι χρωμένη πάντας τοὺς τῶν ἐπαρχιῶν ἡγουμένους, ὥστε αὐτοὺς γ σκοντας τὴν ἡμετέραν περὶ τοὺς ὑπηκόους σπουδὴν κα ἔχομεν περὶ τὴν τῶν ἀρχόντων χειροτονίαν γνώμην εἰδ πόσων αὐτοῖς ἀγαθῶν μεταδεδώκαμεν, οὐδὲ τῆς βασι θεραπείας διὰ τὴν αὐτῶν εὐδαιμονίαν φεισάμενοι. Dat. X Kal. Maii CP. Bilisario V. C. Cons.[61])

61) Subscriptionem praestant soli Ven. et Auth. – chronologia huius constitutionis et appendicum eius sent

Ἰδικτον[62]) *γραφὲν τοῖς ἁπανταχοῦ γῆς θεοφιλεστάτοις ἐπισκόποις καὶ ὁσιωτάτοις πατριάρχαις.*

Τῆς παραδοθείσης ἡμῖν ἐκ θεοῦ πολιτείας κηδόμενοι καὶ ἐν ἁπάσῃ δικαιοσύνῃ ζῆν τοὺς ἡμετέρους ὑπηκόους σπεύδοντες τὸν ὑποτεταγμένον νόμον ἐγράψαμεν, ὃν δὴ τῇ σῇ ὁσιότητι καὶ δι' αὐτῆς ἅπασι τοῖς τῆς ἐπαρχίας τῆς σῆς ποιῆσαι φανερὸν καλῶς ἔχειν ἐνομίσαμεν. τῆς οὖν σῆς θεοφιλίας καὶ τῶν λοιπῶν ἐπισκόπων ἔστω ταῦτα παρατηρεῖν, καὶ εἴ τι παραβαίνοιτο παρὰ τῶν ἀρχόντων εἰς ἡμᾶς μηνύειν, ὅπως ἂν μή τι παροραθείη τῶν ὁσίως τε καὶ δικαίως ὑφ' ἡμῶν νομοθετηθέντων. εἰ γὰρ ἡμεῖς μὲν τοὺς ἡμετέρους ὑπηκόους ἐλεοῦντες, ὅτι πρὸς τῇ τῶν δημοσίων φόρων ἐκτίσει

mea haec est. In edicto Constantinopolitanis proposito, quod mox sequetur et sine dubio XVII Kal. Maii datum est, imperator se *ἔναγχος* i. e. nuper legem, de qua sermo est, ad Praefectos Praetoriorum scripsisse profitetur. Eam videtur tum temporis etiam ad patriarchas et episcopos misisse; edictum quo id factum est (quod statim subiicitur) datum esse perhibetur in Cod. Ven. XV Kal. April., apud Iulian. Kal. April. (quod in Auth. secundum Heimbach. XIV vel XIII vel IV Kal. Maii scriptum est, id ex subscriptione constitutionis ipsius interpolatum esse videtur); equidem tamen XVII Kal. April. scribendum arbitror, utpote qua die etiam aliae complures leges a Iustiniano sancitae sunt, eidemque diei etiam prima publicatio constitutionis ipsius et literae ad Dominicum PP. Illyrici infra edendae assignandae erunt. Post aliquod tempus imperatori placuit eandem constitutionem sub incudem revocatam et quibusdam locis auctam (cf. not. 18. 26) publice proponere, idque factum est, quo laetius pascha celebraretur, ipsa paschae dominica (cf. not. 48) i. e. XVII Kal. Maii edicto Constantinopolitanis proposito. 62) Hoc edictum Cod. Venetus hic quidem non exhibet, sed inter Edicta Iustiniani et quidem primo loco ponit. — Scr. tamen post Hal. hoc loco edidit, eosque editores sequuti sunt. — Iulian. Athan. Theod. l. l. summam c. 1 habent: in Basil. VI, 3, 48. 49 integrum extat.

καὶ μεγάλας ὑπέμεινον ἐκ τῆς τῶν ἀρχόντων κλοπῆς ἀδικίας· διὰ τὰς γινομένας τῶν ἐπαρχιῶν πράσεις, ταύτας ἀνελεῖν· διὰ τοῦ ὑποτεταγμένου ἐσπεύσαμεν νόμου, ὑμεῖς δὲ ῥᾳθυμοῦντες μὴ προσαγγείλητε, ἡμῖν μὲν ἀφοσιούσθω τὸ πρὸς τὸν δεσπότην θεὸν, ὑμεῖς δὲ ἀπολογήσεσθε πρὸς αὐτὸν ὑπὲρ τῆς τῶν ἄλλων ἀδικίας, εἴ τι παρὰ τὸ μὴ μαθεῖν ἡμᾶς βλάβος τοῖς παρ' ἡμῖν ἀνθρώποις ἐπάγοιτο. ἀλλὰ δεῖ παρόντας ὑμᾶς[63]) τῇ χώρᾳ καὶ ὑπὲρ αὐτῶν καὶ τῶν λοιπῶν ἀγωνιῶντας φανεροὺς ἡμῖν καθιστᾶν καὶ τοὺς ὀρθῶς ἄρχοντας καὶ τοὺς παραβαίνοντας τόνδε ἡμῶν τὸν νόμον, ὅπως ἂν ἑκατέρους γινώσκοντες τοὺς μὲν κολάζωμεν τοὺς δὲ ἀμειβώμεθα. ἐπειδὰν δὲ ὁ νόμος δημοσίᾳ προτεθείη καὶ ἅπασι γένοιτο φανερὸς, τηνικαῦτα ληφθεὶς ἔνδον ἀποκείσθω ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μετὰ τῶν ἱερῶν σκευῶν, οἷα καὶ αὐτὸς ἀνατεθειμένος θεῷ καὶ πρὸς σωτηρίαν τῶν ὑπ' αὐτοῦ γενομένων ἀνθρώπων γεγραμμένος. ποιήσετε δὲ ἂν κάλλιον καὶ τοῖς αὐτόθι πᾶσιν ἀνθρώποις συμφορώτερον, εἴπερ αὐτὸν ἐγκολάψαντες ἢ σανίσιν ἢ λίθοις ἐν ταῖς στοαῖς τῆς ἁγιωτάτης ἐκκλησίας ἀναγράφητε, πρόχειρον παρεχόμενοι πᾶσι τὴν τῶν νομοθετηθέντων ἀνάγνωσίν τε καὶ κτῆσιν.

α'. Εἰ δὲ τῆς τῶν ἀρχόντων καθαρότητος τοσαύτην ἐθέμεθα πρόνοιαν, πρόδηλον ὡς πολλῷ μᾶλλον τοῖς ἐκδίκοις οὐκ ἐφήσομεν οὐδ' ὁτιοῦν οὐδὲ λαμβάνειν οὐδὲ διδόναι. δώσουσι μὲν γὰρ ὑπὲρ τῶν παρεχομένων αὐτοῖς προσταγμάτων ἐν τῷ δικαστηρίῳ τῶν ἐνδοξοτάτων ὑπάρχων, εἰ μὲν μείζονες αἱ πόλεις εἶεν, solidos quatuor[64]), εἰ δὲ τῶν ἐλαττόνων, solidos tres, καὶ πέρα τούτων οὐδέν. λήψονται δὲ οὐδ' ὁτιοῦν παρ' οὐδενὸς, πλὴν εἰ μή τις ἐκ τοῦ δημοσίου νενομισμένος αὐτοῖς προσείη πόρος, ἢ εἴπερ μηδὲν ἐκ τοῦ δημοσίου λαμβάνοιεν, μηδὲν περαιτέρω τῶν τῇ θείᾳ ἡμῶν

63) Ven. ἡμᾶς. 64) Hal. Bas. νομίσματα δ' et mox νομίσματα γ'. Eadem Ven. inter lineas.

διηγορευμένων διατάξει[65]) κομίζεσθαι. ἐπείτοιγε εἴ τι λαβόντες ἁλοῖεν ἢ αὐτοὶ ἢ οἱ καλούμενοι αὐτῶν χαρτουλάριοι ἢ ἕτερός τις τῶν περὶ αὐτούς, ἐκεῖνο τετραπλάσιον ἀποδώσουσιν ὅπερ ἔλαβον, καὶ τοῦ φροντίσματος ἀπελαθήσονται· καὶ πρός γε καὶ ἐξορίᾳ διηνεκεῖ ζημιωθέντες καὶ εἰς σῶμα σωφρονισθέντες δώσουσι χώραν ἀνδράσιν ἀγαθοῖς ἀντὶ κακῶν τοῦ φροντίσματος ἀντιλαμβάνεσθαι. ἔσεσθε δὲ καὶ τούτου φύλακες ὑμεῖς, καὶ κωλύοντες τὰ παρὰ ταῦτα γινόμενα καὶ μηνύοντες, ὥστε μήτε διαλαθεῖν τι τῶν ἁμαρτανομένων μηδ' ἐκ τοῦ λαθεῖν ἀτιμώρητον εἶναι, ἀλλὰ πᾶσαν ἰσότητά τε καὶ δικαιοσύνην τοῖς ἡμετέροις ὑπηκόοις ἐπανθῆσαι. εἰ δὲ καὶ οἱ μέχρι νῦν ἄρχοντες μὴ μετὰ τὴν ἐμφάνισιν τοῦδε τοῦ νόμου πάσης ἀπόσχωνται κλοπῆς, ἴστωσαν καὶ αὐτοὶ ταῖς ἐκ τοῦδε τοῦ νόμου ποιναῖς ὑποκείμενοι. Τοῦτο τὸ ἴδικτον πρὸς τοὺς ἐπισκόπους D. XV. K. Apr. CP. Bilisario V. C. Cons.

Ἐγράφη τὸ ἴσον τοῦ ἰδίκτου Κωνσταντινουπολίταις, ἔχον οὕτως·

Ὅσην ἁπάντων τῶν ὑπηκόων ἐθέμεθα πρόνοιαν δείκνυσιν ὁ παρ' ἡμῶν ἔναγχος τεθεὶς νόμος, ὃν δὴ πρὸς τοὺς ἐνδοξοτάτους ἡμῶν ὑπάρχους ἐγράψαμεν. ἀλλὰ προσῆκόν ἐστι καὶ ὑμᾶς αὐτοὺς εἰδέναι τὴν ἡμετέραν πρόνοιαν, ἣν περὶ πάντας ἀνθρώπους ἔχομεν. καὶ διὰ τοῦτο τὸν νόμον αὐτὸν καὶ ἐν ἰδίκτου προτεθείκαμεν σχήματι, ὥστε ὑμᾶς τῷ δεσπότῃ θεῷ καὶ σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ δικαίως ἀναπέμπειν ὕμνους, καὶ τῇ ἡμετέρᾳ βασιλείᾳ, ὅτι πάντα διὰ τὸ ὑμέτερον συμφέρον αἱρούμεθα πόνον.

65) l. 5 C. de sportulis 3, 2.

Γνῶσις τῆς[66]) *παρ' ἑκάστης τῶν ὑποτεταγμένω ἀρχῶν ὀφειλούσης παρέχεσθαι λόγῳ συνηθεία ποσότητος παρὰ τῶν τὰς ἀρχὰς ἐχόντων, οὐδενὸ τολμῶντος παρὰ τὰ προγεγραμμένα οὔτε λαβεῖ οὔτε δοῦναί τι πλέον.*[67])

[§. 1.] *Ἀπὸ τοῦ περιβλέπτου κόμητος τῆς Ἀνατολῆ οὕτως· ἐν τῷ θείῳ ἡμῶν κουβουκλείῳ νομίσματα ξγ', τῷ πριμι κηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων μετὰ τῶν τεσσά ρων σκρινίων τοῦ θείου λατερκούλου νομίσματα ν', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχω ὑπὲρ προστάγματος νομίσματα π'.* [§. 2.] *ἀπὸ τοῦ ἀνθυπάτο Ἀσίας οὕτως· ἐν τῷ θείῳ ἡμῶν κουβουκλείῳ νομίσματα ξγ' τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων μετὰ τῶν τεσσάρων σκρινίων τοῦ θείου λατερκούλου νομίσματα μ'*[68]) *τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτω ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα π'.* [§. 3.] *ἀπ τοῦ περιβλέπτου κόμητος Φρυγίας Πακατιανῆς οὕτως· τοῖ τρισὶ χαρτουλαρίοις*[68a]) *τοῦ θείου ἡμῶν κουβουκλείου νομί σματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοτα ρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομί σματα ν'.*[69]) [§. 4.] *ἀπὸ τοῦ περιβλέπτου κόμητος Γαλατία πρώτης οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ το θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμ προτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτο βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχω ὑπὲρ προστάγματος νομίσματα ν'.*[70]) [§. 5.] *ἀπὸ τοῦ βικα ρίου τοῦ Μακροῦ τείχους οὕτως· τοῖς περιβλέπτοις χαρτου*

66) Ven. *τῶν.* 67) Ven. addit: *ταῦτα οὐκ ἐτέθη εἰς τ βασιλικά.* 68) Firmat Auth. Hal. *ν'.* 68a) Lege *τοῖς περ βλέπτοις χαρτ. τρισί.* 69) Ven. *γ'.* 70) Ita Hal. cum Autl Ven. *η'.*

ριοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'.[71])

Καὶ ὅσαι ἀρχαὶ ὑπατικαὶ ἤτοι κονσουλάριαι·

[§. 6.] Ἀπὸ τοῦ ἄρχοντος Παλαιστίνης πρώτης οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 7.] ἀπὸ τοῦ ἄρχοντος Παλαιστίνης δευτέρας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ἐπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 8.] ἀπὸ τοῦ ἄρχοντος Φοινίκης παράλου οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ'[72]), τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 9.] ἀπὸ τοῦ ἄρχοντος Συρίας δευτέρας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 10.] ἀπὸ τοῦ ἄρχοντος Θεοδωριάδος οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοτα-

71) Scr. hanc §. bis posuit. 72) Ven. ε'.

ρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομι σματα μ'. [§. 11.] *ἀπὸ τοῦ ἄρχοντος Ὀσροηνῆς*[73]) *οὕτως τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβοι κλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτω τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νι μίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ πρι στάγματος νομίσματα μ'.* [§. 12.] *ἀπὸ τοῦ ἄρχοντος Κιλ κίας πρώτης οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρι τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶ λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτι βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχα ὑπὲρ προστάγματος νομίσματα μ'.* [§. 13.] *ἀπὸ τοῦ ἄι χοντος Κύπρου οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίο τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρί τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτω ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'.* [§. 14.] *ἀι τοῦ ἄρχοντος Παμφυλίας οὕτως· τοῖς περιβλέπτοις χαρτο λαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσμα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξ τάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'.* [§. 15 *ἀπὸ τοῦ ἄρχοντος Βιθυνίας οὕτως· τοῖς περιβλέπτοις χα τουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσμα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξ τάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'.* [§. 16 *ἀπὸ τοῦ ἄρχοντος Ἑλλησπόντου οὕτως· τοῖς περιβλέπτο χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίω*

73) Hal. *ὀσδροήνης*.

νομίσματα κδ΄, τῷ αὐτοῦ βοηθῷ νομίσματα γ΄, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ΄. [§. 17.] *ἀπὸ τοῦ ἄρχοντος Λυδίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ΄, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ΄, τῷ αὐτοῦ βοηθῷ νομίσματα γ΄, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ΄.* [§. 18.] *ἀπὸ τοῦ ἄρχοντος Φρυγίας σαλουταρίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ΄, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ΄, τῷ αὐτοῦ βοηθῷ νομίσματα γ΄, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ΄.* [§. 19.] *ἀπὸ τοῦ ἄρχοντος Πισιδίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ΄, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ΄, τῷ αὐτοῦ βοηθῷ νομίσματα γ΄, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ΄.* [§. 20.] *ἀπὸ τοῦ ἄρχοντος Λυκαονίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ΄, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ΄, τῷ αὐτοῦ βοηθῷ νομίσματα γ΄, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ΄.* [§. 21.] *ἀπὸ τοῦ ἄρχοντος Νέας Ἰουστινιανῆς οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ΄, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ΄, τῷ αὐτοῦ βοηθῷ νομίσματα γ΄, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ΄.* [§. 22.] *ἀπὸ τοῦ ἄρχοντος Ἀρμενίας δευτέρας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ΄, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ΄, τῷ αὐτοῦ βοηθῷ νομίσματα γ΄, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος*

νομίσματα μ'. [§. 23.] ἀπὸ τοῦ ἄρχοντος Ἀρμενίας μεγάλ οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θεί κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτ των τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπ προστάγματος νομίσματα μ'. [§. 24.] ἀπὸ τοῦ ἄρχοντ Καππαδοκίας πρώτης οὕτως· τοῖς περιβλέπτοις χαρτο λαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσμα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξ τάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 25 ἀπὸ τοῦ ἄρχοντος Καππαδοκίας δευτέρας οὕτως· τοῖς περ βλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομ σματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνω νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματ νομίσματα μ'. [§. 26.] ἀπὸ τοῦ ἄρχοντος Ἑλενοπόντ οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θεί κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτ των τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπ προστάγματος νομίσματα μ'. [§. 27.] ἀπὸ τοῦ ἄρχοντ Εὐρώπης οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λα προτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχ ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 28.] ἀπὸ τοῦ ἄ χοντος Θρᾴκης οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρι τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τ λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχ ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 29.] ἀπὸ τοῦ ἄρχο τος Ῥοδόπης οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρι

τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 30.] ἀπὸ τοῦ ἄρχοντος Αἱμιμόντου οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 31.] ἀπὸ τοῦ ἄρχοντος Καρίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 32.] ἀπὸ τοῦ ἄρχοντος Λυκίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'. [§. 33.] ἀπὸ τοῦ ἄρχοντος Αὐγουσταμνικῆς πρώτης[74]) οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νομίσματα κδ', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα μ'.

Καὶ ὅσαι ἀρχαὶ ἡγεμονικαὶ[75]) ἤτοι correctoriαι·

[§. 34.] Ἀπὸ τοῦ ἄρχοντος Λιβύης τῆς ἄνω οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τρι-

74) Ex Hal. addo. In Ven. deest. 75) Hal. ἐπαρχικαί.

βούνων νοταρίων νομίσματα ιε', τῷ αὐτοῦ βοηθῷ νομίσμα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματ νομίσματα λϛ'. [§. 35.] *ἀπὸ τοῦ ἄρχοντος Αἰγύπτου πρ της οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θεί κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπρο των τριβούνων νοταρίων νομίσματα ιε', τῷ αὐτοῦ βοη νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑ προστάγματος νομίσματα λϛ'.* [§. 36.] *ἀπὸ τοῦ ἄρχον Αἰγύπτου δευτέρας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρί τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιε', αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτ ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛ'.* [§. 37.] *ἀ τοῦ ἄρχοντος Αὐγουσταμνικῆς δευτέρας οὕτως· τοῖς πε βλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νο σματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούν νοταρίων νομίσματα ιε', τῷ αὐτοῦ βοηθῷ νομίσματα . τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγμα νομίσματα λϛ'.* [§. 38.] *ἀπὸ τοῦ ἄρχοντος Παλαιστί τρίτης οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λ προτάτων τριβούνων νοταρίων νομίσματα ιε', τῷ αὐ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχ ὑπὲρ προστάγματος νομίσματα λϛ'.* [§. 39.] *ἀπὸ τοῦ χοντος Ἀραβίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις* [*τρι τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λ προτάτων τριβούνων νοταρίων νομίσματα ιε', τῷ αὐ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχ ὑπὲρ προστάγματος νομίσματα λϛ'.* [§. 40.] *ἀπὸ τοῦ χοντος Εὐφρατησίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρ τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικη τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιε', αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτά*

ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛʹ. [§. 41.] ἀπὸ τοῦ ἄρχοντος Μεσοποταμίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θʹ, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιεʹ, τῷ αὐτοῦ βοηθῷ νομίσματα γʹ, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛʹ. [§. 42.] ἀπὸ τοῦ ἄρχοντος Κιλικίας δευτέρας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θʹ, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιεʹ, τῷ αὐτοῦ βοηθῷ νομίσματα γʹ, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛʹ. [§. 43.] ἀπὸ τοῦ ἄρχοντος Ἀρμενίας πρώτης οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θʹ, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιεʹ, τῷ αὐτοῦ βοηθῷ νομίσματα γʹ, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛʹ. [§. 44.] ἀπὸ τοῦ ἄρχοντος Γαλατίας δευτέρας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θʹ, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιεʹ, τῷ αὐτοῦ βοηθῷ νομίσματα γʹ, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛʹ. [§. 45.] ἀπὸ τοῦ ἄρχοντος Ὀνωριάδος οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θʹ, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιεʹ, τῷ αὐτοῦ βοηθῷ νομίσματα γʹ, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛʹ. [§. 46.] ἀπὸ τοῦ ἄρχοντος τῶν Νήσων οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θʹ, τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιεʹ, τῷ αὐτοῦ βοηθῷ νομίσματα γʹ, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛʹ. [§. 47.] ἀπὸ τοῦ ἄρχοντος Μυσίας δευτέρας οὕτως· τοῖς περιβλέπτοις χαρ-

τουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιε', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛ'. [§. 48.] ἀπὸ τοῦ ἄρχοντος Σκυθίας οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου νομίσματα θ', τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων νομίσματα ιε', τῷ αὐτοῦ βοηθῷ νομίσματα γ', τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προστάγματος νομίσματα λϛ'. [§. 49.] ὑπὲρ[76]) δὲ ἑκάστης πόλεως ἐκδίκου, εἰ μὲν εἴη μητροπόλεως[77]), ὑπὲρ προστάγματος εἰς τὰ[78]) τῶν ἐνδοξοτάτων ὑπάρχων δίδοσθαι νομίσματα δ', εἰ δὲ ἄλλης πόλεως νομίσματα γ', καὶ πέρα τούτων μηδέν. οὐδὲ γὰρ τοὺς ἐκδίκους οὔτε διδόναι τοῖς ἄρχουσιν οὐδὲ ἑτέρῳ τινὶ οὐδὲ λαμβάνειν βουλόμεθα, πλὴν εἰ μή τινές εἰσιν αὐτοῖς ἐκ τοῦ δημοσίου παρεχόμεναι συνήθειαι, εἰδότων αὐτῶν ὡς εἰ μηνυθείη τῷ ἡμετέρῳ κράτει περί τινος αὐτῶν ὡς παραβαίνοι τὰ παρ' ἡμῶν θεσπισθέντα, καὶ ὅπερ ἂν λάβοι quadruplum ἀποδώσει, καὶ τῆς φροντίδος παραλυθεὶς ἐξορίαν οἰκήσει διηνεκῆ, ὁπότε καὶ οἱ τῶν ἐπαρχιῶν ἄρχοντες εἰ τούτου παραμελήσειαν καὶ τοὺς ἐκδίκους περιΐδοιεν κλέπτοντας, οὐκ ἐλάττονα καὶ αὐτοὶ ποινὴν ὑποστήσονται. Dat. XVI.[79]) Kal. Mai. CP. Belisar. Cons.

Ὅρκος διδόμενος παρὰ τῶν τὰς ἀρχὰς λαμβανόντων.[80])

Ὄμνυμι ἐγὼ τὸν θεὸν τὸν παντοκράτορα καὶ τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ Ἰησοῦν Χριστὸν τὸν θεὸν ἡμῶν καὶ τὸ ἅγιον πνεῦμα

76) Hal. παρὰ. 77) Ven. μητροπολίτης. 78) τάξει emendandum esse videtur. 79) lege XVII. Vide quae dixi not. 61. 80) Ven. ad rubricam notat: ὁ παρὼν ὅρκος κατεστρώθη ἐν βι. ἕκτῳ τῶν βασιλ. τί. γ'. κεφ. κγ'.

καὶ τὴν ἁγίαν ἔνδοξον θεοτόκον καὶ ἀειπαρθένον Μαρίαν, καὶ τὰ τέσσαρα εὐαγγέλια ἃ ἐν ταῖς χερσί μου κρατῶ, καὶ τοὺς ἁγίους ἀρχαγγέλους Μιχαὴλ καὶ Γαβριὴλ, ὡς καθαρὸν συνειδὸς καὶ γνησίαν δουλείαν φυλάξω τοῖς θειοτάτοις καὶ εὐσεβεστάτοις ἡμῶν δεσπόταις Ἰουστινιανῷ καὶ Θεοδώρᾳ τῇ ὁμοζύγῳ τοῦ αὐτοῦ κράτους προφάσει τῆς παραδεδομένης μοι παρὰ τῆς αὐτῶν εὐσεβείας ἀρχῆς, καὶ πάντα πόνον καὶ κάματον μετ' εὐνοίας ἀδόλως καὶ δίχα τέχνης τινὸς ἀναδέξομαι ἐπὶ τῇ δοθείσῃ μοι παρ' αὐτῶν ἀρχῇ ὑπὲρ τῆς αὐτῶν βασιλείας καὶ πολιτείας· καὶ κοινωνικός εἰμι τῇ ἁγιωτάτῃ[81]) τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ καὶ κατ' οὐδένα τρόπον ἢ χρόνον ἐναντιωθῶ αὐτῇ, οὐδὲ ἄλλῳ καὶ συγχωρήσω καθ' ὅσον δυνάμεως ἔχω. ὄμνυμι δὲ τοὺς αὐτοὺς ὅρκους, ὡς οὐδενὶ παντελῶς οὔτε δέδωκα οὔτε δώσω προφάσει τῆς δεδομένης μοι ἀρχῆς οὔτε προφάσει προστασίας, οὐδὲ ἐπηγγειλάμην οὔτε ὡμολόγησα ἐκ τῆς ἐπαρχίας πέμπειν οὔτε πέμψω, οὔτε προφάσει δεσποτικοῦ suffragiou[82]) οὔτε τοῖς ἐνδοξοτάτοις ὑπάρχοις οὔτε τοῖς ἄλλοις πανευφήμοις ἀνδράσι τοῖς τὰς ἀρχὰς ἔχουσιν οὔτε τοῖς περὶ αὐτοὺς καθεστῶσιν οὐδὲ ἄλλῳ τῶν πάντων οὐδενὶ, ἀλλ' ὥσπερ ἄμισθον παρέλαβον τὴν ἀρχὴν, οὕτω καὶ καθαρὸς φανοῦμαι περὶ τοὺς ὑποτελεῖς τῶν εὐσεβεστάτων ἡμῶν δεσποτῶν, ἀρκούμενος ταῖς ἀφωρισμέναις μοι ἐκ τοῦ δημοσίου σιτήσεσι. καὶ πρῶτον μὲν πάντων ποιήσομαι σπουδὴν τὸ τοῖς δημοσίοις ἀγρύπνως προσέχειν, καὶ τοὺς μὲν ἀγνωμονοῦντας καὶ δεομένους ἀνάγκης μετὰ πάσης εἰσπράξω τῆς σφοδρότητος, οὐδὲν ὑποκατακλινόμενος, οὐδὲ ὑπὲρ αὐτοῦ τούτου κέρδος παντάπασιν ἐννοῶν, ἢ πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἀπαιτῶν τινα παρὰ τὸ προσῆκον ἢ συγχωρήσων[83]) τινὶ, τοῖς δὲ εὐγνωμονοῦσι πατρικῶς προσενεχθήσομαι, καὶ τοὺς ὑπηκόους

81) Ven. ἁγίᾳ. 82) Ven. inter lineas δώρου χάριν ἢ βοηθείας. 83) Ven. Hal. et Bas. συγχωρήσω.

τῶν εὐσεβεστάτων ἡμῶν δεσποτῶν ἀνεπηρεάστους πανταχόθει ὅσον δυνάμεως ἔχω φυλάξω· καὶ ἴσος ἐν ταῖς δίκαις ἑκατέρῳ μέρει καὶ ἐν ταῖς δημοτικαῖς καταστάσεσι γινόμενος καὶ[83a] οὐδενὶ μέρει παρὰ τὸ δίκαιον προστεθήσομαι, ἀλλ' ἐπε ξελεύσομαι πᾶσι τοῖς ἁμαρτάνουσι καὶ πᾶσαν ἰσότητα φυλάξι κατὰ τὸ φαινόμενόν μοι δίκαιον· καὶ τοὺς μὲν ἀνευθύνου ἀνεπηρεάστους φυλάξω, τοῖς δὲ ὑπευθύνοις ἐπιθήσω τιμω ρίαν πρὸς τὸν νόμον, καὶ πᾶσαν δικαιοσύνην καθὰ εἴρητα ἔν τε τοῖς δημοσίοις ἔν τε τοῖς ἰδιωτικοῖς συναλλάγμασι αὐτοῖς διατηρήσω, καὶ ἐὰν εὕρω τὸ δημόσιον ἀδικούμενοι καὶ[84]) οὐκ ἐγὼ μόνος ταῦτα πράξω, ἀλλὰ καὶ τὸν ἀεί μο παρεδρεύοντα τοιοῦτον σπουδάσω παραλαβεῖν καὶ τοὺς πε ἐμὲ πάντας, ὥστε μὴ ἐμὲ μὲν καθαρεύειν, τοὺς δὲ περὶ ἐμ κλέπτειν καὶ ἁμαρτάνειν· εἰ δὲ εὑρεθῇ τις τῶν περὶ ἐμ τοιοῦτος, καὶ τὸ γενόμενον παρ' αὐτοῦ θεραπεύσω κα αὐτὸν ἀποδιώξω. εἰ δὲ μὴ ταῦτα πάντα οὕτως φυλάξα ἀπολαύω[85]) ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἐν τῇ φοβερ κρίσει τοῦ μεγάλου δεσπότου θεοῦ τε καὶ σωτῆρος ἡμῶ Ἰησοῦ Χριστοῦ καὶ σχῶ τὴν μερίδα τοῦ Ἰούδα καὶ τὴ λέπραν τοῦ Γιεζὶ καὶ τὸν τρόμον τοῦ Καΐν, πρὸς τῷ κα ταῖς ποιναῖς τῷ νόμῳ[86]) τῆς αὐτῶν εὐσεβείας περιεχομέναι ὑπεύθυνος εἶναι.

Scriptum[87]) est exemplar huiusmodi Dominico glo riosissimo praefecto apud Illyricum praetoriorum, sed it quidem adiectionibus: Iusiurandum subeant secundu proprium de hoc factum indiculum sacramenti, cuiu exemplar etiam directum est tuae celsitudini. qui ver administrationes suscipiunt, a tua celsitudine directo

83[a]) καὶ deleverim. 84) καὶ abest a Ven. Omnino al quid deest past ἀδικούμενον. 85) ἀπολάβω sc. τὴν μερίδα 86) Ven. τῶν νόμων. 87) Literas quibus constitutio Prae fecto Illyrici missa est servavit Auth. Neque Iuliano nequ Athanasio neque Theodoro cognitae fuisse videntur.

hinc eis a nobis codicillos suscipiant praesente deo amabili civitatis in qua degunt episcopo, et aliis qui in civitate sunt in iudicio tuae celsitudinis congregatis, et officio omni tuo, coram quibus etiam codicillos accipiant et iurent praedictum iusiurandum. et maxime haec praecipimus coram curialibus agi, quos competens est magna frui a tua celsitudine et qui idem cingulum obtinuerit providentia et studio, ut et nihil ab eis tu lucreris omnino neque permittas eos ab ullo laedi. eos enim, qui hanc nituntur iniquitatem[88]), quatenus et felicissimo nostro utantur exercitu et reliquas curiales adimpleant functiones, quia non oportet talia attentari solatia, ut possit[89]) referri ad tantam tarditatem; nihil enim nobis tam commendat tuam celsitudinem, quomodo circa curiales uniuscuiusque civitatis providentia, quam praeberi volumus istis et a tua celsitudine et a cinguli semper successoribus. quapropter dum codicillos dederis administrationes accipientibus a te ut praesente, hoc eis tuam denuntiare volumus sedem, ut curialibus omnem ferant favorem nihil penitus ab eis accipientes. prohibeant autem et ab aliis eis afferri damna, et agnoscant per te, quia si praeter hoc aliquid egerint poenis subiacebunt gravissimis. sicut enim curialibus parcere te volumus, ita et defensorum castigare et retinere avaritiam sancimus, et ab eis praesumere[90]) accipere a nostris subiectis, nisi secundum quod eis ministrat publica res, aut si non est aliquod eis publicum solatium, quantum inculpabilis antiquitas definivit, ut ab spontaneis

88) Locus manifesto corruptus. Fortasse legendum: ab ullo laedi eorum qui in hanc nituntur iniquitatem, quatenus et felicissimō nostro utantur exercitu ut reliqua curialis adimpleant functionis etc. Nam de reliquis militari manu a curialibus extorquendis sermo esse videtur. 89) possint? 90) ne ab eis praesumatur?

ipsis magis quam ab invitis accipiant, et hoc parum et quantum eis ad mediocrem sufficit vitae gubernationem. sciant enim, quia si citra haec aliquid acceperint, non solum quadrupli subiacebunt poenae, sed etiam exsilium habitabunt continuo, prius eis plagis corporeis infligendis.

Nov. 9. **XVII.** Auth. 9.

In Ven. et Flor. deest. Ven. in margine a recentiore manu adscriptum habet: [ἡ θ' κειμένη?] *διάτ. ὥστε τὴν ἐκκλησίαν ῥώμης ἔχειν τὴν τῶν ρ' ἐνιαυτῶν παραγραφὴν οὐκ ἐτέθη εἰς τὰ βασιλικά. ταύτην ἀναιρεῖ ἡ ρια'.* Alia recentior manus notat: *ἡ θ' νεαρὰ οὐχ εὑρέθη.* Scr. rubricam habet, fortasse ex Indice Cod. Ven. haustam. — Summam praestant Iulian. c. 8, Athan. II, 4, Theod. Nov. 9.

UT ETIAM ECCLESIA ROMANA CENTUM ANNORUM HABEAT PRAESCRIPTIONEM.

Idem A. Ioanni viro beatissimo et sanctissimo archiepisco et patriarchae veteris Romae.[1])

Et legum originem anterior Roma sortita est, et summi pontificatus apicem apud eam esse nemo est qui dubitet. unde et nos necessarium duximus patriam legum, fontem sacerdotii, speciali nostri numinis lege illustrare, ut ex hac in totas catholicas ecclesias, quae usque ad oceani fretum positae sunt, saluberrimae legis vigor extendatur, et sit totius occidentis nec non orientis, ubi possessiones sitae inveniuntur ad ecclesias vestras[2]) sive nunc pertinentes sive postea eis acquirendae, lex propria ad honorem dei consecrata. quum enim antiqua iura XXX annorum metis temporales exceptiones circumcludebant, et si hypotheca fuerat paulo longiora eis spatia condo-

1) Athanas: *Ἰωάννῃ ἐπισκόπῳ ῥώμης.* 2) Plurimi: nostras.

nabant, nos[3]) sacrosanctas ecclesias huiusmodi quidem curriculis temporum nullatenus excludi concedimus, et maxime in his rebus in quibus vel laesionem sustinuerint vel quidquam debeatur, sed centum tantummodo annorum lapsu temporalem exceptionem eis opponi sancimus, ut maneant per totum praedictum tempus integra iura ecclesiastica, et non possit eis alia praeter centum annorum obviare exceptio, quum hoc tempus vitae longaevi hominis plerumque finis esse dignoscitur. habeat itaque vestra sanctitas hanc legem catholicis totius occidentis ecclesiis profuturam, et in orientales partes propagandam in quibus aliquid sacrosanctae vestrae ecclesiae possident, ut sit deo omnipotenti dignum donarium divinarum rerum tuitio, nec iniquis hominibus impium remaneat praesidium et tutus peccandi locus etiam scientibus relinquatur, sed ille servetur innocens, qui re vera innoxius sit, nec improbus[4]) allegatione temporis sese tueatur tempus pro puritate praetendens. quod igitur nostra aeternitas ad omnipotentis dei honorem venerandae sedi summi apostoli Petri dedicavit, hoc habeant omnes terrae omnes insulae totius occidentis, quae usque ad ipsos oceani recessus extenduntur, nostri imperii providentiam per hoc in aeternum reminiscentes. huiusmodi legis praerogativam, sicut supra dictum est, non solum in occidentalibus partibus Romanae ecclesiae condonamus, sed etiam in orientalibus, in quibus ecclesiasticae urbis Romae possessiones sunt vel postea fuerint. scilicet omnibus iudicibus, maioribus et minoribus, qui Christiani et orthodoxi sunt, hanc nostram constitutionem servantibus, nihilo minus huiusmodi legis temeratoribus post caelestes poenas etiam legitimum semper vigorem[5]) pertimescentibus et poenam

3) has? 4) Vulgo: improba. 5) vigorem?

L librarum auri formidantibus. hac lege non solum i postea emergendis causis suum tenorem exercente, se etiam in his, quae iam in iudicium sunt deductae.

Sanctitas itaque tua praesentem nostrae mansuetu dinis legem piissimam sive sacrosanctam oblationem qua deo dedicamus accipiens inter sacratissima vasa repona et a vobis servandam et omnes ecclesiasticas possessione servaturam. Dat. XVII. K. Maii[6]) Constantinop. Belisari V. C. Cons.

Nov. 10. **XVIII.** Auth. 1

Summas praestant Iulian. c. 16, Athan. XXII, 2, Theod. Nov. 10.

Περὶ τῶν ῥεφερενδαρίων.[1])

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἑρμογένε τῷ ἐνδοξοτάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων ἀπὸ ὑπάτω καὶ πατρικίῳ.

Μετὰ τῶν ἄλλων ἁπάντων, ἅπερ εἰς τάξιν ἠγάγομε τὴν προσήκουσαν, οὐδὲ τὰ περὶ τοὺς περιβλέπτους ἡμῶ ῥεφερενδαρίους ἔξω καταλιπεῖν ᾠήθημεν τῆς παρ' ἡμῶ προνοίας, καὶ τοσούτῳ μᾶλλον, ὁπόσῳ πολλῶν ἡμῖν χρειω δέστεροι καθεστᾶσι. πρότερον γὰρ αὐτοὺς οὐκ εἰς πλῆθο συντεταγμένους ἡμεῖς, ὅπως ἂν πολλοῖς δι' αὐτῶν βοηθοῖ μεν τὰς ἑκάστου ῥᾳδίως αἰτήσεις μανθάνοντες, πλείους εἶνα τῶν ἔμπροσθεν πεποιήκαμεν. [§. 1.] *ἀλλ' ἐφάνησάν τινε*

6) Ita lego utpote qua die complures constitutiones data sint. Plerique: XVIII K. (Ath. *μηνὶ μαΐῳ η'*). Heimb. praefe lectionem nonnullorum Codicum: VI Idus Maii. Iulianu „praesens constitutio quae consule Belisario Kal. Maii dat est". Theod.: *Ἐξεφωνήθη μηνὶ μαΐῳ ὑπατεύοντος βελισαρίο*
1) Ven. *ῥαιφ.* scribit.

ν ἡμετέραν φιλοτιμίαν εἰς ἀμετρίαν ἐκκαλούμενοι, καὶ ολλοὺς μὲν ἡμῖν ἐπισείοντες[2]) τοὺς δεομένους, πολλαῖς δὲ ετείαις χρώμενοι, οὕτω τε ταῖς ἀεὶ προσθήκαις εἰς ἀμε-ίαν οὐ πρέπουσαν πρᾶγμα οὕτως ἐξαγαγόντες σεμνόν· ὐδὲ γὰρ τοῖς αἰτοῦσι γέγονε πέρας, ἕως εἰς τεσσαρεσκαι-κατον ὁ τούτων ἀριθμὸς ἐξέβη. διὰ τοῦτο τοίνυν, ὅπως ν μὴ πρᾶγμα εἰκότως ἡμῖν τετιμημένον εἶτα εἰς πλῆθος χεόμενον τῆς οἰκείας ἐλαττωθείη σεμνότητος, συνείδομεν ητῷ τὸν αὐτῶν ἀριθμὸν περιστεῖλαι μέτρῳ, οὐχ ὥστε τοὺς ντας ἀφελέσθαι τῶν δεδομένων (οὐ γὰρ τοῦτο βασιλικῆς ιον μεγαλοφροσύνης, ἄλλως τε πάντων ἀρεσάντων ἡμῖν αὶ σεμνῶς ὑπηρετησαμένων ἔξω τινὰς ἐξ αὐτῶν καταστῆσαι ῆς ἡμετέρας ὑπουργίας οὐδενὶ παντελῶς αἱρούμεθα τρόπῳ), λλὰ μένειν μὲν αὐτοὺς θεσπίζομεν καθ' ὅπερ εἰσὶ σχῆμα, ηδένα δὲ προστεθῆναι παντάπασιν, ἕως ἂν εἰς ὀκτὼ ἀν-ρῶν τὸ τούτων περισταίη μέτρον, ὥστε αὐτοὺς διηνεκῶς κτὼ καθεστᾶναι, τοῦ μὲν ἀριθμοῦ τούτου κατ' οὐδένα ρόπον ἢ χρόνον αὐξομένου, σπευδόντων δὲ αὐτῶν διηνεκῶς λλήλους ὑπερβάλλεσθαι ταῖς περὶ ἡμᾶς καὶ τὴν βασιλείαν εραπείαις τε καὶ εὐνοίαις. οὐδενὸς ἄδειαν ἔχοντος οὐδὲ ιτεῖν τι τοῦ λοιποῦ τοιοῦτον, ἀλλὰ γινώσκοντος ὡς οὐδὲ ύξεται τῶν αἰτουμένων, ὑπέρ τε τῆς αἰτήσεως αὐτῆς οὐ όνον ἔνοχος ἔσται ποινῇ χρυσίου λιτρῶν decem[3]), ἀλλὰ αὶ τῆς οἰκείας ἐκπεσεῖται στρατείας. βουλόμεθα γὰρ αὐτοὺς ῷ μέτρῳ μὲν μέχρι τοῦ ῥηθέντος ἀριθμοῦ συνεστάλθαι, ικαιοσύνῃ δὲ καὶ ταῖς ἄλλαις ἀρεταῖς αὔξειν τε καὶ ἐπὶ εῖζον διαφαίνεσθαι. ἡ γὰρ κατὰ ἀριθμὸν πληθὺς οὐδὲν ν ἔχοι σεμνὸν, ἐπειδήπερ ἐν ὀλίγοις ἐκ πολλῶν ὁ κατ' ρετὴν σώζεται βίος. μενέτωσαν μὲν οὖν καθάπερ εἰπόντες φθημεν νῦν ἐπὶ τούτου τοῦ σχήματος.

2) Hal. ἐπεισάγοντες. Osenbrüggen coni. ἐπισεύοντες.
3) Ven inter lineas δέκα.

Ταῦτα δὲ ἡ σὴ ὑπεροχὴ γινώσκουσα φυλαττέτω, και μηδένα καιρὸν παραβαθῆναι συγχωροῦσά τι τῶν παρ' ἡμῶ θεσπισθέντων, ἀλλὰ τοὺς παρὰ ταῦτά τι πράττοντας τὴ ἠπειλημένην εἰσπράττειν ποινήν, οἷα τούτων ἐφιεμένοι ἅπερ οὐδὲ αἰτεῖν ἔξεστιν οὔτε δίδοσθαι δυνατόν. καὶ ἔστι καὶ οὗτος νόμος ἡμέτερος πλῆθος μὲν ἀπωθούμενος, ἀντε σάγων δὲ ἀρετήν, ἥπερ οὐκ ἐν πολλοῖς διαφαίνεται, καὶ μι λιστα ἐπ' ἀνδράσι προελθοῦσι μὲν ἐκ πατέρων ἀγαθῶ τὸν δὲ αὐτῶν βίον ἀποτεθεικόσι ταῖς τε τῶν δεομένων ἐκ τείαις ταῖς τε παρ' ἡμῶν εἰς αὐτοὺς ἐπικουρίαις. τὰ τοίνι παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμο ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Da XVII K. Maii CP. Bilisario V. C. Cons.[4])

Nov. 11. XIX. Auth. 1

Ven. rubricam tantum praestat, tota deest apud Hal. — Summam praesta Iulian. c. 9, Athan. I, 8, Theod. Nov. 11. — Versio graeca saec. XI confecta et interpolata in libro *Σύνταγμα τῶν κανόνων* ed. Rhalli et Potlis to. V p. 219 edita est: de qua videatur tractatus meus „Be träge zur Gesch. d. Bulgar. Kirche" in Mémoires de l'Académie de S Pétersbourg VII Série to. VIII no. 3. — Rubrica Veneto et Athanas audit: *Ὥστε τὰς περὶ τὸ Βιμινάκιον γενομένας ὑπὸ ῥωμαίους πόλεις ὑπ ἴδικὸν ἀρχιεπίσκοπον εἶναι μὴ μὴν ὑπὸ τὸν Θεσσαλονίκης*, — Theodoru *Περὶ Πρίμας Ἰουστινιανῆς*.

DE PRIVILEGIIS ARCHIEPISCOPI PRIMAE IUSTINIANAI

Idem A. Catelliano[1]) viro beatissimo Archiepiscop Primae Iustinianae.

Multis et variis modis nostram patriam augere cu pientes, in qua Prima deus praestitit nobis ad hunc mu

4) Ita Venetus, nisi quod post CP. iterum „Constantinopol scribit. Theod. *ἐξεφωνήθη μηνὶ μαΐῳ τῆς ὑπατείας βελισαρίο* Iulian. D. VII (al. XVII) Kal. Maii Bilis. (al. p. c. vilisarii). - In Cod. Flor. et Bon. Heimbachio teste post *σπευσάτω* acc dunt verba quaedam latina sed admodum corrupta. Vide cons XX in fine.

1) Ath. *Καστελλίωνι* vel *Καπελαιῶνι ἐπισκόπῳ Ἰουστινιανῆ*

dum quem ipse condidit venire, et circa sacerdotalem censuram eam volumus maximis incrementis ampliare, ut Primae Iustinianae patriae nostrae pro tempore sacrosanctus antistes non solum metropolitanus, sed etiam archiepiscopus fiat, et certae provinciae sub eius sint auctoritate, id est tam ipsa Mediterranea Dacia, quam Dacia Ripensis, nec non Mysia secunda[1a]) et Dardania et Praevalitana provincia et secunda Macedonia, et pars secundae Pannoniae, quae in Bacensi[2]) est civitate. quum enim in antiquis temporibus Sirmii[3]) praefectura fuerit constituta, ibique omne fuerat Illyrici fastigium tam in civilibus quam in episcopalibus causis, postea autem Attilanis temporibus eisdem[4]) locis devastatis Apennius[5]) praefectus praetorio de Sirmitana[6]) civitate in Thessalonicam profugus venerat, tunc ipsam praefecturam et sacerdotalis honor secutus est, et Thessalonicensis episcopus non sua auctoritate sed sub umbra praefecturae meruit aliquam praerogativam. quum igitur in praesenti deo auctore ita nostra respublica aucta est, ut utraque ripa Danubii iam nostris civitatibus frequentaretur, et iam Viminaciumque Recidua et Literata, quae trans Danubium sunt, nostrae iterum ditioni subiectae sint, necessarium duximus ipsam gloriosissimam praefecturam, quae in Pannonia fuerat constituta, in nostra felicissima patria collocare, quum nihil quidem magni distat a Dacia Mediterranea secunda Pannonia, multis autem spatiis separatur prima Macedonia a Pannonia secunda. et quia homines semper bellicis sudoribus inhaerentes non erat utile reipublicae ad primam Macedoniam per tot spatia tantasque

χρεώτης. 1[a]) In const. CLI est „superiori" i. e. Mysia prima. 2) Alii: Baucensi, Barcensi, Bacensis, Urbatensi. 3) Alii: Firmi, Firma. 4) Codd. eiusdem. 5) Alii: Aperrius, Apenninus, Aprecinius, Apemius, Anthemius. 6) Alii: Firmitana, Firmata, finitima.

difficultates venire, ideo necessarium nobis visum est ipsam praefecturam ad superiores partes trahere, ut iuxta eam provinciae constitutae facilius sentiant illius medicinam. et ideo tua beatitudo et omnes praefatae Primae Iustinianae sacrosancti antistites archiepiscopi habeant et praerogativam et omnem licentiam suam auctoritatem eis[6a]) impertire et eos ordinare, et in omnibus supra dictis provinciis primum habere honorem, primam dignitatem, summum sacerdotium, summum fastigium; a tua sede creentur et te solum archiepiscopum habeant, nulla actione[7]) adversus eum[7a]) Thessalonicensi episcopo servanda; sed tu ipse et omnes Primae Iustinianae antistites sint eis iudices et disceptatores, quidquid oritur inter eos discrimen ipsi hoc dirimant et finem ei imponant, et eos ordinent, neque ad alium quendam eatur, sed suum cognoscant archiepiscopum omnes praedictae provinciae et eius sentiant creationem, et vel per se vel per suam auctoritatem vel clericos mittendos habeat omnem potestatem omnemque sacerdotalem censuram et creationis licentiam. sed et in Aquis, quae est provinciae Daciae Ripensis, ordinari volumus a tua sanctitate episcopum, ut non in posterum sub Meridiano[8]) episcopo sit constituta, sed Meridianus quidem maneat in Meridiano nulla ei communione cum Aquis servanda, Aquensis autem episcopus habeat praefatam civitatem et omnia eius castella et territoria et ecclesias, ut possit Bonosiacorum scelus ex ea civitate et terra repellere et in orthodoxam fidem transformare. ut igitur sciat beatitudo tua nostri numinis dispositionem, ideo praesentem legem ad tuam venerabilem sedem transmisimus, ut in perpetuum tale beneficium habeat patriae

6a) eis i. e. episcopis? 7) Osenbr. et Heimb. communione. 7a) episcopum? 8) Mesembria ad Pontum. Vulgo additur: Thraciae oppido.

strae ecclesia in dei omnipotentis gloriam et nostri numinis sempiternam recordationem. quando autem tuae ses gubernatorem ab hac luce decedere contigerit, pro mpore archiepiscopum eius a venerabili suo concilio etropolitanorum ordinari sancimus, quemadmodum decet chiepiscopum omnibus honoratum in ecclesiis provehi, illa penitus Thessalonicensi episcopo nec ad hoc communione servanda.

Beatitudo igitur tua quae nostra sanxit aeternitas odis omnibus ad effectum perducere non differat. Dat. VII Kal. Maii [Constantinop. Belisario V. C. Cons.].[9])

XX.

Nov. 121.

mma habetur in Appendice Iuliani (ed. Haenel p. 196), Athan. XVII, 3, Theod. Nov. 121 (unde transiit in Basil. XXIII, 3, 23).

ερὶ τοῦ τὰς μερικὰς καταβολὰς τῶν τόκων εἰς τὸ διπλάσιον λογίζεσθαι.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἀρσιλίῳ[1]) ἄρχοντι Ταρσοῦ.

Βουλευτὰς δεομένους ὁρῶντες, φειδόμενοί τε αὐτῶν, ὕτως τὰς κατὰ τῶν ἡμετέρων νόμων τέχνας καὶ σεσοφιένας ὁμολογίας κρατεῖν οὐ συγχωροῦμεν.

α'. Ἐδίδαξαν γὰρ Εὐσέβιος καὶ Ἀφθόνιος τὸ ἡμέτερον ὅτος, ἔγγονοι Δημητρίου γενέσθαι τεχθέντες ὑπὸ Παλλαου τοῦ Δημητρίου παιδός, ἐποφλῆσαι δὲ Δημήτριον Ἀρτεδώρῳ πεντακοσίους χρυσοὺς κατὰ δανείσματος πρόφασιν,

9) Ath. et Theod. Ἐγράφη s. ἐξεφωνήθη μηνὶ μαΐῳ ὑπαίᾳ βελισαρίου. Iulian. Dat. VI K. Maii cons. Belisario. iembach: Dat. XVIII.

1) Ath. Ἀρσίμῳ. Hal. Βασιλείῳ.

difficultates venire, ideo necessarium nobis visu
ipsam praefecturam ad superiores partes trahere, ut
eam provinciae constitutae facilius sentiant illius
cinam. et ideo tua beatitudo et omnes praefatae I
Iustinianae sacrosancti antistites archiepiscopi habe
praerogativam et omnem licentiam suam auctoritatem
impertire et eos ordinare, et in omnibus supra
provinciis primum habere honorem, primam digni
summum sacerdotium, summum fastigium; a tua
creentur et te solum archiepiscopum habeant, nulla act
adversus eum[7a]) Thessalonicensi episcopo servanda;
ipse et omnes Primae Iustinianae antistites sint ei
ces et disceptatores, quidquid oritur inter eos dis
ipsi hoc dirimant et finem ei imponant, et eos or
neque ad alium quendam eatur, sed suum cognosca
chiepiscopum omnes praedictae provinciae et eius se
creationem, et vel per se vel per suam auctoritate
clericos mittendos habeat omnem potestatem omn
sacerdotalem censuram et creationis licentiam. sed
Aquis, quae est provinciae Daciae Ripensis, ordina
lumus a tua sanctitate episcopum, ut non in pos
sub Meridiano[8]) episcopo sit constituta, sed Meri
quidem maneat in Meridiano nulla ei communion
Aquis servanda, Aquensis autem episcopus habeat
fatam civitatem et omnia eius castella et territo
ecclesias, ut possit Bonosiacorum scelus ex ea civit
terra repellere et in orthodoxam fidem transforma
igitur sciat beatitudo tua nostri numinis disposit
ideo praesentem legem ad tuam venerabilem sedem
misimus, ut in perpetuum tale beneficium habeat

6a) eis i. e. episcopis? 7) Osenbr. et Heimb. c
nione. 7a) episcopum? 8) Mesembria ad Pontum.
additur: Thraciae oppido.

πρὸς τοὺς ἔμπροσθεν διαφοράν, ὅτι οἱ μὲν ἴστων μέχρι τοῦ διπλασίονος τὰ χρέα[7]) εἰ μηδεμία γέγονε καταβολή, ἡμῶν[8]) δὲ καὶ τὰς μερικὰς καταβολὰς λύειν τὰ ὀφλήματα δεξαμένων, αἵπερ[9]) ἄχρι τοῦ διπλασίονος γένοιντο, θεσπίζομεν κατὰ τοῦτο[10]) γίνεσθαι τὸν συλλογισμόν, καὶ ὅσον ἂν εἰς τοὺς χιλίους ἐλλείποι χρυσοὺς, τοὺς αὐτοὺς[11]) καταβάλλοντας ἀναλαβεῖν καὶ τὴν τῶν χ´ νομισμάτων δανειακὴν συγγραφήν, ὥστε μὴ πολλαπλάσιον ἐκ ταύτης τῆς αἰτίας εὑρεθῆναι τὸ χρέος ἀπαιτούμενον.

Ἡ τοίνυν σὴ μεγαλοπρέπεια τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα τύπου ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω, τῆς τε παρὰ ταῦτα γινομένης ἑρμηνείας ἐν ταῖς ψήφοις ὧν οἱ ἱκέται μέμνηνται σχολαζούσης, πάντων τε τῶν κατὰ συναρπαγὴν καὶ ἐκ μιᾶς μοίρας παρὰ τὸν νόμον πεπραγμένων ἢ πραχθησομένων ἀργούντων. Divinitas te servet per multos annos, frater iucundissime.[12]) *Dat. XVII Kal. Maii CP. Bilisario V. C. cons.*[13])

Auth. 17. XXI. **Nov. 17.**

Epistola ad Tribonianum latine scripta, quam servavit Authenticum, testibus Ath. et Theod. etiam mandatis in collectionibus Novellarum graecis praeposita fuit. — Cap. 1—17 extat in Cod. Coislin. Basil. ed. Heimb. VI, 3, 22—38. (Fabrotus in sua editione Cod. Paris. gr. 1352 sequutus magis summas habet, plerasque uti videtur ex Epitomae tit. 16 desumtas.) — Summas habent Iulian. c. 21, Athan. IV, 3, Theod. Nov. 17.

DE MANDATIS PRINCIPIS.

Idem A. Triboniano Quaestori sacri Palatii Exconsuli.

Ex libris antiquis qui iura Romani nominis continebant non ignorat tua sublimitas, quanta de mandatis

7) l. 10 C. cit. 8) l. 27 C. eod. 9) Ven. ἅπερ, Hal. εἴπερ. 10) Ven. τοῦτον. 11) αὐτό? vel τοῦτο αὐτούς. 12) Deest haec clausula apud Hal. 13) In hac subscriptione

καὶ ἐπερωτηθῆναι καὶ τόκον, καὶ ἔναγχος θεῖον πορίσασθαι τύπον τὸν βουλόμενον, εἰ διπλάσιον κατεβλήθη τὸ ὄφλημα μηδεμίαν εἶναι κατ' αὐτῶν εἴσπραξιν κατὰ τοὺς ἡμετέρους νόμους·[3]) τοὺς δὲ Ἀρτεμιδώρου τοῦ δανειστοῦ διαδόχους Ἐπίμαχόν τε καὶ Ἀρτέμονα φῆσαι, ψεύσασθαι αὐτοὺς ἐν τῇ δεήσει καὶ μὴ δεῖν τῆς ἡμετέρας τυχεῖν βοηθείας, οὐδὲ γὰρ πεπληρῶσθαι τὸ ὄφλημα, ἀλλὰ μόνους ϡμθ' καταβεβλῆσθαι χρυσούς. Παλλάδιον γὰρ οἱ ἱκέται φασὶ τὸν αὐτῶν πατέρα ἅμα Παύλῳ καὶ Δημητρίῳ τῷ αὐτοῦ πατρὶ ωξζ' καταβαλεῖν χρυσοὺς, Ἀρτέμονα δὲ καὶ Πρισκιανὴν τοὺς Ἀρτεμιδώρου παῖδας, προγόνους τε Ἐπιμάχου καὶ Ἀρτέμονος, φῆσαι τὴν κατὰ μέρος καταβολὴν μὴ προσάψασθαι τοῦ κεφαλαίου, ἀλλὰ πάντα εἰς τόκον λογίζεσθαι βούλεσθαι· ταῦτα δὲ καὶ ψήφου τοῦ τῆς ἐπαρχίας ἄρχοντος λέγειν, καὶ διὰ τοῦτο ἀπαιτῆσαι Παλλάδιον ἀντὶ τῆς προτέρας τῶν πεντακοσίων νομισμάτων δανειακῆς συγγραφῆς ἑτέραν χρυσῶν ἑξακοσίων· καταβαλεῖν δὲ καὶ αὐτῷ[4]) φασὶ διαφόρως Παλλάδιον μὲν οβ' χρυσοὺς, Εὐσέβιον δὲ καὶ Ἀφθόνιον δέκα, ὡς ἐντεῦθεν συνάγεσθαι τὴν ϡμθ' νομισμάτων ποσότητα· τὸν δὲ τῆς ὑποθέσεως ἀκροασάμενον, οὐκ ἐντεθυμημένον μίαν εἶναι τοῦ παντὸς ἐγκλήματος αἰτίαν, μὴ προσδέξασθαι αὐτοὺς ἀλλὰ βουληθῆναι καταδικάσαι αὐτοὺς τοὺς ἑξακοσίους χρυσοὺς τοῦ κεφαλαίου. καὶ ᾔτησαν ταύτης ἐκβληθῆναι τῆς ἀνάγκης, καὶ συλλογιζομένου τοῦ παντὸς ὀφλήματος τῶν πεντακοσίων χρυσῶν, εἰ καταβάλλοιεν[5]) τοὺς πεντήκοντα καὶ ἕνα[6]) τοὺς λειπομένους εἰς τὴν τῶν χιλίων νομισμάτων ποσότητα, τοῦ τε παντὸς ὀφλήματος ἀπηλλάχθαι, ἀναλαβεῖν τε τὴν δανειακὴν συγγραφὴν τῶν χ' χρυσῶν.

β'. Τῶν τοίνυν ἡμετέρων νόμων μηδὲν ὑπὲρ τὸ διπλάσιον καταβάλλεσθαι βουλομένων, καὶ ταύτην ἐχόντα

2) Const. II. 3) l. 10. 27 C. de usur. 4, 32. l. 29 C. de fideiu 8, 40. 4) Malim αὐτοῖς. 5) Ven. καταβάλοι. 6) Ven. ἑ

Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν Αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανὸς Ἀλαμανικὸς Γοτθικὸς Φραγγικὸς Γερμανικὸς Ἀντικὸς Ἀλανικὸς Βανδαλικὸς Ἀφρικανὸς εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος.[2])

Ἤδη μὲν ἐν τῷ γενικῷ τῆς ἡμετέρας εὐσεβείας νόμῳ[3]) πάντα διηγόρευται, ἐφ' οἷς προσῆκόν ἐστι τοὺς τὰς ἀρχὰς παραλαμβάνοντας ταύτας διοικεῖν, μεμνημένους τῶν ὅρκων, ὧν ἐπὶ τούτοις παρέχουσιν. ἀναγκαῖον δὲ ὅμως ᾠήθημεν καὶ νῦν παραλαμβάνοντί σοι τὴν ἀρχὴν ἐπισκῆψαι τὰ πρέποντα, κατὰ τοῦτο δὴ τὸ τοῖς προγόνοις τῆς πολιτείας ἡμῶν ἐξηυρημένον, οἳ τοῖς εἰς τὰς ἀρχὰς στελλομένοις ῥητὰ παρεῖχον παραγγέλματα, μανδάτα πρίνκιπις αὐτὰ καλοῦντες, καθάπερ ἐχρῆν αὐτοὺς διακυβερνᾶν τὰς ἀρχάς.


α'. Δεῖ τοίνυν σὲ καθαρῶς παραλαμβάνοντα τὴν ἀρχὴν καὶ δόσεως ἁπάσης χωρὶς πρὸ τῶν ἄλλων ἁπάντων καθαρὰς φυλάττειν θεῷ τε καὶ ἡμῖν καὶ τῷ νόμῳ τὰς χεῖρας, καὶ μηδενὸς ἅπτεσθαι κέρδους, μήτε μείζονος μήτε ἐλάττονος, μηδὲ σεσοφισμένην τινὰ ποιεῖσθαι κατὰ τῶν ὑπηκόων ἐμπορίαν, ἀλλ' ἀρκεῖσθαι μόνοις τοῖς παρὰ τοῦ δημοσίου σοὶ χορηγουμένοις, καὶ διά τε σαυτοῦ διά τε τῶν περί σε καθαρὸν αὐτοῖς πανταχόθεν φυλάττειν τὸ δίκαιον. καὶ σπεύδειν πρῶτον μὲν τοὺς δημοσίους φόρους ἀπαιτεῖν ἀγρύπνως μηδὲν ἐλλείποντα τῆς περὶ τὸ δημόσιον προνοίας, ἀναζητεῖν τε μήτι τὸ δημόσιον ἠλάττωται καὶ περιποιεῖν αὐτῷ πανταχόθεν τὰ οἰκεῖα. ὥσπερ γὰρ τοῖς ἰδιώταις ἀδικουμένοις βοηθοῦμεν, οὕτω καὶ τὸ δημόσιον ἀνεπηρέαστον μένειν βουλόμεθα· οἱ γὰρ δὴ συντελεσταὶ πάσης ἄλλης ἐπη-

2) Ven. addit: βι. α' τί. ιη' διγ. ιθ' καὶ βι. μη' τί. ιθ' διγ. λε' καὶ βι. α' τοῦ κώδ. τί. ιε'. 3) Const. XVI supra.

principum legumlatores in suo quisque volumin(scripserunt. Quia igitur nobis reparantibus omne tustatem iam deperditam iam deminutam placuit omnibus iudicibus nostris qui minores vel medi(ministrationes gerunt, sive inter correctores sive consulares sive inter spectabiles ordinentur, non codicillos praestare, sed etiam mandata dare, quib spectis omnia gubernare laudabiliter possint, ideo mandatorum composuimus, qui subter quidem per que linguam annexus est[1]), ut detur administrat nostris secundum locorum qualitatem in quibus R vel Graeca lingua frequentatur scire eorum sanct ut nihil ex his audeant praeterire, sed saluberrim positiones nostras observantes in perpetuum nostra vincias nostroque imperio subiectos gubernare fes illustris igitur auctoritas tua, ad quam quaestori tinet censura, eadem mandata et in libris legum scribere, et in sacro laterculo deponi praecipiat, nus ex his una cum codicillis suscipiendis admi tores quemadmodum possint reipublicae subvenir(ignorent.

consentiunt Ven. Ath. (et App. Iuliani, nisi quod hic Kal. scribitur). Bienerus Gesch. d. Nov. p. 523 post. co silii legendum esse arbitratus est. Sed argumenta, quib iecturam firmare studuit, nimis infirma sunt.

1) Librum mandatorum latine editum deperiisse, Auth. versionem tantum graeci textus superesse probab



Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν Αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανὸς Ἀλαμανικὸς Γοτθικὸς Φραγγικὸς Γερμανικὸς Ἀντικὸς Ἀλανικὸς Βανδαλικὸς Ἀφρικανὸς εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος.[2])

Ἤδη μὲν ἐν τῷ γενικῷ τῆς ἡμετέρας εὐσεβείας νόμῳ[3]) πάντα διηγόρευται, ἐφ' οἷς προσῆκόν ἐστι τοὺς τὰς ἀρχὰς παραλαμβάνοντας ταύτας διοικεῖν, μεμνημένους τῶν ὅρκων, ὧν ἐπὶ τούτοις παρέχουσιν. ἀναγκαῖον δὲ ὅμως φήθημεν καὶ νῦν παραλαμβάνοντί σοι τὴν ἀρχὴν ἐπισκῆψαι τὰ πρέποντα, κατὰ τοῦτο δὴ τὸ τοῖς προγόνοις τῆς πολιτείας ἡμῶν ἐξηυρημένον, οἳ τοῖς εἰς τὰς ἀρχὰς στελλομένοις ῥητὰ παρεῖχον παραγγέλματα, μανδάτα πρίνκιπις αὐτὰ καλοῦντες, καθάπερ ἐχρῆν αὐτοὺς διακυβερνᾶν τὰς ἀρχάς.

α'. Δεῖ τοίνυν σὲ καθαρῶς παραλαμβάνοντα τὴν ἀρχὴν καὶ δόσεως ἁπάσης χωρὶς πρὸ τῶν ἄλλων ἁπάντων καθαρὰς φυλάττειν θεῷ τε καὶ ἡμῖν καὶ τῷ νόμῳ τὰς χεῖρας, καὶ μηδενὸς ἅπτεσθαι κέρδους, μήτε μείζονος μήτε ἐλάττονος, μηδὲ σεσοφισμένην τινὰ ποιεῖσθαι κατὰ τῶν ὑπηκόων ἐμπορίαν, ἀλλ' ἀρκεῖσθαι μόνοις τοῖς παρὰ τοῦ δημοσίου σοὶ χορηγουμένοις, καὶ διά τε σαυτοῦ διά τε τῶν περί σε καθαρὸν αὐτοῖς πανταχόθεν φυλάττειν τὸ δίκαιον. καὶ σπεύδειν πρῶτον μὲν τοὺς δημοσίους φόρους ἀπαιτεῖν ἀγρύπνως μηδὲν ἐλλείποντα τῆς περὶ τὸ δημόσιον προνοίας, ἀναζητεῖν τε μήτι τὸ δημόσιον ἠλάττωται καὶ περιποιεῖν αὐτῷ πανταχόθεν τὰ οἰκεῖα. ὥσπερ γὰρ τοῖς ἰδιώταις ἀδικουμένοις βοηθοῦμεν, οὕτω καὶ τὸ δημόσιον ἀνεπηρέαστον μένειν βουλόμεθα· οἱ γὰρ δὴ συντελεσταὶ πάσης ἄλλης ἐπη-

2) Ven. addit: βι. α' τί. ιη' διγ. ιθ' καὶ βι. μη' τί. ιθ' διγ. λε' καὶ βι. α' τοῦ κώδ. τί. ιε'. 3) Const. XVI supra.

ρείας ἐλεύθεροι φυλαττόμενοι ῥᾳδίως τε καὶ ἐκ προχείρου καταθήσουσι τοὺς φόρους, καὶ ἅπερ εἰς κλοπὰς πρότερον διδόντες ἔμενον ἐποφείλοντες ἔτι τὰ δημόσια, ταῦτα νῦν αὐτοῖς τοῖς δημοσίοις τιθέντες ἀπαλλαγήσονται ῥᾳδίως τῶν ἐπὶ τοῖς φόροις ὀφλημάτων.

β΄. Ἔπειτα προσῆκόν ἐστί σε προνοεῖν τοῦ μὴ τοὺς δήμους τῶν πόλεων ἐν ἀλλήλοις στασιάζειν, ἀλλὰ πᾶσαν εἰρήνην εἶναι ταῖς πόλεσιν ἐκ τοῦ τὴν ἰσότητα κἀνταῦθα τοῖς ἡμετέροις ὑπηκόοις φυλάττειν, καὶ μήτε κέρδους μήτε πάθους τινὸς ἕνεκεν πρός τι τῶν μερῶν ἀποκλίνειν.

γ΄. Ἔστω σοὶ καὶ τρίτον σπούδασμα τὸ τῶν δικῶν μετὰ πάσης ἰσότητος ἀκροᾶσθαι, καὶ τὰς μὲν βραχυτέρας καὶ ὅσαι μάλιστα τῶν εὐτελεστέρων εἰσὶν ἀγράφως τέμνειν τε καὶ κρίνειν, καὶ ἀπαλλάττειν ἀνθρώπους τῆς πρὸς ἀλλήλους φιλονεικίας καὶ μὴ συγχωρεῖν αὐτοὺς μηδὲν περαιτέρω τῶν περιεχομένων τῇ θείᾳ ἡμῶν διατάξει[4]) προφάσει δικαστικῶν δαπανημάτων ζημιοῦσθαι, εἴγε ὅλως ἱκανοὶ πρὸς δόσιν καθεστᾶσιν· ἐπείτοιγε καὶ προῖκα τῶν δικῶν ἀκροάσασθαι. καὶ μὴ συγχωρεῖν ἐκ ῥᾳθυμίας τοὺς τῆς ἐπαρχίας ἧς ἄρχεις εἰς ταύτην τρέχειν τὴν εὐδαίμονα πόλιν καὶ ἡμᾶς ἐνοχλεῖν. ἴσθι γὰρ, ὡς εἴ τις ἔλθοι καὶ προσέλευσιν ἡμῖν ποιήσοιτο, καὶ παρ' ἡμῶν ἐρωτώμενος εἰ πρότερόν σοι προσῆλθεν εἶτα φήσειε καὶ προσελθεῖν καὶ τοῦ δικαίου μὴ τυχεῖν, καὶ τοῦτο ἀληθὲς εὕροιμεν, εἰς σὲ τὴν ἀγανάκτησιν τρέψομεν.[5]) εἰ μέντοι μὴ προσελθών σοι παραγενέσθαι τῇ βασιλίδι ταύτῃ θαῤῥήσειε πόλει, καὶ ἀντιπέμψομεν αὐτὸν σὺν ἐπιτιμήσει πάσῃ καὶ ἀποκρίσεως οὐ μεταδώσομεν.

δ΄. Ἔπειτα προσῆκόν ἐστί σε καὶ τοὺς ἐντεῦθεν φοιτῶντας, εἴτε μαγιστριανοὺς εἴτε ἐξ οἱουδήποτε δικαστηρίου

4) l. 5 C. de sportulis 3, 2. 5) Verba ἴσθι — τρέψομεν omittunt Hal. et Bas.

μὴ συγχωρεῖν ἀδικεῖν μηδὲ ὑπερπράττειν τοὺς ἡμετέρους ὑπηκόους, ἀλλ' εἴ τις προσέλθοι τοιοῦτό τι μεμφόμενος, τούτῳ[6]) καὶ ἐπεξιέναι καὶ τὸ ἀζήμιον αὐτοῖς[7]) περιποιεῖν, καὶ μηδὲ συγχωρεῖν τινι προτεινομένῳ προστάξεις οἱουδήποτε δικαστηρίου (ταύτας δὴ τὰς ἐξ ἔθους φοιτώσας, ὁλκῶν τε ὕδατος ἕνεκεν καὶ λιμένων καὶ ὁδοστρωσιῶν καὶ γεφυρῶν καὶ εἰκόνων καὶ τειχῶν καὶ οἰκημάτων καταστροφῆς ὡς ἐν δημοσίῳ τόπῳ γινομένων καὶ ἑτέρων τοιούτων) ζημιοῦν τοὺς ἡμετέρους ὑπηκόους· οὐ γὰρ βουλόμεθα οὐδὲ κατὰ τοιαύτην πρόφασιν οὐδεμίαν αὐτοῖς ἐπάγεσθαι ζημίαν. αὐτὸς δὲ ἁπάντων τούτων προνοήσεις, ζημίας ἅπαντα πράττων χωρίς. εἰ δέ τις τοιοῦτό τι προστεταγμένος ἔλθοι, παντελῶς οὐ προσέξεις αὐτῷ, πλὴν εἰ μὴ θεῖον ἡμέτερον πραγματικὸν δείκνυσι τύπον ὑπὲρ τούτων γεγραμμένον· καὶ τότε γε μὴν δέξῃ μὲν τὸν τοιοῦτον τύπον, οὐ μήν τι πράξεις ἐξ αὐτοῦ, πρὶν ἂν εἰς ἡμᾶς μηνύσας δευτέραν ὑπὲρ τούτων ἐπιτροπὴν ἡμετέραν προσλάβοις. [§. 1.] ἀλλὰ καὶ τῆς ἀφθονίας τῶν ἐπιτηδείων καὶ τῶν ἔργων τῶν πόλεων ἐπιμελήσῃ, παρασκευάζων ἐκ τῶν πολιτικῶν χρημάτων τοὺς πατέρας[8]) τὰ ἀναγκαιότατα τῶν ἔργων ποιεῖν[9]), καὶ γεφυρῶν ὁμοίως καὶ ὁδῶν καὶ λιμένων (ἐν οἷς ὅλως εἰσὶ τόποις τῆς ἐπαρχίας ἧς ἄρχεις λιμένες) καὶ τειχῶν ἐπιμελεῖσθαι, καὶ εἴ τι ὅλως ἐστὶ τῷ δημοσίῳ καὶ ταῖς πόλεσι συμφέρον βουλεύσῃ τε καὶ πράξεις καὶ μηνύσεις. [§. 2.] ἕξεις δὲ ὑπακούοντάς σοι καὶ τοὺς κατὰ τὴν ἐπαρχίαν στρατιώτας ἐν οἷς ἂν αὐτῶν χρῄζοις εἰς ὑπουργίαν δικαίαν· οὓς εἰ πλημμελοῦντας εὕροις, ὑποθήσεις σωφρονισμῷ πρέποντι καὶ πρόσγε ἐκ τῶν σιτήσεων αὐτῶν τὸ ἱκανὸν γενέσθαι τοῖς ἠδικημένοις παρασκευάσεις.

ε'. Οὐ συγχωρήσεις δὲ προνομίοις τισὶ χρῆσθαι τοὺς

6) Hal. τοῦτο. 7) Auth. αὐτῷ legere suadet. 8) Ven. (et Bas.) αὐτοὺς ἅτε πατέρας. Inepte. Patrum sc. civitatum solennis appellatio est. 9) Ven. πονεῖν.

ἀδικοῦντας, ἀλλ' ἐκεῖνο μόνον αὐτοῖς εἰς βοήθειαν φυλάξεις τὸ πανταχόθεν καθαροὺς τῶν ἐπαγομένων καὶ ἀνευθύνους φανῆναι. φόνους δὲ καὶ μοιχείας καὶ παρθένων ἁρπαγὰς καὶ ἐφόδους καὶ ἀδικίας οὕτω μετὰ σφοδρότητος μετελεύσῃ, κολάζων τοὺς ἁμαρτάνοντας κατὰ τοὺς ἡμετέρους νόμους, ὡς τῇ κατ' ὀλίγων[10]) τιμωρίᾳ τοὺς ἄλλους ἅπαντας σώζειν. [§. 1.] μάλιστα δὲ τῶν ταξεωτῶν τῶν σαυτοῦ κρατήσεις, οὐκ ἐφιεὶς αὐτοῖς τοὺς ὑπηκόους τοὺς ἡμετέρους λεηλατεῖν, οὐδὲ δοκεῖν μὲν ἄρχεσθαι παρὰ σοῦ, ταῖς ἀληθείαις δὲ τῆς σῆς ἄρχειν γνώμης. [§. 2.] σπεύσεις δὲ καὶ πάρεδρον καὶ εἴ τις ἐστὶ τῶν περί σε λαμβάνειν ἄνδρα χρηστὸν καὶ καθαρεύοντα πανταχόθεν καὶ ἀρκούμενον τοῖς παρὰ τοῦ δημοσίου· καὶ εἴ γέ τις παρ' ἐλπίδας γένοιτο, καὶ οὐχ εὕροις αὐτὸν φυλάττοντά σοι πίστιν δικαίαν, τὸν μὲν ἀπελάσεις, ἑτέρῳ δὲ χρήσῃ παρέδρῳ, τὸν νόμον καὶ τὸ δίκαιον μετὰ καθαρῶν φυλάττοντι τῶν χειρῶν. [§. 3.] τοιοῦτον δὲ παρέξεις σαυτὸν ἅπασι δημοσίᾳ τε καὶ ἰδίᾳ, ὥστε φοβερώτατον μὲν εἶναι τοῖς ἁμαρτάνουσι καὶ τοῖς ἀγνωμονοῦσι πρὸς τὸ δημόσιον, ἡμερώτατον δὲ καὶ πρᾷον ἅπασι τοῖς ἐπιεικεστέροις καὶ εὐγνώμοσι, καὶ πατρικὴν αὐτοῖς εἰσάγειν πρόνοιαν.

ς'. Ἀλλὰ μηδὲ τούτους δὴ τοὺς καλουμένους λόγους προχείρως διδόναι σπεύδειν ἢ[11]) ἐπὶ πλείονα χρόνον, ἀλλὰ καὶ μετ' ἐξετάσεως καὶ ἐν χρόνῳ συμμέτρῳ καὶ οὐχ ὑπερβαίνοντι τριάκοντα προθεσμίαν ἡμερῶν, ὥστε μὴ ἐντεῦθεν ἀπεράντους εἶναι τοῖς ἀνθρώποις τὰς πρὸς ἑαυτοὺς φιλονεικίας. εἰ δὲ καί τινα ὑπὸ τὸν καλούμενον λόγον ποιήσαιο, εἶτά τις προσέλθοι κατ' αὐτοῦ, ἄξεις μὲν αὐτὸν φυλάττων τὸν δεδομένον αὐτῷ λόγον, ἐξετάσεις δὲ τὴν ὑπόθεσιν τοῦ λόγου πανταχόσε σωζομένου, καὶ εἴπερ καὶ ψήφου κατ' αὐτοῦ δεήσειε, καταδικάσεις αὐτόν, καὶ δυοῖν αὐτῷ προ-

10) Ven. et Hal. κατ' ὀλίγον. 11) Deest in Ven.

θήσεις αἵρεσιν, ἢ εἰ βούλεται τῷ δεδομένῳ λόγῳ καθαρῶς ἀπειπεῖν καὶ πρᾶξαι τὰ κριθέντα, ἢ εἰ μὴ τοῦτο, τοῖς ἱεροῖς αὐτὸν ὅροις ἀποκαταστήσεις, κἀκεῖσε τὸν ἐκβιβασμὸν ἐπάξεις σωφρόνως καὶ μετὰ τῆς ὀφειλούσης τοῖς εὐαγέσιν ὅροις αἰδοῦς.

ζ΄. Οὔτε δὲ ἀνδροφόνοις οὔτε μοιχοῖς οὔτε παρθένων ἅρπαξιν ἁμαρτάνουσι τὴν ἐκ τῶν ὅρων φυλάξεις ἀσφάλειαν, ἀλλὰ κἀκεῖθεν ἐξελκύσεις καὶ τιμωρίαν αὐτοῖς ἐπάξεις. οὐ γὰρ τῶν τὰ τοιαῦτα ἁμαρτανόντων φείδεσθαι προσήκει, ἀλλὰ τῶν περιόντων[12]) ἵνα μὴ τοιαῦτα ὑπὸ τῶν τολμηροτέρων πάσχοιεν· ἄλλως τε ἡ ἐκ τῶν ἱερῶν ἀσφάλεια οὐ τοῖς ἀδικοῦσιν ἀλλὰ τοῖς ἀδικουμένοις δέδοται παρὰ τοῦ νόμου, καὶ οὐκ ἂν εἴη δυνατὸν ἑκάτερον ἰσχυρίζεσθαι τῇ παρὰ τῶν ἀσύλων τόπων ἀσφαλείᾳ, καὶ τὸν ἀδικοῦντα καὶ τὸν ἀδικούμενον. [§. 1.] τὰς δὲ τῶν δημοσίων φόρων εἰσπράξεις καὶ ἔνδον τῶν ἱερῶν γίνεσθαι μετὰ τοῦ πρέποντος παρασκευάσεις, ἐπειδήπερ ὁ τῶν δημοσίων λόγος καὶ στρατιώταις καὶ ἰδιώταις καὶ αὐτοῖς τε τοῖς ἱεροῖς καὶ ὅλῃ τῇ πολιτείᾳ συμφέρων τε καὶ ἀναγκαιότατός ἐστιν. ἐπαμυνοῦσι δέ σοι πρὸς τοῦτο οἱ θεοφιλέστατοι τῶν ἐκκλησιῶν ἔκδικοι καὶ οἰκονόμοι, οὐδένα τῶν τοὺς δημοσίους φόρους κατὰ χώραν ἀπαιτουμένων ἀφαιρούμενοι τῆς εἰσπράξεως, ἀλλ' οὐδὲ συγχωροῦντες βίαιον ἢ στασιῶδές τι παθεῖν τοὺς τὸν ἐκβιβασμὸν ἐπάγοντας, γινώσκοντες[13]), ὡς, εἴ τι τοιοῦτο πράξαιεν, οἴκοθεν τὸ ἱκανὸν ποιῆσαι τῷ δημοσίῳ καταναγκασθήσονται.

η΄. Ἀναγκάσεις δὲ τοὺς δημοσίους πράκτορας[14]) ἐν ταῖς ἑαυτῶν ἀποχαῖς φανερὰ ποιεῖν ἅπαντα ἐφ' οἷς αὐτὰς διδόασι, τουτέστι τό τε ποσὸν τῶν ζυγοκεφάλων ἢ ἰούγων ἢ ἰουλίων[15]) ἢ ὅπως δήποτε ἂν αὐτὰ κατὰ χώραν καλοῦσι,

12) Hal. δεδιότων. Auth. „patientibus". 13) Ven. et Bas. γινώσκοντας. Quod ferri non potest nisi πράττειν pro παθεῖν legas. 14) Ven. addit ἤτοι τοὺς ἀπαιτητάς. 15) Bas. ἢ ζευγῶν γῆς. Ἰουλίων appellatio millenarum fuisse videtur.

καὶ ὑπὲρ τίνων αὐτὰ καὶ ποίων χωρίων ἀπαιτοῦσι, καὶ τὸ τῶν δεδομένων ποσὸν εἴτε ἐν εἴδεσιν εἴτε ἐν χρυσίῳ, ἀπειλῶν αὐτοῖς καὶ ζημίαν μεγάλην καὶ χειρὸς ἀφαίρεσιν[16]), εἰ τὸ παραγγελλόμενον μὲν ἀεὶ, μέχρι δὲ νῦν μὴ φυλαχθὲν, μὴ τοῦ λοιποῦ γοῦν πᾶσι φυλάξαιεν τρόποις. εἰ δὲ ὡς εἰκὸς ἀποφυγὴν[17]) ἐξεύροιέν τινα, λέγοντες μὴ δύνασθαι τὴν τῶν ἰούγων[18]) ἐντιθέναι ποσότητα, μάλιστα μὲν κακουργεῖν αὐτοὺς νομίζομεν, πλὴν ἀλλὰ μηδὲν ἐντεῦθεν βλαπτέσθω μηδὲ τὸ δημόσιον μηδὲ οἱ συντελεῖς. τὸ μὲν γὰρ δημόσιον ἀπροκρίτως ἅπαντα τὰ οἰκεῖα λαβέτω, καὶ τὰς ἐξ ἔθους γενομένας ἀποδείξεις[19]) λαμβανέτωσαν οἱ ταῦτα κατατιθέντες μηδὲν ἀπαιτούμενοι πλεῖον. πρᾶγμα δὲ μηδ' ὁτιοῦν καταβλαπτέσθω· καὶ ἡ μὲν κατὰ τὸ σύνηθες συντέλεια καταβαλλέσθω παρ' αὐτῶν καὶ εἰσφερέσθω τῷ δημοσίῳ, μηνυέσθω δὲ εἰς τοὺς ἐνδοξοτάτους ἡμῶν ὑπάρχους τὰ περὶ τούτων, πρότερον ἀναγκαζομένων τῶν κηνσουαλίων[20]) τὰς καλουμένας ἐκθέσεις ἀκριβῶς[21]) διδόναι, ὥστε ἐκεῖθεν γίνεσθαι τὴν τοῦ πράγματος διάκρισιν· οὕτω τε τέως τῶν κατὰ συνήθειαν διδομένων δημοσίων ἀμέμπτως εἰσκομιζομένων, ὅπερ ἂν ἐπὶ τοῖς ἀμφισβητουμένοις οἱ ἐνδοξότατοι ἡμῶν ὕπαρχοι κρίνοιεν ἐπὶ τοῖς στασιαζομένοις τοῦτο κρατεῖν· ἀνάγκην ἐχόντων τῶν πρακτόρων μετὰ τὸ γνωσθῆναι τὴν ἀλήθειαν τὴν ἐπὶ τοῖς ζητουμένοις καὶ ἐπ' ἐκείνοις τοῦ λοιποῦ τὸ ποσὸν τῶν ὄντων ζυγοκεφάλων καὶ τῶν ἄλλων ἁπάντων κατὰ τὸ παρ' ἡμῶν ἤδη διατεταγμένον[22]) ταῖς ἀποδείξεσιν ἐντάττειν. [§. 1.] οὐ συγχωρήσεις δὲ ἢ βουλευταῖς ἢ κηνσουαλίοις, ἡνίκα πράσεις γίνονται χωρίων ἢ ἄλλως διανεμήσεις καὶ εἰς ἕτερα πρόσωπα μεθίστανται κτήσεις, διαστρο-

16) Verba *καὶ χειρὸς ἀφαίρεσιν* in Codd. Flor. et Bon. nec non in Bas. desunt. 17) Hal. *ἀφορμήν*. 18) Ven. inter lineas *τὴν τῶν ζευγῶν γῆν*. 19) Verba *λαβέτω — ἀποδείξεις* desunt in Ven. 20) Ita quoque Ven. qui tamen inter lineas corrigit *τόρων*. 21) Sic lego cum Hal. et Auth. Ven. et Bas. *ἀκριβεῖς*. 22) Vide supra const. V c. 1.

φαῖς χρῆσθαί τισι καὶ μὴ μετατιθέναι παρὰ τῶν πωλησάντων εἰς τοὺς ἀγοραστὰς τὰ χωρία, ἀλλ' ἀναγκάσεις αὐτοὺς ἐκ τρόπου παντὸς ποιεῖσθαι τὰς μεταθέσεις ζημίας χωρίς. εἰ δὲ φήσαιεν ἀπόρους εἶναι τοὺς ἀγοραστὰς καὶ διὰ τοῦτο μὴ ποιεῖν τὴν μετάθεσιν, αὐτὸ τοῦτο ἐξετάσεις χωρὶς τῆς οἱασοῦν ζημίας. καὶ εἰ μὲν εὐποροῖεν οἱ ἀγορασταί, ἀναγκάσεις τοὺς τῶν δημοσίων προεστῶτας πᾶσι τρόποις καὶ χωρὶς τῆς οἱασοῦν ζημίας ποιήσασθαι τὴν μετάθεσιν, εἰ δὲ ταῖς ἀληθείαις αὐτοὺς εὕροις οὐ σφόδρα εὐπόρους, ἀναγκάσεις τοὺς πράτας αὐτὸ τοῦτο ὁμολογῆσαι ἐν ὑπομνήμασιν, ὅτι κινδύνῳ αὐτῶν ἡ μετάθεσις γίνεται τῶν δημοσίων φόρων εἰς τοὺς παρ' αὐτῶν ἐωνημένους (τοῦτο ὅπερ ἐπὶ τῆς Ἑῴας ἴσμεν ἐν πολλοῖς γινόμενον ἔθνεσιν). οὕτω γὰρ οὔτε τὸ δημόσιον βλαβήσεται, καὶ οἱ δημόσιοι φόροι παρὰ τῶν νεμόμενων εἰσκομισθήσονται, ὅπως ἂν μὴ ἕτεροι μὲν εἶεν οἱ νεμόμενοι, ἕτεροι δὲ οἱ συντελοῦντες. δεῖ[23]) γὰρ μάλιστα κατὰ τῶν νεμομένων φέρεσθαι τὰς συντελείας, ἀλλ' οὐχὶ κατὰ τῶν μὴ κατεχόντων μήτε νεμομένων τὰ γήδια.

θ'. Ἐκεῖνο[24]) μέντοι σὲ βουλόμεθα γινώσκειν, ὡς εἴποτε προστάξαιμεν εἰς ἑτέρας ἴσως παραγενέσθαι σὲ χώρας, προσῆκόν ἐστιν ἀρκούμενόν σε τοῖς ἀπὸ τοῦ δημοσίου φιλοτιμηθεῖσι μὴ προῖκα δαπανᾶν μηδὲ τοὺς ἡμετέρους ὑπηκόους ἐπιτρίβειν, ἀλλ' ἐξ ὧν ἐπὶ τῆς ἐπαρχίας ὢν ἐδαπάνας, ἐξ αὐτῶν καὶ εἰς ἑτέρας γινόμενον χώρας ποιεῖσθαι τὰς δαπάνας, μηδὲ ἀγγαρείαις τοὺς συντελεστὰς ἐπιτρίβοντα, μηδὲ σὲ μηδὲ τὴν πειθομένην σοὶ τάξιν, ἀλλ' οἰκείοις μὲν ὑποζυγίοις οἰκείᾳ δὲ δαπάνῃ ποιεῖσθαι τὴν πορείαν. αὐτοῦ τούτου φυλαττομένου, κἂν εἰ μὴ ὑπερόριος γένοιο, ἀλλὰ τὰς τῆς ἐπαρχίας διά τινα πρόφασιν ἀναγκαίαν περινοστοίης πόλεις.

23) Ven. inter lineas καὶ σημ. τίς ὀφείλει τελεῖν. 24) Ven. in marg. ιγ'.

δέδοται τρόπον, τῶν δὲ ἀλλοτρίων ἀπέχεσθαι, καὶ μὴ προνοεῖν μὲν ἑτέρων, ἀδικεῖν δὲ ἄλλους καὶ ἑαυτοῖς κέρδος ἀσεβὲς ἐντεῦθεν πορίζειν.

ιε΄. Σανίδας δὲ ἐπιτιθέναι χωρίοις ἀλλοτρίοις ἢ ἐργαστηρίοις ἐν πόλεσι διακειμένοις καὶ ἐπιγράφειν τὰς ἑαυτῶν προσηγορίας οὕτω τοῖς τολμῶσιν ἐπικίνδυνον καταστήσεις, ὡς γινώσκειν ὅτι ταῦτα πράττοντες αὐτοὶ τὴν ἑαυτῶν περιουσίαν προσάψουσι τῷ δημοσίῳ. εἰ γὰρ πρᾶγμα μόνῃ τῇ βασιλείᾳ καὶ τῷ δημοσίῳ δεδομένον πειρῷτό τις ὑφαρπάζειν, ἐν τοῖς ἑαυτοῦ μανθανέτω τὴν πεῖραν, καὶ τοῖς αὐτοῦ πράγμασι τίτλων ἐπιτιθεμένων δημοσίων γινέσθω τοῖς ἄλλοις παράδειγμα σωφροσύνης, οἵπερ εἰ τῶν αὐτῶν ἅψαιντο κακῶν ταῖς ὁμοίαις ποιναῖς ὑποκείσονται. ταῦτα τοίνυν ἅπαντα φυλάξεις, γινώσκων τὴν ἡμετέραν περί σε προαίρεσιν τε καὶ γνώμην, ὁποία μέν τις ἔσται πλημμελοῦντός σου, ὁποία δὲ εὐδοκιμοῦντος καὶ τοῖς ἡμετέροις ἀκολουθοῦντος παραγγέλμασί τε καὶ νόμοις.

ις΄. Ἅμα δὲ ἐπιβαίης τῆς χώρας, συγκαλεσάμενος ἅπαντας τοὺς ἐν τῇ μητροπόλει καθεστῶτας (φαμὲν δὲ τόν τε θεοφιλέστατον ἐπίσκοπον τόν τε εὐαγῆ κλῆρον τούς τε ἐν τέλει τῆς πόλεως) ἐμφανῆ καταστήσεις ταῦτα ἡμῶν τὰ θεῖα παραγγέλματα ἐπὶ πράξεως ὑπομνημάτων. καὶ προθήσεις τε τὸ ἰσότυπον αὐτῶν δημοσίᾳ οὐ μόνον ἐπὶ τῆς μητροπόλεως, ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις τῆς ἐπαρχίας πόλεσι, πέμπων αὐτὰ διὰ ταξεωτῶν σων ζημίας χωρίς, ὥστε ἅπαντας γινώσκειν ἐφ' οἷς παρέλαβες τὴν ἀρχήν, καὶ ὁρᾶν εἰ ταῦτα φυλάττεις καὶ τῆς ἡμετέρας ἄξιον σαυτὸν ἀποδεικνύεις κρίσεως.

ιζ΄. Ταῦτα γὰρ φυλαττόμενα παρά σου ποιήσει σοὶ τὴν παροῦσαν ἀρχὴν χρονιωτέραν τε καὶ εὐκλεεστέραν, εἴ γε πρὸς τοῖς ἄλλοις μηδὲ ὁπλοφορεῖν τῶν οὐχὶ στρατιωτῶν τινὶ συγχωρήσεις. ταῦτά σε θεῷ καὶ τοῖς νόμοις καὶ ἡμῖν προσφιλῆ καταστήσει. κἀκείνου δὲ προνοήσεις, ὥστε, εἴ τις

τῶν τοὺς δημοσίους θορύβους ἀνιστάντων πειραθείη ποτὲ τῆς μεγάλης ταύτης πόλεως ἀποφυγεῖν ἢ μόνος ἢ καὶ μεθ' ἑτέρων καὶ γενέσθαι κατὰ τὴν ἐπαρχίαν ἧς ἄρχεις, ἀνιχνεῦσαι τὰ περὶ τούτου καὶ ἐξετάζειν σὺν ἀκριβείᾳ πάσῃ, καὶ ἐν ἀσφαλεῖ καθιστᾶν καὶ μηνύειν ἐνταῦθα, εἰ πολλάκις τῶν ἐπιζητουμένων εἴη προσώπων, ὥστε ἄγεσθαι κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν καὶ ποινὰς ὑπέχειν, ἃς ὁ νόμος ἐπὶ τῶν τοιούτων διέταξεν. Dat. XVII.[80]) Kal. Maii, CP. Bilisario V. C. Cons.

Auth. 12. **XXII.** Nov. 12.

Exstat in Cod. Ambrosiano. Prooemium cum cap. 1—3 legitur in Basil. XXVIII, 6, 1. Prooem. et c. 1—4 med. habetur in Appendice Eclogae XXVI et exinde in Epitome ad Prochiron mutata VII, 46. — Summas praestant Iulian. c. 32, Athan. XI, 1 (unde in Epit. ad Pr. mut. VII, 45 et Bestae comm. ad Nom. XIV titt. 13, 5 quasi *ἀπὸ τῆς ιε'*, sive *νε' νεαρᾶς*), Theod. Nov. 12.

Περὶ ἀθεμιτογαμιῶν.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Φλώρῳ τῷ ἐνδοξοτάτῳ κόμητι τῶν ἁπανταχοῦ θείων πριβάτων.[1])

Τοὺς ὑπὲρ τῶν ἀθεμίτων ἔμπροσθεν γεγραμμένους ὑπὸ τῶν βεβασιλευκότων νόμους οὐκ ἐντελῶς ἔχειν ἡγούμεθα, οἵπερ τοὺς μὲν ἀθεμίτοις συμβάλλοντας γάμοις ἀτιμωρήτους ἐῶσι, τὴν δὲ ἐξ αὐτῶν προελθοῦσαν γονὴν καίτοιγε ἀνεύθυνον οὖσαν ἀφαιροῦνται τῶν τοῦ πατρὸς, ὡς ἀναγκαῖον ὂν τοὺς μὲν ἁμαρτάνοντας ἀνευθύνους εἶναι, τοὺς δὲ ἀνευθύνους ὡς ἁμαρτάνοντας κολάζεσθαι.

80) Ven. XVI. Sed eadem die ad Tribonianum directa esse videtur, qua const. XV—XX datae sunt. Athan.: *Καλ. Μαΐων*. Theod. *μηνὶ μαΐῳ*.

1) In Cod. Ambros. Hermogeni inscribitur. — Ven. addit: *βι. λε' τι'. α' διγ. ι' καὶ βι. μη' τί. ε' διγ. λη' καὶ τί. ιη' διγ. α' καὶ βι. ν' τί. β' διγ. ς'.*

δέδοται τρόπον. τῶν δὲ ἀλλοτρίων ἀπέχεσθαι
νοεῖν μὲν ἑτέρων, ἀδικεῖν δὲ ἄλλους καὶ
ἀσεβὲς ἐντεῦθεν πορίζειν.

ιε΄. Σανίδας δὲ ἐπιτιθέναι χωρ
γαστηρίοις ἐν πόλεσι διακειμένοις
τῶν προσηγορίας οὕτω τοῖς τολμ
σεις, ὡς γινώσκειν ὅτι ταῦτα π
περιουσίαν προσάψουσι τῷ δ
τῇ βασιλείᾳ καὶ τῷ δημοσί
πάζειν, ἐν τοῖς ἑαυτοῦ
αὐτοῦ πράγμασι τίτλων
ἄλλοις παράδειγμα σω
κακῶν ταῖς ὁμοίαι
ἅπαντα φυλάξεις,
τε καὶ γνώμην
ὁποία δὲ εὐθ ... φυσεως κατα
παραγγέλματ ...υς, εἰ τὸν νόμον ἐπιστι

ις΄. , αθεμίτοις δὲ ἑαυτὴν ἐπιδοίη
ἅπαντας ... γινομένης ποινήν.

κε θτ ... Εἰ μέντοι τύχοιεν ἐκ προτέρων γάμο
ἐν ... ὄντες αὐτῷ[2]), ἢ ἔγγονοι τυχὸν ἢ καὶ π
θ ... εὐθὺς ἐκεῖνοι λήψονται διαδοχήν, αὐ
τοῦ πατρὸς τιμωρίᾳ γινόμενοι, τρέφοντι
αὐτὸν καὶ τὰ ἄλλα τῶν ἀναγκαίων παρέχοι
καὶ τῶν νόμων ὑπερόπτης εἴη καὶ ἀσεβής,
ὅμως ἐστίν.

γ΄. Καὶ τοῦτο μὲν ὁ μετὰ ταῦτα ἐχέτι
μετὰ τὴν παροῦσαν ἡμῶν διάταξιν ῥέων, ὁ μ
σων εἴ γε σωφρονοίη. ἔξεστι γὰρ μηδὲν ἁμ
τῷ νόμῳ τούτῳ μὴ τετάχθαι. τὸ δέ γε ἴδι
οὔτε παντελῶς ἐῶμεν ἀνεύθυνον, οὔτε παν

1*) καὶ omittit Ven. 2) Hal. Epit. αὐτῇ.

τῶν τοὺς δημοσίους θορύβους ἀνιστάντων πειραθείη ποτὲ τῆς μεγάλης ταύτης πόλεως ἀποφυγεῖν ἢ μόνος ἢ καὶ μεθ' ἑτέρων καὶ γενέσθαι κατὰ τὴν ἐπαρχίαν ἧς ἄρχεις, ἀνιχνεῦσαι τὰ περὶ τούτου καὶ ἐξετάζειν σὺν ἀκριβείᾳ πάσῃ, καὶ ἐν ἀσφαλεῖ καθιστᾶν καὶ μηνύειν ἐνταῦθα, εἰ πολλάκις τῶν ἐπιζητουμένων εἴη προσώπων, ὥστε ἄγεσθαι κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν καὶ ποινὰς ὑπέχειν, ἃς ὁ νόμος ἐπὶ τῶν τοιούτων διέταξεν. Dat. XVII.[80]) Kal. Maii, CP. Bilisario V. C. Cons.

Auth. 12. XXII. Nov. 12.

Extat in Cod. Ambrosiano. Prooemium cum cap. 1—3 legitur in Basil. XXVIII, 6, 1. Prooem. et c. 1—4 med. habetur in Appendice Eclogae XXVI et exinde in Epitome ad Prochiron mutata VII, 46. — Summas praestant Iulian. c. 32, Athan. XI, 1 (unde in Epit. ad Pr. mut. VII, 45 et Bestae comm. ad Nom. XIV titt. 13, 5 quasi ἀπὸ τῆς ιε', **sive** νε' νεαρᾶς), **Theod. Nov. 12.**

Περὶ ἀθεμιτογαμιῶν.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Φλώρῳ τῷ ἐνδοξοτάτῳ κόμητι τῶν ἁπανταχοῦ θείων πριβάτων.[1])

Τοὺς ὑπὲρ τῶν ἀθεμίτων ἔμπροσθεν γεγραμμένους ὑπὸ τῶν βεβασιλευκότων νόμους οὐκ ἐντελῶς ἔχειν ἡγούμεθα, οἵπερ τοὺς μὲν ἀθεμίτοις συμβάλλοντας γάμοις ἀτιμωρήτους ἐῶσι, τὴν δὲ ἐξ αὐτῶν προελθοῦσαν γονὴν καίτοιγε ἀνεύθυνον οὖσαν ἀφαιροῦνται τῶν τοῦ πατρός, ὡς ἀναγκαῖον ὂν τοὺς μὲν ἁμαρτάνοντας ἀνευθύνους εἶναι, τοὺς δὲ ἀνευθύνους ὡς ἁμαρτάνοντας κολάζεσθαι.

80) Ven. XVI. Sed eadem die ad Tribonianum directa esse videtur, qua const. XV—XX datae sunt. Athan.: *Καλ. Μαΐων.* Theod. *μηνὶ μαΐῳ.*

1) In Cod. Ambros. Hermogeni inscribitur. — Ven. addit: *θι. λε' τι'. α' διγ. ι' καὶ βι. μη' τί. ε' διγ. λη' καὶ τί. ιη' διγ. κ' καὶ βι. ν' τί. β' διγ. ς'.*

α΄. Θεσπίζομεν τοίνυν τοῦ λοιποῦ εἴ τις ἀθέμιτοι καὶ ἐναντίον τῇ φύσει (ὃν ὁ νόμος incestόν τε καὶ nefarion καὶ damnatoν καλεῖ) συναλλάξοι γάμον, εἴπερ οὐκ ἔχοι παῖδας ἐκ προτέρων γνησίων τε καὶ ἀμέμπτων αὐτῷ γενομένους γάμων, εὐθὺς μὲν αὐτῷ τὴν τῶν οἰκείων πραγμάτων ἔκπτωσιν ἐπικεῖσθαι, ἅμα δὲ καὶ τῶν ὀνόματι προικὸς ἐπιδεδομένων αὐτῷ μηδενὸς ἀπολαύειν, ἀλλὰ πάντα τῷ ταμείῳ προσκυροῦσθαι. ἀνθ' ὅτου γὰρ ἐξὸν γαμεῖν νενομισμένα παρανόμων ἐρᾷ, καὶ συγχεῖ μὲν γονάς, ἀδικεῖ δὲ τὰ γένη, πράττει δὲ ἀσεβῆ τε καὶ ἀνόσια, καὶ τοιαῦτά γε ἐπιθυμεῖ, ὁποῖα πολλὰ καὶ τῶν ἀλόγων ἀποσείεται ζώων. καὶ[1a]) ἔστω γε αὐτῷ ποινὴ μὴ δήμευσις μόνον, ἀλλὰ καὶ ζώνης ἀφαίρεσις καὶ ἐξορία, καὶ εἴ γε εὐτελὴς εἴη καὶ τοῦ σώματος αἰκισμός, ὅπως ἂν μάθοι σωφρονεῖν καὶ εἴσω τῆς φύσεως μένειν, ἀλλὰ μὴ τρυφᾶν τε καὶ ἐρᾶν ὑπερόρια καὶ τῶν παραδεδομένων ἡμῖν ἐκ τῆς φύσεως καταυθαδιάζεσθαι νόμων· καὶ τῆς γυναικός, εἰ τὸν νόμον ἐπισταμένη τούτου μὲν ἀμελήσειεν, ἀθεμίτοις δὲ ἑαυτὴν ἐπιδοίη γάμοις, ὑπὸ τὴν αὐτὴν γινομένης ποινήν.

β΄. Εἰ μέντοι τύχοιεν ἐκ προτέρων γάμων ἀμέμπτων παῖδες ὄντες αὐτῷ[2]), ἢ ἔγγονοι τυχὸν ἢ καὶ περαιτέρω, τὴν πατρῴαν εὐθὺς ἐκεῖνοι λήψονται διαδοχήν, αὐτεξούσιοι μὲν τῇ τοῦ πατρὸς τιμωρίᾳ γινόμενοι, τρέφοντες δὲ ὅμως αὐτὸν καὶ τὰ ἄλλα τῶν ἀναγκαίων παρέχοντες. εἰ γὰρ καὶ τῶν νόμων ὑπερόπτης εἴη καὶ ἀσεβής, ἀλλὰ πατὴρ ὅμως ἐστίν.

γ΄. Καὶ τοῦτο μὲν ὁ μετὰ ταῦτα ἐχέτω χρόνος, ὁ μετὰ τὴν παροῦσαν ἡμῶν διάταξιν ῥέων, ὁ μηδένα λυπήσων, εἴ γε σωφρονοίη. ἔξεστι γὰρ μηδὲν ἁμαρτόντας ὑπὸ τῷ νόμῳ τούτῳ μὴ τετάχθαι. τὸ δέ γε ἤδη παρῳχηκὸς οὔτε παντελῶς ἐῶμεν ἀνεύθυνον, οὔτε παντάπασιν ὑπὸ

1a) καὶ omittit Ven. 2) Hal. Epit. αὐτῇ.

μικρὰν[3]) φέρομεν ἀγανάκτησιν. ἀλλ' εἴ τις ἀθέμιτος γέγονε γάμος, εἰ μὲν ἔφθασεν οἴῳ δήποτε τρόπῳ οὗτος διαλυθῆναι, ἀνεύθυνος ἔστω· εἰ δὲ ὅδε ἡμῶν ὁ νόμος εὕροι τινὰ μετὰ τῶν τοιούτων γάμων, ἄδειαν ἐκεῖνος ἐχέτω, ἀφ' οὗπερ ἅπασιν ἐμφανὴς γένοιτο ἐνιαυτῶν εἴσω[4]) duorum, τὴν οὕτως αὐτῷ συναφθεῖσαν ἀποπέμπειν γαμετὴν, οὐκ ἐπανελευσομένην ἔτι πρὸς αὐτὸν, οὐδὲ διεστῶσαν μὲν τῷ σχήματι, ταῖς δὲ ἀληθείαις συνοῦσαν (ἴσως γὰρ οὕτως καὶ τοῖς προτέροις ἀπολογήσαιτο νόμοις)[5]), μόνης quartae[6]) τῆς αὐτοῦ περιουσίας μοίρας ἐπὶ τὸ δημόσιον φερομένης. καὶ τούς γε παῖδας, ἐπειδήπερ αὐτοῖς ὡς ἀνευθύνοις συγχωροῦμεν, εἰ μὲν μόνοι καὶ μὴ μεθ' ἑτέρων καὶ αὐτῶν γνησίων εἶεν ἐξ ἑτέρων γάμων ἀνευθύνων γενομένων, μὴ στερεῖσθαι τῆς πατρῴας διαδοχῆς, εἰ μὴ δικαίως αὐτοὺς μισήσας ὁ πατὴρ διά τινα ἑτέραν νόμιμον πρόσκρουσιν τῆς οἰκείας ἀποκλείσοι διαδοχῆς. [§. 1.] εἰ μέντοιγε καὶ γάμος εἴη τὶς ἕτερος προγενόμενος καὶ οὐδὲν τῷ νόμῳ προσκρούων καὶ παῖδες ἐκεῖθεν γένοιντο, τὰς μὲν τρεῖς μοίρας τοῦ κλήρου τοῖς πανταχόθεν ἀμέμπτοις τε καὶ ἀνευθύνοις καταλιμπάνεσθαι παισὶν, εἰ μή τι προσκρούσειεν[7]) ἕτερον ὅπερ αὐτοὺς ἀναξίους τῆς τοῦ πατρὸς κατὰ νόμον δείκνυσι διαδοχῆς, τὴν δὲ τετάρτην τοῖς παισὶ τοῖς ὑβρισμένοις μὲν, ἀνευθύνοις δὲ ὅμως, καταλιμπάνειν ἐξέστω, καὶ αὐτοῖς ἀμέμπτοις τὰ ἄλλα πανταχόθεν περὶ τὸν πατέρα φαινομένοις[8]), δηλαδὴ προεξαιρουμένης ἐκ τῆς πατρῴας περιουσίας τῆς τετάρτης μοίρας, ἣν τῷ δημοσίῳ δίδοσθαι προσετάξαμεν. δίδομεν δὲ αὐτοὺς οὐκ ἐκ διαθήκης μόνης, ἀλλὰ καὶ ἐξ ἀδιαθέτου τῶν

3) Epit. ὑπ' ἄκραν. 4) Ven. inter lineas δύο. 5) Ita legendum secundum Epitomen. Ven. ἀπολογήσεται omisso νόμοις. Sensus: forte enim et sic prioribus legibus — l. 4 in fine. C. de incest. nupt. 5, 5 — satisfacere potuisset. 6) Ven. inter lineas τετάρτης. „μόνης quartae“ dicitur, utpote secundum ius antiquum tota substantia fisco vindicanda. 7) Epit. προσκρούσαιεν. Non male. 8) Ven. omittit verba φαιν. δηλ.

γεγεννηκότων κατὰ τὸν ἔμπροσθεν ἡμῖν εἰρημένον τρόπον γίνεσθαι κληρονόμους. ταὐτοῦ τούτου κρατοῦντος, εἰ καὶ μετὰ τὸ τὴν προτέραν ἀποπέμψασθαι γαμετὴν τὴν ἀθεμίτως αὐτῷ συναφθεῖσαν ἑτέραν ἄγοιτο κατὰ νόμον γυναῖκα, παίδων αὐτῷ καὶ ἐκ τῆς προτέρας ὄντων καὶ ὕστερον ἐκ τῆς νομίμου γενομένων· οὕτω γὰρ τὸν ἔμπροσθεν χρόνον τῇ φιλανθρωπίᾳ νικήσομεν, τῆς προικὸς δηλαδὴ τῇ ἀποστάσῃ γυναικὶ διδομένης. εἰ δὲ μὴ τὴν γαμετὴν ἀποπέμψαιτο ἐνιαυτῶν εἴσω duorum[9]), ἀφ' οὗπερ ὁ νόμος δημοσίᾳ γένοιτο φανερός, αὐτός τε ἐκπιπτέτω τῆς αὐτοῦ περιουσίας καὶ ἡ γυνὴ τῆς προικὸς καὶ ὑπὸ τὴν εἰρημένην γινέσθω ποινήν· οἵ τε τοιοῦτοι παῖδες οὐδὲν ἐκ τῆς πατρῴας περιουσίας ἕξουσιν, οὐδὲ μὴν τῆς μητρῴας προικός, ἀλλ' εἰ μὲν εἶεν ἐκ προτέρων γάμων ἀνευθύνων παῖδες αὐτῷ γενόμενοι, ἐκεῖνοι τὰ πράγματα λήψονται, παρὰ τὴν quartam[10]) δηλαδὴ μοῖραν τὴν εἰς τὸ δημόσιον φερομένην, αὐτεξούσιοί τε γινόμενοι καὶ τὸν πατέρα τρέφοντες καὶ τὴν ἄλλην αὐτῷ παρέχοντες ἀρκοῦσαν θεραπείαν, καθὰ φθάσαντες εἴπομεν· τῆς προικὸς κἀνταῦθα τῆς ἀθεμίτου γυναικὸς ὑπὸ τὸ δημόσιον γινομένης. εἰ μέντοιγε παῖδες οὐκ εἶεν ἐκ προτέρων ἀμέμπτων γάμων τῷ ταῦτα πράξαντι γενόμενοι, τηνικαῦτα τῆς πάσης αὐτοῦ περιουσίας κύριον ἔσται τὸ δημόσιον. τοῦτο γὰρ δὴ καὶ ἐπὶ τῶν μετὰ ταῦτα γαμούντων ἀθέμιτα νενομοθετήκαμεν, ἐν ἴσῳ διὰ πάντων τιθέντες τὸν οὐκ ἀποπεμπόμενον εἴσω τοῦ ῥηθέντος ἡμῖν χρόνου τὴν ἀθέμιτον γαμετὴν τῷ μετὰ τόνδε ἡμῶν τὸν νόμον τῶν ἀθεμίτων τε καὶ μεμισημένων τινὰ γάμων[10a]) ἑλομένῳ.

δ'. Ἀμφισβητηθὲν δὲ ἔν τισιν ἔθνεσι καί τι περὶ τῶν ἐκ τῆς ἡμετέρας διατάξεως[11]) γινομένων γνησίων παίδων,

9) Ven. inter lineas δύο. 10) Ven. inter lineas τετάρτην. 10a) γάμον? 11) l. 10. 11 C. de natur. lib. 5, 27.

φήθημεν ὀρθῶς ἔχειν ἡμεῖς, οἷα τοῦ νόμου πατέρες, προσθεῖναί τε αὐτῷ καὶ διαλύσαι τὸ στασιαζόμενον· καὶ γὰρ δὴ καὶ μετὰ τοιαύτης τῆς ἐννοίας ἐξ ἀρχῆς τὸν νόμον ἐθέμεθα. εἰ γάρ τις καὶ γνησίων εἴη παίδων πατὴρ, καὶ ἐπελθούσης αὐτοῦ τῆς γαμετῆς ἐξ ἀνθρώπων ἢ καὶ νομίμως διαλυθείσης ἔχοι τινὰ συνήθειαν πρὸς ἄλλην γυναῖκα, ἣν ἐξῆν καὶ νομίμως ἄγεσθαι γαμετὴν, καὶ γένοιντο παῖδες αὐτῷ πρὸ τῶν προικῴων συμβολαίων εἴ γε ταῦτα ποιήσειεν ἢ καὶ μετὰ ταῦτα, ἢ[12]) καὶ μόνοι μείνοιεν οἱ πρὸ τῶν προικῴων παῖδες δευτέρων ἢ οὐ γενομένων ἢ καὶ μετὰ τὸ γενέσθαι τελευτησάντων, φήθησάν τινες μὴ δύνασθαι τοὺς δευτέρους εἶναι γνησίους, ἐπειδὴ προϋπῆσαν καὶ ἐκ τῆς προτέρας γαμετῆς ἕτεροι νόμιμοί τε καὶ γνήσιοι παῖδες. ὅπερ οὐδεμίαν ὀρθὴν καὶ ἀκόλουθον ἔχει συνέχειαν. εἰ γὰρ τοὺς τοιούτους παῖδας ἡμεῖς νομίμους τε καὶ γνησίους ἀπεφήναμεν τῇ τῶν προικῴων συμβολαίων ἀρκεσθέντες ποιήσει, γνήσιοι δὲ καὶ οἱ πρότεροι καθεστᾶσιν, ἐπὶ πᾶσι γνησίοις ὁ πατὴρ τελευτᾷ, τοῖς τε ἐκ τῆς πρώτης γενομένοις τοῖς τε ἀπὸ τῆς δευτέρας, εἰ καὶ πρὸ τῶν προικῴων συμβολαίων ἐγένοντο καὶ μηδεὶς ἐπ' αὐτοῖς μετὰ τὸ συμβόλαιον τῆς προικὸς ἐτέχθη ἢ καὶ τεχθεὶς ἐτελεύτησε. καὶ ἄδειαν ὁ νόμος αὐτῷ δίδωσιν ὃν βούλεται διατιθέναι τρόπον τὰ κατὰ τὴν ἑαυτοῦ γονήν, ἵνα μέντοι μὴ προσκρούσῃ κατά τι τοῖς νόμοις, οἵπερ μέτρῳ ῥητῷ τῆς διαδοχῆς πάντας τοὺς παῖδας καλοῦσιν. ἐλεύσονται τοίνυν καὶ ἐξ ἀδιαθέτου καὶ ἐκ διαθήκης, καθάπερ ὅ τε πατήρ ὅ τε νόμος ἐφίησι, γνήσιοί τε ὄντες καὶ νόμιμοι, ἀλλήλους τε διαδέξονται. καὶ τί γὰρ ἂν ἕτερον φαίημεν, ἀρκούσης τῆς τοῦ νομίμου καὶ γνησίου προσηγορίας ὑπεξουσίους τε αὐτοὺς ἀποφῆναι, καὶ δοῦναι καὶ κατὰ τῆς διαθήκης ἅπερ οἱ νόμοι διδόασιν καὶ πάντα ἔχειν ὁπόσα ἂν τῷ τοιούτῳ προσρήματι πρέπῃ;

12) Ita Hal. Ven. εἰ.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ τοῦδε τοῦ θείου δηλούμενα νόμου μανθάνουσα ἔργῳ πέρατι παραδοῦναι ταῦτα σπευσάτω, κηρύγμασι χρω προς τοὺς τῶν ἐθνῶν ἡγουμένους, ὥστε καὶ τοὺς γινώσκειν ἀνθρώπους, ὅτι γονῆς ἀνευθύνου τε καὶ καθ ἐφροντίσαμεν, καὶ τὰς ἐκφύλους τε καὶ ὑπὸ τῶν ἡμετέ μεμισημένας νόμων ἀποστρεφόμεθα συμπλοκάς. Dat. Kal. Iun.[13]) C. Bilisario V. CP. Cons.

Nov. 24. **XXIII.** Autl

Basil. VI, 8. — Summas habes apud Iulian. c. 17, Athanas. IV, 4, T Nov. 24.

Περὶ τοῦ πραίτωρος[1]) Πισιδίας.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Καὶ τοὺς πάλαι Ῥωμαίους πεπιστεύκαμεν οὐκ ἂν δυνηθῆναι τοσαύτην πολιτείαν ἐκ μικρῶν καὶ ἐλαχίσ ἀρχῶν συστήσασθαι, καὶ πᾶσαν ἐξ αὐτῶν[2]) τὴν οἰκουμέ ὡς εἰπεῖν προσλαβεῖν τε καὶ καταστήσασθαι, εἰ μὴ μείζ ἄρχουσιν ἐν ταῖς ἐπαρχίαις πεμπομένοις σεμνότεροί ἐντεῦθεν ἐφάνησαν, καὶ παρέσχον αὐτοῖς ἐξουσίαν ὅπ τε καὶ νόμων καὶ πρὸς ἑκάτερον εἶχον αὐτοὺς ἐπιτηδε τε καὶ ἀξιοχρέους καθεστῶτας. οὓς δὴ καὶ πραίτο

13) Ven. XVII. Id. Iun. Athanasius autem πρὸ ιε' καλ. ἰουλ Edidi XV Kal. Iun. utpote qua die complures constituti datae sunt. Auth. Dat. VI. Id. Octobr. . . ind. XIV. F constitutio in diversas dioeceses vel ad diversas admini tiones diverso tempore missa est.

1) Ven. ἄρχοντος ἤγουν τοῦ πρ. 2) Ven. αὐτῆς. αὐταῖς.

ἐκάλουν, ἐκ τοῦ πρὸ τῶν ἄλλων ἁπάντων ἰέναι καὶ παρατάττεσθαι ταύτην αὐτοῖς δόντες τὴν προσηγορίαν, ἐπιτρέψαντές τε αὐτοῖς καὶ τὰ πολιτικὰ[2a]) διοικεῖν καὶ τὰ περὶ τῶν νόμων γράφειν. ὅθεν καὶ τὰ δικαστικὰ καταγώγια πραιτώρια καλεῖν ἔταξαν, καὶ πολὺς νόμος ἐκ τῆς τῶν πραιτώρων ἐξεχέθη φωνῆς, πολλοί τε πραίτωρες οἱ μὲν Σικελίαν, οἱ δὲ Σαρδὼ τὴν νῆσον, οἱ δὲ Ἱσπανίαν, οἱ δὲ ἄλλην κατεκτήσαντό τε καὶ διῳκήσαντο θάλατταν τε καὶ γῆν.

α'. Ταῦτα ἐννοοῦντες ἡμεῖς, καὶ τὴν παλαιότητα πάλιν μετὰ μείζονος ἄνθους εἰς τὴν πολιτείαν ἐπαναγαγόντες καὶ τὸ Ῥωμαίων σεμνύναντες ὄνομα, καὶ ὁρῶντες ὡς ἐν ταῖς τῶν ἐπαρχιῶν τραχυτέραις διπλῆς τινος μέχρι νῦν στελλομένης ἀρχῆς οὐδεμία πρὸς τέλειον αὐτάρκης τις ἦν, διὰ τοῦτο ἔν τισιν ἐπαρχίαις ἡμῶν, ἐν αἷς ἄρχων τε πολιτικὸς ἦν καὶ στρατιωτικὸς ἄλλος, ἀεὶ μὲν πρὸς ἀλλήλους φιλονεικοῦντες, ἀεὶ δὲ μαχόμενοι, οὐχ ὅπως τὶ πράξαιεν τοὺς ὑπηκόους ἀγαθὸν, ἀλλ' ὅπως ἂν πλεῖον αὐτοὺς ἐπιτρίψαιεν, ᾠήθημεν χρῆναι πρὸς ἕν τι σχῆμα συναγαγεῖν ἑκατέραν ἀρχὴν[3]), τὴν πολιτικήν τε ἅμα καὶ στρατιωτικὴν, καὶ δοῦναι τῷ ταύτην ἔχοντι τὴν ἐξουσίαν τὴν τοῦ πραίτωρος πάλιν προσηγορίαν, ὥστε αὐτὸν καὶ τῶν στρατευμάτων τῶν ἐπὶ τῆς χώρας ὄντων κατὰ τὴν ἄνωθεν αὐτῷ ταχθεῖσαν ἐπωνυμίαν ἡγεῖσθαι, καὶ προβεβλῆσθαι τῶν νόμων (καὶ τοῦτο δὲ ἄνωθεν τῶν πραιτώρων ἴδιον ἦν), καὶ ἔχειν μὲν τὰς ἑκατέρας ἀρχῆς σιτήσεις, τάξει δὲ χρῆσθαι μιᾷ ταξεωτῶν ἑκατὸν (ἀρκέσουσι γὰρ αὐτῇ[3a]) τοσοῦτοι), πραιτωριανῆς τῆς τάξεως καλουμένης καὶ ἐκ προβατοριῶν[4]) ἐντεῦθεν προ-

2a) Firmat. Auth. Hal.: πολεμικά. Forsan rectius. 3) Ven. et Bas. addunt τῆς Πισιδίας, quod Hal. rectius omittit. Hoc enim loco generaliter Iustinianus loquitur de coniungendis militaribus et civilibus administrationibus, et infra demum a Pisidia se initium facere dicit. 3a) αὐτῷ? 4) Ven. addit glos-

σφόρως φοιτωσῶν γινομένης· οὕτω γὰρ ἔσται σεμνὸς, οὕτω φοβερὸς τοῖς ληστεύουσιν, οὕτω τοῖς ἀδικοῦσιν ἀπαραίτητος, εἰ μετὰ πλείονος ἐξουσίας ἅπαντα πράττοι· τὸ μὲν καθαραῖς χρῆσθαι[5]) ταῖς χερσὶν ἤδη τοῦ παρ' ἡμῶν ἔναγχος τεθέντος νόμου[6]) κελεύσαντος ἁπάσαις ταῖς ἀρχαῖς, αὐτοῦ δὲ πειθομένου τε ἐκείνῳ, καὶ τὸν ὅρκον ὑπέχοντος καὶ κατ' αὐτὸν διακυβερνῶντος τὰ πράγματα, τοῖς τε ὅπλοις χρωμένου, τά τε πολιτικὰ κατὰ τοὺς ἡμετέρους διατάττοντος νόμους· ὥστε εἰ καὶ τῶν ἐνδοξοτάτων τὶς ὑπατικῶν ἐπὶ τὴν ἀρχὴν ἔλθοι, καὶ τοῦτο μίμημα τῶν ἔμπροσθεν εἶναι, καθὸ διεκληροῦντο τὰς ἐπαρχίας ἄνδρες ὕπατοί τε καὶ ἐξ ὑπάτων καὶ πραίτορες μικρῷ τῶν ὑπάτων ἐλαττούμενοι, καὶ οὕτω κατὰ μικρὸν τὸ[7]) Ῥωμαίων ηὔξησαν ὄνομα, καὶ τοσοῦτον πεποιήκασιν ὅσον οὐδεμιᾷ παντελῶς ἑτέρᾳ τῶν ἄλλων πολιτειῶν δέδωκεν ὁ θεός. ὅθεν ἐπὶ τῆς Πισιδῶν χώρας ἄρξασθαι πρῶτον βουλόμεθα, διότι καὶ τοῖς ἔμπροσθεν χρονογράφοις εἰρημένον εὑρήκαμεν τὸ πρῴην ἁπάσης ἐκείνης τῆς γῆς τὸ Πισιδῶν ἔθνος ἐξάρχειν· καὶ νῦν δὲ δὴ τὴν ἐπαρχίαν ταύτην δεῖσθαι μείζονος καὶ σφοδροτέρας ἀρχῆς πιστεύομεν, ἐπειδήπερ καὶ κῶμαι μέγισται κατ' αὐτὴν εἰσὶ καὶ πολυάνθρωποι καὶ πολλάκις πρὸς αὐτοὺς στασιάζουσαι τοὺς δημοσίους φόρους, καὶ τοῖς τε ληστρικοῖς ἐκείνοις καὶ ἀνδροφόνοις χωρίοις, ἅπερ ἐπί τινος ἀκρωρείας Λύκου κεφαλῆς καλουμένης ἵδρυται Λυκοκρανιτῶν τε οἰκητήριον ὀνομάζεται, τὴν ἀρχὴν ταύτην ἐφεστάναι· καὶ νῦν μὲν οὐ κατὰ τάξιν νόμιμον ἐπ' αὐτὴν χωρεῖν, ἀλλὰ κατά τινος ἐπιδρομῆς σχῆμα. τῆς δὲ ἀρχῆς μιγνυμένης καὶ συντιθεμένων εἰς ταὐτὸ τῶν τε στρατιωτικῶν τῶν τε ἀρχικῶν παρασήμων, ἑπομένου τε αὐτῷ καὶ τοῦ στρατιωτικοῦ πλήθους παντὸς ὁπόσον τῆς ἐπαρχίας ἐστὶν καὶ πρός γε τῆς πολιτικῆς τάξεως ὅλης, σεμνῆς τε ἤδη τῆς προσηγορίας

sema: τουτέστιν ἐκ δοκιμασιῶν. 5) Hal. πράττοιτο. καὶ καθαραῖς μὲν χρῆσθαι. 6) Const. XVI c. 1. 7. 7) Hal. τῶν.

ὑτοῦ καθεστώσης καὶ τετιμημένης τῇ τοῦ πραίτωρος ἐπωνυμίᾳ, τίς οὐκ ἂν αὐτὸν φρίξειεν, τίς δὲ οὐκ ἂν αἰδεσθείη, ὁμοῦ μὲν τοὺς νόμους ὁμοῦ δὲ τὰ ὅπλα θεωρῶν εἰς αὐτὸ συνιόντα, καὶ αὐτόθεν αἱρέσεως προκειμένης ἢ κατακοῦσαι τῶν νόμων καὶ θαῤῥεῖν τε καὶ σώζεσθαι, ἢ μόνον ἀντιβλέψαντας εὐθὺς ἀπολωλέναι τῶν ὅπλων ἐγγύθεν ἐπικουρούντων τοῖς νόμοις;

β'. Δεῖ τοίνυν τὸν τὴν ἀρχὴν παραλαμβάνοντα ταύτην (προῖκα δὲ αὐτὴν αὐτῷ δίδομεν ἀεὶ καὶ ἐπ' οὐδενὶ παντελῶς μισθῷ, ὅπως ἂν καὶ αὐτὸς ἀδωρότατος μείνοι καὶ τοῖς ἐκ τοῦ δημοσίου μόνοις ἀρκούμενος, τοῦτο ὅπερ καὶ ὁ πρῶτος ἡμῶν λέγει νόμος[8])) οὕτω χρῆσθαι τοῖς ὑπηκόοις, ὡς ἐν τῷ προτέρῳ διετυπώσαμεν νόμῳ[9]), δικαίως τε καὶ καθαρῶς καὶ μετὰ τοῦ δραστηρίου φιλανθρώπως, καὶ ἀνδροφονίας τε καὶ μοιχείας ἐξελαύνειν τῆς χώρας καὶ παρθένων ἁρπαγὰς καὶ ἀδικίαν ἅπασαν, καὶ τοὺς ταῦτα πλημμελοῦντας κατὰ τοὺς ἡμετέρους κολάζειν νόμους, καὶ ἐρυθριᾶν γε μηδένα τῶν ἀδικούντων κἂν εἰ τῶν μειζόνων εἴη, μηδὲ ὑποκατακλίνεσθαι τοῖς ὠφελεῖν μὲν οὐδ' ὁτιοῦν, προφάσεις δὲ ἀσεβείας παρέχεσθαι δυναμένοις, ἀλλὰ διὰ πάντων τηρεῖν τὸ δίκαιον καὶ ἀποβλέπειν εἰς τοὺς ἡμετέρους νόμους καὶ δικάζειν κατ' αὐτούς, καὶ τοὺς ὑπηκόους τοὺς ἡμετέρους κατ' ἐκείνους ποιεῖν ζῆν[10]) τε καὶ πολιτεύεσθαι, καὶ πρὸς θεὸν ἀφορᾶν καὶ τὸ ἡμέτερον δέος, ἕτερον δὲ μηδὲν παντάπασιν ἐννοεῖν. ὥστε μηδὲ ἐκ τῆς ἐπαρχίας φοιτᾶν ἐνταῦθα συχνοὺς καὶ ἐπὶ πράγμασι μετρίοις ἡμᾶς ἐνοχλεῖν, ἀλλ' αὐτὸν πρότερον ἀκροᾶσθαι πάντων καὶ διακρίνειν αὐτά, καὶ μεμνημένον τῆς σεμνότητος ἣν αὐτῷ δεδώκαμεν οὕτω χρῆσθαι τῷ πράγματι, ὡς ἀνυπεύθυνον ἑαυτῷ τὴν ἀρχὴν γενέσθαι, γινώσκοντι[11]), ὡς εἴπερ τις αὐτῷ προσελθὼν εἶτα μὴ τύχοι τῶν δικαίων,

8) Const. XVI c. 7. 9) Const. XVI c. 8. 10) Ven. ζητεῖν. 11) Ven. γινώσκοντα.

καὶ ἀναγκασθείη ταῦτα ἡμῖν προσαγγέλλειν, ὁ ἀγὼν αὐτῷ τὸ λοιπὸν πρὸς ἡμᾶς ἔσται. ἡμεῖς γὰρ ὥσπερ αὐτὸν τετιμήκαμεν τῇ τῆς ἀρχῆς αὐξήσει, οὕτως εἴπερ αὐτὸν εὕροιμεν ἀναξίως τοῦ ἡμετέρου σκοποῦ χρώμενον τοῖς παραδεδομένοις αὐτῷ, θεῷ τε ὑπηρετούμενοι καὶ τοῖς νόμοις ἀμύνοντες προσηκόντως αὐτὸν μετελευσόμεθα, εἴγε[12]) εὕροιμεν ἢ κλέπτοντα τυχὸν ἢ χάριτος ἢ ἀπεχθείας ἡττημένον ἢ τοὺς ἡμετέρους παραβαίνοντα νόμους. βουλόμενοι γὰρ τὸ ὑπήκοον ἀνορθῶσαι καὶ τὰ μέχρι νῦν θεραπεῦσαι κακὰ, χρημάτων τε ὑπερείδομεν μεγάλων καὶ πρὸς ταύτην ἰδεῖν τὴν διατύπωσιν ἐσπεύσαμεν.

γ΄. Δεῖ δὲ αὐτὸν μὴ μόνον τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων προνοεῖν, ἀλλὰ καὶ αὐτῆς κήδεσθαι τῆς τῶν πόλεων ἀφθονίας καὶ τοῦ μηδὲν τοῖς πολίταις ἐκλείπειν, ἐπισκοπεῖν δὲ καὶ τὰ τῶν πόλεων ἔργα καὶ μὴ συγχωρεῖν μηδὲ κατὰ τοῦτο αὐτὰς ἑαυτῶν ἐλάττους γίνεσθαι· ἀλλὰ καὶ τοὺς τῶν ὑδάτων ὁλκοὺς καὶ γεφύρας καὶ τείχη καὶ ὁδοὺς σπεύδειν ἐπανορθοῦν, καὶ μὴ συγχωρεῖν τοῖς ἐκεῖσε φοιτῶσι πράκτορσι τοὺς ἡμετέρους ὑπηκόους κατά τι βαρύνειν, μηδὲ ταύτας δὴ τὰς ἐξ ἔθους πονηροῦ γινομένας προστάξεις παραλαμβάνειν, ὅσαι περὶ τειχοποιΐας τε καὶ ὁδοστρωσίας καὶ ἄλλας μυρίας αἰτίας προΐασιν ἐκ τῶν θρόνων τῆς σῆς ὑπεροχῆς. τούτων γὰρ ἁπάντων ἕνεκεν καὶ εἴ τι τοιοῦτον ἕτερον οὐδενὶ συγχωρήσει τοὺς ὑπηκόους τοὺς ἡμετέρους ἀδικεῖν, οὐδὲ προελεύσεται ψῆφος ἐκ τῶν θρόνων τῶν σῶν τοιοῦτό τι λέγουσα (καὶ γὰρ ἤδη τοῦτο κεκωλύκαμεν)· ἀλλ' αὐτὸς μὲν ἁπάντων ἐπιμελήσεται, εἰ δέ τινα ἡμεῖς κατὰ θεῖον ἡμῶν πραγματικὸν τύπον στείλαιμεν, ὃν ἴσως πρὸς τὴν σὴν καταπέμψομεν ἀρχὴν, ἐκεῖνος προσεξετάσει τὸ παρ' ἡμῶν ἐγκρινόμενον· ἑτέρῳ δὲ οὐδενὶ παντελῶς ἄδεια γενήσεται λεηλατεῖν τὸ ὑπήκοον. ὅπως ἂν τὰς ἐπαρχίας ἴδοιμεν

12) Ven. et Hal. εἴτε. Emendavi ex Bas.

άλιν ἀνθρώπων μεστὰς, πάλιν τοῖς ἑαυτῶν πολίταις κομώσας, καὶ μὴ συῤῥέον ἐνταῦθα πλῆθος ἀνθρώπων εἰς τὴν αυτῶν γῆν ἐπανελθεῖν διὰ τὴν τῶν ἀρχόντων κακίαν μὴ θαῤῥοίη, διὰ τοῦτο τοίνυν θεσπίζομεν, τὴν σὴν ὑπεροχὴν μηκέτι διῃρημένας ἔχειν τὰς τοῦ Πισιδῶν ἔθνους ἀρχὰς, ἀλλὰ μίαν εἶναι τὴν ἐν αὐτῇ τοῦ περιβλέπτου πραίτωρος ἀρχὴν, αὐτὴν μὲν στρατιωτικὴν αὐτὴν δὲ πολιτικὴν καθεστῶσαν, καὶ ὁμοίως μὲν τῶν δημοσίων τε καὶ πολιτικῶν φροντίζουσαν ὁμοίως δὲ τῶν στρατιωτῶν ἡγουμένην, ὥστε τῇ δι' ἀλλήλων βοηθείᾳ καὶ τὴν ἀρχὴν ἐκ τῶν ὅπλων ἰσχυρὰν εἶναι καὶ τὴν ὁπλιτεύουσαν τάξιν κεκαλλωπίσθαι τῷ νόμῳ. οὐδὲ γὰρ ἔτι στάσις ἔσται κατὰ τὰς πόλεις ἀνδρὸς ἐφεστῶτος τοιούτου τὸ λοιπὸν, ὃς ἄξιος ἡμῖν ἑκατέρας ἀρχῆς νενόμισται.

δ'. Πάντα τοίνυν, ὁπόσα τὸ δημόσιον ἐχορήγει, ταῦτα κατὰ τὴν ὑποτεταγμένην ἀπογραφὴν τῷδε τῷ θείῳ ἡμῶν νόμῳ δίδοσθαι τῷ περιβλέπτῳ κελεύομεν πραίτωρι καὶ τοῖς ἀμφ' αὐτόν. ᾧπερ προσκεῖσθαι καὶ τὸ τῆς θείας ἡμῶν προσηγορίας βουλόμεθα σύμβολον, καὶ ἔστω πραίτωρ Ἰουστινιανὸς ὁ Πισιδίας γινόμενος ἄρχων. ὑπακουέτω δὲ ἡ πραιτωριανὴ τάξις αὐτῷ, γινομένη μὲν ἐκ προβατοριῶν[13]) καθάπερ εἰπόντες ἔφθημεν, ὁμοίως δὲ καὶ τοῖς πολιτικοῖς καὶ τοῖς στρατιωτικοῖς ἀνθρώποις τε καὶ πράγμασιν ἐνησχολημένη. καὶ πρόσγε ἡ τῶν δημοσίων εἴσπραξις τὸν ἄρχοντα τοῦτον τήν τε τάξιν ὄψεται τὴν αὐτοῦ· καὶ πάντα ἕξει τὰ τῆς ἀρχῆς παράσημα, ὁπόσα καὶ νῦν ἔχει, δίφρον τε ἐξ ἀργύρου καὶ πέλεκυν καὶ ῥάβδους, ἕξει τε ἐπὶ τοῖς στρατιώταις καὶ ad responsum.[14]) καίτοιγε καὶ αὐτόθεν αὐτῷ δίδομεν τὴν τῶν ἐν τῇ χώρᾳ ταύτῃ στρατιωτῶν ἡγεμονίαν, ὥστε αὐτοὺς καὶ κοσμεῖν καὶ τάττειν, καὶ παρασκευάζειν

13) Ven. inter lineas ἤτοι δοκιμασιῶν. 14) Ven. inter lineas ἀποκρίσεις.

ἐπεξιέναι μὲν τοῖς ληστεύουσιν, ἡμέρους δὲ καὶ σώφρονας τοὺς ὑπηκόους πρὸς ἀλλήλους ἀποτελεῖν· καὶ μήτε τὰς πόλεις στασιάζεσθαι συγχωρεῖν, μήτε τοὺς κωμήτας[15]) ἀπαυθαδιάζεσθαι πρὸς τὸ δημόσιον· ἔχειν τε ἐφ' ἅπασι τὴν ἐξουσίαν ἐξῃρημένου παντελῶς οὐδενός. εἶναι δὲ καὶ ταύτην τὴν ἀρχὴν ἐν ταῖς μέσαις τεταγμένην καὶ ἐν τῷ τῶν περιβλέπτων ἀρχόντων ἀριθμῷ γεγραμμένην, ὥστε ὅσα ἐπὶ τῶν πάλαι μὲν βικαρίων, νῦν δὲ κομήτων Ἰουστινιανῶν τῆς τε Πακατιανῆς Φρυγίας τῆς τε πρώτης Γαλατίας ἐστί, καὶ τοῦ περιβλέπτου κόμητος τῆς Ἕω καὶ τῶν περιβλέπτων ἀνθυπάτων, ταῦτα καὶ ἐπ' αὐτῷ καθεστάναι· καὶ εἶναι αὐτὸν περίβλεπτον ἄρχοντα, καὶ τὰς ἐφέσεις τὰς παρ' αὐτοῦ γινομένας ἐνταῦθα στέλλεσθαί τε καὶ ἐξετάζεσθαι καθάπερ καὶ ἐπὶ τῶν ἄλλων τῶν σπεκταβιλίων[16]) ἀρχόντων, εἰσάγεσθαί τε ἐν τῷ δικαστηρίῳ τῶν ἐνδοξοτάτων ὑπάρχων συνακροωμένου τῆς ὑποθέσεως καὶ τοῦ ἐνδοξοτάτου κοιαίστωρος τοῦ θείου ἡμῶν παλατίου· διότι τὴν ἀρχὴν εἰ καί τι στρατιωτικὸν εἶχεν, ἀλλ' οὖν ὅλην πρὸς τὸ νομιμώτερον μεταβαλοῦσαν σχῆμα δεῖ ταύτην ἔχειν ἀναγκαίως τὴν τάξιν τὴν μέχρι νῦν ἐπὶ τῶν σπεκταβιλίων ἀρχόντων πεφυλαγμένην κατὰ τὸ κεκρατηκὸς ἄνωθεν ἔθος.

ε'. Ἐπειδὴ δὲ ἔναγχος θείαν διάταξιν[17]) γράψαντες τὰς ἄχρι πεντακοσίων νομισμάτων ἐφεσίμους δίκας[18]) ὑπὸ τοῖς περιβλέπτοις ἄρχουσιν ἐν τάξει θείου δικαστηρίου κατεξετάζεσθαι νενομοθετήκαμεν, θεσπίζομεν, εἰ τοιαύτη τὶς[19]) γένοιτο δίκη κατὰ τὴν Πισιδίαν μέντοι μόνον εἴτε ἐκ παραπομπῆς ἡμετέρας εἴτε ἔκ τινος τῶν ἐνδοξοτάτων

15) Ven. κόμητας. 16) Ven. inter lineas περιβλέπτων. 17) Quae nobis non est servata. 18) Ven. ἃς ὑπὸ, sicut et Bas. Kal. τὰς ὑπό. 19) Iulianus (c. scholio), Athanasius et Theodorus τ' νομισμάτων legisse videntur. (Apud Ath. nimirum legendum μέχρι τ' νομισμάτων, quippe IV, 5 de praetore Lycaoniae scribit ὅτι τῶν μέχρι φ' νομισμάτων ὑπὲρ ἐκείνου ἀκροᾶται. Cf. Theod. Nov. 25 c. 1).

ἡμῶν ἀρχόντων, εἰ μὴ περίβλεπτος ὁ δεδομένος εἴη δικαστής, μὴ πρὸς τὸν περίβλεπτον Ἰουστινιανὸν κόμητα τῆς Πακατιανῆς Φρυγίας (τοῦτο ὅπερ πρῴην νενομοθετήκαμεν[20])) φοιτᾶν, ἀλλ' ἐπ' αὐτὸν φέρεσθαι τὴν ἔφεσιν τῆς ἐπαρχίας τῆς αὐτοῦ, αὐτόν τε αὐτῆς ἀκροᾶσθαι κατὰ θείου ἀκροατηρίου σχῆμα (καὶ γὰρ δὴ καὶ τούτῳ σεμνύνομεν τὴν ἀρχήν), αὐτόν τε αὐτῇ τέλειον ἐπιτιθέναι θεσπίζομεν τύπον, οὐκ ἀναπεμπόμενον πρὸς ταύτην τὴν εὐδαίμονα πόλιν, ὅπως ἂν μὴ μικρῶν ἕνεκεν προφάσεων μεγάλας οἱ δικαζόμενοι ταραχάς τε καὶ ζημίας ὑπομείνοιεν.

ϛ'. Ὅπως δὲ ἂν εἰδοῖεν καὶ οἱ παραλαμβάνοντες τήν τε τοῦ πραίτωρος ἀρχὴν τάς τε ἄλλας τὰς παρ' ἡμῶν ἐξευρημένας τε καὶ ἐξευρησομένας, κατὰ τίνα προσήκει τρόπον διακυβερνᾶν τὰς ἀρχάς, συνείδομεν μὴ μόνον αὐτοῖς παρέχειν τὰ σύμβολα τῆς ἀρχῆς ἐν τοῖς καλουμένοις κωδικέλλοις, ἀλλὰ καὶ ἐγγράφειν τὸν τρόπον, καθ' ὃν διοικήσειαν τὴν ἀρχὴν (ἅπερ οἱ πρὸ ἡμῶν νομοθέται mandata principis[21]) ἐκάλουν), ὥστε αὐτοὺς πρὸς ταῦτα ἀποβλέποντας τὴν οἰκείαν ἀπευθύνειν ἀρχὴν καὶ ταύτῃ τοὺς ἡμετέρους ὑπηκόους διὰ πάντων ὠφελεῖν. τοιγαροῦν καὶ ἀποτεθῆναι κατὰ τὸ θεῖον ἡμῶν λατέρκουλον[22]) τὰ τοιαῦτα θεῖα μανδάτα διεκελευσάμεθα, ὅπως ἂν ἅμα τοῖς κωδικέλλοις διδοῖτο τοῖς ἄρχουσι, τόν τε ὅρκον παρεχομένοις, ὃν ἐπὶ τῆς θείας ἡμῶν διατάξεως[23]) ἐγράψαμεν, τὰ ἄλλα τε ἅπαντα οὕτω διοικουμένοις ὡς ἡμεῖς ἐτάξαμεν. ὑποτεθήσεται δὲ καί τις ἀπογραφὴ παρ' ἡμῶν τῷδε τῷ νόμῳ, δηλοῦσα τί μὲν προσῆκόν ἐστι τὸν γινόμενον παρέχειν προφάσει τῶν τῆς ἀρχῆς συμβόλων εἴτε ἐν τῷ θείῳ λατερκούλῳ εἴτε ἐν τῷ δικαστηρίῳ τῶν ἐνδοξοτάτων ὑπάρχων, τί δὲ τὸ διδόμενον αὐτῷ τε καὶ τῷ παρέδρῳ καὶ τοῖς περὶ αὐτὸν, οὕτω τε τῆς παρ'

20) Const. XVI c. 2. 21) Ven. inter lineas παραγγέλματα ἀρχοντικά. 22) Ven. inter lineas οἰκιακόν, et mox παραγγέλματα. 23) Const. XVI.

ἡμῶν περὶ τὰς ἀρχὰς προνοίας ἅπασι φανερᾶς γει ἐκεῖνον ἡμῖν καθαρὰν καὶ πανταχόθεν δεδοκιμασμέν ἑαυτοῦ παρέχειν ὑπουργίαν. [§. 1.] *τοῦτον δὲ ὁ νόμον δείξει μὲν ἅπασιν ἡ τῶν θείων ἡμῶν δια ἀνάγνωσις (καὶ γὰρ δὴ καὶ τοῦτον ἐκεῖσε γραφῆναι κελευσάμεθα), αὐτὸς δὲ εἰς ἔργον ἄξεις, ὅπως ἂν μει παντὸς ἐν αὐτοῖς τοῖς ἔργοις ἐκλάμπων τε καὶ φαιν* Dat. XV. Kal. Iun.[24]) CP. Bilis. V. C. Cons.

Δεῖ παρέχεσθαι τῷ πραίτωρι Πισιδίας αὐτῷ μὲ ἀννόνων καὶ καπίτων καὶ λοιπῆς παραψυχῆς sol. C *αὐτοῦ παρέδρῳ* sol. LXXII[25]), *τῇ αὐτοῦ τάξει* auri lit *δεῖ δὲ αὐτὸν παρέχειν προφάσει συμβόλων οὕτως περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβο* sol. IX, *τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων ρίων καὶ τοῖς* laterculis*ίοις* sol. XXIV[27]), *τῷ αὐτοῦ* sol. III, *τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ π ματος καὶ πάσης ἑτέρας αἰτίας* sol. LX.[28])

24) Ath. *Ἰουλ.* Sed Iun. firmatur Iulian. et Theod. 2 LXXI. Idem supra verbum „sol." ponit *νομίσματα.* 2 *χρυσοῦς νβ'*, quod legi debuerat *χρυσοῦ λίτρας β'*. Ven. sed inter lineas *νομ. κε'* similiter Bas. et Hal., qui *με'* pro *κε'* legit. Numerum XXIV recte habere proba Auth. et Theod. quam Notitia const. XVI subiecta §. Notitiae ad const. XXIV—XXVI. 28) Sic legendun bus Hal. Theod. Basil. Ven. XI, sed supra lineam Neque tamen omnino reiicienda lectio Authentici X enim Notit. ad const. XVI §. 5. In Notitiis ad c. XXIV- modo est XI modo XIII. Theodorus autem Nov. 27 c. suetudines ab hisce magistratibus praestandas easdem testatur.

Auth. 25. XXIV. Nov. 25.

Bas. VI, 9. — Summas praestant Iulian. c. 18, Athan. IV, 5, Theod. Nov. 25.

Περὶ τοῦ πραίτωρος Λυκαονίας.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Τὸ Λυκαόνων ἔθνος μείζονι τῆς νῦν οὔσης ἀρχῆς κατακοσμῆσαι δίκαιον ᾠήθημεν, ἀποβλέποντες εἰς τὰς πρώτας ἀρχὰς ὅθεν αὐτὸ συστῆναι παρέδοσαν ἡμῖν οἱ τὰ παλαιὰ συγγράφοντές τε καὶ διηγούμενοι, καὶ ὅτι συγγενέστατόν ἐστι Ῥωμαίοις καὶ σχεδὸν ἐκ τῶν αὐτῶν συνῳκισμένον προφάσεων. Λυκάονι γὰρ τῷ πρῴην Ἀρκαδίας τῆς ἐν Ἑλλάδι βεβασιλευκότι καὶ τὴν Ῥωμαίων οἰκῆσαι γέγονε γῆν, καὶ τοὺς πρῴην Οἰνότρους[1]) προσλαβόντι τῇ Ῥωμαίων ἀρχῇ δοῦναι προοίμιον (φαμὲν δὲ ταῦτα δὴ τὰ παλαιὰ τὰ πολλῷ τῶν Αἰνείου τε καὶ Ῥωμύλου χρόνων πρεσβύτερα), καὶ ἀποικίαν ἐπὶ τὰ τῇδε στείλαντι μέρη μοῖράν τινα τῆς Πισιδίας ἀφελέσθαι, ταύτῃ τε δοῦναι τὴν αὐτοῦ προσηγορίαν Λυκαονίαν τε ἐξ αὐτοῦ καλέσαι τὴν χώραν. δίκαιον τοίνυν ἂν εἴη καὶ αὐτὴν ἀρχὴν[2]) κατακοσμῆσαι τὰ παλαιὰ τῆς Ῥωμαϊκῆς τάξεως ἐπιγραφομένην σύμβολα, καὶ τοὺς νῦν αὐτῆς ἡγουμένους (τόν τε ἄρχοντά φαμεν τὴν πολιτικὴν ἀρχὴν[3]) τόν τε ἐφεστῶτα τοῖς ὅπλοις) εἰς ἕν τι συναγαγεῖν καὶ τῇ τοῦ πραίτωρος κοσμῆσαι προσηγορίᾳ. ὄνομα γὰρ τοῦτο πάτριον τῇ Ῥωμαίων ἀρχῇ καὶ πρό γε αὐτῶν τῶν ὑπάτων κατὰ τὴν μεγάλην τῶν Ῥωμαίων πολιτευσάμενον πόλιν· Ῥωμαῖοι γὰρ οἱ πάλαι τοὺς σφῶν αὐτῶν στρατη-

1) Hal. *Οἰνοτρίους*. 2) *καὶ ταύτην τὴν ἀρχὴν?* 3) Hal. cum Auth. *τῆς πολιτικῆς ἀρχῆς*. Forte *τῇ πολιτικῇ ἀρχῇ*.

γοὺς πραίτωρας ὠνόμαζον, τῶν στρατευμάτων τε ἡγεῖσθαι παρεῖχον καὶ τοῖς ὑπ' αὐτῶν γραφομένοις ἐπείθοντο νόμοις, καὶ ἦν ἀρχή τις ἐξ ἀμφοῖν κεκραμένη καὶ ἐν ἑαυτῇ περιφέρουσά τε καὶ δεικνύουσα[4]) τήν τε ἐν ταῖς παρατάξεσιν ἰσχὺν τήν τε ἐν τοῖς νόμοις εὐκοσμίαν.

α'. Ἐπειδὴ τοίνυν κἀνταῦθα σκοπὸς ἡμῖν εἰς ἕν τι συναγαγεῖν ἀμφοτέρας, διὰ τοῦτο εἰκότως αὐτῷ καὶ τὴν τοῦ πραίτωρος δίδομεν προσηγορίαν, ὅπως ἂν συνεισέρχοιτο[5]) ταῖς ψυχαῖς τῶν ἀκουόντων ἅμα τῇ προσηγορίᾳ τοῦ πραίτωρος καὶ ἡ τῆς ἀρχῆς κατάστασίς τε καὶ φύσις, καὶ ὅτι περ οὐχ ἁπλή τίς ἐστιν οὐδὲ πρὸς ἓν ἀφορῶσα μόνον, ἢ τὸ τῶν ὅπλων ἢ τὸ τῶν νόμων, ἀλλ' ἑκατέραν συνεφέλκεται τάξιν, καὶ ἐστὶν ἐκ μὲν τοῦ στρατιωτικοῦ σφοδρά τε καὶ ἰσχυρὰ, διὰ δὲ τοῦ νόμου προσηνής τε καὶ ἥμερος, καὶ κατὰ τοῦτο προσφερομένη ῥᾳδίως τοῖς μὲν ἀδικοῦσι σφοδρότερον, τοῖς δὲ ἐπιεικεστέροις νομιμώτερόν τε καὶ σωφρονέστερον. καὶ οὐδὲ ἁπλῶς τοῦτο πράττομεν οὐδὲ ὀνομασίᾳ προσέχομεν μόνον, ἀλλὰ τῇ χρείᾳ καὶ τὰς ἀρχὰς συμμετροῦμεν. ἀνδρῶν γάρ ἐστιν ἰσχυρῶν ἡ χώρα, καὶ Ἰσαυρίας οὐδενὶ διέστηκε μέσῳ, οἷα δὲ μεσόγειός[6]) τε οὖσα καὶ ἀνειμένη καὶ ἱππόβοτος πολλοὺς μὲν ἄνδρας πολλοὺς δὲ ἵππους ἐκτρέφει, κωμῶν τέ ἐστιν αὐτῇ πλῆθος μεγάλων, καὶ ἀνδρῶν ἐπιτηδείων ἱππεύειν τε καὶ τοξάζεσθαι καὶ ῥᾳδίως[7]) πρὸς τραχυτέρας ἀνίστασθαι γνώμας καὶ ὅπλων ἅπτεσθαι προχείρως, καὶ τῆς μὲν στρατιωτικῆς ἀρχῆς ἴσως οὐκ ἐπιστρέφεσθαι, διότι τὰ τῆς καταστάσεως αὐτῶν ἰδιωτικὴν ἐπιγράφεται τύχην τὴν μόναις ταῖς πολιτικαῖς ἀρχαῖς ὑποκεκλιμένην, αὐτῆς[8]) δὲ δὴ πάλιν καταφρονεῖν, διότι τὸ τῷ νόμῳ προσέχειν μόνῳ μὴ μετὰ τοῦ δραστηρίου τεταγμένῳ

4) Ita in Ven. ex emendatione supra lineam. 5) Hal. συνεισήχοιτο. 6) Ven. ἐπόγειος. 7) Ita Hal. consentiente Auth. (si facile legeris). Ven. ῥᾳδίων. 8) Forte αὐτῶν, nisi paulo ante μόνῃ τῇ πολιτικῇ ἀρχῇ scribere malueris.

φοβερὸν οὐχ ὁμοίως τοῖς θρασυτέροις ἐστί. ταῦτα ἡμᾶς ἀνέστησεν εἰς τὸ καὶ ταύτην μίαν ἀποφῆναι τὴν ἀρχήν, καθάπερ ἐν Πισίδαις ἐπράξαμεν[9]), καὶ δοῦναι καὶ ταύτῃ τὴν τοῦ πραίτωρος προσηγορίαν μετὰ τῆς ἐξ ἡμῶν προσθήκης· καὶ γὰρ δὴ καὶ τοῦτον πραίτωρα Ἰουστινιανὸν Λυκαονίας προσαγορεύεσθαι βουλόμεθα, ὥσπερ δὴ καὶ Πισιδίας τὸν ἄλλον. τάξιν τε ἑκατέραν εἰς ταὐτὸ συνάγομεν, ἥ τε ὁ πολιτικὸς ἥ τε ὁ στρατιωτικὸς ἄρχων ἐφέστηκε. πραιτωριανὴν δὲ καὶ ταύτην ὀνομάζομεν, ἐκ προβατοριῶν[10]) ἐντεῦθεν κατὰ τὸ νενομισμένον προϊουσῶν γινομένην[10a]) ἐξ οὗ καὶ πρῴην οἱ δουκικοὶ ταύτας ἐκομίζοντο τοῦ θείου τῶν λιβέλλων σκρινίου· καὶ εἰς ἀνδρῶν ἑκατὸν τὸν ἀριθμὸν αὐτῇ συμμετροῦμεν. καὶ δίδομεν αὐτῷ τὰς ἑκατέρας ἀρχῆς σιτήσεις παρέδρῳ τε καὶ τοῖς λοιποῖς, ἅπερ φανερὰ καταστήσομεν ἐκ τῶν ὑποκειμένων ἀπογραφῶν τῇδε τῇ θείᾳ ἡμῶν διατάξει. ἐχέτω γε μὴν καὶ ἀδ ῥεσπόνσουμ[11]) πρὸς τὴν στρατιωτικὴν εὐκοσμίαν· καίτοιγε καὶ ἄλλως αὐτὸν ἄρχειν τῶν ἐπὶ τῆς εἰρημένης ἐπαρχίας ἱδρυμένων στρατιωτῶν θεσπίζομεν.

β'. Καὶ στελοῦμέν γε τὸν τῆς ἀρχῆς ἀντιληψόμενον ταύτης τῶν παρ' ἡμῖν εὐδοκιμούντων ἕνα τῶν ἐκ τοῦ καταλόγου τῶν ἡμετέρων ἀρχόντων, ὅθεν καὶ τὸ παλαιὸν οἱ πραίτωρες ἐξεφοίτων καὶ τοῖς σφῶν αὐτῶν πόνοις τὴν πολιτείαν ἐκόσμουν, ποτὲ μὲν ἐπὶ τῆς Ἰταλιώτιδος μένοντες γῆς ποτὲ δὲ ἐπὶ τοὺς ἔξω τόπους στελλόμενοι. ἔστω γὰρ ὁ τοιοῦτος αὐτὸς ἑαυτοῦ μεμνημένος ἀεὶ καὶ ὅθεν αὐτῷ τὰ τῆς ἀρχῆς συνέστηκε, σεμνός τε τοῖς ὑπηκόοις, φοβερός τε τοῖς λῃστεύουσι καὶ ἀδικοῦσι, καὶ μετὰ πλείονος παῤῥησίας ἅπαντα πράττων. πρόδηλον γὰρ ὡς καθαραῖς μὲν χρήσεται ταῖς χερσίν, ἐπεὶ καὶ ἄμισθον παραλαμβάνει τὴν ἀρχήν· καὶ ἄλλως ὁ παρ' ἡμῶν τεθεὶς ἔναγχος νόμος[12]) ἁπάσαις

9) Const. XXIII. 10) Ven. inter lin. ἐκ δοκιμασιῶν.
10a) Auth. non agnoscit. 11) Ven. addit ἤτοι ἀποκρισιαρίους.
12) Const. XVI.

ταῖς ἀρχαῖς ταῖς ἐγγεγραμμέναις αὐτῷ σαφῶς ἐπιτάττ χειρῶν τε κρατεῖν (ἐφ' ᾧ δὴ καὶ τὸν ὅρκον ὑπέχουσι), κα κατὰ τοὺς ἡμετέρους νόμους δικάζειν τε καὶ νέμειν τοῖ ὑπηκόοις ἰσότητά τε καὶ δικαιοσύνην. οὕτω καὶ οἱ πάλα Ῥωμαῖοι τὸ πολίτευμα κατευκοσμήσαντες[13]) πάσης ἑτέρας πολιτείας ἐκράτουν. τίς γὰρ οὐκ ἂν τὴν ἀρχὴν ταύτην αἰδεσθείη τε ἅμα καὶ φρίξειεν, ὁρῶν αὐτὴν ὑπὸ διπλοῦ σχήματος φρουρουμένην, καὶ ῥαδίως μὲν τὰ ἐκ τοῦ νόμου διατάττουσαν, ῥᾷστα δὲ εἴ τι παραβαθείη τοῦ νόμου τοῦτο τοῖς ὅπλοις ἐπανορθοῦσαν; [§. 1.] ἅπερ δὲ τῷ κατὰ Πισιδίαν προηγόρευται πραίτωρι κατὰ τὸν περὶ ἐκείνου γεγραμμένον νόμον, ταῦτα καλῶς ἔχειν φήθημεν προαγορεῦσαι καὶ τούτῳ. δεῖ γὰρ αὐτὸν τὴν ἀρχὴν παραλαμβάνοντα ταύτην πανταχόθεν ἄμισθον οὖσαν καὶ αὐτὸν ἀδωρότατον εἶναι, καὶ ἀρκεῖσθαι μόνοις οἷς τὸ δημόσιον δίδωσι (καθὰ καὶ ὁ περὶ τῶν ἀρχῶν ἤδη τεθειμένος διαλέγεται νόμος), καθαρῶς τε καὶ δικαίως χρῆσθαι τοῖς πράγμασι, καὶ ὥσπερ αὐτῷ μεμιγμένα τὰ τῆς ἀρχῆς ἐστιν, οὕτως αὐτῷ καὶ τὴν τῆς ψυχῆς ἁρμονίαν κεκρᾶσθαι ποτὲ μὲν ὀξυτέροις τε καὶ ἐπιτεταμένοις, ποτὲ δὲ πρᾳοτέροις τε καὶ ἀνειμένοις τοῖς φθόγγοις. [§. 2.] καὶ μισείτω μὲν ἅμα καὶ κολαζέτω μοιχείαν ἅπασαν καὶ πρό γε ἐκείνης ἀνδροφονίαν καὶ ἔτι σφοδρότερον τὰς τῶν παρθένων ἁρπαγάς. καὶ τοὺς ἀδικοῦντας, εἰ μὲν ἀθεράπευτα νοσοῖεν, καθάπαξ κολαζέτω, εἰ δὲ μετριώτερα, πρὸς τὸ κρεῖττον μεθαρμοζέτω. ἐρυθριάτω δὲ τῶν ἀδικούντων μηδένα, κἂν εἰ πλουτοίη κἂν εἴ τινος ἀξίας ἐπείληπται μείζονος. διὰ τοῦτο γὰρ δὴ καὶ ἐκ τῶν σεμνοτέρων αὐτὸν καταλόγων στέλλομεν, ὅπως ἂν οἴκοθεν ἔχοι τὸ μηδενὶ προσέχειν ἑτέρῳ πλὴν ἡμῖν τε καὶ τοῖς νόμοις, καὶ δικάζειν μὲν κατ' ἐκείνους, τὸ δὲ ὑπήκοον ἁρμόζειν εἰς τὸ κατ' αὐτοὺς πολιτεύεσθαι.

13) Ita videbatur habere Ven. Hal. κατακοσμ.

γʹ. Καὶ μηδὲ ῥαθυμεῖν μήτε ἀδικεῖν, ὥστε μή τινας ἐκ τῆς ἐπαρχίας ἧς ἄρχει καταλιμπάνειν μὲν τὴν χώραν διὰ τὰς ἀδικίας τὰς ἐκεῖσε, συνεχῶς δὲ ἡμῖν ἐνοχλεῖν. ἀλλ' αὐτὸς ἀκροατὴς γινέσθω πρότερον τῶν προσαγγελλομένων καὶ ταῦτα διακρινέτω, καὶ ἀεὶ μεμνήσθω τῆς παραδεδομένης αὐτῷ παρ' ἡμῶν τιμῆς, καὶ οὕτω χρήσθω τοῖς ἀρχικοῖς πόνοις, ὡς ἐπαινετὴν αὐτῷ καὶ ἀνυπεύθυνον γίνεσθαι τὴν ἀρχήν. ἐκεῖνο σαφῶς ἐπιστάμενος, ὡς εἰ μέν τις ἔλθοι πρὸς ἡμᾶς μὴ προσαγγείλας αὐτῷ τὰ οἰκεῖα πάθη καὶ ἀποπειραθεὶς εἴγε τυγχάνοι τῶν δικαίων, τοῦτον αὐτῷ πέμψομεν ἀποκρίσεως αὐτῷ μεταδόντες οὐδεμιᾶς. εἰ δὲ προσαγγείλειεν, εἶτα τῶν δικαίων μὴ τυχὼν εἰς ἡμᾶς καταδράμοι, τότε ἡμεῖς οὐκ ἐκείνῳ τὸ λοιπὸν, ἀλλ' αὐτῷ τῷ τὴν ἀρχὴν ἔχοντι δικασταὶ γενησόμεθα. καὶ ὥσπερ αὐτῷ μείζονα πεποιήκαμεν τὴν τιμὴν, οὕτω καὶ εἴπερ εὕροιμεν ῥαθυμοῦντα καὶ τοῖς παραδεδομένοις ἐκμελῶς χρώμενον, ἀμυνοῦμεν τοῖς νόμοις καὶ προσηκόντως αὐτὸν μετελευσόμεθα. καὶ ὥσπερ ἐκεῖνος οὔτε τοὺς ἡμετέρους λόγους οὔτε τοὺς νόμους οὔτε τὸ τῆς ἀρχῆς ἐρυθριᾷ σχῆμα, οὕτως οὐδὲ ἡμεῖς αὐτὸν ἐρυθριάσομεν, ἀλλ' ἀπαντήσομεν αὐτῷ καθ' ὃν αὐτὸς τρόπον τοῖς τῆς ἀρχῆς πράγμασι χρήσηται. καὶ εἴτε[14]) χερσὶν οὐ καθαραῖς αὐτὸν χρώμενον λάβοιμεν ἢ πρός τι πάθος ἀποβλέποντα ἢ τοὺς ἡμετέρους παραβαίνοντα νόμους, ἡμεῖς αὐτῷ κατὰ νόμον ἐπιστήσομεν τὰς εὐθύνας. οὐδὲ γὰρ χρημάτων ἐφεισάμεθα οὐδὲ ἑτέρου τῶν πάντων οὐδενὸς, ἵνα τὸ ὑπήκοον περισώσωμεν.

δʹ. Δεῖ δὲ αὐτὸν καὶ τῆς τῶν πόλεων εὐκοσμίας προνοεῖν, καὶ πρῶτον μὲν στάσεως ἀπαλλάττειν τὰς ὑπ' αὐτῷ τεταγμένας πόλεις, τὴν ἰσότητα πανταχοῦ διασώζοντα καὶ τοῦ μηδὲν τοῖς ὑπηκόοις ἐνδεῖν πᾶσαν τιθέμενον πρόνοιαν. [§. 1.] ἀλλὰ μηδὲ τῶν ἔργων τῶν πόλεων ἀμελεῖν, ὅπως

14) Ven. τι.

ἂν μηδὲ κατὰ τοῦτο ἐλαττοῖντο μηδὲ οἱ τῶν ὑδάτων ὁλκοὶ μηδὲ αἱ τῶν γεφυρῶν πάροδοι μηδὲ ἡ τῶν τειχῶν ἀσφάλεια μηδὲ ἡ τῶν ὁδῶν ἐπιμέλεια, ἀλλὰ πάντα ἐπανορθοῦν ἢ καὶ εἰς ἡμᾶς μηνύειν, ὅπως ἂν τὰ μὲν ἐκ τῶν πολιτικῶν πόρων τὰ δὲ ἐξ ἡμῶν ἐπανορθοῦν ἰσχύσειε. [§. 2.] παρατηρεῖν δὲ τὸ μηδὲ τοῖς ἐκεῖσε φοιτῶσιν ἐκ τῶν ἀρχόντων πράκτορσιν ἄδειαν εἶναι τοὺς ἡμετέρους ὑπηκόους κατά τι ζημιοῦν ἢ βαρύνειν, μηδὲ ταύτας δὴ τὰς συνειθισμένας ἐπιφερομένους προστάξεις, αἵπερ πρῴην ἐκ τῶν σῶν προήεσαν θρόνων πορθοῦσαι τοὺς ἐν μετριότητι ζῶντας, καὶ ἐπιτάττουσαι ποτὲ μὲν τειχῶν ἐπισκευὰς ποτὲ δὲ ὁδῶν ἐπιμελείας ποτὲ δὲ εἰκόνων τε καὶ γεφυρῶν καὶ λιμένων καὶ ὁλκῶν, δημοσίων ἀνανεώσεις, καὶ τόπων δῆθεν δημοσίων ἀφαιρέσεις καὶ οἰκημάτων ὡς οὐκ ἐν δέοντι κτισθέντων καταστροφάς, καὶ ἕτερα τούτων ἔτι προχειρότερα πρὸς συκοφαντίαν· ἀλλ' αὐτὸς μὲν τούτων ποιήσεται πρόνοιαν πράττων ἅπαντα ζημίας χωρίς. εἰ δὲ συνείδοιμεν ἡμεῖς καὶ μείζονος ἐποψίας δεῖσθαι τὸ πρᾶγμα, θείῳ πραγματικῷ χρησόμεθα τύπῳ, ὃν δὴ καὶ πρὸς τὴν σὴν ἀρχὴν εἰ συνείδοιμεν καταπέμψομεν κατ' αὐτόν τε[15]) καὶ ἑτέρῳ τινὶ ταύτην ποιήσασθαι τὴν ζήτησιν. οὕτως ἀναπνεύσει ποτὲ τὸ ὑπήκοον, οὕτως ἀνθήσουσιν αὖθις αἱ πόλεις καὶ αὔξησις τοῖς οἰκοῦσι ταύτας ὡς πλείστη γενήσεται, καὶ οὐ τὰς πατρίδας ἀποφεύξονται καθάπερ τι τῶν φοβερωτάτων διὰ τὴν τῶν ἀρχόντων κακίαν οἰκεῖν ἐν τοῖς ἑαυτῶν εὐλαβούμενοι.

ε'. Δεῖ τοίνυν τὴν σὴν ὑπεροχὴν εἰδέναι τὴν ἀρχὴν ταύτην μίαν τὸ λοιπὸν ἀλλ' οὐ διπλῆν καθεστῶσαν, ὥστε ἅπαντα ὁπόσα τὸ δημόσιον ἐδίδου πρότερον ἑκατέρᾳ τῶν ἀρχῶν ταῦτα κατὰ τὴν ὑποτεταγμένην ἀπογραφὴν τῷδε τῷ θείῳ ἡμῶν νόμῳ δώσεις αὐτῷ καὶ τοῖς ἀμφ' αὐτὸν καὶ τῇ

15) Ita Ven. Hal. Bas. Sed Auth. κελεύοντα pro his κατ' αὐτόν τε legere suadet.

γε αὐτοῦ τάξει, καθὰ καὶ μέχρι νῦν ἐδίδοτο. [§. 1.] καὶ ἡ τῶν δημοσίων εἴσπραξις αὐτῷ τε ἐπικείσεται καὶ τοῖς πειθομένοις αὐτῷ πραιτωριανοῖς ταξεώταις, τὰ παράσημά τε[16]) ἑκατέρας ἀρχῆς ἕξει, καὶ εἰ καὶ τὰ μάλιστα στρατιωτικός ἐστιν, ἀλλ' οὖν ἐπί τε ἀπήνης[17]) ἀργυρᾶς καθεδεῖται καὶ ἡγήσεται πέλεκυς αὐτοῦ (ὑπατικῆς γὰρ δὴ καὶ τοῦτο σύμβολον ἀρχῆς), ῥάβδοι τε ὁμοίως αὐτοῦ προπομπεύσουσι[18]), θεραπεύσει τε αὐτὸν καὶ τὸ στρατιωτικὸν ἅπαν τὸ κατὰ τὴν χώραν ἱδρυμένον. ᾧ μελήσει καὶ τὸ λῃστρικὸν ἐκκόπτειν καὶ τοῖς ἀδικουμένοις βοηθεῖν καὶ σώφρονας τοὺς ἡμετέρους ὑπηκόους πρὸς ἀλλήλους ἀποτελεῖν. [§. 2.] ἀλλ' οὐδὲ τοῖς κωμήταις συγχωρήσει πρὸς τοὺς δημοσίους ἀνανεύειν φόρους. ἐν δὲ ταῖς περιβλέπτοις ἀρχαῖς καὶ αὕτη τετάξεται, καὶ εἰ τυχὸν ὁ παραλαβὼν αὐτὴν ἀξίας εἴη μείζονος. τὸ μὲν γὰρ τῶν ἡγησομένων ἔσται τοιοῦτον ὁποῖον ἂν ἡμεῖς ἐπιτηδείως ἔχειν πρὸς τὴν ἀρχὴν ἐγκρίναιμεν, αὐτὴν δὲ δὴ τὴν ἀρχὴν προσῆκόν ἐστιν ἐν ταῖς περιβλέπτοις ἀριθμεῖσθαι, καθάπερ ἀνθύπατοί τε καὶ ὁ τῆς Ἑῴας κόμης καὶ ὁ Γαλατίας τε καὶ ὁ τῆς Φρυγίας εἰσίν. [§. 3.] ὥστε καὶ ἀκροάσεται δικῶν κατὰ τὴν ἐπαρχίαν τὴν αὐτοῦ καὶ χρηματικῶν καὶ ἐγκληματικῶν καὶ τῶν ὑπὲρ ἐλευθερίας, καθάπερ καὶ πάσαις ἔξεστι ταῖς ἀρχαῖς. καὶ τάς γε ἐφέσεις τὰς κατὰ τῶν ἀπὸ κρίσεων αὐτοῦ γινομένας ἐξετάσουσιν ἐνταυθοῖ κατὰ τὸ πάλαι κεκρατηκὸς ἐπὶ τῶν περιβλέπτων ἀρχόντων οἵ τε ἐνδοξότατοι τῶν ἱερῶν ἡμῶν πραιτωρίων ὕπαρχοι ὅ τε ἐνδοξότατος κοιαίστωρ (τοῦτο τὸ ἄνωθεν παραδεδομένον), διότι πολιτικώτερα τὰ τῆς ἀρχῆς ἤδη γέγονεν, ἀναμιχθέντα τοῖς νόμοις, οὓς δὴ καὶ αὐτῶν τῶν ὅπλων ἄρχειν βουλόμεθα.

ϛ'. Κατὰ δὲ τὸν ἔναγχος παρ' ἡμῶν τεθέντα νόμον[19]), εἴ τις δίκη πεντακοσίων νομισμάτων οὐχ ὑπερβαίνοι ποσὸν

16) Verba ἐπικείσεται — παράσημά τε desunt in Ven.
17) Ven. inter lineas καθέδρας. 18) Ven. προπομπεύουσι.
19) Haec lex deperiit.

κατὰ τὴν ἐπαρχίαν τὴν αὐτοῦ, εἶτα ἐφέσιμος παρὰ τοῦ δικάζοντος γένοιτο, ταύτης οὐχ ὁ τῆς Πακατιανῆς Φρυγίας ἄρχων καθάπερ πρότερον[20]) εἰρήκαμεν, ἀλλ' αὐτὸς ἀκροάσεται, εἴτε ἐκ παραπομπῆς ἡμετέρας εἴτε ἔκ τινος τῶν ἐνδοξοτάτων ἡμῶν ἀρχόντων ἡ δίκη παραδοθείη τινὶ, μὴ περιβλέπτῳ μέντοι καθεστῶτι, διὰ τοὺς λογισμοὺς οὓς δὴ τῇ περὶ τῶν ἐκκλήτων ἔναγχος τεθείσῃ προεγράψαμεν διατάξει. καὶ ἔσται καὶ κατὰ τοῦτο σεμνὸς, ὅτι καὶ θεῖον ἀκροατήριον ἕξει, καὶ ἐπιθήσει τῇ δίκῃ πέρας οὐκ ἔτι κατὰ τὸ παλαιὸν ἐνταυθοῖ στελλομένῃ, ὅπως ἂν μὴ διὰ μικρὰς προφάσεις ζημιῶν μεγάλων τὸ πρᾶγμα τοῖς ἡμετέροις ὑπηκόοις ἀφορμὰς παρέχοιτο.[20a]) ταῦτα δὲ καὶ ἡμεῖς αὐτῷ ποιήσομεν φανερά· διεσπούδασται γὰρ τῷ ἡμετέρῳ κράτει μὴ μόνον αὐτοῖς παρέχειν τὰ σύμβολα τῶν ἀρχόντων ἐκ τῶν καλουμένων κωδικέλλων, ὁποῖα τοῖς σπεκταβιλίοις ἄρχουσιν ἐπιδίδοται, ἀλλὰ καὶ ἐκ τῶν βασιλικῶν παραγγελμάτων, ἅπερ μανδάτα πρινκίπις οἱ πρῴην ἐκάλουν βασιλεῖς τε καὶ νομοθέται, ἅπερ γράψαντες ἡμεῖς ἀποτεθῆναι κατὰ τὸ θεῖον ἡμῶν λατέρκουλον παρεκελευσάμεθα, ὅπως ἂν ἐκεῖθεν ἀεὶ διδοῖντο ταῖς ἀρχαῖς ἅμα τοῖς κωδικέλλοις, καὶ οἱ μὲν αὐτοῖς διδοῖεν τὴν ἀρχὴν, τὰ δὲ τὸν ἐκείνης ῥυθμίζοι τρόπον. ἐκ δὲ δὴ τῆς ὑποκειμένης ἀπογραφῆς τῷδε τῷ θείῳ ἡμῶν νόμῳ δῆλον ἔσται, τί μὲν προσῆκόν ἐστιν αὐτὸν γινόμενον[21]) προφάσει τῶν τῆς ἀρχῆς παρέχειν συμβόλων, τί δὲ αὐτῷ τε καὶ παρέδρῳ καὶ τοῖς περὶ αὐτὸν χορηγεῖσθαι. εἰ δὲ καί τινας ἄρχοντας τῶν πλησίον αὐτῶν[22]) ἐπαρχιῶν ἀμελοῦντας εὕροις περὶ τὸ δημόσιον, οὐχ ἕτερον ἐκπέμψεις, ἀλλ' αὐτοῖς τοῖς σπεκταβιλίοις ἄρχουσιν ἐνοχλήσεις, ὥστε αὐτοὺς ἐπιτεθῆναι τοῖς ἐκ γειτόνων ἄρχουσιν εἰ ῥαθυμοῖεν καὶ παρασκευάζειν ταῦτα πᾶσιν εἰσκομίζειν τρόποις.

20) Const. XVI c. 2. 20a) παρέχοι? 21) Supple ἄρχοντα vel πραίτωρα. 22) Scil. τῶν σπεκταβιλίων ἀρχόντων. Cf. c. XXVI epil. Hal. αὐτῷ.

Τὸν τοίνυν παρόντα νόμον ἡμεῖς μὲν ἀποτεθῆναι τῷ τῶν θείων ἡμῶν διατάξεων παρεσκευάσαμεν βιβλίῳ, αὐτὸς δὲ δεξάμενος κατ' αὐτὸν ἅπαντα πρᾶξον ἀθάνατον ἀεὶ παρέξοντα τῆς ἡμετέρας εὐεργεσίας τὴν μνήμην. Dat. XV K. Iun.[23]) CP. Bilisario V. C. cons.

Δεῖ παρέχεσθαι τῷ πραίτωρι Λυκαονίας οὕτως· αὐτῷ μὲν ὑπὲρ ἀννόνων καὶ καπίτων[24]) *καὶ λοιπῆς παραψυχῆς* sol. CCC, *τῷ αὐτοῦ παρέδρῳ* sol. LXXII[25]), *τῇ αὐτοῦ τάξει* auri lib. II.[26]) *δεῖ δὲ αὐτὸν παρέχειν προφάσει συμβόλων οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου* sol. VIIII[27]), *τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων καὶ τοῖς λατερκουλισίοις*[28]) sol. XXIV, *τῷ βοηθῷ αὐτοῦ* sol. III, *τῇ τάξει τῶν ἐνδοξοτάτων ἡμῶν ὑπάρχων ὑπὲρ προσταγμάτων καὶ πάσης ἑτέρας αἰτίας* sol. LX.[29])

Auth. 26. **XXV.** Nov. 26.

Basil. VI, 10. — Summas praestant Iulian. c. 19, Athanas. IV, 6, Theod. Nov. 26.

Περὶ τοῦ πραίτωρος Θρᾴκης.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἐκεῖνο τῶν ἀνωμολογημένων ἐστὶν, ὅτι περ εἴ τις την Θρᾳκῶν ὀνομάσειε χώραν, εὐθὺς συνεισέρχεται τῷ λόγῳ καὶ

23) Ath. *πρὸ ιε' καλ....* Theod. *μηνὶ ἰουνίῳ.* 24) Ven. *καπιτατιόνων.* 25) Firmat Theod. Bas.: *ο'.* 26) Theod. *νομ. ρκθ'*, quod in *ρμθ'* mutandum, ut auri librae II fiant. Ven. inter lineas *χρυσίου λίτρας β'.* 27) Ven. VIII, et supra lineam *η'.* 28) Ven. inter lineas *τοῖς οἰκειακοῖς*, et mox *νομίσματα κα'* (sic). 29) Ven. XI, sed supra lineam scriptum *νομίσματα ξ'*, quod habent Hal. Bas. et Theod. Legrim XL.

τις ἀνδρεία καὶ στρατιωτικοῦ πλήθους καὶ πολέμων καὶ μάχης ἔννοια· ταῦτα γὰρ ἐγγενῆ τε καὶ πάτρια τῇ χώρᾳ καθέστηκεν ἐκείνῃ. ὥστε ἡμῖν πρότερον γέγονεν ἔννοια καὶ τὰ περὶ ἐκείνων καταστήσασθαι τῶν τόπων, καὶ νῦν ἐπὶ τοῖς βεβουλευμένοις ἤδη τὸν παρόντα τίθεμεν νόμον. ἐπὶ γὰρ τοῦ Μακροῦ Τείχους δύο τινὰς καθῆσθαι καὶ βικαρίους ὀνομάζεσθαι σύνισμεν ἅπαντες, τὸν μὲν στρατιωτικῶν ἡγούμενον τάξεων (πολλαὶ δὲ αἱ κατὰ τὸν τόπον ἐκεῖνον δυνάμεις), τὸν δὲ τοῖς πολιτικοῖς πράγμασιν ἐφεστῶτα. ἄμφω δὲ οὗτοι πληροῦσιν ὁ μὲν τὴν τῶν ἐνδοξοτάτων ὑπάρχων ἐκεῖσε τάξιν, ὁ δὲ τὴν τῶν ἀνδρειοτάτων στρατηγῶν, ὁμονοοῦσι δὲ οὐδέποτε πρὸς ἀλλήλους, ἀλλὰ τὸ μὲν δημόσιον ἑκάστῳ καὶ σιτήσεις χορηγεῖ καὶ τὴν ἄλλην δίδωσι παραψυχήν, οἱ δὲ μίαν ἔχουσι διηνεκῆ τε καὶ ἀτελεύτητον πρᾶξιν τὸ φιλονεικεῖν πρὸς ἀλλήλους ἀθάνατα.

α'. Ἔδοξε τοίνυν ἡμῖν ἔχειν ὀρθῶς τοῦτο ὅπερ καὶ ἐν ἑτέροις πεποιήκαμεν ἔθνεσι, καίτοιγε οὐχ οὕτω μαχίμοις οὐδὲ στρατιωτικῆς φρουρᾶς δεομένοις, τοῦτο κἀνταῦθα πρᾶξαι, καὶ τούτων δὴ τῶν ἀρχῶν ἑκατέραν εἰς ταὐτὸ συνελκύσαι, ὥστε μὴ τὸν μὲν ἐπὶ τῶν πολιτικῶν εἶναι πραγμάτων τὸν δὲ στρατιωτῶν[1]) καὶ μόνων ἐξάρχειν, ἀλλὰ μίαν ἀρχὴν ἐγκαταστῆσαι τῷ τόπῳ σεμνήν τινα καὶ αἰδοῦς ἀξίαν, ἥπερ ὁμοίως τῶν πολιτικῶν ἐκεῖσε πραγμάτων ἐπιμελήσεται τῆς τε τῶν στρατιωτῶν εὐκοσμίας φροντιεῖ. ὁ μὲν γὰρ τῆς ἐπαρχίας ἡγούμενος ἐν ἑτέροις τισὶν ἐστὶ τόποις μόλις ἐκείνοις ἀρκῶν, [§. 1.] ἡ δὲ τῶν τειχῶν τούτων φυλακὴ καὶ ἡ περὶ τοὺς τόπους ἐκείνους διοίκησις καὶ εὐταξία τε καὶ στρατηγία δεῖταί τινος ἀνδρὸς ἀγαθοῦ καὶ πρὸς ἑκάτερον ἔχοντος ἐπιτηδείως, στρατιώτας τε κοσμεῖν καὶ νόμων ἐξάρχειν. τί ποτε ἂν οὖν ὄνομα τούτῳ πρόσφορον ἐκ τῆς ἀρχαιότητος θείημεν; ἢ ποίαν λαβόντες προσηγορίαν τῷ τὴν ἀρχὴν

1) Hal. στρατιωτικῶν.

ˌοντι ταύτην ἁρμόσαιμεν; ἢ οὐκ αὐτόθεν ἐστὶ φανερὸν, ις καὶ οὗτος πραίτωρ ὀνομασθήσεται τὴν τῆς ἡμετέρας ὐσεβείας προσλαμβάνων ἐπωνυμίαν, καθάπερ ὁ Πισιδίας ι ἡγούμενος καὶ ὁ Λυκαονίας ἐξάρχων ὠνόμασταί τε καὶ έγονε παρ' ἡμῶν[2]); εἰ γὰρ ὁ πραίτωρ ὁ Ῥωμαίων στρατηός τε ὁμοῦ καὶ νομοθέτης ταύτην ἐπὶ τῆς οἰκείας ἀρχῆς ῖχε τὴν τάξιν, τῶν ἀνωμολογημένων ἐστὶν, ὅτι πρεπωδέσταον ἂν εἴη τὸ πραίτωρος ὄνομα τῇ τῆς ἀρχῆς ταύτης προηγορίᾳ. στρατιωτῶν μὲν γὰρ ἡγήσεται πλήθους, ἰδιώτας δὲ ὐκ ὀλίγους ὑποκειμένους ἕξει οἷς τὰ ἐκ τῶν ἡμετέρων διαιήσει νόμων. καὶ δεῖ γε τοῖς τόποις[3]) ἀνδρὸς ἀγαθοῦ τά ε πολιτικὰ τά τε πολέμια· καὶ γὰρ ἐν τοῖς ἔμπροσθεν χρόοις ἀεί τινες ἄνδρες στρατιωτικοὶ τῶν ἐπὶ μεγίστων ἀξιωάτων ὄντες τῶν τε ἐκεῖσε δυνάμεων ἐξηγοῦντο, τοῖς τε λλοις ἅπασιν ἐβοήθουν, εἰ καὶ μὴ στρατιῶταί τινες ἰδιῶαι δὲ ἐτύγχανον ὅμως·[3a]) αἱ γὰρ ἐπιδρομαὶ τῶν βαρβάρων ὐ μετρίας χρήζουσι τῆς ἀντιστάσεως. δεῖ δὲ τὰ κατ' αὐτοὺς κιτετράφθαι τῷ μετὰ τῶν νόμων αὐτῶν ἡγεῖσθαι δυναένῳ, ὡς πολὺ τὸ διαφέρον ὂν τάξεώς τε καὶ ἀταξίας. καὶ ἅπασίν ἐστι φανερὸν, ὡς τὸ μὲν στρατιωτικὸν, εἰ μόνον εἴη αὶ καθ' αὑτὸ, θρασύτερον ἔσται τοῦ πρέποντος, τὸ δέ γε πολιτικὸν, εἰ μὴ τῷ στρατιωτικῷ συναναμίγνυται, καταδεέστερον ἔσται τοῦ μετρίου, τὸ δὲ ἑκατέρωθεν εἰς ταὐτὸ συνελθὸν τοῦτο τελεώτατόν τε καὶ αὔταρκές ἐστι, καὶ πρὸς πόλεμόν τε ὁμοῦ καὶ εἰρήνην ἐξαρκοῦν.

β'. Οὐκοῦν καὶ τὰ τῆς ἀρχῆς ταύτης συνήφθω καὶ πραίτωρ οὗτος Ἰουστινιανὸς ἐπὶ Θρᾴκης καλείσθω.[4]) σύμβολα δὲ αὐτῷ παρ' ἡμῶν ἔσται κωδίκιλλοί τε φοιτῶντες ντεῦθεν κατὰ τὸ τῶν λοιπῶν σπεκταβιλίων ἀρχόντων σχῆμα, αἵ τινες καὶ ὑποθῆκαι βασιλικαὶ, τὸν τρόπον ὑφηγούμεναι

2) Const. XXIII et XXIV. 3) Ven. τρόποις. 3a) ὄντες?
4) Bas. καλεῖσθαι, καθῆσθαι δὲ αὐτὸν ἐπὶ τοῦ Μακροῦ Τείχους.

καθ' ὃν διανύσει τὴν ἀρχήν, ἅπερ οἱ πρὸ ἡμῶν μανδάτα πριγκίπις ἐκάλουν, μεθ' ὧν ἐπὶ τὴν χώραν ἐξιόντες οἱ τὰς ἀρχὰς διακληρούμενοι τὸ πρακτέον ἐκεῖθεν ἐλάμβανον. καὶ τὸ πρᾶγμα προὐχώρει καλῶς, καὶ ἦν τοῖς πραίτωρσιν ἐνευδοκιμεῖν ἐπὶ πολλῶν τῆς ἡμετέρας πολιτείας[5]) ἐθνῶν, καὶ μάλιστα τῶν ἑσπερίων, ἀφ' ὧν Ῥωμαῖοι προελθόντες τήν τε ἄρκτον ὡς εἰπεῖν ὅλην, μεσημβρίας τε καὶ τῆς ἑῴας τὰ πλεῖστα κατεκτήσαντο. ὅσα τοίνυν ἐν τῷ παρ' ἡμῶν ἔμπροσθεν εἰρημένῳ γέγραπται νόμῳ περὶ τῶν ἀρχῶν[6]), καὶ ὁπόσα τῷ τε Πισιδίας τῷ τε Λυκαονίας διειλέγμεθα πραίτωρι, περὶ τοῦ προῖκα μὲν αὐτοὺς ἐντεῦθεν χειροτονεῖσθαι, προῖκα δὲ δεῖν τοῖς ὑπηκόοις προσφέρεσθαι τοῖς ἡμετέροις, ἅπασιν ἤδη ἐστὶ φανερά· εἰς ὅλην γὰρ ἄρτι τὴν ὑπήκοον ἐκπεφοίτηκεν ὁ νόμος καὶ ἅπασιν ἤδη γέγονε γνωριμώτατος, ᾧ δὴ καὶ ὅρκος ἐγγέγραπται, καθ' ὃν προσῆκόν ἐστι τοὺς ἡμετέρους ἄρχοντας παραλαμβάνοντας τὰς ἀρχὰς τὴν ἑαυτῶν ψυχὴν ἀνιεροῦν τῷ θεῷ, καὶ φυλάττειν τοὺς ἡμετέρους ὑπηκόους ἐν ἰσότητί τε καὶ δικαιοσύνῃ πάσης ἀπηλλαγμένους αἰσχροκερδείας τε καὶ δυσμενείας καὶ χάριτος. [§. 1.] ταξεῶται δὲ αὐτὸν θεραπεύσουσιν οὐ πλείους τῶν ἑκατόν. καὶ ἕξει μὲν τὰ τῆς πολιτικῆς ἀρχῆς σύμβολα, ἕξει δὲ τὰ τῆς στρατιωτικῆς. καὶ παρέσται μὲν αὐτῷ καὶ ἀδ ῥεσπόνσουμ διὰ τὰς ἐκεῖσε δυνάμεις, ἕξει δὲ ἄδειαν καὶ ἐπιτάττειν αὐταῖς καὶ τὰ λυσιτελοῦντα τῇ πολιτείᾳ μετ' αὐτῶν ἐργάζεσθαί τε καὶ πράττειν. [§. 2.] ἡ δὲ τῶν περὶ τοὺς τόπους ἐκείνους τῶν δημοσίων φόρων εἴσπραξις αὐτόν τε καὶ τὴν τάξιν ὄψεται τὴν αὐτοῦ. πραιτωριανή τε ἅπασα ἡ τάξις κληθήσεται, τοῖς ἐντεῦθεν στρατευομένη συμβόλοις ἐκ τοῦ θείου τῶν ἐπιστολῶν σκρινίου φοιτῶσιν, ἐξ οὗ καὶ ἡ βικαριανὴ πρῴην ἐκομίζετο τὰ τοιαῦτα σύμβολα τάξις.

γ'. Μελήσει δὲ αὐτῷ πρῶτον μὲν δώρων καθαρὰς

5) πολιτείας deest in Ven. 6) Const. XVI.

φυλάττειν τας χεῖρας, ἔπειτα πᾶσαν ἰσότητα τοῖς ἡμετέροις ὑπηκόοις ἰδίᾳ τε καὶ δημοσίᾳ τηρεῖν δικαζομένοις τε καὶ συμβόλαια πρὸς ἀλλήλους πράττουσιν, ὥστε στάσιν τε ἅπασαν αὐτῶν[7]) ἐξελαύνεσθαι. καὶ τοὺς μὲν στρατιώτας ἀεὶ ταῖς πολεμικαῖς γυμνασίαις ἀποτελεῖν καλλίους τε καὶ προθυμοτέρους, τοὺς ἰδιώτας δὲ ῥυθμίζειν τῷ νόμῳ, δικαίους τε καὶ κακουργίας[8]) ἁπάσης ἐλευθέρους ἀποτελεῖν, ὥστε τοὺς μὲν εἰς δικαιοσύνην, τοὺς δὲ εἰς ἀνδρείαν αὔξεσθαι. καὶ εἴ τις γένοιτο πολέμου χάριν ἐκδρομή, ταύτην ῥᾷστα ποιεῖσθαι, τάξεώς τε παρούσης ἑκατέρας, καὶ τῆς μὲν ὑπηρετουμένης ὁπόσα πολιτικοῖς ταξεώταις πρέπει, τῶν δυνάμεων δὲ ἀπροφασίστως τὰς πολεμικὰς ἀνειργόντων ἐφόδους. [§. 1.] δεῖ δὲ αὐτὸν καὶ τῶν δικῶν εἴτε εἰς χρήματα βλέπουσιν εἴτε εἰς ἐγκλήματα εἴτε εἰς ὁποιονοῦν ἄλλο κατακούειν, καὶ δικάζειν ὀρθῶς καὶ πρὸς τοὺς ἡμετέρους νόμους καὶ πάθους ἕνεκεν οὐδενὸς, ὥστε μή τινας ἐκεῖθεν ἐκτρέχοντας τὸ ἡμέτερον ἐνοχλεῖν κράτος· οὐδὲ γὰρ βουλόμεθα τοὺς ἡμετέρους ὑποτελεῖς καταλιμπάνοντας τὴν χώραν ἐνταυθοῖ τρέχειν ὑπὸ τῶν κατὰ χώραν περιορωμένους ἀρχόντων. εἰ γὰρ καὶ ὕστερον μέλλοιμεν ἐκ τῶν αὐτόθεν φοιτώντων ἐνοχλεῖσθαι, πευσόμεθα πάντως τῶν ἀδικουμένων[9]), εἰ ταῦτα προσαγγείλαντες ἔτυχον τῷ τὴν ἀρχὴν ἔχοντι· καὶ εἰ μὲν μάθοιμεν αὐτοὺς ταῦτα μὴ προσαγγεῖλαι, σὺν ἐπιτιμήσει πάσῃ στελοῦμεν αὐτοὺς κατὰ χώραν· εἰ δὲ οἱ μὲν προσήγγειλαν, ὁ δὲ τὴν ἀρχὴν ἔχων ἢ ἐῤῥαθύμησεν ἢ κατ' ἄλλην αἰτίαν οὐκ εὐπρεπῆ τῶν νόμων ἠμέλησε, τότε ἐπ' αὐτὸν τὴν πᾶσαν τρέψομεν κίνησιν. ὥσπερ γὰρ αὐτῷ δεδώκαμεν χορηγίαν πλείονα (φαμὲν δὲ τὴν ἑκατέρας ἀρχῆς) καὶ ἀνθρώπων αὐτὸν προὐβαλόμεθα τοσούτων, οὕτως εἰ μάθοιμεν αὐτὸν ἀναξίως περὶ τὴν ἀρχὴν φερόμενον, οὔτε ἐνδώσομεν

7) Hal. *ἅπασαν αὐτῶν ἀδικίαν*. Itaque adde *καὶ ἀδικίαν*, ut sit quod praecedenti *τε* respondeat. 8) Hal. *πανουργίας*. 9) Hal. *ἀφικνουμένων*.

οὔτε ἐπὶ μετρίοις στήσομεν τὴν ποινήν, ἀλλ' ὅσον αὐτὸν εἰς ὕψος αἴρομεν εὐκοσμοῦντα, τοσοῦτον αὐτῷ παρὰ τοὺς ἡμετέρους τὶ πράττοντι νόμους ἐπιτιμήσομεν. δεῖ δὲ αὐτὸν πρὸς μηδένα παντελῶς ὑποκατακλίνεσθαι, μηδ' ἂν εἴ τις εἴη τῶν ἐπισήμων μηδ' ἂν εἰ σφόδρα πλουτοίη. διὰ τοῦτο γὰρ δὴ καὶ σεμνοτέροις παραδίδομεν τὰς τοιαύτας ἀρχάς, ἵνα μὴ ῥαδίως ἐνδιδοῖεν τοῖς ἐκ τοῦ πλουτεῖν βουλομένοις ἀδικεῖν.

δ'. Ἐπιμελήσεται δὲ καὶ τῶν ἔργων ἁπάντων τῶν ἐκεῖσε, καὶ οὐ συγχωρήσει διαφθαρῆναι οὔτε λιμένας οὔτε τείχη οὔτε γεφύρας οὔτε ὁδοὺς οὔτε τὶ τῶν ἄλλων, ἀλλ' αὐτὸς ὁπόσα δυνατὸν ἐκ τῶν πολιτικῶν πόρων ἐπανορθωθῆναι παρασκευαζέτω (καὶ εἴ τι τούτων μείζονος δεόμενον ἐστι φροντίδος, τοῦτο εἰς ἡμᾶς μηνυέτω), καὶ τοὺς λογισμοὺς γίνεσθαι κατὰ τοῦτο δὴ τὸ παρ' ἡμῶν νομοθετηθέν.[10] οὐδὲ γὰρ ἔτι βουλόμεθά τινας ἐκ τῆς ἀρχῆς ἧπερ ἐφέστηκας[11]) στέλλεσθαι κατὰ χώραν τὰς συνήθεις ταύτας ἔχοντας ἐμπορίας[12]), ὑδάτων τε ἀναζητήσεις καὶ κήπων καὶ τειχῶν καὶ εἰκόνων καί τινων τοιούτων, ἅπερ καὶ πάλαι παντελῶς ἀνῃρῆσθαι συνείδομεν, ἀλλ' αὐτὸς μὲν κατεξεταζέτω τὰ γινόμενα, καὶ λόγους ὑπέχειν αὐτοὺς[13]) κατὰ τὴν θείαν ἡμῶν ποιείτω διάταξιν. [§. 1.] εἰ δέ γε ἡμεῖς συνείδοιμεν ἕτερόν τινα πρὸς τοῦτο στεῖλαι, τοῦτο διὰ πραγματικοῦ πράξομεν τύπου καὶ πρὸς τὴν σὴν εἴπερ συνείδοιμεν ἀρχὴν φερομένου. πανταχόθεν γὰρ τοὺς ἡμετέρους ὑπηκόους ἐξαρπάζοντες καὶ ἐλευθέρους ποιοῦντες βλάβης, διὰ τοῦτο καὶ χρημάτων ὑπερείδομεν (ὥς που καὶ αὐτὸς οἶσθα) μεγάλων, καὶ τοσαύταις σιτήσεσι τούς τε ἄρχοντας τάς τε τάξεις τούς τε ἀμφ' αὐτοὺς ἐψυχαγωγήσαμεν, ὥστε μὴ δι' ἔνδειαν τυχὸν

10) l. 4 C. de discussorib. 10, 30. 11) Praefectum Praet. alloquitur imperator, non praetorem Thraciae. 12) ἐποψίας? Cf. l. 4 §. 7 C. de discuss. 10, 30 et supra const. XXIV c. 4 §. 2. 13) αὐτοὺς non habet pro referatur. Itaque ad: τὰ γινόμενα addendum videtur παρὰ τῶν πατέρων.

τι τοιοῦτον ἀπρεπῶν τινων ἅπτεσθαι πραγμάτων, ἀλλ' ἐπισήμους τε εἶναι καὶ ἐκ τῆς μεγάλης βουλῆς, καὶ οὕτω φοιτᾶν ἐν τῇ χώρᾳ μετὰ τῆς τοῦ θεοῦ τε καὶ ἡμῶν μνήμης· ὃν εἰ μὴ κατά τινα τρόπον ἐκλάθοιτο, καλλίων ἑαυτοῦ διὰ πάντων ἔσται. [§. 2.] εἰ δὲ ὑπατικοῖς τε καὶ πραιτωριανοῖς ἀνδράσιν οἱ πάλαι Ῥωμαῖοι τὰς ἀρχὰς ἐπέτρεπον, οὐκ ἄπο τρόπου καὶ ἡμεῖς πράξομεν, εἰ καὶ τοιούτοις αὐτάς τισι παραδώσομεν, οἵπερ καὶ τὰς ἐπηρείας ἀναστέλλουσι[14]) τῶν ἐντεῦθεν πρακτόρων τῶν ἐν ταῖς ἐπαρχίαις γινομένων καὶ τοὺς ἡμετέρους ὑποτελεῖς πειρωμένων ζημίαις περιβαλεῖν ἀλόγοις τῆς τοιαύτης ἀνάγκης ἐκλύσειαν. καὶ γὰρ δίδομεν αὐτῷ παῤῥησίαν καὶ ταῦτα πολυπραγμονεῖν καὶ κωλύειν καὶ εἰς ἡμᾶς μηνύειν, καὶ τὰ μὲν οἴκοθεν ἐπανορθοῦν, τὰ δὲ ἧττον πρὸς τὴν ἡμετέραν ἀναφέρειν γνῶσιν, ὥστε ἐφ' οἷς ἐνδεέστεροι τῶν πραγμάτων εἰσὶν, ἐπὶ τούτοις αὔξεσθαί τε καὶ ἀναπληροῦσθαι τῇ τῆς ἡμετέρας γνώμης τε καὶ κελεύσεως προσθήκῃ.

ε'. Ταῦτα αὐτοῖς καὶ ἐν τοῖς βασιλικοῖς παραγγέλμασιν ὑποθησόμεθα καὶ μετὰ τῶν συμβόλων αὐτὰ τῶν ἀρχικῶν ἐπιδώσομεν, ὥστε μεμνημένους τῶν ὅρκων οὓς ὑφέξουσι καὶ τῶν ὑποθηκῶν ἃς αὐτοῖς δώσομεν ἡμῶν τε καὶ τῆς ἡμετέρας ἐννοίας ἀξίως τὸν οἰκεῖον κατακοσμεῖν βίον, καὶ κυβερνᾶν τὴν ἀρχὴν μετὰ τῶν νόμων τῶν ἡμετέρων. ταῦτα ἐστὶν, ἐφ' οἷς αὐτοῖς παραδίδομεν τὴν ἀρχὴν, διδόντες αὐτοῖς ὡς εἴρηται καὶ τοῦ δικάζειν ἅπασαν ἐξουσίαν χρηματικαῖς τε καὶ ἐγκληματικαῖς καὶ πάσαις ἁπλῶς ὑποθέσεσι, καὶ τὴν ἔκκλητον τὴν αὐτοῖς ἐπιδιδομένην ἐπὶ τοὺς ἐνδοξοτάτους ἡμῶν ὑπάρχους καὶ τὸν ἐνδοξότατον ἄγειν κοιαίστωρα, κοινῇ τῆς ὑποθέσεως ἀκροωμένους κατὰ τὸ τῶν εἰς τὸ θεῖον τέμενος εἰσαγομένων δικῶν σχῆμα. εἰ δέ τις κατὰ τοὺς τόπους ἐκείνους ἐφέσιμος γένοιτο δίκη τῶν πεντακοσίων ἐλάττων

14) Ven. addit *καί*. Malim mox legere *καὶ τούτους τῆς τοιαύτης ἀ. ἐκλ.*

χρυσῶν, εἰ καὶ ἐκ χαρτοπρατῆς ἢ βασιλικῆς ἢ ἀρχικῆς εἴη καὶ ὁ τὴν δίκην ἐκτραπεὶς οὐκ εἴη σπεκταβίλιος δικαστὴς τὴν ἀπ' ἐκείνων τῶν τόπων ἔκκλητον ἐπ' αὐτὸν χωρεῖν καὶ ἀκούειν αὐτὸν ὡς ἐν θείῳ τεμένει· κοσμοῦμεν γὰρ αὐτοῦ καὶ τούτῳ τὴν ἀρχὴν τῷ τρόπῳ, καὶ ὁμοίαν τίθεμεν τῷ τε περιβλέπτῳ κόμητι τῆς Ἕω, ταῖς τε ἀνθυπατείαις, τοῖς τε κόμησι Φρυγίας τε καὶ Γαλατίας, ὥστε καὶ αὐτὴν εἶναι spectabilian καθάπερ ἐκεῖναι καὶ ἐπὶ τούτου τοῦ σχήματος ἑστάναι· οὐδὲν τοῦδε ἡμῶν τοῦ νόμου τὴν τοῦ λαμπροτάτου τῆς ἐπαρχίας ἄρχοντος ἐλαττοῦντος ἀρχὴν, ἀλλ' ἐκείνου τε ἐν τοῖς ἄλλοις τῆς ἐπαρχίας τόποις πράττοντος ἅπερ ἴδια τῶν νόμων ἐστὶ, τούτου τε ἐν οἷς ἵδρυται μέρεσι τὴν ἐπιτεταγμένην αὐτῷ παρ' ἡμῶν πληροῦντος φροντίδα. [§. 1.] ὑποτεθήσεται δὲ παρ' ἡμῶν καὶ ἀπογραφὴ τῷδε τῷ νόμῳ, λέγουσα τί μὲν αὐτὸν[15]) προσήκει χορηγεῖν προφάσει τῶν συμβόλων τῆς ἀρχῆς, τί δὲ κομίζεσθαι αὐτόν τε καὶ τοὺς περὶ αὐτὸν ἐκ τοῦ δημοσίου κατὰ τὴν τῶν σιτήσεων πρόφασιν, ἅπερ καὶ μόνα λαμβάνειν αὐτοῖς ἐφίεμεν ἀλλοίου παντὸς κέρδους ἀπεχομένοις. διὰ τοῦτο γὰρ καὶ σεμνοτέρους ποιοῦμεν αὐτοὺς χορηγίαις μείζοσιν, ἵνα καὶ αὐτοὶ ταύτην ἡμῖν ἐπὶ τῶν ἔργων ἀντιδιδοῖεν τὴν ἀμοιβὴν, τοὺς ἡμετέρους ὑπηκόους διὰ πάντων περισώζοντες καὶ τῶν ὅρκων οὓς ὑφέξουσι μεμνημένοι. τὸν δὲ δὴ παρόντα νόμον ἕξει μὲν καὶ τὸ τῶν νόμων βιβλίον, καὶ ὁ σὸς δὲ θρόνος δεχόμενός τε καὶ μανθάνων διηνεκῶς αὐτὸν ἐπ' αὐτῶν φυλαττέτω τῶν ἔργων. Dat. XV K. Iun.[16]) CP. Bilisario V. C. cons.

Δεῖ δὲ παρέχεσθαι τῷ πραίτωρι Θρᾴκης ὑπὲρ ἀννόνων καὶ καπίτων[17]) καὶ λοιπῆς παραψυχῆς sol. CCC[18]), τῷ αὐτοῦ παρέδρῳ sol. LXXII[19]), τῇ αὐτοῦ τάξει aur.

15) Ven. αὐτῷ. 16) Athan. πρὸ ιε' καλ. ἰαννουαρ. Sed Iunias firmant Iulian. Theod. Auth. 17) Ven. καπιτατιόνων unde Bas. κεφαλητιόνων effecerunt. 18) Ven. SOLδCCC, et super lineam νομίσματα σ'. Unde Hal. et Bas. διακόσια. 19) Ven. XXII, sed supra lineam νομ. οβ' Theod. ιβ'.

b. II.[20]) δεῖ δὲ αὐτον παρέχειν προφάσει συμβόλων οὕτως· οἷς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου ol. VIIII[21]), τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων καὶ τοῖς λατερκουλισίοις sol. XXIV[22]), τῷ βοηθῷ αὐτοῦ sol. III, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προσταγμάτων καὶ πάσης ἑτέρας αἰτίας sol. XL.[23])

Auth. 27. XXVI. Nov. 27.

Bas. VI, 11. — Summas praestant Iulian. c. 20, Athan. IV, 7, Theod. Nov. 27.

Περὶ τοῦ κόμητος Ἰσαυρίας.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ὅπερ τισὶ τῶν πρὸ ἡμῶν αὐτοκρατόρων ἐν εἰκόνι καὶ σχήματι κατὰ τὴν Ἰσαύρων χώραν ἦλθεν ἐπὶ νοῦν πρᾶξαι, τοῦτο ἡμεῖς αὐτοῖς τοῖς πράγμασι δι' αὐτῆς τῆς τῶν ἔργων ἰσχύος ἐπί τε Γαλατίας ἐπράξαμεν τῆς πρώτης ἐπί τε τῆς Πακατιανῆς Φρυγίας[1]), τὴν τῶν πρῴην καλουμένων βικαρίων ἀρχὴν ἑνώσαντες ταῖς πολιτικαῖς καὶ μίαν καταστησάμενοι τάξιν, καὶ διακοσμήσαντες αὐτὰς ὡς ἐχρῆν, καὶ ἑκάστῳ δόντες ἀντὶ τῆς πρῴην προσηγορίας τὸ τῶν κομήτων ὄνομα, ὥστε τὸν μὲν κόμητα Γαλατίας καλεῖσθαι τῆς πρώτης[2]), τὸν δὲ κόμητα Πακατιανῆς ὀνομάζεσθαι Φρυγίας, παρε-

20) Theod. λίτρας β'. Bas. χρυσίου λίτρας β'. Idque apud Hal. in χρυσοῦς νβ' corruptum. Ven. auri lib. V, sed supra lineam χρυσίου λίτρας β'. 21) Ven. supra lineam νομ. θ'. 22) Ven. sol. XXI, sed supra lineam νομ. κδ'. 23) Ven. XI, sed supra lineam νομ. μ'. Hal. et Bas. μ'. Theod. γ'.

1) Const. XVI c. 2. 3. 2) Ven. omittit καλεῖσθαι τ. πρ.

πομένης ἑκατέρῳ τούτων αὐτῶν[3]) καὶ τῆς ἡμετέρας ἐ
νυμίας.

α'. Τοῦτο δὴ καὶ κατὰ τὴν Ἰσαύρων πράττομεν χώ
οὐ γὰρ ἔτι βουλόμεθα τὸν ἐπὶ ταύτης γινόμενον τῆς ἀρ
διπλοῖς χρῆσθαι συμβόλοις, καὶ λαμβάνειν μὲν καὶ τὴν
πολιτικῆς ἀρχῆς προσηγορίαν, λαμβάνειν δὲ καὶ τὰ
στρατιωτικῆς ἐξουσίας σημεῖα, καὶ ὄνομα περιφέρειν διπλ
πράγματος ὄντος ἑνός, ἀλλ' αὐτόθεν μίαν εἶναι τὴν ἀρ
αὐτῷ τίθεμεν, αὐτὴν μὲν προνοοῦσαν τῶν ὅπλων, αὐ
δὲ τῶν δημοσίων ἀντιλαμβανομένην, ἅπαντα δὲ ἔχου
ὑφ' ἑαυτῇ, καὶ μιᾷ χρωμένην τάξει κομητιανὴν τε προσα
ρευομένην καὶ κομιζομένην[4]) τὰ σύμβολα τῆς στρατείας
τοῦ θείου τῶν λιβέλλων σκρινίου. ἔσται δὲ καὶ αὐτὴ π
τελῶς ἄμισθος, καὶ οὐ παρέξει χρημάτων οὐδεμίαν δό
ἀλλὰ καὶ αὐτὴ καθαραῖς χρήσεται ταῖς χερσὶ καθάπερ
λοιπαί, καὶ καταπέμψομέν τε καὶ πρὸς αὐτὴν τὸν ἔναγ
παρ' ἡμῶν πεφοιτηκότα νόμον.[5]) δώσομεν δὲ αὐτῇ π
τοῖς κωδικίλλοις, οἵπερ αὐτὸν τοῖς σπεκταβιλίοις ἐγγράψου
ἄρχουσι, καὶ τὰ θεῖα παραγγέλματα ταῦτα δὴ τὰ μανδ
πρινκίπις[6]) παρά τε τοῖς ἀρχαίοις ὀνομαζόμενα, παρ' ἡμ
τε αὖθις εἰς πολιτείαν εἰσενεχθέντα, ἐξ ὧν μαθήσεται,
προνοητέον αὐτῷ καθέστηκε καὶ τῶν δημοσίων ἁπάντ
καὶ τῶν ἰδιωτικῶν συμβολαίων καὶ τῆς εὐκοσμίας τῆς ἄλλ
καὶ τοῦ κατὰ μηδὲν βλαβῆναι τὸ δημόσιον, καὶ ἁπλ
ἅπαντα ὅσα προσῆκόν ἐστιν αὐτὸν ποιεῖν ἐκεῖθεν αἱ
γενήσεται φανερά.

β'. Ἴστω δὲ μόνον τοσοῦτον, ὅτι καὶ αὐτὸς ἐν τ
περιβλέπτοις ἄρχουσι τέτακται, καὶ τῶν ἐφέσεων τῶν π
ἐκείνου γινομένων οἵ τε ἐνδοξότατοι ὕπαρχοι τῶν ἱερ
ἡμῶν ἀκροάσονται πραιτωρίων, ὅ τε ἐνδοξότατος ἡμ

3) τούτων vel αὐτῶν abundat. 4) Hal. rectius κομητι
τε προσαγορευομένη καὶ κομιζομένην (l. κομιζομένη). 5) Co
XVI. 6) Ven. addit ἤτοι τὰ βασιλικὰ ἐντάλματα.

:αίστωρ, καθάπερ αὐγουσταλίου καὶ ἀνθυπάτου καὶ πραι-ρων τριῶν τῶν νῦν παρ' ἡμῶν ἐγκαταστάντων Πισιδίᾳ καὶ Λυκαονίᾳ καὶ Θράκῃ καὶ τοῦ κόμητος τῆς Ἑῴας, ἰ.πρός γε τοῦ κόμητος τῆς Πακατιανῆς Φρυγίας, Γαλα-ας τε πρώτης. εἰ δέ τις τῶν ἐν Ἰσαυρίᾳ δικῶν ἐλάττων ῃ τῶν πεντακοσίων χρυσῶν, εἶτα ἐφέσιμος γένηται, ταύτης ιὸς ἀκροάσεται κατὰ τὸ τῶν θείων ἀκροατηρίων σχῆμα· ὶ γὰρ δὴ καὶ τοῦτο δίδομεν αὐτῷ, σεμνοτέραν αὐτῷ καὶ πὰ τοῦτο τὴν ἀρχὴν ἀποφαίνοντες.

Ἡ τοίνυν σὴ ὑπεροχὴ κατὰ μίμησιν τῶν εἰρημένων ρχῶν καὶ τὰ περὶ αὐτὸν[7]) διαταξάτω. ὑποθήσομεν γὰρ ιῷ[7a]) καὶ ἀπογραφὴν τῷδε ἡμῶν τῷ νόμῳ, δηλοῦντες τί ὶν αὐτόν τε καὶ τὴν αὐτοῦ τάξιν καὶ τὸν αὐτοῦ πάρεδρον τοῦ δημοσίου προσήκει κομίζεσθαι, τί δὲ προφάσει τῶν ρχικῶν διδόναι συμβόλων. καὶ ἴστωσαν οἱ παρ' ἡμῶν ντας δὴ τὰς ἔναγχος κατακοσμηθείσας ὑφ' ἡμῶν ἀρχὰς ραλαμβάνοντες, ὡς ἠνεσχόμεθα χρήματά τε ὑπὲρ τῶν ρχῶν συνεχῶς προσφερόμενα παντελῶς ἀποσείεσθαι, αὐ-ι[8]) τε οἴκοθεν καὶ τοῖς παρέδροις αὐτῶν ἅπερ οὐκ ν διδόναι, καὶ ταῖς τάξεσι τὰ παρ' ἑτέρων ἀφῃρημένα ιλοτιμήσασθαι, καὶ αὐτοῖς τοῖς ἄρχουσι μείζονα ποιήσα-θαι τὴν παραμυθίαν, ἵνα πανταχόθεν τοὺς ἡμετέρους ηκόους φυλάξωμεν ἀπαθεῖς. εἰ δὲ καί τινας ἄρχοντας ν πλησίον αὐτῶν ἐπαρχιῶν ἀμελοῦντας εὕροις περὶ τὸ ημόσιον, οὐχ ἕτερον ἐκπέμψεις, ἀλλ' αὐτοὺς τοὺς σπεκτα-βιλίους ἄρχοντας ἐνοχλήσεις, ὥστε αὐτοὺς ἐπιτεθῆναι τοῖς κ γειτόνων ἄρχουσιν εἰ ῥαθυμοῖεν καὶ παρασκευάζειν ντα πᾶσιν εἰσκομίζειν τρόποις, ὥστε εἶναι τὴν ἀρχὴν ιλλίω τε καὶ πολλῷ τῆς προτέρας ἀμείνω. Dat. XV K. Im. CP. Bilisario V. C. Cons.

Δεῖ παρέχεσθαι τῷ κόμητι Ἰσαυρίας ὑπὲρ ἀννόνων

7) Ven. αὐτῶν. 7a) αὐτῇ? Sc. τῇ σῇ ὑπερ. 8) Hal. αὐτοῖς.

sol. CCC[9]), τῷ αὐτοῦ παρέδρῳ sol. LXXII[10]), τῇ αὐτοῦ τάξει auri lib. II.[11]) δεῖ δὲ αὐτὸν παρέχειν προφάσει συμβόλων οὕτως· τοῖς περιβλέπτοις χαρτουλαρίοις τρισὶ τοῦ θείου κουβουκλείου sol. IX[12]), τῷ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων καὶ τοῖς λατερκουλισίοις sol. XXIV[13]), τῷ βοηθῷ αὐτοῦ sol. III, τῇ τάξει τῶν ἐνδοξοτάτων ὑπάρχων ὑπὲρ προσταγμάτων καὶ πάσης ἑτέρας αἰτίας sol. XL.[14])

Nov. 35. **XXVII.** Auth. 31.

Ven. notat tantum ἡ λε περὶ τῶν βοηθῶν τοῦ κοιαίστωρος καὶ αὐτὴ οὐχ εὑρέθη. Hal. numero 35 Theodori summam habet. — Summas exhibent Iulian. c. 26, Ath. XXII, 4, Theod. Nov. 35 (= Bas. VI, 6, 16).

DE ADIUTORIBUS QUAESTORIS.

Idem Augustus Triboniano Quaestori.

Inter viros devotos memoriales tam sacri nostri scrinii memoriae quam epistolares, nec non libellenses et adiutores viri excelsi pro tempore quaestoris multas dubitationes scimus esse emersas temporibus Thomae gloriosissimae recordationis, quum is quaestoriam nuper tam[1] sacri scrinii memoriae quam epistolarum gubernabat cu-

9) Ven. sol. dcc et super lineam νομίσματα σ'. Sed Theodorus: τὰς αὐτὰς ἐχέτω ἀννόνας τῷ πραίτωρι Θρᾴκης. 10) Ven. XXII, sed supra lineam νομ. οβ'. 11) Hal. χρυσοῦ νβ'. Ven. supra lineam χρυσοῦ λίτρας β'. 12) Ven. XI et supra lineam νομ. η'. Bas. η'. 13) Ven. supra lineam νομ. κα'. 14) Hal. et Bas. μ', ut et Auth. Ven. XIII, sed supra lineam νομ. μ'. Theodorus: παρεχέτω τοῖς χαρτουλαρίοις τοῦ κουβουκλείου καὶ τοῖς λοιποῖς ὁμοίως, i. e. uti Praetor Thraciae. Proinde LX legendum aut XL, si in anterioribus quoque spectabilibus iudicibus XL legeris.

1) Codices: quaestor iam gubernatam. Thomas quaestor fuit a. 528. vide c. Haec quae necessario de novo Codice componendo.

uram, adiutoribus quidem asserentibus, in scrinio quidem memoriae XII esse antiquitus adiutores, in aliis autem duobus scriniis, id est sacrarum epistolarum et sacrorum libellorum, in unoquoque septenos numero, sed postea sic effusam esse licentiam, ut innumerabiles paene adiutores exstarent temporibus Ioannis viri magnifici quaestoris, quum per prolixum tempus tale gessisset officium; et Proculum excelsae memoriae de confusione adiutorum imperiali culmini suggessisse[2]), et sacram constitutionem esse promulgatam[3]), qua cavetur, antiquo id est XXVI numero tantummodo quaestoris adiutores concludi, et non licere alium subrogari, donec in praedictum numerum agmen adiutorum redigatur, omnibus superfluis paullatim deminutis; licentia primatibus tantummodo adiutoribus data in sua loca alios subrogandi, id est in scrinio quidem memoriae tertium[3a]) locum obtinenti et laterculensis nomen ineunti, in aliis autem duobus scriniis, id est epistolarum et libellorum, in secundum gradum venientibus et melloproximatum ingredientibus, ut hi tantummodo licentiam haberent alium sibi subrogare; posteaque eundem prudentissimae memoriae virum bene existimasse, multos inveniri, qui non possint propter varias difficultates quae humano generi positae sunt per se divina ministeria peragere, et iterum verbo ad imperiale fastigium suggessisse, et pragmaticam subsecutam esse sanctionem[4]), quatenus liceret eis alium in suum locum subrogare hominem idoneum ad tale ministerium peragendum et condignum quaestoris electione[5]) atque a pro

2) Heimb.: ut gessisset. 3) l. 13 C. de prox. sacror. scrin. 12, 19 anno 526 ut videtur ad Proculum quaestorem data. 3a) Vulgo: tertium primum. Legerim: tertium usque. 4) Cf. l. 15 §. 2 C. cit. 5) Heimb.: quaestioni. Cramerus in margine editionis Pithoeanae invenit „quaestoria electione". Iulianus „quaestoris electione" legendum esse docet.

tempore quaestore eandem licentiam accipientem; et haec quidem esse subsequuta temporibus Proculi magnificae memoriae, verum opus quaestorium transivit[6]) tunc, ex altercationibus quorundam memorialium eandem licentiam per aliam constitutionem esse sublatam, ut nemini liceat in suum locum alium subrogare, ne quasi venalitas et sordidum mercimonium versari inter homines videretur, qui sacrae vocis nostrae ministri esse noscuntur, tribus tantummodo exceptis, quibus supradicta constitutio huiusmodi praestitit licentiam.

Quum igitur in praesenti comperimus eos, qui confectioni legum a nobis elimatarum et in ordinem per tuam excellentiam digestarum suum ministerium praebuerunt, dignos esse fungi adiutoris officio, quamvis cordi nobis est praedictum adiutorum numerum[7]) in sua stabilitate decurrere, tamen eos idoneos constitutos huiusmodi spe defraudari nullo modo iustum esse existimavimus. pragmaticam itaque sanctionem, quae a Proculo quidem excelsae memoriae rite est inventa et ad imperiale culmen relata est et ex hoc promulgata, postea autem per quorundam contentiosam instantiam sublata, renovamus, et licentiam damus omnibus XXVI adiutoribus in sua loca alios subrogare, idoneos tamen et quos pro tempore quaestor sacrosanctis evangeliis propositis elegerit et mandata eis in scriptis praestiterit, ut centenis solidis tantummodo datis habeant licentiam homines praedicto opere digni iudicati in deficientium vel alio modo desistentium loca pervenire et adiutoris officium peragere; his qui in tribus gradibus,

6) Corrupta haec esse patet. Legerim: transivisse (scil. ad Tatianum magistrum officiorum) et tunc . . . . eandem lic. per aliam constitutionem (scil. l. 19 C. de prox. sacror. scrin. 12, 19 anno 527 latam) esse sublatam. 7) Ex coni. Osenbrüggenii. Heimb.: praedicatum adiutorium meum.

id est in scrinio quidem memoriae laterculensis, in aliis autem duobus melloproximi, adscenderint, etiamsi inter XX et sex adiutores taxati non fuerint, licentiam habentibus in sua loca adiutores inferre; ita tamen, ut tam laterculensis quam melloproximi licentiam habeant quanti potuerint tanti loca sua vendere, quum iniquum est his quibus nihil a nobis additum est aliquid derogare; nam et ante hanc legem permissum erat eis suum officium in alios transferre. hi itaque et venditionis ius habeant, et quanti potuerint pacisci tanti et vendant; aliis autem quibus ius venditionis praestitimus, non ultra C solidorum summam hoc facere liceat. sive autem laterculenses sive melloproximi sive alii quibus ex hac lege concessum est suum officium in alios transponere maluerint, is qui subrogetur talis ordinandus sit, qualem quaestoria censura elegerit, ne ex huiusmodi licentia in homines minus idoneos pro tempore gloriosissimi quaestoris administratio cadat. sic enim dignas sua industria mercedes homines quos iam enumeravimus accipient, [et] numerus adiutorum sine ulla confusione permanebit. sed quia volumus ante alios in deficientia quocunque modo loca eos taxari qui in legum confectione tuae sublimitati suum ministerium praebuerunt, id est Theodosium et Epictetum et Quirillum et Sabatium et Perigenem, hoc eis donamus, ut offerentes centenos solidos ante alios omnes in loca adiutorum qui sua sponte recedere maluerint subeant, scilicet unusquisque ex his V memorialibus in scrinium suum[8]) officium adiutoris impleturus.[9]) illo etiam observando, ut etsi quis ex XXVI adiutoribus ab hac luce fuerit subtractus, in suos heredes vel liberos licet heredes non sint huiusmodi beneficium transmittat, ut in locum eius alius adiutor

8) in scrinio suo? 9) Codd. impleturos. Forte: unoquoque — impleturo.

subrogetur, centenis quidem solidis ab eo offerendis, pro tempore autem sublimissimo quaestore electionem eius qui subrogetur secundum quod superius dictum est faciente. praerogativam autem, quam V memorialibus speciali dedimus beneficio, ita eis donamus, si ille qui deficiat non habuit filium iam utilem, iam idoneum ad peragendum adiutoris officium et a pro tempore gloriosissimo quaestore aptissimum secundum praedictam observationem iudicatum; talem enim filium sperni et ad alium advenam pervenire satis durum atque inhumanum est. aliis videlicet omnibus, si quae in praedictis constitutionibus continentur, in suo robore durantibus.

Quae igitur nostra sanxit aeternitas sinceritas tua scriniis quorum interest manifestare festinet, quatenus sciant et quae a nostra maiestate disposita sunt, et quantum eis accessit ex tua suggestione nostraque liberalitate. Dat. XV Kal. Iun. Constant. Bilisario V. C. Cons.[10])

Nov. 77. XXVIII. Auth. 78.

Summas praestant Iulian. c. 71, Athan. XII, 3, Theod. Nov. 77.

Ἡ διάταξις περὶ τοῦ [τοὺς ἀσελγαίνοντας κατὰ τῆς φύσεως καὶ][1]) τοὺς ὀμνύοντας κατὰ τοῦ θεοῦ καὶ τοὺς βλασφημοῦντας τιμωρεῖσθαι.

Ὁ αὐτὸς βασιλεὺς τοῖς Κωνσταντινουπολίταις.[2])

Πᾶσιν ἀνθρώποις τοῖς εὖ φρονοῦσι πρόδηλον εἶναι νομίζομεν, ὅτι πᾶσα ἡμῖν ἐστὶ σπουδὴ καὶ εὐχὴ τὸ τοὺς

10) Heimbachii Codd. X Kal. Iun. Vulgo V Kal. Iun. Iulian. XVI Kal. Iun. Unde effeci XV Kal. Iun. utpote qua die et alias complures constitutiones imperator promulgaverit. Athan. πρὸ ι' καλ. ἰουλ. Theod. μηνὶ ἰουλίῳ. Idem μετὰ τὴν ὑπατείαν βελισαρίου.

1) Inclusa omittit Ven. 2) Inscriptionem omittit Ven. Idem in margine ἕως ὧδε. Ath.: ἔδικτον.

πιστευθέντας ἡμῖν παρὰ τοῦ δεσπότου θεοῦ καλῶς βιοῦν καὶ τὴν αὐτοῦ εὑρεῖν εὐμένειαν, ἐπειδὴ καὶ ἡ τοῦ θεοῦ φιλανθρωπία οὐ τὴν ἀπώλειαν, ἀλλὰ τὴν ἐπιστροφὴν καὶ τὴν σωτηρίαν βούλεται, καὶ τοὺς πταίσαντας καὶ διορθουμένους δέχεται ὁ θεός. διὸ πάντας προτρέπομεν τὸν τοῦ θεοῦ φόβον κατὰ νοῦν λαμβάνειν καὶ τὴν αὐτοῦ εὐμένειαν ἐκκαλεῖσθαι, καὶ ἴσμεν ὅτι πάντες οἱ τὸν θεὸν ἀγαπῶντες καὶ τὸν αὐτοῦ ἔλεον περιμένοντες τοῦτο ποιοῦσιν.

α'. Ἐπειδὴ δέ τινες ὑπὸ τῆς διαβολικῆς ἐνεργείας συνεχόμενοι καὶ ταῖς βαρυτέραις ἀσελγείαις ἑαυτοὺς ἐνέβαλον καὶ αὐτῆς τῆς φύσεως τἀναντία πράττουσι, καὶ τούτους παρεγγυῶμεν λαβεῖν κατὰ νοῦν τὸν τοῦ θεοῦ φόβον καὶ τὴν μέλλουσαν κρίσιν καὶ ἀπέχεσθαι τῶν τοιούτων διαβολικῶν καὶ ἀτόπων ἀσελγειῶν, ἵνα μὴ διὰ τῶν τοιούτων ἀσεβῶν πράξεων ὑπὸ τῆς θεοῦ δικαίας ὀργῆς εὑρεθῶσι καὶ αἱ πόλεις μετὰ τῶν οἰκούντων ἐν αὐταῖς ἀπολλύμεναι· διδασκόμεθα γὰρ διὰ τῶν ἁγίων γραφῶν, ὅτι ἐκ τῶν τοιούτων ἀσεβῶν πράξεων καὶ πόλεις τοῖς ἀνθρώποις συναπώλοντο. [§. 1.] ἐπειδὴ δέ τινες πρὸς τοῖς εἰρημένοις καὶ βλάσφημα ῥήματά καὶ ὅρκους περὶ θεοῦ ὀμνύουσι τὸν θεὸν παροργίζοντες, καὶ τούτοις ὁμοίως παρεγγυῶμεν ἀποσχέσθαι τῶν τοιούτων βλασφήμων ῥημάτων καὶ τοῦ ὀμνύναι κατὰ τριχός τε καὶ κεφαλῆς καὶ τῶν τούτοις παραπλησίων ῥημάτων. εἰ γὰρ αἱ κατ' ἀνθρώπων γινόμεναι βλασφημίαι ἀνεκδίκητοι οὐ καταλιμπάνονται, πολλῷ μᾶλλον ὁ εἰς αὐτὸ τὸ θεῖον βλασφημῶν ἄξιός ἐστι τιμωρίας ὑποστῆναι. διὰ τοῦτο οὖν πάντας τοὺς τοιούτους προτρέπομεν ἐκ τῶν εἰρημένων πλημμελημάτων ἀποσχέσθαι, καὶ τὸν τοῦ θεοῦ φόβον κατὰ νοῦν λαμβάνειν καὶ ἀκολουθεῖν τοῖς καλῶς βιοῦσιν· διὰ γὰρ τὰ τοιαῦτα πλημμελήματα καὶ λιμοὶ καὶ σεισμοὶ καὶ λοιμοὶ γίνονται, καὶ διὰ τοῦτο παραινοῦμεν τοῖς τοιούτοις ἀποσχέσθαι τῶν εἰρημένων ἀτοπημάτων, ὥστε μὴ τὰς αὐτῶν ἀπολέσθαι ψυχάς. εἰ γὰρ καὶ μετὰ τὴν τοιαύτην ἡμῶν

νομοθεσίαν[3]) εὑρεθῶσί τινες τοῖς αὐτοῖς ἐπιμένοντες πλη μελήμασι, πρότερον μὲν ἀναξίους ἑαυτοὺς ποιοῦσι τῆς τ θεοῦ φιλανθρωπίας, ἔπειτα δὲ καὶ τὰς ἐκ τῶν νόμων ὑπ στήσονται τιμωρίας. [§. 2.] ἐπετρέψαμεν γὰρ τῷ ἐνδοξοτά ἐπάρχῳ τῆς βασιλίδος πόλεως τοὺς ἐπιμένοντας ταῖς εἰρ μέναις ἀτόποις καὶ ἀσεβέσι πράξεσι καὶ μετὰ ταύτην ἡμ τὴν νομοθεσίαν συνέχειν καὶ ταῖς ἐσχάταις ὑποβάλλειν τιμ ρίαις, ἵνα μὴ ἐκ τοῦ παραβλέπειν τὰς τοιαύτας ἁμαρτί εὑρεθῇ καὶ ἡ πόλις καὶ ἡ πολιτεία διὰ τῶν τοιούτων ἀσεβ πράξεων ἀδικουμένη. εἰ γὰρ καὶ μετὰ ταύτην ἡμῶν τ παραίνεσίν τινες τοὺς τοιούτους εὑρίσκοντες συγκρύψου αὐτούς, ὁμοίως παρὰ τοῦ δεσπότου θεοῦ κατακριθήσοντ καὶ αὐτὸς γὰρ ὁ ἐνδοξότατος ἔπαρχος, ἐὰν εὕρῃ τινάς τοιοῖ τι πλημμελοῦντας καὶ τὴν ἐκδίκησιν εἰς αὐτοὺς μὴ ἐπαγά κατὰ τοὺς ἡμετέρους νόμους, πρότερον μὲν ἔνοχος ἔσται τοῦ θεοῦ κρίσει, ἔπειτα δὲ καὶ τὴν ἐξ ἡμῶν ἀγανάκτη ὑποστήσεται. [Dat. ... Iun. Belisario v. c. cons.][4])

3) Hal. *νουθεσίαν* hic et inferius. 4) Subscription restitui ex Theod. ubi sic est: *ἐξεφωνήθη μηνὶ ἰουνίῳ ὑπατ βελισαρίου.* Forte scribendum XV K. Iun. Anno 538 vel 5 Bienerus hoc edictum tribuendum esse censuit, eique Hein in prolegom. ad Auth. p. CCCXXXIV videtur adsentire. Veru tamen Iustinianum in *ἀσελγαίνοντας* animadvertisse initio i perii narrant Procop. Hist. Arc. c. II, Theophanes ad a. Iustiniani et Cedren. ed. Paris. p. 368. Idem inter acta a norum 529 seqq. refert Malalas ed. Venet. p. 58, et Praefec urbi Victor, cui executionem in paederastas a Iustiniano m datam fuisse Malalas narrat, anno 539 ex Praefecto urbi f (cf. const. CII c. 1 §. 1). Zonaras autem ed. Paris. II p. narrat anno X imperii Anthimum Epiphanio patriarchae s cessisse et statim subiungit narrationem de persecutione p derastarum. Equidem subscriptionem Theodori recte hab crediderim. Anthimus scilicet sive Anthemius patriarcha fac est anno 535 (cf. infra ad const. XXXVI); cuius statim hort imperator adversus luxuriantes et iureiurando abutentes Pr fectum urbi excitavit et edicto persecutionem instantem p mulgavit.

XXIX.

Nov. 32.

Extat in Cod. Ambrosiano. Cap. 1 est in Basil. XXIII, 3, 76. (Hoc Flor. indicat laudans βι. κγ' λδ' (sic) τῶν βασιλ. τί. γ'.) — Summam praestat Coll. 87 capp. c. 21, Athan. XVI, 1, Theod. Nov. 32.

Περὶ τοῦ μηδένα δανείζοντα γεωργῷ κρατεῖν τὴν ἐκείνου γῆν καὶ πόσον ὀφείλουσι λαμβάνειν τόκον ἀπὸ τῶν γεωργῶν.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Ἀγερωχίῳ[1]) *τῷ λαμπροτάτῳ ἄρχοντι Αἱμιμόντου τῆς Θρᾴκης.*

Πρᾶγμα δεινὸν καὶ πάσης ἐπέκεινα καὶ[2]) *ἀσεβείας καὶ πλεονεξίας γινόμενον συνείδομεν νόμῳ θεραπεῦσαι κοινῷ, οὐκ ἐπὶ τῆς παρούσης μόνον ἀνάγκης, ἀλλὰ καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον πολιτεύεσθαι δυναμένῳ. ἔγνωμεν γάρ, ὥς τινες ἐπὶ τῆς ἐπαρχίας ἧς ἄρχεις ἐτόλμησαν ἐπιλαβόμενοι τοῦ καιροῦ τῆς ἀφορίας τοῦ σίτου δάνεισμα πρᾶξαι πρός τινας ἐπ' ἐλαχίστῳ μέτρῳ καρπῶν, καὶ τὴν αὐτῶν λαβεῖν γῆν ἅπασαν ἀντ' αὐτοῦ, ὥστε τοὺς μὲν τῶν γεωργῶν φεύγειν, τοὺς δὲ διαφθαρῆναι λιμῷ, δεινήν τε γεγενῆσθαι φθορὰν οὐδὲν τῆς βαρβαρικῆς ἐπιδρομῆς ἐλάττονα.*

α'. Θεσπίζομεν τοίνυν, ἅπαντας τοὺς δανείσαντας ὁσονδήποτε μέτρον τῶν οἱωνδήποτε ξηρῶν καρπῶν τοῦτο ἀπολαμβάνοντας νῦν χωρὶς τῆς οἱασοῦν προσθήκης ἀποδοῦναι τὰ γήδια τοῖς γεωργοῖς, μηδενὸς παντελῶς θαῤῥοῦντος γῆν κατέχειν προφάσει τῶν εἰρημένων δανεισμάτων, εἴτε ἔγγραφα εἴτε ἄγραφα εἴη, κομιζομένους δὲ εἰ μὲν οἱ δανεισθέντες εἶεν καρποὶ ὀγδόην τοῦ μοδίου μοῖραν ἐφ' ἑκάστῳ μοδίῳ εἰς ἐνιαυτὸν ὅλον, εἰ δὲ νομίσματα τὰ δανεισθέντα

1) Ath. *Ἀγερουχίῳ*. 2) Hal. *καὶ* omittit, sed firmat Athan.

εἴη ἐφ' ἑκάστῳ νομίσματι ἐνιαύσιον κεράτιον ἓν προφάσει τόκου· τοῦ λοιποῦ δὲ τοὺς δανειστὰς ἀρκουμένους ὀγδόῃ μοδίου μοίρᾳ ἐφ' ἑκάστῳ μοδίῳ εἰς ἐνιαυτὸν ἕνα (ἢ ἐφ' ὅσον μένει τὸ δάνεισμα κατὰ τὴν ἀναλογίαν ταύτην) ἢ τῷ κερατίῳ ἀποδιδόναι πάντως, εἴτε γῆν εἴτε ἄλλο τὶ λαβόντες τύχοιεν ἐνέχυρον, βόας τυχὸν ἢ πρόβατα ἢ ἀνδράποδα· καὶ τοῦτον εἶναι τὸν νόμον κοινὸν ἅπασι, φιλάνθρωπόν τε ἅμα καὶ εὐσεβῆ, καὶ τήν τε χρείαν θεραπεύοντα τοῖς δεομένοις, τοῖς τε δανεισταῖς φέροντα μετρίαν παραψυχήν.

Τὰ τοίνυν παραστάντα ἡμῖν ἡ σὴ λαμπρότης ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. εἰδότος τοῦ δανειστοῦ, ὡς εἰ παρὰ ταῦτά τι πρᾶξαι θαῤῥήσειε, τῆς εἰσπράξεως ἐκπεσεῖται, καὶ ὁ λαβὼν εἶτα ἀδικούμενος ἕξει παραψυχὴν τὸ αὐτὸς μὲν ἀπηλλάχθαι πραγμάτων, τὸν δανειστὴν δὲ ἰδεῖν ἐπὶ τοῖς ἑαυτοῦ ζημιούμενον.[3]) Dat. XVII K. Iul.[4]) Constantinop.[5]) Bilis. V. C. Cons.

3) Cod. Ambrosianus addit *λήμμασιν*, pro quo exemplar latinum *χρήμασιν* legere suadet. 4) Ven. XV Kal. Iul.; mox autem in latino huius constitutionis exemplari est VII Kal. Iul. ideo Athanasium sequi malui, qui utroque loco habet: *ἐγράφη πρὸ ιζ' καλ. ἰουλίου ὑπατείας βελισαρίου.* Theod.: *ἐξεφωνήθη μηνὶ ἰουλίῳ μετὰ τὴν ὑπατείαν βελισαρίου.* sed cf. const. sequentem not. 1. (Bienerus p. 513 post cons. Belisarii legi vult.) 5) Pro „Constantinop." in Cod. Ven. sigla est P͠P$^{τρ.}$ an „proponatur"?

Auth. 35. 36. **XXX.** Nov. 33. 34.

Vide Appendicem Iuliani ed. Haenel p. 160*. — Ven. rubricam tantam habet [*Περὶ τοῦ μηδένα δανείζοντα γεωργῷ κρατεῖν τὴν ἐκείνου γῆν, εἴτε* (l. *οὔτε*) *στρατιώτην εἴτε* (l. *οὔτε*) *ὀντιναουνδήποτε ἰδιώτην. καὶ αὕτη οὐχ εὑρέθη, ὁμοίως καὶ ἡ λδ' οὐχ εὑρέθη.*]**, Hal. Theodori epitomas. — Summas praestant Iulian. c. 33, Athan. XVI, 2, 3, Theod. Nov. 33 et 34.**

UT NULLUS MUTUANS AGRICOLAE TENEAT EIUS TERRAM.

Idem Augustus Dominico viro illustri Praefecto Praetorio per Illyricum.

Propter avaritiam creditorum, qui angustia temporum abutentes terrulas infelicium agrestium sibi acquirunt pro pauco frumento omnem illorum substantiam retinentes, legem posuimus, quam primo quidem in Thraciam et in totas eius provincias, in praesenti autem et in Illyricianas patrias direximus. cuius exemplarium subdi etiam praesenti legi praecipimus, ut non privati quidem homines putent legem contra se solummodo esse propositam, milites autem altiore nitentes fastigio legem contra se non esse prolatam existiment. ut igitur et tua magnitudo sciat, quod communis lex posita est et provincialibus et militibus et omni cingulo nulla excusatione cuidam competente, ideo et ad tuam sublimitatem praesentem legem destinavimus, scituris militibus qui praesenti legi non esse obediendum existimant, quod cingulo denudati inter privatos habeantur, poenis quas in anteriore lege posuimus prius nihilominus subiugandi. Dat. XVII Kal. Iul. CP. Bilisario v. c. cons.[1])

1) Athan.: *ἐγράφη πρὸ ιζ' καλάνδων ἰουλίων ὑπατείᾳ βελισαρίου.* Theod.: *ἐξεφωνήθη καὶ αὐτὴ μηνὶ ἰουλίῳ ὑπατείᾳ βελισαρίου.* In Auth. est VII Kal. Iul.

NULLUM CREDENTEM AGRICOLAE TENERE ILLIUS TERRAM ET QUANTAM DEBET USURAM DARE.

Idem Augustus Agerucio v. c. praesidi Haemimontis.

Rem duram atque inhumanam et quae ultra omnem impietatem et avaritiam sit perspeximus lege saluberrima sanare, et communem omnibus deponere medicinam non tantum in praesentis necessitatis tempore, sed etiam in omni aevo futuro. venit enim ad nostras aures, quosdam in Mysia secunda provincia quam administras avare necessitate temporum captata ad quosdam foeneraticios fecisse contractus et paucam mensuram fructuum dantes terrulas eorum abstraxisse, et ex hac causa quosdam colonorum fugae latebras petiisse, alios fame esse necatos, et tristissimam pestem homines invasisse incursione barbarica non minorem.

1. Sancimus itaque, omnes huiusmodi creditores, quantumcunque vel tritici vel hordei vel aliae speciei quae in fructibus aridis est dederint, hoc reddito in praesenti cum parte modii octava pro singulo modio in unoquoque anno praestanda terrulas colonis restituere; nemine penitus eorum audente terrulas detinere sub occasione foeneraticiae cautionis, sive in scriptis sive sine scriptis credita sunt contracta; sin autem pecunias dedit, nihil amplius quam unam siliquam pro singulo solido annuam praestari. et hanc saluberrimam legem in omnes extendimus, ex praesente quidem tempore initium accipientem, in omne autem aevum omnibus modis observandam, ut si quando fuerit vel triticum vel hordeum foeneratum vel alii aridi fructus, creditores tam quod dederunt accipientes, quam pro usuris octavam modii partem annuam pro singulis modiis vel siliquam pro singulo solido (et secundum hunc modum in quantum foenus permanserit)

percipientes, sive terrulas sive aliud pignus acceperunt, boves forte vel pecora vel mancipia, haec modis omnibus reddere, et hanc legem communem omnibus esse humanitate et pietate gaudentem, et omnibus egenis consulentem et creditoribus mediocre solatium afferentem.

Haec igitur, quae a nobis statuta sunt, claritas tua in omni provincia quae tuo moderamine gubernatur observare festinet. scituris omnibus creditoribus, quod si aliquid praeter haec commiserint, et actione cadent, et cui foenus oblatum est, hoc habebit solatium, ut ipse quidem degat securus, avarum autem creditorem videat in suis pecuniis patientem iacturam. *Dat. XVII Kal. Iul. Constantinop. Bilisario V. C.*[2])

Auth. 28. XXXI. Nov. 28.

Basil. VI, 12. — Summas habent Iulian. c. 27, Athan. IV, 8, Theod. Nov. 28.

Περὶ τοῦ μοδεράτωρος Ἑλενοπόντου.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων.

Τὸ καλῶς τε καὶ ἄνωθεν ἁρμοσθέν τε καὶ ἡνωμένον καὶ εἰς τὴν οἰκείαν ἰσχὺν συντεθὲν χωρὶς εὐλόγου τινὸς αἰτίας καινίζειν ἢ διαιρεῖν οὐκ ἂν εἴη διοικήσεως ἐῤῥωμένης· οὐ γὰρ ἐν ὀνομάτων πλήθει θετέον τὴν ἰσχύν, ἀλλ' ἐν ἀληθεῖ πραγμάτων ἀποτελέσματι. ὁποῖον δή τι γεγονέναι περὶ τούτους δὴ τοὺς δύο Πόντους καλουμένους μεμαθήκαμεν, φαμὲν δὴ τόν τε Ἑλενόποντον[1]), *τόν τε Πολεμωνιακὸν*

2) Heimb. V Kal. Mart. ex uno Codice dedit, notans in o esse die XVIII K. Iul. Ath. subscriptionem non habet. Theod. autem: *ἐξεφωνήθη δὲ ὡσαύτως μηνὶ Ἰουλίῳ μετὰ τὴν ὑπατείαν βελισαρίου.* quae quidem ultima *μετὰ τ. ὑ.* corrupta sunt ex iis quae not. 2 retuli.

1) Ven. hic et inferius *Ἑλενούποντον* scribit.

Πόντον. ὑφ' ἑνὶ γὰρ πρῴην ἄρχοντι τεταγμένης τῆς χώρας γεγόνασι δύο, μήτε δημοσίας ἀνάγκης τοῦτο κατεπειγούσης, μήτε ἑτέρας τινὸς προφάσεως εὐλόγου ἣν ἄν τις καὶ ῥᾳδίως ἐξεύροι. καὶ τοσοῦτον μαρτυρεῖται τὸ πρᾶγμα οὕτως ἔχον, ὡς εἰς τὴν παροῦσαν ἡμέραν ἑνὶ τρακτευτῇ τῶν δημοσίων φόρων τε καὶ διατυπώσεων χρῆσθαι τὰς χώρας ἀμφοτέρας. πόλεις τε εἴ τις ἀριθμήσει τὰς καθ' ἑκατέραν οὔσας, μόλις ἐπαρχίας μιᾶς αὔταρκες γένοιτο μέτρον, εἴ γε ὀκτὼ μὲν πόλεις συμπληροῦσι τὸν Ἑλενόποντον, τουτέστιν Ἀμασεία τε καὶ Ἴβωρα καὶ Εὐχάϊτα καὶ πρός γε Ζῆλα καὶ Ἄντραπα[2]), καὶ αἵ γε πρὸς τοῖς κλίμασι[3]) κείμεναι Σινώπη τε καὶ Ἀμισὸς πόλεις ἀρχαῖαι, καὶ μὴν καὶ Λεοντόπολιν ἤδη κἀκείνην ἀριθμητέον ἐν πόλεσι, πέντε δὲ ἄλλαι τὸν Πολεμωνιακὸν συνέχουσι Πόντον, Νεοκαισάρειά τε καὶ Κώμανα[4]) καὶ Τραπεζοὺς καὶ Κερασοὺς καὶ Πολεμώνιον (Πιτυοῦντα γὰρ δὴ καὶ Σεβαστόπολιν ἐν φρουρίοις μᾶλλον ἀριθμητέον ἢ πόλεσιν), ὥστε μέχρι τούτων ἑκάτερον εἶναι τῶν Πόντων.[5]) μεθ' οὓς ἥ τε ἡμετέρα καθέστηκε Λαζική, ἐν ᾗ καὶ ἡ Πετραίων[6]) ἐστὶ πόλις, ὑφ' ἡμῶν τὸ πόλις εἶναί τε καὶ ὀνομάζεσθαι προσλαβοῦσα, κεχρημένη τε τῷ τῆς ἡμετέρας εὐσεβείας ὀνόματι καὶ Ἰουστινιανὴ καλουμένη, Ἀρχαιόπολίς τε καὶ Ῥοδόπολις, φρούριά τε μέγιστα καὶ ἀρχαῖα· ἐν οἷς δὴ καὶ τὰ παρ' ἡμῶν ἐστιν ἐκ Περσῶν αναληφθέντα φρούρια Σκάνδις[7]) τε καὶ Σαραπανίς[8]), καὶ τὸ Μουρίσιος[9]) τε καὶ Λύσιρις[10]), καὶ εἴ τι ἕτερον ἡμῖν ἐν Λαζοῖς ἐκπεπόνηται· εἶτα ἡ Τζάνων διαδέχεται χώρα, νῦν πρῶτον ἐφ'

2) Hal. Ἀμασία τε καὶ Ἰβόρα. Theod. Εἴβορα. Bas. Ζῆλα. Hal. Ἄνδραπα. Hal. et Bas. Εὐχαῖτα, sed τὰ Εὐχάϊτα in Notitiis episcopatuum audiunt. 3) Hal. κλίμαξι, probante Hombergkio. Auth. κύμασι videtur legisse. 4) Hal. Κομμάνα. 5) Hal. τὸν Πόντον. 6) Hal. Bas. Πετραιών. Sed Notitiae episcopatuum in Lazica habent τὸν Πέτρων, Auth. Petraeorum. 7) Hal. Σκανδίας. Bas. Σκάδις. 8) Hal. Σαραπάνης. 9) Hal. Μουρισίως. 10) Hal. Λουσιέρως. Bas. Λουρίσεως.

ἡμῶν ὑπὸ Ῥωμαίων κατακτηθεῖσα, καὶ πόλεις τε καὶ αὐτὴ τὰς μὲν ἄρτι γινομένας δεχομένη, τὰς δὲ ὅσον οὔπω[11]) γενησομένας δεξομένη· ἄλλα τε μετ' ἐκείνην ἔθνη καθεστᾶσι Σουανοί[12]) τε καὶ Σκύμνοι καὶ Ἀψίλαι καὶ Ἀβασγοὶ, καὶ ἕτερα νῦν θεοῦ δόντος φίλιά τε καὶ ἡμέτερα.

α'. Ἀλλ' εἰς ταῦτα μὲν ὁ περὶ τοὺς τόπους τούτους ἡμᾶς ἤνεγκε λόγος. ἐπάνιμεν δὲ αὖθις ἐπὶ τοὺς Πόντους καὶ τὴν ἕνωσιν τὴν αὐτῶν. τούτους γὰρ νῦν ἄμφω τοὺς Πόντους τοὺς ταῖς τρισκαίδεκα πόλεσι περιεχομένους εἰς μίαν ἐπαρχίαν αὖθις συνάγομεν, καὶ ἀποδίδομεν αὐτοῖς τῆς μὲν παλαιότητος τὴν ἕνωσιν, τῆς δὲ νεότητος τὴν ἐπωνυμίαν· Ἑλενόποντος γὰρ ἅπας καλείσθω, τοῦτο δὴ τὸ τεθὲν αὐτῷ παρὰ Κωνσταντίνου τοῦ τῆς εὐσεβοῦς λήξεως ὄνομα προφάσει τῆς σεμνοτάτης αὐτοῦ μητρὸς, Ἑλένης φαμὲν τῆς εὐσεβοῦς τὴν λῆξιν, ἥπερ ἡμῖν καὶ τὸ θεῖον τῶν Χριστιανῶν ἐξεῦρε σύμβολον. τὸ γὰρ δὴ Πολέμωνος ὄνομα παλαιοῦ γενομένου τῶν πολλῶν ἐκείνων ἐν Πόντῳ τυράννων πεπαύσθω, πρῶτον μὲν ὅτι τυράννου καθειστήκει, δεύτερον δὲ ὅτι καὶ πόλιν ἐπώνυμον ἔχει, τὸ Πολεμώνιόν φαμεν, καὶ ὅτι κάλλιον ἂν εἴη τὰς χώρας ἐξ ὀνομάτων Χριστιανικῶν τε καὶ βασιλικῶν μᾶλλον ἤπερ ἐκ πολέμου καὶ ταραχῆς γνωριζομένων σημαίνεσθαι.

β'. Πᾶσαι δὲ αἱ τρισκαίδεκα πόλεις ἐπαρχίας ἔστωσαν μιᾶς, ἀφαιρουμένης μὲν οὐδετέρας αὐτῶν τῶν μητροπόλεων (Ἀμασείας τέ φαμεν καὶ Νεοκαισαρείας) τοῦ τῆς μητροπόλεως ὀνόματος, τῶν δὲ θεοφιλεστάτων αὐτῶν ἐπισκόπων τῶν μὲν μητροπολιτῶν ἐνταυθοῖ χειροτονουμένων, τῶν δὲ ὑπ' αὐτοὺς τεταγμένων ὁμοίως ὑπ' αὐτῶν τῶν τὰς μητροπόλεις ἐχόντων (καθὰ καὶ μέχρι νῦν ἦν) χειροτονουμένων. οὐδὲν γὰρ τῶν περὶ τὴν ἱερωσύνην αὐτῶν καινίζομεν,

11) Scil. ἦσαν γινόμεναι. veteri interpreti alia lectio ob oculos fuit, dum vertit „quantum fuerit". — Caeterum meminit huius loci Agathias ed. Paris., p. 145. 12) Hal. Σουάνοι.

ἐπειδὴ καὶ ἐπὶ μιᾶς ἐπαρχίας καὶ ὁ πάλαι χρόνος καὶ οὐτ ὁ νῦν κατακοσμηθεὶς ὑφ' ἡμῶν οἶδε πολλὰς τοιαύτας κατ στάσεις ἐν τοῖς θεοφιλεστάτοις ἐπισκόποις τυγχανούσας. ἐφηγείσθω γε αὐταῖς ἀνὴρ εἷς, ἄρχων μὲν χώρας ἑκατέρ μοδεράτωρ δὲ προσαγορευόμενος, ὃν ἄν τις ἁρμοστὴν κα σειε τῇ συνήθει χρώμενος γλώττῃ, ἐπειδὴ καὶ τὸ τοῦ μοδε τωρος ὄνομα ἀρχαῖόν τέ ἐστι καὶ ῥωμαϊκῇ σεμνότητι πρέπ καὶ ὅ γε ἁρμοστὴς ἀρχαῖός τις ἄρχων ἦν ἐκ Λακεδαίμοι ἐπὶ τὸ ὑπήκοον στελλόμενος.

γ'. Ὥστε ὁ τὴν ἀρχὴν παραλαμβάνων ταύτην ὀ μαζέσθω μοδεράτωρ Ἰουστινιανὸς Ἑλενοπόντου. ὑπακουέ δὲ αὐτῷ καὶ τὸ στρατιωτικὸν τὸ κατὰ τὴν ἐπαρχίαν ἱδρ μένον, ἐχέτω τε καὶ ad responsum[13]), πᾶσά τε ὑποκεκλίσ τύχη λόγον προνομίας ἀντιτιθέναι μὴ δυναμένη. ἀκροάσ δὲ καὶ δικῶν χρηματικῶν τε καὶ ἐγκληματικῶν καὶ τῶν ἄλλ τῶν μὲν ἐλαχίστων ἀγράφως τε καὶ προῖκα, τῶν δὲ μειζόν ἐγγράφως μέν, μετὰ δὲ τῆς τεταγμένης κατὰ τὴν θείαν ἡμ διάταξιν[14]) δαπάνης. καὶ ὅ γε τὴν ἀρχὴν ταύτην παρ λαμβάνων τὰς ἑκατέρας ἀρχῆς κομιζέσθω σιτήσεις συνιού εἰς ἑπτακοσίους εἴκοσι πέντε χρυσοὺς[15]), καὶ τάξει χρήσ μιᾷ, καὶ ὁ τῶν δημοσίων δρόμος τε καὶ κίνδυνος[16]) καὶ κοινὸς ἔστω κατά τε τοῦ τὴν ἀρχὴν ἔχοντος, κατὰ τῆς τάξεως, ἥπερ εἰς ἓν συνελεύσεται σχῆμα καὶ ἁρμοσθ σεται πρὸς ἑαυτὴν καθάπερ ἂν ὑπὸ τοῦ προεστῶτος ταχθε καὶ ὁ πάρεδρός γε τῆς ἀρχῆς δύο καὶ ἑβδομήκοντα χρυσο ἐκ τοῦ δημοσίου λήψεται, καὶ ἡ τάξις ἡ ἐξ ἀμφοῖν γενομένη τετρακοσίους τεσσαράκοντα ἑπτὰ τρίτον[17]) κομιεῖ χρυσούς.

13) Ven. inter lineas ἤτοι ἀποκρισιαρίους. 14) l. 5 de sportulis 3, 2. 15) Theod. λίτρας χρυσίου δέκα, omi numero V aureorum. 16) Iulian.: „publicus cursus, item butorum exactio ad periculum eius etc." quasi scriptum si τῶν δημοσίων καὶ τοῦ δρόμου κίνδυνος. 17) Theod. νο σματα υμζ', omisso tremisse.

δ'. Ὁ δὲ τὴν ἀρχὴν ἔχων τοποτηρητὰς μὲν κατὰ τὰς πόλεις οὐκ ἐκπέμψει (τοῦτο γὰρ φυλάξεται καθὰ καὶ τοῖς θείοις ἡμῶν περιέχεται παραγγέλμασιν[18])), αὐτὸς δὲ περινοστήσει τὰς πόλεις, ὑπ' οὐδενὸς νόμου τυχὸν ἢ θείου πραγματικοῦ κωλυόμενος τύπου, κἂν εἴ τι τοιοῦτον ὁ πρότερος ἐπέταττε χρόνος. καὶ ἔσται καὶ ἐπὶ τῶν μητροπόλεων καὶ ἐπὶ τῶν ἄλλων ἔνθα ἂν τοῦτο συνίδοι (εἴπερ ὅλως ἡ πόλις αὐτάρκης ἐστὶ πρὸς τὴν ὑποδοχὴν τὴν αὐτοῦ), αὐτὸς[19]) μέντοι κέρδους ἀπεχόμενος καὶ ζημίας ἁπάσης χωρίς. οὐκ αὐτὸς γὰρ, οὐ ταξεώτης, οὐ στρατιώτης ἑπόμενος αὐτῷ λήψεταί τι παρὰ τῶν συντελῶν ἢ δαπανήσει προῖκα, καὶ ἢ τοὺς συντελεῖς τοὺς ἡμετέρους ἐπιτρίψει ἢ τοῖς ἑπομένοις αὐτῷ στρατιώταις αὐτὸ τοῦτο πράττειν ἐφήσει (καὶ γὰρ δὴ καὶ τοῦτο τὸ[20]) μέρος τῶν θείων ἡμῶν παραγγελμάτων ἐστὶν) αὐτὸς μὲν τόν τε ὅρκον ἐννοῶν ὃν ὤμοσε, καὶ ὅτι προῖκα παραλαμβάνων τὴν ἀρχὴν καὶ αὔξησιν τοσαύτην ἔχων σιτήσεων οὐκ ἄν ποτε τολμήσειέ τι λαβεῖν, εἰ μὴ μετὰ μεγάλης ἀποδοῦναι τοῦτο τῆς ποινῆς ἐθελήσειεν, οὐδὲ τῇ τάξει τοιοῦτό τι πράττειν ἢ λαβεῖν τι κατὰ τοιαύτην πρόφασιν ἐφιείς. τοὺς δὲ στρατιώτας εἰ μὴ ταῖς οἰκείαις σιτήσεσιν ἀρκουμένους ἕπεσθαι παρασκευάσει, οὐδὲ αὐτὸς ἔξω δικαίας ἀγανακτήσεως γενήσεται, ἀναγκασθήσεταί τε ἐκ τῶν σιτήσεων αὐτῶν εἰσπράξας τὴν παρ' αὐτῶν γινομένην ζημίαν ταύτην τοῖς συντελέσιν ἀποδοῦναι. [§. 1.] διὰ τοῦτό γε μὴν βουλόμεθα ταύτας δὴ τὰς ἀρχὰς μείζους τε καὶ σεμνοτέρας εἶναι πλήθει τε τῶν ὑπηρετούντων (centum γὰρ αὐτῷ βουλόμεθα ταξεώτας εἶναι), σεμνότητί τε τῆς ἀξίας (ἐπειδὴ σπεκταβιλίαν αὐτῷ ποιοῦμεν τὴν ἀρχὴν), ἵνα ἐν ταῖς ἀνάγκαις ἄρχουσι χρώμεθα σεμνοτέροις καὶ ταῖς ἡμετέραις κελεύσεσιν ὑπουργεῖν δυνατοῖς. τί γὰρ ἂν καὶ πράξειαν ἄνδρες

18) Const. XXI. 19) Ita omnes, licet παντὸς praestare videatur. 20) τὸ fortasse delendum.

οἱ κατα τὸ πρὸ ἡμῶν σχῆμα ταῖς ἐπαρχίαις ἐφεστῶτες μὲν ὄντες, ἐλαχίστων δὲ ἐξάρχοντες, κομιζόμενοί τ τοῦ δημοσίου σφόδρα μέτρια, διδόντες δὲ πολλὰ, δὲ ἀναγκαζόμενοι καὶ μίαν ἔχοντες ταύτην σπουδὴν ἑπομένοις αὐτοῖς δανεισταῖς προφάσει τῶν περὶ τὴ δεδομένων κατὰ μικρὸν ἀποδιδόναι τὸν ἔρανον; ἐξ ἡμετέρους συντελεῖς εἰώθασι πωλεῖν, ἀσεβεῖς τε ἰ κεκινδυνευμένους ἑαυτοῖς εὑρίσκοντες πόρους. [§. 2 ἡμᾶς ἐδυσώπησεν οὐ μόνον τοῖς ἐντεῦθεν κέρδεσιν ὀ ἀλλὰ καὶ οἴκοθεν προσδαπανῆσαι μεγάλα, καὶ εἴπ ὤνιον παρὰ τῶν πρὸ ἡμῶν τὸ τῆς ἀρχῆς ἐδίδοτο τοῦτο ἐξωνήσασθαι[21]), καὶ ἐλευθέρους τοὺς ἡμετέρους συντελεῖς τοῦ τοιούτου δασμοῦ, καὶ οἴκοθεν ἀντει τὴν παραψυχὴν τοῖς λαμβάνουσιν, ἵνα καὶ τούτοι δῶμεν ἐλευθερίας. ἀπέκειτο γὰρ ἡμῖν ὡς ἔοικε τι τοιαῦτα φιλοτιμουμένου μὴ μόνον Ἄφροις μηδὲ τοῖ τοῖς ἐκεῖσε χαρίσασθαι τὴν ἐλευθερίαν, ἀλλὰ καὶ το μέσην ἡμῶν τὴν πολιτείαν ἔτους ἑκάστου πιπρασ καὶ οὐδὲ ὑπὸ ταὐτῷ μένειν συγχωρουμένους πρατῆ κατὰ βραχὺ τῆς ἑτέρων καὶ ἑτέρων ἐξουσίας ἀεὶ γι ἐλευθερῶσαι τῆς τοιαύτης ζημίας τε καὶ αἰσχύνης. ᾠήθημεν ἡμεῖς τὴν χάριν προσήκειν καὶ ἀναθεῖν τῷ τὸν ἐπὶ τῇ βασιλείᾳ στέφανον ἡμῖν ἐπιθέντι, ἁλουργίδα ψήφῳ κοινῇ παρὰ τοῦ πατρὸς ἡμῖν δωρ τῷ φιλοτιμησαμένῳ τοιαῦτά τε ὁμοῦ καὶ τοσαῦτ τῶν ἔμπροσθεν δέδωκεν οὐδενί.

ε΄. Δεῖ τοίνυν τὸν ἐπὶ τὴν ἀρχὴν παριόντα εἰδότα πόσων μὲν ἀνδρῶν, πόσων δὲ ἡγήσεται πόλεα δὲ ἔσται σεμνὸς μεταβαλὼν ἐκ κονσουλαρίας[22]) τε κα νίας[23]) εἰς ἀρχὴν μείζονά τε καὶ σπεκταβιλίαν, φ πανταχοῦ τῶν ὑπηκόων καὶ φυλάττειν αὐτοὺς ἀζημ

21) Hal. ἐξιάσασθαι. 22) Ven. inter lineas ἐξ ἰ
23) ἡγεμονικῆς?

καθαραῖς χρῆσθαι πανταχοῦ ταῖς χερσὶ, καὶ τὸ δημόσιον αὔξειν καὶ τοῦ συμφέροντος αὐτῷ πᾶσαν τίθεσθαι πρόνοιαν καὶ τῶν ἰδίᾳ λημμάτων ἀπέχεσθαι, καὶ ταῖς πόλεσι κοινῇ τε καὶ ἰδίᾳ βραβεύειν τὰ δίκαια, περινοστεῖν τε αὐτὰς καὶ ἰᾶσθαι, καὶ κέρδους ἕνεκα μηδ' ὁτιοῦν πράττειν μήτε ἔλαττον μήτε μεῖζον, ἀλλὰ δόξης τε ἀγαθῆς ἐφίεσθαι καὶ τοῦ διὰ πάντων εὐορκεῖν καὶ ἡμῖν ἐν ἅπασι κεχαρισμένον καθεστάναι. [§. 1.] τὸ δὲ μάλιστα ἐπὶ τοῦ Πόντου πλημμελούμενον φυλάξει τὸ μηδενὶ δοῦναι παῤῥησίαν ἢ τίτλους ἐπιτιθέναι χωρίοις ἢ οἰκήμασιν ἀλλοτρίοις· μόνον γὰρ ἴδιον τοῦτο τοῦ τε δημοσίου τῶν τε βασιλικῶν οἴκων ἐστὶ, τῶν τε ἡμετέρων τῶν τε τῆς εὐσεβεστάτης Αὐγούστης. εἰ δὲ εἰς ἑτέρου τινὸς εὕροι προσηγορίας σανίδας ἀνατεθείσας, αὐτὰς μὲν εὐθὺς καθαιρήσει, ἀνιχνεύσει δὲ τὸν ταύτας καταπήξαντα. καὶ εἰ μὲν αὐτὸς ὁ λέγων ἑαυτὸν εἶναι δεσπότην τοῦ πράγματος τοῦτο πράττοι, παραχρῆμα τοῖς ἐκείνου πράγμασι τίτλους ἐπιθήσει δημοσίους, εἰς κεφαλὴν αὐτῷ περιῤῥήξας τοὺς ὑπ' αὐτοῦ τεθέντας τίτλους· εἰ δὲ φροντιστὴς εἴη πραγμάτων ἀλλοτρίων, τούς τε τίτλους καθάπερ εἰπόντες ἔφθημεν κατεάξει κατὰ τῆς αὐτοῦ κεφαλῆς, βασάνοις τε αὐτὸν ὑποθήσει πικραῖς, ὥστε ταῦτα μανθάνοντα τὸν ᾧ προσήκει προσώπῳ γινώσκειν, ὡς οὐκ ἔξεστιν οὔτε δι' ἑαυτοῦ οὔτε διά τινων δορυφόρων ἢ πρὸς πλεονεξίαν παραλαμβανομένων τοὺς ὑπηκόους ἀδικεῖν.

ϛ'. Δεῖ δὲ αὐτὸν ὁμοίως τὸν περίβλεπτον μοδεράτωρα ἀναστέλλειν καὶ τοὺς λῃστεύοντας καὶ τοὺς πλεονεκτοῦντας καὶ τοὺς[24]) γυναῖκάς τε καὶ περιουσίας καὶ ὑποζύγια καὶ τὰ τοιαῦτα ἁρπάζοντας, ὅπως ἂν καθαρὸν φυλάττοι τὸ δίκαιον, καὶ φανείημεν ὀρθῶς ἐπ' αὐτῷ βεβουλευμένοι καὶ μή τις ἡμᾶς εἰσέλθοι μετάμελος, ὅτι λῃστοδιώκτας τε καὶ βιοκωλύτας ἐπαύσαμεν, τινῶν μὲν κατατρεχόντων τὴν χώραν

24) Ven. τάς.

αὐτοῦ δὲ οὐκ ἀμύνοντος. διὰ τοῦτο γὰρ αὐτῷ καὶ τοὺς στρατιώτας ὑπεθήκαμεν, ἵνα καὶ τὴν ἐκείνων ἔχων χεῖρα δυσκαταμάχητος τοῖς ἐπηρεάζουσιν εἴη.

ζ΄. Ταῦτα αὐτῷ συλλήβδην παραινοῦμεν. τὸ γὰρ δὴ κατὰ μέρος εἴσεται σαφῶς ἔκ τε τοῦ πᾶσιν ἐν κοινῷ γεγραμμένου νόμου καθ' ὅνπερ[25]) ἐτάξαμεν τὰς ἀρχάς, ἔκ τε τῶν βασιλικῶν παραγγελμάτων, ἅπερ αὐτῷ διδόντες ὑφηγησάμεθα[26]) κατὰ τίνα τρόπον διαθήσει τὴν ἀρχήν. καὶ ταῦτα πράττων ἡμῖν τε οὐκ ἀποθύμιος ἔσται, θεῷ τε καὶ τῷ νόμῳ τὴν ἑαυτοῦ ψυχὴν ἀναθήσει καὶ ἀγαθὰς ὑπὲρ ὅλης τῆς διοικήσεως ἕξει τὰς ἐλπίδας. ὑποτεθήσεται δὲ καὶ κατάλογος τῷδε ἡμῶν τῷ θείῳ νόμῳ, δι' οὗ γενήσεται φανερόν, τί μὲν αὐτόν τε καὶ τὸν πάρεδρον καὶ τὴν τάξιν τὴν αὐτοῦ παρὰ τοῦ δημοσίου προσήκει λαμβάνειν, τί δὲ αὐτὸν ὑπὲρ τῶν ἀρχικῶν παρέχειν συμβόλων, ὅπως ἂν ἐπιστάμενος τό τε ἐλευθέριον τῆς ἐπιδόσεως τῆς εἰς αὐτὸν γενομένης τό τε συνεσταλμένον τῆς παρ' αὐτοῦ περὶ τὰ σύμβολα προϊούσης δαπάνης χρῷτο κατὰ τὸ προσῆκον τοῖς πράγμασι, μειζόνων τε ἐθνῶν καὶ πλειόνων ἀνθρώπων ἐλπίζων ἄρχειν, εἰ τοῖς ἐν χερσὶ χρήσαιτο προσηκόντως.

η΄. Δίδομεν δὲ καὶ τοῦτο τὸ τὰς ἐφέσεις τὰς παρ' αὐτοῦ κατὰ τὸ τῶν περιβλέπτων ἀρχόντων σχῆμα παρά τε τοῖς ἐνδοξοτάτοις ἐπάρχοις παρά τε τῷ ἐνδοξοτάτῳ ἡμῶν κατὰ κονσουλτατίονα[27]) κρίνεσθαι κοιαίστωρι· τάς τε δίκας ἐλάττους τῶν πεντακοσίων χρυσῶν ἐν τῇ κατ' αὐτὸν ἐπαρχίᾳ παρά τισι κινουμένας (κἂν εἰ τυχὸν ἐκ παραπομπῆς, μὴ μέντοι παρὰ σπεκταβιλίοις ῥηθεῖεν), ὅταν ἐφέσιμοι γίνοιντο, αὐτὸν ἐν τάξει θείου κατεξετάζειν ἀκροατηρίου. ὥστε αὐτὸν καὶ κατὰ τοῦτο σεμνότερον ὄντα μεμνῆσθαι τῆς παρ' ἡμῶν δεδομένης αὐξήσεως αὐτῷ, καὶ οὕτω χρῆσθαι

25) Significatur const. XVI. 26) Significatur const. XXI. 27) Ven. inter lineas κατὰ συνέλευσιν.

τοῖς πράγμασιν, ὡς ἄμεμπτον ἑαυτὸν πᾶσι τοῖς ὑπηκόοις καὶ ἡμῖν αὐτοῖς καὶ πρό γε ἡμῶν θεῷ τε καὶ τῷ νόμῳ παρέχειν.

Ταῦτα τοίνυν ἅπαντα ἡ σὴ ὑπεροχὴ γινώσκουσα τοσαύτας τε αὐτῇ τὰς σιτήσεις ἐπιδιδότω, οὕτω τε αὐτὴν ἴστω σεμνὴν γενομένην, ὡς πολλοῖς εἰκότως ἔσεσθαι περισπούδαστον τῇ τοῦ νῦν αὐτῇ δοθέντος παρ' ἡμῶν ἄνθους τε καὶ ἀξιώματος ἐπιθυμίᾳ. Dat. XVII. K.[28]) Aug. C. Bilisario V. C. Cons.

Auth. 29. XXXII. Nov. 29.

Basil. VI, 13. — Summas praestant Iulian. c. 28, Athan. IV, 9, Theod. Nov. 29.

Περὶ τοῦ πραίτωρος Παφλαγονίας.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων.[1])

Τὸ Παφλαγόνων ἔθνος ἀρχαῖόν τε καὶ οὐκ ἀνώνυμον καθεστὼς[2]), ἀλλὰ τοσοῦτον, ὡς καὶ ἀποικίας μεγάλας ἐκπέμψαι καὶ τὰς ἐν Ἰταλοῖς συνοικίσαι Βενετίας, ἐν αἷς δὴ καὶ Ἀκυληΐα πόλις τῶν ἐπὶ τῆς ἑσπέρας μεγίστη κατῴκισται καὶ βασιλικὴν πολλάκις δίαιταν δεξαμένη,

α'. τὸ τοίνυν Παφλαγόνων ἔθνος ἐπὶ τῶν Ὁνωρίου τοῦ τῆς εὐσεβοῦς λήξεως χρόνων ἐλαττωθὲν καὶ πόλεις

28) Ven. XV Kal. Sed Athanas. πρὸ ιζ' καλ., Auth. XVII Kal. — De subscriptionibus constitutionum XXXI—XXXVI sic habe. Temporibus Ioannis PP. imperatori solenne fuisse videtur ut tricesimo quoque die sive semel per mensem constitutionibus sanciendis vacaret: id enim ex subscriptionibus Novellarum legum hoc tempore datarum facile colligitur. proinde Codicis Veneti Authentici et Athanasii lectiones in subscriptionibus constitutionum laudatarum passim emendatione indigent, quippe quae una eademque die — media inter XVII Kal. Iul. et XV Kal. Sept. — datae esse videantur.

1) Flor. notat βι. ς' τῶν βασιλ. τί. ιγ' νεαρὰ κθ'. 2) Hal. (accedente Auth.) Ven.: καθέστηκε.

ἀποβαλόν τινας καὶ κατ' οὐδεμίαν χρειώδη πρόφασιν ὕφεσίν τινα δεξάμενον αὖθις ᾠήθημεν χρῆναι πρὸς τὸ πρότερον ἐπαναγαγεῖν σχῆμα, καὶ μίαν πάλιν[3]) τὴν Παφλαγονίαν ἀποτελέσαι, καὶ ἅπερ ἐπὶ τῶν δύο πεπράχαμεν Πόντων ταῦτα καὶ ἐπ' αὐτῇ διατάξασθαι, ὥστε καὶ τὸν τῶν ἐθνῶν τούτων ἔχοντα τὴν ἀρχὴν ἡνωμένην τε δὴ[4]) καὶ μίαν ἀντὶ δυοῖν τῶν ἔμπροσθεν (φαμὲν δὲ Παφλαγονίας τε καὶ Ὀνωριάδος) καλεῖσθαι μὲν πραίτωρα (Ῥωμαϊκὸν δὲ καὶ τοῦτο ὄνομα καὶ τοῖς τὰς ἐπαρχίας ἰθύνουσι πρέπον), τάξει δὲ χρῆσθαι μιᾷ συναρμοσθείσῃ παρὰ τῶν ἔμπροσθεν δύο τάξεων, ἣν καὶ ἀνδρῶν ἑκατὸν ἀριθμὸς συμπληρώσει. ἐπιστήσεται δὲ καὶ οὗτος τοῖς τε δημοσίοις ἅπασιν, ὅσα τε Παφλαγόνες ὅσα τε οἱ πρῴην τῆς Ὀνωριάδος οἰκήτορες ἐτέλουν, καὶ θήσεται πρόνοιαν τῶν πόλεων ἁπασῶν, ὧν ἑκατέρα πρότερον εἶχεν ἐπαρχία, τουτέστιν ἐν Ὀνωριάδι Προυσιάδος τε καὶ Κρατείας καὶ Ἀδριανουπόλεως καὶ Τίου καὶ Κλαυδιουπόλεως καὶ Ἡρακλείας. εἰ γάρ καί τινες αὐτῶν ἐκ Βιθυνίας ἐλήφθησαν πρότερον, ὁποῖον δὴ Προυσίας[5]) τε καὶ Ἡράκλεια καὶ αὐτή γε ἡ μητρόπολις τῆς ἐπαρχίας (φαμὲν δὲ τὴν Κλαυδιούπολιν), ἀλλ' ὅμως ἐπειδήπερ ἅπαξ μετέστησαν, αὖθις ἐπαναγαγεῖν αὐτὰς εἰς Βιθυνοὺς καὶ συνταράττειν τὸ σχῆμα πολλῆς ᾠήθημεν εἶναι τῆς φιλοπραγμοσύνης· ὥστε αὐταί τε αἱ ῥηθεῖσαι πόλεις ἓξ πρότερον Ὀνωριάδος οὖσαι, νῦν μέρος καὶ αὐταὶ Παφλαγονίας ἔσονται. ἐν δὲ Παφλαγόσιν αὐτοῖς ἕξει δικαιοδοσίαν πόλεων ἑτέρων ἓξ τῶν ἄνωθεν ἐκείνῃ προσηκουσῶν τῇ χώρᾳ, φαμὲν δὲ Γερμανικοπόλεώς τε τῆς πρὸς Γάγγραν καὶ Πομπηϊουπόλεως καὶ Δαδύβρων καὶ Σωρῶν καὶ Ἀμάστριδος καὶ πρός γε τῆς Ἰωνοπολιτῶν· δώδεκά τε ἔσονται πόλεις ἅπασαι τῆς ἐπαρχίας ἁπάσης. κἀνταῦθα δὲ περὶ μὲν τὰς ἱερωσύνας οὐδὲν

3) Ven. πόλιν, quod ex Auth. emendatum est. 4) τε δὴ Hal. omittit. 5) Ven. Προυσία.

καινίζομεν, ἀλλ' οἵ τε μητροπολῖται οἱ πρῴην τὰς ἱερωσύνας ἐνταῦθα δεχόμενοι μενοῦσιν ἐπὶ τῆς αὐτῆς τάξεως τῆς ἐπ' αὐτοῖς τό γε ἐπὶ τῷ τόπῳ χειροτονίας οὐκ ἀμειβομένης, ἀλλ' ὑπὸ τοῦ μακαριωτάτου πατριάρχου τῆς εὐδαίμονος ταύτης χειροτονούμενοι πόλεως, αὐτοί τε τοὺς ὑφ' ἑαυτοὺς χειροτονοῦντες οὓς μέχρι νῦν ἐχειροτόνουν, οὐδὲν ἀλλήλοις περὶ τούτων οὐδὲ στασιάζοντες οὐδὲ φυρόμενοι.[6]) καὶ μία τὸ λοιπὸν ἐπαρχία γενήσεται πλείους ἔχουσα μητροπόλεις, τοῦτο ὅπερ καὶ ἐν ἑτέραις ἡμῶν ἐπαρχίαις ἐστίν.

β'. Ὁ δὲ τὴν ἀρχὴν ἔχων τῆς ἐπαρχίας πάσης (Παφλαγονία δὲ ἅπασα καλείσθω καθὰ καὶ πρότερον ἦν) τάς τε πόλεις περινοστήσει, κωλύοντος οὐδενὸς ἔμπροσθεν[7]) ἴσως ἐπὶ κωλύσει τῶν τοιούτων γεγονότος τύπου· τοποτηρητὰς μέντοι ταῖς πόλεσιν οὐκ ἐκπέμπων (τοῦτο γὰρ αὐτῷ παντελῶς ἀπαγορεύομεν, ἐπεὶ τῶν ἀτόπων ἐστὶν ἅμα μὲν αὐτὸν ἐπὶ τῆς ἐπαρχίας χρηματίζειν, ἅμα δὲ ἑτέρῳ τὴν αὐτοῦ τάξιν παρὰ τὸν νόμον διδόναι), ἀλλ' αὐτὸς ἅπαντα διοικήσει, τά τε δημόσια εἰσπράξει σὺν πάσῃ προθυμίᾳ, μήτε ὑπερπράττων μήτε ἐλαττῶν, ἀλλὰ τῆς κατὰ δικαιοσύνην ἰσότητος ἀντεχόμενος, τιθέμενός τε πρόνοιαν τοῦ κἂν εἴ τι βέβλαπται τὸ δημόσιον τοῦτο ἐπανορθοῦν· τὰς πόλεις τε φυλάττων ἀζημίους, κοινῇ τε καὶ ἰδίᾳ· καὶ σίτησιν μὲν λαμβάνων, ἣν ἑκατέρα πρῴην εἶχεν ἀρχή, συνιοῦσαν εἰς χρυσοὺς ἑπτακοσίους εἰκοσιπέντε, ἔχων δὲ καὶ τὸν παρεδρεύοντα ἑβδομήκοντα δύο κομιζόμενον χρυσοὺς, καὶ τὴν τάξιν τὴν μίαν ἐξ ἀμφοῖν συντιθεμένην καὶ εἰς ἀνδρῶν ἑκατὸν συνιοῦσαν ἀριθμὸν καὶ τετρακοσίους τεσσαράκοντα ἑπτὰ τρίτον χρυσοὺς ὑπὲρ παραψυχῆς λαμβάνουσαν παρὰ τοῦ δημοσίου· προῖκά τε δεχόμενος τὴν ἀρχὴν, καὶ προῖκα ταύτην καὶ τὰ κατ' αὐτὴν διανύων. ἡμεῖς γὰρ κἀνταῦθα τοὺς ἡμετέρους ὑπο-

6) Ven. οὐ διαστασιάζοντες οὐ διαφερόμενοι. 7) Ven. Hal. Bas. τῶν ἔμπρ. et Ven. mox τύπον. sed aut delendum τῶν, aut legendum γεγονότων τύπων.

τελεῖς ἐξωνησόμεθα[8]), καὶ τοῖς κομιζομένοις ἐξ ἔθους προφάσει τοῦ καλουμένου σουφφραγίου δώσομεν αὐτοὶ τοῦτο ἐκ τῶν φόρων αὐτοῖς τῶν τῆς ἐπαρχίας ἐπιδιδόντες διὰ τοῦ θρόνου τοῦ σοῦ, καὶ οὐ συγχωρήσομεν ὑπὸ σχήματι καὶ προκαλύμματι πράσεως τοὺς ἡμετέρους ὑπηκόους καταδουλοῦσθαι. οὐ γὰρ ἂν οἱ βαρβάρων τοὺς πρῴην ὑποτελεῖ ἀπαλλάξαντες καὶ τὴν ἀρχαίαν εἰς αὐτοὺς ἐπαναγαγόντε ἐλευθερίαν τοὺς ἐν ἡμῖν αὐτοῖς[8a]) δουλεύειν ἄλλοις συγχωρήσομεν, ἀλλὰ τῷ δι' ἡμῶν πολλοῖς ἔθνεσιν ἐλευθερία φιλοτιμησαμένῳ θεῷ τούτῳ καὶ ἡμεῖς καθ' ὅσον ἐστὶ δυνατὸν τὴν τῶν ἀεὶ πιπρασκομένων ὑπηκόων ἡμῶν προσοίσομεν ἐλευθερίαν, οὔτε τοὺς λαμβάνοντας καταβλάπτοντες (ἀντεισάξομεν γὰρ αὐτοῖς τὴν νενομισμένην ὠφέλειαν) οὔτε ἐφιέντες ταῖς ἀρχαῖς ὀνόματι τῆς δόσεως τοὺς ὑπηκόους τοὺς ἡμετέρους ὥσπερ τὶ τῶν ἀνδραπόδων ὠνεῖσθαι μὲν παρὰ τῶν πιπρασκόντων, πιπράσκειν δὲ τοῖς ἀδικοῦσι. ἔστω σοὶ τοίνυν καὶ αὕτη τῶν τῆς Ποντικῆς διοικήσεως ἐπαρχιῶν μία, διπλῆ πρότερον (οὐκ ἴσμεν ἀνθ' ὅτου γενομένη, καὶ καλέσεις μὲν καθάπερ εἰπόντες ἔφθημεν τὸν ἐπὶ ταύτης ἡγούμενον πραίτωρα Παφλαγονίας Ἰουστινιανόν ἔξεστι δὲ αὐτὸν ἑλλάδι γλώττῃ καὶ στρατηγὸν καλεῖν.

γ'. Τῶν ὅρκων δὲ αὐτὸν ἀναμνήσεις ἀεὶ καθ' οὓς παραλήψεται τὴν ἀρχὴν, ὥστε καθαρὰς ἔχειν τὰς χεῖρας καὶ μηδὲ κέρδεσιν ἀτόποις ῥυπώσας, ἐφ' ᾧ τὸ δημόσιον ὠφελεῖν τε καὶ αὔξειν δικαίαις τε πανταχόθεν καὶ ἀμέμπτοις προσθήκαις, ὥστε νέμειν τοῖς ἡμετέροις ὑπηκόοις ἰσότητά τε καὶ δικαιοσύνην ἔν τε τοῖς δημοσίοις, ἔν τε τοῖς συμβάλλουσιν ἔν τε τοῖς δικαζομένοις πρὸς ἀλλήλους. περινοστήσει δὲ ἀζημίως τὰς πόλεις, ὥστε μήτε αὐτὸν μήτε τὸν πάρεδρον μήτε τὴν ἑπομένην αὐτῷ θεραπείαν, εἴτε στρατιωτῶν εἴτε ταξεωτῶν εἴτε οἰκετῶν, τὶ κερδαίνειν ἢ προῖκα δαπανᾶν

8) Ven. inter lineas βοηθείας. 8a) Lege αὐτούς.

εἴ γαρ αὐτοὺς μὲν ἐξ ὧν αὐτοῖς δίδομεν ἐκ τοῦ δημοσίου ιτήσεων τὰς δαπάνας ποιεῖσθαι σὺν μετριότητι προσηκούσῃ ὄντας, τοὺς δὲ ἑπομένους αὐτοῖς στρατιώτας γινώσκειν, ὡς ἰ μὴ ταῖς οἰκείαις ἀρκούμενοι σιτήσεσιν ὁδοιποροῖεν, ἀλλὰ ιαῤῥήσαιεν τοὺς συντελεῖς τοὺς ἡμετέρους ἀδικεῖν ἤ τισιν ὐτοὺς περιβάλλειν ζημίαις ἢ προῖκα ποιεῖσθαι τὴν δαπάνην, ιὰ τοῦ τὴν ἀρχὴν ἔχοντος τὸ ἀζήμιον ἔσται τοῖς συντελέ-ιν, ἐκ τῶν ἐκείνων σιτήσεων αὐτοῦ μὲν αὐτὰς ἀπαιτοῦν-ος, οἰκείῳ δὲ κινδύνῳ τοῖς συντελέσιν ἐξ αὐτῶν περι-οιοῦντος τὸ ἀζήμιον.

δ'. Ἔστω δὲ καὶ οὗτος ὁ νόμος ἡμῖν ἐπὶ Παφλαγόσι εἰμενος, ποιῶν αὐτοῖς τὴν ἀρχὴν σεμνοτέραν καὶ ἐν ταῖς εριβλέπτοις ἀριθμουμένην, καὶ διδοῦσαν κατὰ τῶν στρατιωτῶν ῶν ἐπιχωρίων ἐξουσίαν ἐν οἷς ἂν αὐτοῖς μετὰ τοῦ δικαίου ροστάττῃ, καὶ κατὰ τῶν ἄλλων ἁπάντων τῶν τῆς ἐπαρχίας ὐτῆς χρῆσθαι προνομίῳ μὴ δυναμένων, κἂν εἰ μείζονες ὦν εἰ τυχὸν ἐλάττονες κἂν εἰ πραγμάτων προΐσταντο υνατοῖς προσηκόντων ἀνθρώποις. καὶ ἐπιμελήσεταί γε ιαφερόντως τοῦ κατ' ἐκείνους ῥᾳδίως ἁμαρτανομένου τοὺς ὅπους, τὸ μὴ συγχωρεῖν τίτλους ἐπιτιθέναι χωρίοις τισὶν ναγεγραμμένους εἴς τινος ὄνομα τῶν ἄλλων πλὴν τοῦ ημοσίου τε καὶ τῶν βασιλικῶν οἴκων. ἀλλ' εἴ τι τοιοῦτον ὕροι γινόμενον, τοὺς μὲν τίτλους αὐτίκα καθαιρήσει, τοῖς ὲ ἐκείνου χωρίοις τοῦ ταῦτα ἁμαρτάνοντος, εἴ γε παρὼν ιῦτα πράττοι, τίτλους ἐπιθήσει πάντως ὀνόματι τοῦ ημοσίου, πρότερον τοὺς καθαιρεθέντας τίτλους εἰς τὴν κείνου περιῤῥηγνὺς κεφαλήν, εἰ δὲ ἀπὼν εἴη, τὸν τῶν ωρίων προεστῶτα συλλαβὼν τὸ σῶμά τε αὐτοῦ βασάνοις ποβαλεῖ, τοὺς τίτλους τε καὶ οὕτως εὐθὺς καθαιρήσει εἰς εφαλὴν τοῦ προεστῶτος τῶν χωρίων αὐτοὺς κατεάξας· ινώσκων ὡς εἰ τοιοῦτό τι περιΐδοι, καὶ μάθοιμεν τίτλους κεῖσθαι παρά τινων ἐπιτεθέντας ἄλλων πλὴν τοῦ τε ημοσίου τῶν τε βασιλικῶν οἴκων ἡμῶν τε καὶ τῆς εὐσεβε-

στάτης Αὐγούστης, τόν τε ἄρχοντα μαθόντα το γενό περιορᾶν, αὐτὸς ὁ τὴν ἀρχὴν ἔχων ὑποστήσεται δήμ ὡς παρὸν ταῦτα ῥαδίως κωλύειν τῷ μεγέθει χρώμενο ἀρχῆς, ὅμως ἐξεπίτηδες τούτων ὑπερορῶντα.

ε΄. Κἀκείνου δὲ θέσθαι πρόνοιαν αὐτὸν βουλι τοῦ πᾶσι λῃστεύουσιν ἐπεξιέναι καὶ τοῖς ἁρπάζουσι ἀλλοτρίους βίους ἢ καὶ γυναῖκας καὶ ἄλλα ἐγκλήματα ζομένοις, συνέχειν τὲ αὐτοὺς· καὶ τιμωρίαις ὑποβ προσηκούσαις, καὶ πᾶσαν ἀδικίαν ἀναστέλλειν, κι συγχωρεῖν ἔν τινι τοὺς ἐπιεικεστέρους ἀδικεῖν, ὥστε μὴ ἡμᾶς ἑτέρων δεῖσθαι τῶν τοῖς τοιούτοις ἐπεξιόντω πάλιν ἀνέχεσθαι βιοκωλυτῶν καὶ λῃστοδιωκτῶν καὶ τοιούτων ὀνομάτων τε καὶ πραγμάτων, ἅπερ ἡμεῖς στρεφόμενοι πρὸς ταύτην αὐτὸν τὴν τάξιν ἠγάγομεν οὕτως αὐτῷ σεμνὴν τὴν ἀρχὴν πεποιήκαμεν, ὥστε κ ἐκκλήτους τὰς αὐτῷ δικάζοντι διδομένας καὶ πρὸς τὴ ὑπεροχὴν καὶ τοὺς κατὰ καιρὸν τὴν αὐτὴν παραληψο ἀρχὴν πρός τε τὸν πανεύφημον κοιαίστωρα τοῦ θείου παλατίου, οἵπερ κατὰ τάξιν κονσουλτατίωνος[9]) αὐτῶν άσονται, τὰς δὲ ἐλάττους τῶν πεντακοσίων νομισμάτων τὰς κατὰ τὴν ἐπαρχίαν τὴν αὐτοῦ κινουμένας παρά ἑτέροις οὐ[10]) σπεκταβιλίοις, εἰ καὶ ἐκ παραπομπῆς ὅταν ἐφέσιμοι γίνωνται, πρὸς ἑαυτὸν ἄγειν ἐν τῇ τοῦ δικαστηρίου τάξει, ἵνα πανταχόθεν καὶ αὐτὴ συναρι ταῖς ἀρχαῖς ταῖς παρ' ἡμῶν ἐξηυρημέναις καὶ εἰς σεμν ἀναχθείσαις σχῆμα. ἔσονται γὰρ δὴ καὶ αὗται μείζοι τῶν προτέρων ἀξιολογώτεραι, καὶ ῥαδίως ἡμῖν πρ μείζονα τῶν πραγμάτων ὑπηρετήσονται· μηδὲν γὰρ ἐν καθεστάναι μέγα καὶ τοῖς πρὸ ἡμῶν εἴρηται, καὶ ἡ αὐτοῖς ἐπ' αὐτῶν ἐγκέκριταί τε καὶ δεδοκίμασται τῶν

9) Ven. supra lineam συνελεύσεως. 10) Hal. οι βλέπτοις. Ven. et Bas. οὐ omittunt, quo tamen care possumus.

ὑποτεθήσεται τοίνυν ἀπογραφὴ καὶ τῷδε τῷ νόμῳ, δηλοῦσα τί μὲν λήψεται παρὰ τοῦ δημοσίου τοῦτο μὲν ὁ τὴν ἐπαρχίαν ἰθύνων αὐτὸς, τοῦτο δὲ ὁ πάρεδρος καὶ ἡ τάξις αὐτοῦ, τί δὲ διδοὺς τὰ τῆς ἀρχῆς παραλήψεται σύμβολα. [§. 1.] ὁ δὲ τρόπος καθ' ὃν ἄρξει κἀνταῦθα μὲν ἐν βραχεῖ διηγόρευται, φανερὸς δὲ αὐτῷ καὶ παρὰ τοῦ νόμου γενήσεται τοῦ περὶ πασῶν τῶν ἀρχῶν ἐν κοινῷ γραφέντος, καὶ παρὰ τῶν βασιλικῶν ἡμῶν παραγγελμάτων, ἅπερ αὐτῷ δώσομεν, ὅτε καὶ τὰ τῆς ἀρχῆς διδοίημεν σύμβολα καὶ τὸν ὅρκον ἀπαιτοίημεν, τοῦτο δὴ τὸ κατὰ τὸν νόμον τὸν ἡμέτερον γεγραμμένον.

Ταῦτα τοίνυν ἅπαντα ἡ σὴ ὑπεροχὴ γινώσκουσα τοσαύτας τε αὐτῇ τὰς σιτήσεις ἐπιδιδότω, οὕτω τε αὐτὴν ἴστω σεμνὴν γενομένην, ὡς πολλοῖς εἰκότως ἔσεσθαι περισπούδαστον τῇ τοῦ νῦν αὐτῇ δοθέντος παρ' ἡμῶν ἄνθους τε καὶ ἀξιώματος ἐπιθυμίᾳ. Dat. XVII. Kal.[11]) Aug. Bilisario V. C. Cons.

XXXIII.

Ed. 3.

Summas praestant Iulian. c. 29, Athan. XIX, 1.

Περὶ τῆς τῶν Ἀρμενίων διαδοχῆς.[1])

Καὶ Ἀρμενίους βουλόμεθα τῆς προτέρας ἀπαλλάξαντες ἀδικίας ἐπὶ τοὺς ἡμετέρους διὰ πάντων ἀγαγεῖν νόμους, καὶ δοῦναι αὐτοῖς ἰσότητα τὴν πρέπουσαν.

11) Ven. XV Kal. Athan. πρὸ ιβ' καλ. Auth. et Iulian. XVII Kal. Aug. Hanc nostram constitutionem eadem die datam esse qua const. XXXI (vide ibi not. 28) verisimile est, ideoque edidi XVII Kal. Aug.

1) Deest nomen eius ad quem haec constitutio directa est. is autem Ioannes PP. fuisse videtur, ut ex verbis ἡ σὴ μεγαλοπρέπεια et ἡ σὴ ὑπεροχὴ et consulatu Belisarii colligitur. nisi forte de Acacio Proconsule interioris Armeniae cogitare malueris. Videatur c. XLIV not. 2.

α'. Καὶ ἐπειδὴ μεμαθήκαμεν ἔναγχος βαρβαρικόν τινα καὶ θρασὺν εἶναι παρ' αὐτοῖς νόμον, οὐ Ῥωμαίοις οὐδὲ τῇ δικαιοσύνῃ τῆς ἡμετέρας πρέποντα πολιτείας, ὅπως ἂν ἄῤῥενες μὲν κληρονομοῖεν τῶν γονέων, θήλειαι δὲ μηκέτι, διὰ τοῦτο θεσπίζομεν τῷ παρόντι θείῳ χρώμενοι νόμῳ πρὸς τὴν σὴν μεγαλοπρέπειαν, ὁμοίας εἶναι τὰς διαδοχὰς, καὶ ὅσα τοῖς Ῥωμαίων διατέτακται νόμοις ἐπί τε ἀνδρῶν ἐπί τε γυναικῶν ταῦτα καὶ ἐν Ἀρμενίᾳ κρατεῖν. διὰ τοῦτο γὰρ δὴ καὶ τοὺς ἡμετέρους ἐκεῖσε κατεπέμψαμεν νόμους, ἵνα εἰς αὐτοὺς ἀφορῶντες οὕτω πολιτεύοιντο. [§. 1.] ἐπειδὴ δὲ τὰ ἤδη προειληφότα ἅπαντα ἀνακινεῖν τῶν ἀτοπωτάτων ἐστὶ, διὰ τοῦτο θεσπίζομεν, τόνδε τὸν νόμον κρατεῖν ἀπὸ τοῦ καιροῦ τῆς εὐσεβοῦς ἡμῶν βασιλείας, ὥστε τὰς τῶν ἐξ ἐκείνου τελευτησάντων μέχρι νῦν διαδοχὰς κατὰ τοῦτον πολιτεύεσθαι τὸν τρόπον, πλὴν εἰ μὴ ἔτυχον διαλυσάμενοι ἢ ἄλλως πρὸς ἀλλήλους ἀπαλλαγέντες. εἰ γάρ τι τοιοῦτον γέγονε, τοῦτο ἐπὶ τῆς οἰκείας μένειν ἰσχύος καὶ μηδαμῶς ἀνακινεῖσθαι θεσπίζομεν. [§. 2.] μετέχειν δὲ αὐτὰς[2]) καὶ τῶν καλουμένων γενεαρχικῶν χωρίων ἀπὸ τοῦ εἰρημένου χρόνου βουλόμεθα. εἰ μέντοι[3]) συμβαίη τινὰς εὑρεθῆναι, οἵπερ καίτοι μὴ καλουμένας τὰς θυγατέρας εἰς τὴν ἐξ ἔθους[4]) ἀδιαθέτου διαδοχὴν ἔγραψαν ὅμως κληρονόμους, μετεῖναι κἀκείναις καὶ τοῖς ἐξ αὐτῶν γενομένοις τῆς τῶν γενεαρχικῶν πραγμάτων διαδοχῆς.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ καὶ παραφυλάξαι καὶ πέρατι παραδοῦναι σπευσάτω, ὥστε τοὺς ἡμετέρους νόμους διὰ πάντων κρατεῖν καὶ εἶναι κυρίους, ἀρχομένου μὲν τοῦ παρόντος νόμου καθάπερ εἰπόντες ἔφθημεν ἐκ τῶν προοιμίων

2) Scil. διαδοχὰς vel θηλείας. 3) Malim εἰ μὲν γάρ. etenim quae sequuntur praecedentia illustrant, non autem contraria statuunt. 4) Cod. ἐξαιτασιν. ego ἐξ ἔθους dedi sequutus Iulianum „secundum pristinam Armeniorum consuetudinem“.

ἧς ἡμετέρας βασιλείας, τῷ παντὶ δὲ συμπαρατεθησομένου ρόνῳ[5]) καὶ εἰς τὸ λοιπὸν ἅπασι πολιτευσομένου τρόποις, αὶ παρὰ πάντων φυλαχθησομένου. Dat. XVII. K.[6]) Aug. Bilisario V. C. Cons.

Auth. 39. XXXIV. Nov. 37.

Summas praestant Athan. II, 6 (unde hausta esse videntur quae tanquam ex Nov. 39 sumta habet Nomoc. L titulorum ed. Voelli II p. 644. 646) Theod. Nov. 37 (cuius summa repraesentatur ab Hal.; nec non in Basil. I, 1, 49—52), denique Nomoc. XIV titt. IV, 13. VIII, 10. IX, 25, ubi citatur tanquam Nov. 112.

DE AFRICANA ECCLESIA.

Idem A. Salomoni Pf. P. Africae.

Venerabilem ecclesiam nostrae Carthaginis Iustinianae ceterasque omnes Africae dioeceseos sacrosanctas ecclesias imperialibus beneficiis relevare noctu dieque festinamus, ut postquam nostrae reipublicae per dei praesidium a tyrannis abreptae societates sunt, nostras etiam sentiant liberalitates. quum igitur Separatus[1]), vir sanctissimus sacerdos eiusdem nostrae Carthaginis Iustinianae qui venerando concilio totius Africae sanctissimarum ecclesiarum praeesse dignoscitur, una cum ceteris eiusdem provinciae reverendissimis episcopis, propriis[1a]) per Theodorum virum religiosum diaconum et responsalem eiusdem venerabilis ecclesiae civitatis Carthaginis Iustinianae destinatis, nostram deprecati sunt maiestatem, possessiones ecclesiarum totius Africani tractus, tyrannico quidem tempore ablatas eis, post victorias autem caelesti praesidio nobis contra Van-

5) Cod. χρόνου. 6) Subscriptionem solus praestat Venetus. is tamen X Kal. legit. videsis quae dixi const. XXXI not. 28.

1) Forte idem, qui decennio post antistes Carthaginensis Reparatus laudatur a Procop. bell. Vandal. II, 26. 1a) precibus?

dalos praestitas per nostri numinis piam dispositionem eis redditas, salva in quocunque loco constituta videlicet tributorum solutione, firmiter possidere secundum legis tenorem quae iam super hac causa promulgata est[2]), petitionibus eorum prono libenteque animo duximus annuendum.

Ideoque iubemus sublimitatem tuam suis disponere praeceptionibus, ut praedictas possessiones, salva prout dictum est tributorum ratione, venerabiles ecclesiae tam[3]) nostrae Carthaginis Iustinianae quam omnium civitatum Africanae dioeceseos firmiter possideant et sine ulla concussione, a nullo penitus abstrahendas. si quas autem alias possessiones sive domus sive ecclesiarum ornamenta apud aliquos vel Arianos vel paganos vel alias quaslibet personas detineri probatum fuerit, ea quoque omnimodo sine aliqua dilatione avelli et sacrosanctis ecclesiis orthodoxae fidei assignari, nulla prolixitate temporis his qui easdem res inique detinent uti concedendis, sed earum restitutionem omni explosa machinatione facere compellendis, quia non patimur sacratissima vasa vel ornamenta venerabilium ecclesiarum aut alias possessiones apud paganos vel alias personas detineri, et lex quae nobis antea prolata est sic abundeque huiusmodi capitulo consultum fecit. Alterius etiam nostrae constitutionis[4]) praerogativa, quam pro ecclesiasticis fecimus rebus et possessionibus, Africae quoque venerabiles ecclesias perpotiri censemus, et secundum eius tenorem licentiam eis damus res proprias et possessiones recuperandi a quacunque persona per provinciam occupatas, ut possit quidquid ad eas pertinens ablatum est vel fuerit, ab antiquis detentatoribus vindicare.

2) Haec lex interiit. 3) Heimb.: cum. 4) l. 21. 23. C. de SS. ecclesiis. Const. XV supra.

ae autem erit tuae sublimitati, quatenus neque
, neque Donatistis nec Iudaeis nec aliis qui ortho-
n religionem minime colere noscuntur aliqua detur
mmunio penitus ad ecclesiasticos ritus, sed omnimodo
cludantur a sacris et templis nefandi, et nulla eis li-
ntia concedatur penitus ordinare vel episcopos vel
ericos, aut baptizare quascunque personas et ad suum
rorem trahere, quia huiusmodi sectae non solum a nobis,
d etiam ab anterioribus legibus condemnatae sunt, et
sceleratissimis nec non inquinatis coluntur hominibus.
mnes autem haereticos secundum leges nostras, quas
nposuimus, publicis actibus amoveri: et nihil penitus
ublicum gerere concedantur haeretici nec aliquam ad-
ministrationem quibuslibet subire ambitionibus, ne vide-
ntur haeretici[5]) constituti orthodoxis imperare, quum
ufficit eis vivere, non etiam sibi aliquam auctoritatem
indicare et ex hac orthodoxos homines et dei omnipo-
tentis rectissimos cultores quibusdam afficere detrimentis.
rebaptizatos autem militiam quidem habere nullo modo
concedimus, poenitentiam autem eorum, si ad orthodoxam
idem mente purissima venire maluerint, non respuimus,
sed damus eis licentiam hoc faciendi, quia et deo omni-
potenti nihil ita est acceptabile ut peccantium poenitentia.
udaeis insuper denegamus servos habere Christianos,
quod et legibus anterioribus cavetur[6]) et nobis cordi est
illibatum custodire, ut neque servos orthodoxae religionis
habeant, neque si forte catechumenos accipiant, eos audeant
circumcidere. sed neque synagogas eorum stare concedi-
mus, sed ad ecclesiarum figuram eos volumus reformari.
neque enim Iudaeos neque paganos neque Donatistas neque

5) Haec verba „nec aliquam — haeretici" vulgo desunt:
firmantur Athanasio et Theodoro. 6) Vide locos a Theod.
. 4 citatos.

Arianos neque alios quoscunque haereticos vel spe habere vel quaedam quasi ritu ecclesiastico facere mur, quum hominibus impiis sacra peragenda pern satis absurdum est.

Privilegia insuper sacrosanctae ecclesiae nostra thaginis Iustinianae omnia condonamus, quae met tanae civitates et eorum antistites habere noscuntur, etiam Codici nostro in primo eius libro segregata sanctis ecclesiis suum honorem praestare noscunt civitas quam nostri numinis cognomine decorandan perspeximus imperialibus etiam privilegiis exornata flo confugas etiam, qui ad venerabiles ecclesias et fines convolare festinant et suae voluntati[6a]) proficere penitus licere sacrilegis manibus ab his abstraher eos venerabilibus locis debita reverentia perpotiri tamen homicidae sint vel virginum raptores aut Chris fidei violatores. illos etenim qui talia facinora comn nullis esse dignos privilegiis quis non confiteatur? non possint[7]) sacrosanctae ecclesiae et homines i adiuvare et hominibus laesis suum adiutorium pra si quid praeterea sacrosanctae ecclesiae saepe dictae n Carthaginis Iustinianae vel aliis venerabilibus ec Africanae dioeceseos a quacunque persona pro suae animae oblatum est vel fuerit quocunque modo le seu in possessionibus seu in aliis quibuslibet spec et hoc apud eas venerabiles ecclesias manere firme n unquam manibus abstrahendum, quum homines, qu laudabiles tamque deo acceptabiles actus et pias oblationes deproperant, satis et nos laudamus et de lestis remunerat clementia.

Haec igitur omnia, quae ad honorem sacrosanc

6a) incolumitati? 7) Codd.: pot.

dedimus ecclesiarum totius Africanae dioeceseos per praesentem piissimam et in perpetuum valituram legem quam omnipotenti deo dedicandam esse perspeximus, sublimitas tua cognoscens, firma illibataque custodire festinet [et] omnibus prout solitum est manifestare edictis ubique proponendis, ut nostra iussa summae pietatis rationem habentia ex omni parte immutilata serventur; demetatoribus[7a]) eorum poena X librarum auri subdendis, aliaque gravissima nostri numinis indignatione plectendis omnibus, qui nostram dispositionem quocunque modo vel tempore violari tentaverint vel violare concesserint. *Dat. Kal.*[8]) *Aug. Constant.* ***Belisario*** *V. C. Cons.*

Auth. 15. **XXXV.** Nov. 15.

Bas. VI, 18. — Summas habes apud Iulian. c. 30, Athan. IV, 24, Theod. Nov. 15.

Περὶ τῶν ἐκδίκων.

Imp. Iustinianus Aug. *Ἰωάννῃ* Praef. *πραιτ.*[1])

Εἰ μὴ θᾶττον ἐπαναγάγοιμεν καὶ τὸ φρόντισμα τῶν ἐκδίκων εἰς τὴν προσήκουσαν τάξιν, οὐδὲ αὐτῆς ἔτι τῆς τῶν παλαιῶν ὀνομάτων εὐπορήσοιμεν ἀληθείας. ἄλλοις μὲν γὰρ ἄλλα δέδοται παρὰ τῆς παλαιότητος ὀνόματα σημαντικὰ σαφῶς τῶν πραγμάτων, τουτὶ δὲ τὸ τῶν ἐκδίκων καθαρῶς ἀποφαίνει τὸ τὴν ἀρχαιότητά τινας ἐπιστῆσαι τοῖς πράγμασιν, οἵπερ ἐκ πάσης αὐτὰ τῆς ἀδικίας ἐκδικήσουσιν ἐλεύθερα· τοιγαροῦν καὶ διὰ τοῦτο τῇ πατρίῳ φωνῇ δεφένσορας αὐτοὺς καλοῦμεν, ὅπως ἂν ἀπαλλάξαιεν κακῶν τοὺς ἀδικουμέ-

7a) dementat. sive temeratoribus legendum. 8) Legerim XVII Kal. Vide quae dixi const. XXXI not. 28.

1) Ita inscriptio est in Ven. Hal. (quem sequitur Scr.) *Αὐτοκράτωρ Ἰουστινιανὸς αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν πραιτωρίων τὸ β΄ ἀπὸ ὑπάτων καὶ πατρικίῳ.*

νους. νῦν δὲ δὴ τοῦτο τὸ τῶν ἐκδίκων πολὺ δὴ πεπατημέ-
νον ἐστὶν ἐν πολλοῖς τῆς ἡμετέρας πολιτείας μέρεσι, κα
οὕτω καταπεφρονημένον ὡς ἐν ὕβρει μᾶλλον ἤπερ ἔν τι
κεῖσθαι σεμνότητι. τοιγαροῦν γίνονται μὲν ἄνδρες ἀφανεῖ
τὰς δὲ ἐπ' αὐτοῖς ψήφους οἴκτῳ μᾶλλον ἤπερ ἐπιλογ
πορίζουσιν. οἷς γὰρ οὐκ ἔστι τροφὴ καὶ βίος αὐτάρκη
οὗτοι τὰς τῶν ἐκδίκων ἐρανιζόμενοι χειροτονίας ἐπὶ τοῦ
παρίασι τὸ φρόντισμα, καὶ ἀντ' ἄλλου τινὸς παιγνίου τα
τῶν ἀρχόντων ἔκκεινται γνώμαις. ἀμέλει παύουσί τε αὐτο
ἡνίκα ἂν βουληθεῖεν ἢ οὐδὲν ἢ σμικρότατα ἐγκαλέσαντες,[1]
ἄλλους τε εἰς τὴν ἐκείνων ἐμβιβάζουσι τάξιν, τοποτηρητ
δῆθεν αὐτοὺς ἐκδίκων ποιοῦντες, καὶ τοῦτο τοῦ ἔτους πο
λάκις ἐπὶ πλείοσιν ἀνθρώποις πράττοντες, ὥστε καὶ
ταξεῶται καὶ οἱ τῶν πόλεων ἄρχοντες καὶ οἱ ταύτας οἰκοῦ
τες ἐν ἐσχάτῃ καταφρονήσει τὸν ἔκδικον ἔχουσι, τὰ δὲ ι
πραττόμενα παρ' αὐτοῖς ἐν ἴσῳ τοῖς ἀπράκτοις ἐστίν.
γὰρ μὴ ἐπιτάξαιεν οἱ τῶν ἐπαρχιῶν ἄρχοντες, οὐδ' ι
τολμήσαιέν τινα πρᾶξιν ὑπομνημάτων συστήσασθαι πα
ἑαυτοῖς οἱ πάντα δουλεύοντες αὐτοῖς ἔκδικοι, τοῖς ἐκείνω
νεύμασι προσέχοντες μόνοις. εἰ δὲ δὴ καί τινα πραχθεί
πρῶτον μὲν καὶ ταῦτα πιπράσκουσιν, ἔπειτα οὐδενὸς ὄντ
ἀρχείου, καθ' ὃ τὰ πραττόμενα παρ' ἑαυτοῖς ἀποτίθεντ
παραπόλλυται τὸ πραττόμενον, καὶ οὐκ ἂν εὕροις παρ' α
τοῖς χρόνων πλειόνων ὑπόμνημα παντελῶς οὐδὲ ἕν, ἀλ
εἰς κληρονόμους τε αὐτῶν καὶ τὰς ἄλλας διαδοχὰς οἱ τ
των δεόμενοι ζητοῦσι τὰ πεπραγμένα, καὶ τούτων τὰ μ
εὑρίσκουσιν οὐδεμιᾶς ἄξια πίστεως ὄντα, τὰ δὲ καὶ ἐξαπό-
λυται καὶ διαπίπτει τοσοῦτον, ὡς ἐν ἴσῳ τοῖς μηδὲ γενομέ-
νοις εἶναι. ἡμεῖς τοίνυν, ἐπειδὴ τὰ τῶν ἀρχόντων
διεθήκαμεν καὶ μείζους τε τὰς ἐπικρατείας αὐτῶν ἐν τι
ἔθνεσιν ἐποιήσαμεν[2]) καὶ πορρωτέρω γε αὐτοῖς ἐστὶ τὰ τ

1a) Auth.: delinquentes. 2) Innuit const. XXIV sqq.

τῶν πόλεων ἐποψίας, διὰ τοῦτο ᾠήθημεν χρῆναι καὶ τὸ τῶν ἐκδίκων καταστήσασθαι. γένοιτο γὰρ ἂν οὕτω τις ἁρμονία χρηστὴ, εἴπερ ἀρχόντων λάβοιεν τάξιν οἱ τῶν πόλεων ἔκδικοι, καὶ ὁ τῆς ἐπαρχίας ἡγούμενος δοκοίη τις ἄρχων εἶναι μᾶλλον ἀρχόντων καὶ ταύτῃ σεμνότερος τῶν ἔμπροσθεν φαίνεσθαι· ὅσῳ γὰρ ἄν τις ἄρχοι κρειττόνων, τοσούτῳ μείζων αὐτὸς καὶ σεμνότερός ἐστι.

α΄. Τέως οὖν ἐκεῖνο πρῶτον νομοθετητέον, ὥστε μηδενὶ τῶν πάντων εἶναι παῤῥησίαν τὴν τοῦ ἐκδίκου χειροτονίαν ἀπωθεῖσθαι, ἀλλὰ ἀμοιβαδὸν ἅπαντας τοὺς σεμνοτέρους τῶν πόλεων οἰκήτορας ταύτην αὐταῖς τὴν λειτουργίαν ἐκπληροῦν (τοῦτο γὰρ δὴ κἀν τοῖς ἔμπροσθεν χρόνοις κρατεῖν τε καὶ πολιτεύεσθαι μεμαθήκαμεν), οὐδενὸς οὐδ' ἂν εἰ τετιμημένος εἴη τῇ τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων ἀξίᾳ τοῦτο διωθεῖσθαι συγχωρουμένου, οὐδ' ἂν εἰ στρατείαν[3]) ἔχοι σεμνὴν, οὐδ' ἂν εἴ τι προΐσχοιτο προνόμιον ἐκ θείων αὐτῷ τύπων κἂν εἰ πραγματικοὶ καθεστήκοιεν πεφιλοτιμημένον, ἀλλὰ κατὰ κύκλον τῶν οἰκητόρων τῆς πόλεως ὧν τις ἐστὶ καὶ λόγος ταύτην ἐκπληρούντων, καὶ ἐπειδὰν ὁ κύκλος παύσηται, πάλιν ἐπανιόντων εἰς τὸ φρόντισμα καὶ τῇ πόλει τὴν εἰρημένην φροντίδα λειτουργούντων, ὥστε τὸν ἐν ἑκάστῃ πόλει ἔκδικον ἄρχοντα μᾶλλον ἢ ἔκδικον εἶναι δοκεῖν, ψήφῳ μὲν σὺν ὅρκῳ γινόμενον πάντων κοινῇ τῶν κατὰ τὴν πόλιν ἐκείνην ὄντων κτητόρων[4]), ἀλλὰ μὴ τῶν ἐνταῦθα διαγόντων. [§. 1.] ὅρκον δὲ παρέχοντα, ὡς ἅπαντα πρὸς τὸν νόμον καὶ τὸ δίκαιον πράξει κοινῇ[5]), βεβαιούμενον δὲ, καθάπερ ἡμεῖς νῦν[6]) φαμεν, ἐκ προστάξεως

3) Ven. εἰς στρατίαν. 4) Hal. οἰκητόρων quem temere sequutus est Scrimg. 5) Hal. et Bas. κοινῇ omittunt. Auth. vero dum „omnium communiter" vertit πάντων κοινῇ ob oculos habuisse videtur. Quid? si dicamus haec verba πάντων κοινῇ ex superioribus temere hic repetita fuisse. 6) Theod.: τὸ γὰρ παλαιὸν μετὰ πενταετίαν διεδέχετο ὁ ἔκδικος, ὡς κρατεῖ βι. α΄ τοῦ κώδ. τί. νε΄ διατ. δ΄.

τῶν ἐνδοξοτάτων ἡμῶν ὑπάρχων εἰς διετίαν δὲ ἄρχοντα μόνην καὶ πανόμενον τοῦ φροντίσματος. οὐκ ἔχοντος ἄδειαν τοῦ λαμπροτάτου τῆς ἐπαρχίας ἄρχοντος παύειν αὐτὸν, ἀλλ' εἴ τι δοκοίη πράττειν οὐκ ὀρθὸν, μηνύειν εἰς τοὺς ἐνδοξοτάτους ἐπάρχους, ὥστε ἐκεῖθεν αὐτῷ γενέσθαι τὴν τοῦ φροντίσματος ἀπαλλαγὴν ὅθεν καὶ δίδοται.

β'. Μηδεμιᾶς οὔσης παῤῥησίας τῷ τὴν ἀρχὴν ἔχοντι ἢ αὐτοῖς τοῖς ἐκδίκοις τοποτηρητὰς ἐκδίκων ποιεῖν, ἀλλὰ καὶ τοῦτο πᾶσιν αὐτοῖς ἀπηγορεῦσθαι τρόποις. ἀλλὰ μηδὲ οἰκείους[7]) τοποτηρητὰς ἐν ταῖς πόλεσι τοὺς λαμπροτάτους ἄρχοντας ἐκπέμπειν, πλὴν αὐτῶν τῶν ἐκδίκων, οὓς τὴν τῶν ἀρχόντων τάξιν πληροῦν ἐν ταῖς πόλεσι βουλόμεθα, αὐτούς τε ἐν ἅπασιν ἐπιμέλεσθαι τῶν πόλεων ἐν αἷς εἰσί.

γ'. Πράττεσθαί τε παρὰ τοῖς ἐκδίκοις καὶ διαθηκῶν ἐμφανίσεις καὶ δωρεῶν, καὶ πᾶν εἴ τι τῶν τοιούτων ἐστὶν ὑπομνημάτων ἴδιον· οὐ δυναμένου τοῦ λαμπροτάτου τῆς ἐπαρχίας ἄρχοντος κωλύειν τὸ πράττεσθαι μέλλον, ἢ προστάττειν ὡς οὐ βούλοιτό τι πραχθῆναι ἢ πραχθὲν μὴ ἐκδοθῆναι. οὐδὲ γὰρ τοιούτου τινὸς αὐτῷ παντελῶς ἐξουσίαν δίδομεν, τῶν ἀτοπωτάτων εἶναι νομίζοντες πράγματα ἀναγκαῖα διαπίπτειν τοῖς ἀνθρώποις διὰ τὰς τῶν ἀρχόντων ἴσως ἀλόγους ὁρμάς τε καὶ προστάξεις, ἀλλὰ καὶ πράττειν ἅπερ ἄν τις βουληθείη καὶ ἐκδιδόναι, κἂν εἰ τὸ πραττόμενον ἅπτοιτο τοῦ τῆς ἐπαρχίας ἄρχοντος ἤ τινος τῶν δυνατῶν μηδὲ τοῦτο κωλύειν. δεῖ γὰρ οὕτω διαγίνεσθαι τοὺς ἐπὶ τῶν ἀρχῶν ἤ τινος δυνάμεως ὄντας, οὐχ ὥστε κωλύειν τινὰ γίνεσθαι κατ' αὐτῶν πρᾶξιν, ἀλλὰ οὕτως ἄμεμπτον τὸν ἑαυτῶν παρέχεσθαι τρόπον, ὡς μηδενὶ διδόναι καιρὸν τῆς κατ' αὐτῶν μέμψεως. καὶ εἴτε ἐνδημοίη ταῖς πόλεσιν ἄρχων εἴτε μὴ, μὴ κωλυέσθω τὶς πράττειν καὶ παρὰ τοῖς ἐκδίκοις τινὰ ὑπομνήματα ἐφ' οἷς ἂν βούλοιτο, πλὴν

7) Ita Bas. Ven. οἰκίας. Hal. ἰδίους.

κείνων μόνων, ὅσα δικαιοδοσίας δεῖται καὶ αὐτῆς τῆς τῶν ρχόντων αὐθεντίας ἤρτηται. [§. 1.] ἔπειτα καὶ τοῖς τὰς ημοσίας εἰσπράξεις ἔχουσι τοὺς τῶν πόλεων ἐκδίκους πᾶσιν παμύνειν τρόποις, κἂν εἰ δέοι προφάσει τῆς τῶν ἀγνωμόνων συντελῶν ἀπονοίας ὑπομνήματα πρᾶξαι καὶ τοῦτο ποιεῖσθαι προθύμως, κἂν εἰ παραγενέσθαι καὶ τοὺς ἀκοσμοῦντας ἰδεῖν καὶ αὐτοῖς τούτοις μαρτυρῆσαι, κἂν εἰ δημοτικὸν παῦσαι θόρυβον, καὶ[8]) τὴν τῶν ἀρχόντων ἐπέχειν τάξιν καὶ μάλιστα ὅταν ἀπῶσι. τούς τε ταξεώτας τοὺς ἐπιχωρίους, οἳ κατὰ τὴν πόλιν εἰσὶν ἐκείνην καθ' ἣν ὁ ἔκδικος ἐστὶν, ὑπακούειν αὐτῷ καὶ βοηθεῖν, ὥστε ἀπόντων τῶν ἡγουμένων τῶν ἐθνῶν μηδὲν δοκεῖν ἐλλείπειν ταῖς πόλεσιν τῆς ἐκείνων παρουσίας. ἐκ δὲ τῆς ἐπιχωρίου τάξεως ἔχειν καὶ ταχυγράφον αὐτοῖς ὑπουργοῦντα, καὶ δύο ταξεώτας, οἳ τὰ παρ' αὐτῶν ψηφιζόμενα πληρώσουσι. [§. 2.] δικάζειν τε ταῖς δίκαις ἁπάσαις ταῖς χρηματικαῖς μέχρι χρυσῶν τριακοσίων· οὐ δυναμένων τῶν ὑποτελῶν ἕλκειν τοὺς αὐτῶν ὑπευθύνους παρὰ τοῖς λαμπροτάτοις τῶν ἐπαρχιῶν ἄρχουσιν, εἴπερ εἴσω τῆς εἰρημένης τῶν τριακοσίων νομισμάτων ποσότητος ἡ δίκη καθεστήκοι.

δ'. Ἀλλὰ μηδὲ δι' αὐτὸ τοῦτο τοὺς διώκοντας πλείονος ἀποτιμᾶσθαι τὴν δίκην, ἵνα συντρίψωσι τοὺς εὐθυνομένους, καὶ μὴ τῷ τῆς πόλεως ἐκδίκῳ, ἀλλὰ τῷ τῆς χώρας προσαγάγοιεν ἄρχοντι. ἀλλ' εἴ τι τοιοῦτο πράξαιεν καὶ ἡ ψῆφος δείξειεν ἐλάττονα τὴν δίκην εἶναι τῶν τριακοσίων χρυσῶν καὶ ἐξεπίτηδες ηὐξῆσθαι διὰ τὸ παρὰ τῷ τῆς ἐπαρχίας ἄρχοντι ἀλλὰ μὴ τῷ τῆς πόλεως ἐκδίκῳ κατεξετασθῆναι, μόνον τὸν ἐνάγοντα τῇ πάσῃ τῆς δίκης ὑποβάλλεσθαι ζημίᾳ.

ε'. Καὶ μὴν καὶ τὰς παρὰ τῶν ἐκδίκων ἐκκλήτους ἐπ' αὐτοὺς φέρεσθαι τοὺς ἄρχοντας. εἰ δέ τι πράξαιεν ὑβρι-

8) Hal. Bas. et Auth.: καὶ ἁπλῶς.

στικὸν περὶ τοὺς ἐκδίκους οἱ ταξεῶται, τηνικαῦτα τοὺς τῶν ἐπαρχιῶν ἡγουμένους ἀμύνειν καὶ σωφρονίζειν τοὺς ταξεώτας. ἄδειαν γὰρ δίδομεν τοῖς ἐκδίκοις, εἰ τούτου ῥᾳθυμήσαιεν οἱ τῶν ἐθνῶν ἡγούμενοι, τῷ θρόνῳ τῆς σῆς ὑπεροχῆς ταῦτα προσαγγέλλειν, ὥστε αὐτόθεν δίδοσθαι βοήθειαν αὐτοῖς καὶ ἐκδίκησιν πρέπουσαν, καὶ ταῖς ἀληθείαις ἐκδίκους αὐτοὺς εἶναι κατὰ τῶν ἁμαρτανόντων, ἔχοντας ἀρχικῆς σεμνότητος μίμημα. [§. 1.] κἂν εἰ διαπεσεῖν συμβαίη πόλεως ἔκδικον, εὐθὺς ἐφ' ἕτερον φέρεσθαι τὴν ψῆφον τὸν ἐκ τοῦ κύκλου καλούμενον μετὰ τῶν ἔμπροσθεν εἰρημένων ὅρκων, καὶ ἔχεσθαι μὲν εὐθὺς τῆς φροντίδος, τὴν δὲ ψῆφον μηνύεσθαι καὶ κυροῦσθαι παρὰ τῆς σῆς ὑπεροχῆς. καὶ μηδέποτε τοῖς ἐκδίκοις τοποτηρητὴν μὲν καθάπερ εἰπόντες ἔφθημεν δίδοσθαι, ἵνα μὴ πάλιν τῇ πρόσθεν ἀταξίᾳ δῶμεν δῆθεν εὔλογον ἀφορμήν· [§. 2.] προστάξεις δὲ ποιησάσθω[9]) ἡ σὴ ὑπεροχὴ καθ' ἑκάστην ἐπαρχίαν, ὥστε ἐν ταῖς πόλεσιν οἴκημά τι δημόσιον ἀφορισθῆναι, καθ' ὃ προσῆκόν ἐστι τοὺς ἐκδίκους τὰ ὑπομνήματα ἀποτίθεσθαι, προβαλλομένου τινὸς κατὰ χώραν ὃς τὴν τούτων ἕξει φυλακήν, ὥστε ἀδιάφθορα μένειν αὐτὰ καὶ θᾶττον εὑρίσκεσθαι παρὰ τῶν ἐπιζητούντων, καὶ εἶναί τι παρ' αὐτοῖς ἀρχεῖον, καὶ τὸ μέχρι νῦν ἁμαρτηθὲν ἐν ταῖς πόλεσιν ἐπανορθοῦν.

ς'. Ὅτι δὲ καὶ οἱ ἔκδικοι τῶν πόλεων παντοίως ἄμισθοι γενήσονται, καὶ ὑπὲρ τῶν προσταγμάτων αὐτῶν, εἰ μὲν αἱ πόλεις μείζους εἶεν, τέσσαρες μόνοι δοθήσονται χρυσοὶ τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς, εἰ δὲ ἐλάττους, τρεῖς, ἤδη[10]) τοῖς ἡμετέροις διατέτακται νόμοις. εἰ δέ τινας σιτήσεις ἔχουσι δημοσίας, καὶ αὐτὰς κατὰ τὸ σύνηθες λήψονται. [§. 1.] ἀκροάσονταί γε μὴν καὶ τῶν ἐλαφροτέρων ἐγκλημάτων καὶ σωφρονισμῷ προσήκοντι παραδώσουσι, καὶ τοὺς ἐπὶ τοῖς μείζοσιν ἐγκλήμασιν ἁλισκομένους φρουρήσουσι

9) Hal. Bas. ποιησάτω. 10) Const. XVI. in fine.

αὶ ἀναπέμψουσι πρὸς τὸν τῆς ἐπαρχίας ἡγούμενον. οὕτω ἂρ ἀπολαύσει καὶ πόλις ἑκάστη φροντίδος ἀρχικῆς καὶ τὸ ύμπαν ἔθνος ὑπὸ μείζονι τεταγμένον ἄρχοντι μείζονος ἰσθήσεται προνοίας. καὶ ὑποτεμοῦνται πολλὰ τῶν ἀρχικῶν ροντίδων οἱ τῶν πόλεων ἔκδικοι εἰς ἑαυτοὺς ταῦτα μετατιθέντες, καὶ ἐπικουφίσουσι τοῖς ἄρχουσι τὰς ὑπὲρ τῶν ὅλων μερίμνας, αὐτοὶ τὰ κατὰ μέρος παύοντες καὶ τὰ τῶν ἀδικουμένων ἢ τῶν ἀμφισβητούντων διαλύοντες, καὶ σεμνοὺς καθὰ πολλάκις εἴρηται τοὺς ἐν ταῖς ἀρχαῖς ὄντας ἀποφαίνοντες.[11]) εἰ δὲ καὶ ἀγνωμονοῖντο παρά τινων οἱ δημόσιοι φόροι, τοὺς τῶν ἐθνῶν ἡγουμένους τοῖς ἐκδίκοις ἐπιτάττειν τὰς κατὰ τῶν ἀγνωμονούντων εἰσπράξεις, ἵνα καὶ κατὰ τοῦτο αὐτοῖς βοηθοῖεν. εἰ δέ τις ἐκδίκου παρὰ ταῦτα γένοιτο χειροτονία ἢ παραιτοῖτό τις τὴν τοῦ ἐκδίκου προβολὴν ἐπ' αὐτὸν ἰοῦσαν, εἴτε ἀξιώματος εἴτε στρατείας εἴτε προνομίου εἴτε ἑτέρου τινὸς προφάσει, οὗτος ἴστω quinque librarum auri[12]) ὑποκείμενος ποινῇ, καὶ οὕτως μετὰ τὴν ταύτης ἔκτισιν εἰς ἔργα τῆς πόλεως προχωροῦσαν ἀναγκασθήσεται τὸ τοῦ ἐκδίκου διανύσαι φρόντισμα. προσήκει γὰρ ἕκαστον τῶν σεμνοτέρων λειτουργεῖν ταῖς πόλεσιν αἷς οἰκεῖ, καὶ ταύτην αὐταῖς ἀποτιννύναι τῆς οἰκήσεως τὴν ἀμοιβήν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἐν ταῖς ἐπαρχίαις, ὧν ἄρχει, ποιῆσαι φανερὰ διὰ προσταγμάτων οἰκείων σπευσάτω, ὅπως ἂν γινώσκοιεν ἅπαντες, ὅτι καὶ τῶν μεγίστων καὶ τῶν μέσων καὶ τῶν σμικροτάτων ἡμῖν μέλει, καὶ οὐδέν ἐστι τοιοῦτον ὅπερ ἔξω τῶν ἡμετέρων φροντίδων ποιούμεθα. μέρος δὲ ποιησάσθω ἡ σὴ ὑπεροχὴ τῶν οἰκείων προστάξεων τὸ ἐντεῦθεν ἤδη τοὺς τῶν ἐθνῶν ἡγουμένους παρασκευάσαι καθ' ἑκάστην πόλιν τοὺς εὖ ὑπολήψεως ἔχοντας ὀνομασθῆναι

11) Ven. *ἀποφαίνεσθαι.* 12) Ven. supra lineam *πέντε λιτρῶν.*

ἐκδίκους κατὰ τὸν κύκλον ὡς εἴρηται, καὶ ψήφους γενέσ κοινὰς μεθ' ὅρκων ἐπ' αὐτοῖς, καὶ ἀπογραφῆναι τὸν ει μένον κύκλον, καὶ οὕτω κατὰ διετίαν ὑπεισιέναι τὸ φρό σμα τοὺς ἐφεξῆς, καὶ εἴπερ διαπέσοι τὶς ἐξ αὐτῶν ἕτε ἀντεισάγεσθαι, ἀεὶ μὲν τῆς ψήφου μεθ' ὅρκου γινομέ αὐτοῦ δὲ ἡνίκα ἂν μέλλοι τοῦ φροντίσματος ἀντέχεσθαι ὡρισμένον ὅρκον ὑπέχοντος, καὶ τῆς προβολῆς αὐτοῦ γ μένης παρά τε τοῦ θεοφιλεστάτου ἐπισκόπου καὶ τοῦ εὐαγ κλήρου καὶ τῶν ἄλλων τῶν κατὰ τὴν πόλιν ὑπολήψεως τεχομένων. ὅπερ καὶ νῦν εὐθὺς γενέσθαι προσήκει, τ των ὡς εἴρηται κατὰ τόνδε ἡμῶν τὸν γενικὸν προϊόν νόμον. τοὺς δὲ νῦν ὄντας ἐκδίκους, εἰ μὲν ἀρεστο φανεῖεν, καὶ αὐτοὺς ἐγγραφῆναι τῷ κύκλῳ, καὶ διετία πληρῶσαι τὸ φρόντισμα· καὶ εἰ μὲν ἤδη διετίαν ἐπὶ φροντίσματος ἔχουσι, παύσασθαι τῆς τοῦ ἐκδίκου φροντί πλὴν εἰ μὴ βούλοιντο κοινῇ ψήφῳ ἔχεσθαι αὐτὸν εἰς ἔτι διετίαν τῆς αὐτῆς ἐπιτηδεύσεως· εἰ δὲ οὔπω τὴν διε ἐπλήρωσαν, ἄξιοι δὲ φαίνοιντο τοῦ κοινωνῆσαι τῷ κύ πληροῦν τὸν λειπόμενον χρόνον· μηδένα δὲ περαιτέρω του τὰς πόλεις ἐκδικεῖν, ἀλλὰ μέχρι τούτου μόνον ἵσται τοῦ χρόνου, πλὴν εἰ μὴ τὸ κοινὸν τῆς πόλεως ἀντιλέγο οὐδενὸς ἐπιψηφίσηται αὐτόν· καὶ τούτου δὲ γινομένου ἔτ διετίαν ἀντιλαμβάνεσθαι τοῦ φροντίσματος, καὶ πάντως κατατίθεσθαι[15]), καὶ τότε πάλιν γίνεσθαι, ὅταν αὐτὸς α ὁ κύκλος εἰς ταύτην ἀγάγοι τὴν τάξιν, ὥστε μὴ τῇ συνε καὶ τῷ διηνεκεῖ τοῦ φροντίσματος καὶ τῷ κατά τινα χανὴν αὐτὸ καθ' ἕκαστον ἀνανεοῦν γίνεσθαί τισιν ἀπέ τον τὴν εἰρημένην διοίκησιν. τούτων ἁπάντων κρατούν εἰς τὸν ἅπαντα χρόνον, ἐπειδήπερ μετὰ πάσης αὐτὰ σ δῆς τε καὶ ἀγρυπνίας καὶ τῆς πρὸς τὸν θεὸν συντο

13) Ven. ἄριστοι. 14) Ven. πάντας. 15) Hal. α ἀφίστασθαι.

ἐξεύρομέν τε καὶ τοῖς ἡμετέροις ὑπηκόοις κεχαρίσμεθα. Dat. XVII K.[16]) Aug. Constantinop.[17]) Bilisario V. C. Cons.

Auth. 16. XXXVI. Nov. 16.

Basil. VI, 18. — Summas praestant Iulian. c. 12, Ath. I, 10, Nomocan. XIV titt. 1, 30, Theodor. Nov. 16.

Περὶ τοῦ τοὺς κληρικοὺς ἐξ ἑτέρας ἐκκλησίας μετατίθεσθαι εἰς ἑτέραν εἰς τὸν τῶν ἐλλειπόντων στατοῦτον ἀριθμόν.

Ὁ αὐτὸς βασιλεὺς Ἀνθεμίῳ τῷ θειοτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ[1]) καὶ οἰκουμενικῷ πατριάρχῃ.

Νόμον[2]) ἔναγχος ἐγράψαμεν περὶ τοῦ μέτρου τῶν χειροτονιῶν, καὶ τοῦ μὴ προσήκειν ἐκκεχυμένας αὐτὰς εἶναι μήτε ἐπὶ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς εὐδαίμονος ταύτης πόλεως μήτε ἐν ταῖς ἄλλαις, ὃν δὴ καὶ κύριον εἶναι καὶ κρατεῖν κατὰ πᾶσαν τὴν αὐτοῦ παρακελευόμεθα δύναμιν. ἐπειδὴ δὲ σκοπὸς ἡμῖν ἐστιν εἰς τὸ συστεῖλαι μὲν τὰς χειροτονίας, ἐντεῦθέν τε τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τὸ ὑπερβάλλον τῆς δαπάνης εἰς μέτριόν τι καὶ φορητὸν περιστῆσαι ποσόν, ὅπως ἂν τὸ πλῆθος αὐτῇ τῶν δαπανημάτων ἐλαττωθείη, διὰ τοῦτο πᾶσαν περινοστοῦντες ὁδὸν καὶ ἐπὶ τὸν παρόντα νόμον ἐληλύθαμεν, οὐδὲν μὲν ἀλλοιότερον ὄντα τοῦ προτέρου, ἀλλ᾽ ἐκ τῆς αὐτῆς ὁρμώμενον προαιρέσεως, ἔτι δὲ μᾶλλον τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν ὀνῆσαι δυνάμενον.

16) Ven. XVIID. Athan. ἰδ. αὐγ. et Auth. Idib. Aug. Vide quae dixi const. XXII not. 28. Possis tamen VI Id. Aug. legere. 17) Ven. Constantinoros.

1) Athan.: Ἀνθίμῳ ἐπισκ. In Cod. Ambrosiano inscribitur Epiphanio. 2) Const. XIV.

α'. Θεσπίζομεν γάρ, εἴπερ ἔν τισι τῶν ἁγιωτάτων ἐκκλησιῶν, ὧν αὐτὴ ἡ ἁγιωτάτη μεγάλη ἐκκλησία τὴν διοίκησιν καὶ τὰς δαπάνας εἵλετο, συμβαίη πρεσβύτερον ἢ διάκονον ἢ ἀναγνώστην ἢ ψάλτην τελευτῆσαι, μὴ ἕτερον εὐθὺς ἔξωθεν ἐπεισάγεσθαι, ἀλλὰ σκοπεῖν, πόσον ἐστὶ τηνικαῦτα τὸ μέτρον τῶν ἐκεῖσε λειτουργούντων εὐλαβεστάτων κληρικῶν· καὶ εἰ μὲν οὔπω τὸ τῶν κληρικῶν ἠλαττώθη μέτρον, ἀλλὰ ἔτι πλεονάζουσιν ὅσον πρὸς τὸ ἄνωθεν ὡρισμένον καὶ τὸ καλούμενον στατοῦτον, μηδεμίαν γίνεσθαι ἀντ' αὐτοῦ χειροτονίαν, μέχρις ἂν ὁ ἀριθμὸς εἰς ἑαυτὸν ἀποκατασταίη· εἰ δὲ ἠλάττωται τὸ πλῆθος, ὥστε ἀνάγκην εἶναι διὰ τὸ μὴ ἐλλεῖψαι τὸ στατοῦτον ἕτερον ἀντὶ τοῦ τελευτήσαντος εἰσαχθῆναι κληρικὸν, σκοπεῖν τὴν μακαριότητα τὴν σὴν, εἴ τις ἐστὶν ἐν ταῖς ἄλλαις ἐκκλησίαις ταῖς παρὰ τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν περιττὸς τοῦ αὐτοῦ τάγματος κληρικὸς, κἀκεῖθεν ἀντικαθιστᾶν ἕτερον, ἀλλὰ μὴ νέαν ποιεῖσθαι τὴν χειροτονίαν. οὕτω γὰρ ἐκ τοῦ περιττεύοντος ἀεὶ τοῦ ἐλλείποντος ἀναπληρουμένου ἡ καλή τε καὶ θεοφιλὴς ἐπιτεθήσεται τῷ πράγματι συμμετρία, κἀντεῦθεν ἡ ἁγιωτάτη μεγάλη ἐκκλησία κατὰ μικρὸν τῶν ὀφλημάτων ἀπαλλαγήσεται. ἐπείτοιγε εἰ τὸ μὲν ἐνδέον ἀναπληροῖτο ταῖς ἐπεισαγωγαῖς ταῖς ἔξωθεν, τὸ δὲ περιττεῦον μὴ μειοῖτο, πολύς τε καὶ ἀπέραντος διελεύσεται χρόνος, ἕως ἅπαν τὸ περιττεῦον ἐλαττωθείη.

Ἡ τοίνυν σὴ μακαριότης τὰ διὰ τὴν τῶν ἁγιωτάτων ἐκκλησιῶν ὠφέλειαν εἰκότως ἡμῖν παραστάντα ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. καὶ γὰρ εἴ τι γένηται παρὰ ταῦτα, γινώσκειν ἀνάγκη τὸν παρὰ τόνδε ἡμῶν τὸν νόμον δέξασθαι τὴν χειροτονίαν θαῤῥοῦντα, ὡς οὐδὲν ἐντεῦθεν ὄφελος ἕξει, οὔτε λογισθήσεται τοῖς εὐλαβεστάτοις οἰκονόμοις τὰ τῆς περὶ τοῦτο τὸ μέρος γινομένης τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ δαπάνης, ἀλλ' αὐτοὶ τὸ ἐντεῦθεν ἐπιγνώσονται βλάβος, οἴκοθεν τοῦτον τῆς ἑαυτῶν ῥᾳθυμίας ἀπολαμβάνοντες τὸν

αρπόν. Dat. XVII. Kal.[3]) Aug. Constantinop. Belisario
'. C. Cons.[4]) ind. η'.[5])



XXXVII. Ed. 12.

irecta est ad Praef. Praet. quod tam ex eius argumento quam ex titulo ὑπεροχὴ concludere est.

Περὶ Ἑλλησπόντου.

Ἐδιδάχθη τὸ ἡμέτερον κράτος, Ἰωάννην σκρινιάριον γενέσθαι][1]) κατὰ τὴν[2]) Ἑλλήσποντον ὡς δὴ τύπους τινὰς ιεχειρισμένον προφάσει λογοθεσίων πολιτικῶν πόρων ἤτοι ῶν καλουμένων σολεμνίων, καὶ ὡς ἐν τῇ χώρᾳ γενόμενος ὐδενὸς ἀπέσχετο παντελῶς τῶν εἰς ἁρπαγὴν ἐσχάτην ἡκόνων, τάς τε πόλεις ληϊσάμενος καὶ ἐπανελθὼν εἰς ταύτην ἡν εὐδαίμονα πόλιν, αὐτὸς μὲν χρυσίου μεστὸς, τῇ δὲ Ἑλλησποντίων χώρᾳ πᾶσαν ἀπολιπὼν πενίαν. τὰ μὲν οὖν κατ' ἐκεῖνον ὁποῖον προσήκει διατεθῆναι[3]) τρόπον καὶ θεραπευθῆναι τοὺς ἠδικημένους διώρισται παρ' ἡμῶν·

α'. ἐπειδὴ δὲ ᾠήθημεν χρῆναι διὰ τὴν τῶν τὰ τοιαῦτα ἐγχειριζομένων ἀπληστίαν τύπῳ γενικῷ τὸ πᾶν θεραπεῦσαι, θεσπίζομεν εἴ τις γένηται κατὰ τὴν χώραν προφάσει

3) Ven. XVIID. Ath. (cum Auth.) ἐγράφη εἴδοις (Heimb. l.) αὐγούστου ὑπατείας βελισαρίου. Theod. ἐξεφ.μηνὶ αὐγούστῳ τῆς ὑπατ. βελισαρ. 4) Anthimum patriarcham Epiphanio defuncto a. 535 successisse, et a. 536 eiectum esse constat; videantur notae ad Theophan. ed. Paris. p. 593. nostra ro constitutio, ad instantiam Anthimi data, XVII Kal. Aug. no 535 promulgata fuisse videtur. Vide notam 16 ad const. XXV. 5) Ita Ven. sed legendum ιγ'.

1) Hoc vel aliquid simile omnino supplendum, ut oratio procedat. 2) Ita Cod. et Scr. Id cur editores in τὸν mutarint nulla ratio est: nam promiscue scribitur ἡ vel ὁ ἑλλήσποντος. 3) Cod. διατεθεῖναι. Forte διαθεῖναι.

τοιαύτης τινὸς ζητήσεως ἢ ἐπὶ τῆς Ἑλλησποντίων ἢ ἐφ' ἑτέρας οἱασδήποτε χώρας, εἰ μὲν ἀρχικὴν ἔχοι πρόσταξιν, μηδένα παντελῶς αὐτῷ προσέχειν, ἀλλ' ἀκινδύνως ἀποσείεσθαι τὸν ἐκβιβασμὸν τὸν παρ' αὐτοῦ, εἰ δὲ μετὰ θείου πραγματικοῦ γένηται τύπου, εἰ μὲν κομμονιτόριον εἴη τὸ δεικνύμενον ἢ γράμματα περὶ τούτου γενόμενα, μηδὲ τούτοις προσέχειν, οἷα κατὰ συναρπαγὴν καὶ παρὰ γνώμην ἡμετέραν προελθοῦσιν, εἰ δὲ πραγματικὸς εἴη τὸ δεικνύμενον τύπος, μηδὲ οὕτως ἐξ αὐτοῦ τι πράττεσθαι προχείρως, τὸν δὲ τοιοῦτον πραγματικὸν τύπον λαμβάνειν καὶ μηνύειν τὸν τῆς ἐπαρχίας ἡγούμενον εἰς ἡμᾶς τὰ περὶ τούτου, καὶ ἀναμένειν ἡμῶν δευτέραν κέλευσιν, ὥστε εἰ μὲν ἐπιγνοίημεν αὐτὸν καὶ τὸν ἐγχειρισθέντα τὸν τοιοῦτον τύπον, δεύτερον ἡμῶν γίνεσθαι πραγματικὸν τύπον, ἐπιτρέποντα γενέσθαι τὴν ζήτησιν, εἰ δὲ ἀποδοκιμάσαιμεν ἢ τὸ πρᾶγμα ἢ τὸ πρόσωπον, μηδὲν ἐντεῦθεν γίνεσθαι, ἀλλ' ἀναπέμπεσθαι τὸν θεῖον τύπον παρὰ τοῦ τῆς ἐπαρχίας ἄρχοντος, γινώσκοντος, ὡς εἰ ῥαθυμήσειε τούτου καί τις ἐπιστῇ τοῖς ὑπηκόοις τοῖς ἡμετέροις ἐντεῦθεν ζημία, ταύτην αὐτὸς οἴκοθεν ἐπιγνώσεται.

β'. Ἄδειαν δὲ δίδομεν καὶ τοῖς ἐπισκόποις, εἰ ῥαθυμήσειεν ὁ τῆς ἐπαρχίας ἡγούμενος καὶ μὴ τὸν πραγματικὸν ἐπισχοίη τύπον ἀλλ' ἐνδοίη τῷ τοῦτον μεταχειριζομένῳ, αὐτοὺς ταῦτα μηνύειν εἰς ἡμᾶς. εἴ γε ταῦτα μάθοιμεν ὡς[4]) κοινωνὸν τῆς αἰτίας καταστάντα, καὶ τῆς ἀρχῆς παραλύσομεν, καὶ τῆς ζώνης αὐτὸν καὶ τῆς οὐσίας στερήσομεν, καὶ τοῖς καθ' οἱανοῦν ἠδικημένοις αἰτίαν τὸ ἀβλαβὲς περιποιήσομεν.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦ παρόντος θείου πραγματικοῦ μανθάνουσα τύπου ἔργῳ

4) Haec corrupta sunt. Forte: ὡς εἴγε τοῦτον μάθοιμεν κοιν.

καὶ πέρατι παραδοῦναι σπευσάτω. D. XV. K. Sept. CP. Bilisario V. C. Cons.

Auth. 18. XXXVIII. Nov. 13.

Cap. 1 pr. 3—6 extat in Basil. VI, 5, 4—7. Summas habes apud Iulian. c. 28, Athan. IV, 2 et Theod. Nov. 13.

Περὶ τῶν πραιτώρων τοῦ δήμου.[1]

Imp. Iustinianὸς *Αὔγουστος Κωνσταντινουπολίταις.*

Τὸ τῶν λαμπροτάτων τῆς ἀγρυπνίας ἀρχόντων ὄνομα, σεμνόν τε καὶ τοῖς πάλαι Ῥωμαίοις γνωριμώτατον ὄν, οὐκ ἴσμεν ὅπως εἰς ἀλλοίαν μετέστη προσηγορίαν καὶ τάξιν. ἡ μὲν γὰρ πάτριος ἡμῶν φωνὴ praefectos vigilum *αὐτοὺς ἐκάλεσε, τὴν τῶν ἀγρυπνούντων καὶ οὐδὲν ἀνερεύνητον καταλιμπανόντων ἀνθρώπων ἀρχὴν*[2]) *τούτους ἐπιστήσασα· ἡ δέ γε Ἑλλήνων φωνὴ οὐκ ἴσμεν ὅθεν ἐπάρχους αὐτοὺς ἐκάλεσε τῶν νυκτῶν, ὥσπερ ἀναγκαῖον ὂν ἡλίου μὲν ὡς ἔοικε δύνοντος ἐξανίστασθαι τὴν ἀρχήν, παύεσθαι δὲ ἀνίσχοντος. τί γὰρ ἂν εἴη διότι τὸ τῶν νυκτῶν προσέθηκεν ὄνομα; εἰ μὲν γὰρ ὡς ταύτης μόνης τῆς ἀρχῆς τῶν ἐν νυξὶν οὐκ ὀρθῶς πραττομένων ἐπιμελουμένης καὶ περινοστούσης τὴν πόλιν ταύτην ἔσχε τὴν προσηγορίαν, ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ τὴν πολιαρχίαν ὁρῶμεν πράττουσαν, ὥστε οὐδὲν ἦν τὸ κωλῦον τό γε ἐπὶ τῇ προσηγορίᾳ ταύτῃ καὶ τὴν ἀρχὴν ἐκείνην τούτῳ τῷ ὀνόματι καλεῖν· εἰ δὲ*[3]) *διηρῆσθαι τὰς ἀρχὰς οἷόν τε, καὶ τὸν μὲν ἐνδοξότατον ἔπαρχον*

1) Ven. addit *ἤτοι νυκτεπάρχων.* quod pro glossemate habendum est, quum non solum apud Hal., sed etiam in Auth. desit. et Athan. quoque sicut Theod. simpliciter *Περὶ πραιτόρων* inscribunt. 2) Ven. *τῇ τῶν ἀγρ. καὶ οὐδ. ἀνερ. κατελίμπανε τῇ τῶν ἀνθρ. ἀρχῇ.* quod aperte vitiosum est. ideo Hal. secutus sum. 3) Legerim *εἰ δὲ ὡς*, ut respondeat praecedenti *εἰ μὲν γὰρ ὡς*.

τῆς εὐδαίμονος ταύτης πόλεως εἶναι τῆς ἡμέρας ἄρχοντα, τοὺς δὲ ἄλλους τῆς νυκτὸς, σφόδρα τῶν εἰκότων ἀπεπλανήθησαν, τὴν ὀρθότητα τῶν ὀνομάτων οὐκ ἴσμεν ὅπως[4]) διαφθείραντες. ταύτῃ τοι καὶ τὴν προσηγορίαν ταύτην, ζοφώδη τε οὖσαν καὶ σκοτεινὴν καὶ τῆς νυκτὸς ἐπώνυμον, εἰκότως ἀποφεύγουσιν ἅπαντες, καὶ ποινὴν τὴν χειροτονίαν ἡγοῦνται καὶ οὔτε βασιλικῶν ἀξίαν συμβόλων εἶναι νομίζουσιν.

α΄. Ἡμεῖς οὖν τὸ πρᾶγμα ὡς ἐχρῆν[5]) θεωρήσαντες ᾠήθημεν χρῆναι τὴν ἀρχὴν δὴ ταύτην ἐξ αὐτῆς ἀρξαμένους[6]) τῆς προσηγορίας εἰς τὸ πᾶν ἀνεγεῖραί τε καὶ κατακοσμῆσαι· καὶ νυκτέπαρχον μὲν μηδένα τοῦ λοιποῦ παντελῶς καλεῖσθαι· ἐπιμελήσονται γὰρ καὶ τῶν ἐν ἡμέρᾳ καὶ τῶν ἐν νυκτὶ παρὰ τὸ προσῆκον πραττομένων. [§. 1.] ἐπειδὴ δὲ τοὺς πάλαι Ῥωμαίους σφόδρα τὸ τοῦ πραίτωρος ἤρεσεν ὄνομα, διὰ τοῦτο ᾠήθημεν αὐτοὺς praetoras plebis δεῖν ὀνομάσαι τοὺς ἐπὶ τῇ φυλακῇ τε καὶ εὐταξίᾳ τεταγμένους καὶ τὴν δημώδη καθιστᾶν ἰσχύοντας ἀταξίαν. καὶ ὥσπερ ἕτεροι praetores εἰσὶν ἐν τῇ συγκλήτῳ βουλῇ οἱ τῶν ἐλευθεριῶν καὶ τῶν ἐπιτρόπων καὶ τῶν τοιούτων προκαθήμενοι, οὕτως ἔστωσαν καὶ οὗτοι πραίτωρες τῆς ἐπὶ τῶν δήμων ὀρθότητος, καὶ τῇ μὲν ἡμετέρᾳ φωνῇ praetores plebis προσαγορευέσθωσαν, τῇ δὲ ἑλλάδι ταύτῃ καὶ κοινῇ πραίτωρες δήμων. τὸ δὲ τοῦ πραίτωρος ὅπως ἐστὶ σεμνὸν, ὅπως οὐ πόῤῥω καθέστηκεν ὑπατείας, ὅπως ἐγγύτατα τοῦ νόμου[7]) τέτακται, δηλοῦσιν οἱ νόμοι, τῇ τε ὑπατείᾳ παραζεύξαντες τοὺς πραίτωρας, δευτέραν τε αὐτοῖς μετὰ τὸν νόμον δόντες τὴν τάξιν. καὶ ὥσπερ τὸ παλαιὸν ὕπατοί τε ἦσαν οἱ τῆς

4) Ven. *οὐκ ἴσμεν δὲ ὅπως*, ubi *δὲ* plane abundat. 5) Hal. *ἔχει*, quod forsan praestat. 6) Ven. Hal. Auth. *ἀρξαμένην*. 7) *τοῦ νόμου* et mox *τὸν νόμον* Hal. et Ven. habent et legit Auth. Mihi tamen haec vox admodum suspecta est. Aperte (id quod tamen veterem et recentiores interpretes fugit) de censore sermo est. Forte *νομοῦ* et *νομόν*.

μεγίστης ἐξάρχοντες βουλῆς, δήμαρχοί τε οἱ τὸν δῆμον ἡνιοχοῦντες, οὕτω δὴ καὶ νῦν ἔστωσαν πραίτωρες μὲν συγκλήτου οἱ τὰ ἔμπροσθεν ἡμῖν εἰρημένα πράττοντες, πραίτωρες δὲ τῶν δήμων οἱ τῆς εὐταξίας αὐτῶν ἀντιλαμβανόμενοι καὶ τοῦ συμφέροντες αὐτοῖς προνοοῦντες. [§. 2.] ἀμέλει[8]) τὴν ἀρχὴν ταύτην πάλαι σεμνὴν οὖσαν καὶ ἐπὶ τῆς πρεσβυτέρας Ῥώμης πολιτευσαμένην λαμπρῶς, ἐπὶ τῶν χρόνων οὐ μόνον οὓς οἱ αὐτοκράτορες ἔσχον ἀλλὰ καὶ τῶν ἔτι παλαιοτέρω, καὶ ἡ μεγάλη πόλις αὕτη δεξαμένη τὴν ἀρχὴν οὐκ ἀκαταφρόνητον ἔσχε. τοιγαροῦν οὐδὲ ἐν πολλῷ πρεσβυτάτοις χρόνοις μεμαθήκαμέν τινας τὰς μεγάλας τῶν ἀρχῶν διαχειρίσαντας, αἳ περὶ τὴν βασιλείαν εἰσὶν, εἶτα ὕστερον οὐκ ἀπαξιώσαντας ἐπὶ τούτου τοῦ φροντίσματος γενέσθαι· κατὰ μικρὸν δὲ οὕτω τὸ πρᾶγμα εὐτελὲς ὤφθη καὶ ἄξιον οὐδενὸς, ὥστε οὔτε ἐκ συμβόλων ἡμετέρων γίνεσθαι, κεῖσθαι δὲ ἐπὶ τοῖς ἐνδοξοτάτοις ἐπάρχοις τῆς εὐδαίμονος ταύτης πόλεως, καὶ τὰ πολλὰ τοὺς ἐκ τῆς τάξεως τῆς αὐτῶν ταύτην παραλαμβάνειν τὴν ἀρχὴν καὶ διαχειρίζειν αὐτὴν τὸν πάντων ἥκιστον τρόπον. καίτοιγε εἴ τις θεάσαιτο τὸ τῆς ἀρχαιότητος αὐτῆς σύμβολον, σφόδρα αὐτὴν ὁποία τὸ πρότερον ἦν καὶ ἐκ τῶν νῦν ὄντων[9]) μαθήσεται· ἐστὶ γὰρ αὕτη δικαστήριον ἴδιον καὶ τάξιν[10]) κομμενταρισίους τε ἔχουσα καὶ τἄλλα πάντα, ὁπόσα σχεδὸν τῇ πολιαρχίᾳ παρὰ τῶν νόμων ἀφώρισται.

β′. Ἐπειδὴ τοίνυν ἡμεῖς πάντα διερευνώμενοι τὰ γενό-

8) Hal. οἴδαμεν δὴ ἀμέλει. 9) Conspirant in hac lectione Ven. Hal. et Auth. enimvero quomodo ex his, quae *nunc* sunt, is qui *vetera* insignia examinat, priorem praefecturae statum cognoscet? fortasse legendum: ἐκ τῶν ὑπόντων. Iustinianus respicit ad aliquam veterem notitiam administrationum, in qua praefecturae vigilum insignia (σύμβολον) depicta, et quae sub ea constituta essent (τὰ ὑπόντα), scilicet tribunal et officium, enumerata ferebantur. 10) Ven. et Hal. τάξις.

μενα πρόσθεν σπεύδομεν εἰς καλλίονα τάξιν καὶ τὴν ἀρχαίαν σεμνότητα καὶ τὴν τούτου τοῦ πράγματος ἐπαναγαγεῖν εὐκοσμίαν, ἵνα μὴ κλοπαί τε παρ' αὐτῶν γίνοιντο συχναὶ καὶ κοινωνίαι πρὸς τοὺς κλέπτοντας, καὶ αἱ κρίσεις ἐκμελεῖς τε καὶ ἐξίτηλοι καὶ οὐδενὸς ἄξιαι προέρχοιντο λόγου, διὰ τοῦτο ᾠήθημεν τὰ περὶ αὐτῶν[11]) *διορίσασθαι. ἐνενοήσαμεν γάρ, ὡς εἰ χρηματικῶν ἕνεκεν δικῶν, ἐν αἷς οὐκ ἐν μεγίστοις ἐστὶν ὁ κίνδυνος ἀλλ' ἐν χρήμασι μόνοις, ὅμως ἀρχαί τε δικάζουσιν αἱ μέγισται καὶ πολλάκις καὶ συνδικασταὶ δίδονται καὶ μυρίαι φροντίδες ἡμῖν εἰσὶν ὑπὲρ τοῦ μὴ τὰ πράγματα χωρὶς κρίσεως προϊέναι, πῶς οὐ προσῆκόν ἐστιν ἐπὶ δικασταῖς, οἷς ἐπὶ ταῖς ψυχαῖς τῶν κρινομένων ἐστὶν ὁ κίνδυνος, πᾶσαν θέσθαι πρόνοιαν, ὅπως ἄν τινος ἄξιοι γίνοιντο λόγου, μή ποτε ψυχὴν ἀπολέσαιεν ἀνθρώπου, τικτομένου μὲν ἅπαξ, ἀναλαβεῖν δὲ αὐτὴν ἐπὰν ἀπολέσειεν οὐκ ἰσχύοντος;*

γ'. Πρῶτον μὲν οὖν θεσπίζομεν μηδένα[12]) *παντελῶς ἐπὶ τὴν εἰρημένην ἀρχὴν παριέναι, πρὶν ἢ παρ' ἡμῶν σύμβολα τοῦ φροντίσματος λάβοι, καὶ μηδενὶ λόγῳ τολμᾶν ἔξω βασιλικῶν συμβόλων ἐπὶ τὸ φρόντισμα τοῦτο χωρεῖν, ἀλλ' ἀναμένειν τὴν βασιλείαν καὶ τὴν ἐκεῖθεν ἐν γράμμασι ψῆφον. ἡμεῖς γὰρ οὐδενὶ τὴν εἰρημένην ἀρχὴν παραδώσομεν, πλὴν εἰ μὴ τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων ἢ τῶν περιβλέπτων κομήτων* consistoriánων[13]) *ἢ τῶν λαμπροτάτων τριβούνων πραιτωριανῶν καὶ νοταρίων οἱ ταύτην παραλαμβάνοντες εἶεν, ἢ ἄλλας*[14]) *ἀρχὰς ἄρξαντες καὶ φανέντες ἡμῖν ἐπιτήδειοι καὶ τῆς παρ' ἡμῶν ἄξιοι μαρτυρίας, ὥστε αὐτοὺς τὴν εἰρημένην ἔχοντας σεμνότητα καὶ τιμὴν ἀντιλαμβάνεσθαι τοῦ δικαίου, μάλιστα ἐπείπερ ὑπὲρ ψυχῶν ἐστιν*

11) Ven. *αὐτήν*. 12) Ven. addit *νυκτέπαρχον*. 13) Ven. supra lineam *τοῦ ὑψηλοῦ βήματος*. Hal. et Bas. *κομήτων τοῦ ὑψηλοτάτου βήματος*. 14) Iulian: magistratus in provinciis.

ὁ ἀγὼν, καὶ τά τε[15]) πολλὰ φονικαῖς εἰώθασι δίκαις διαιτᾶν καὶ ταῖς περὶ μοιχείας καὶ ἐφόδων καὶ ἁρπαγῶν καὶ εἴ τι τοιοῦτόν ἐστιν. [§. 1.] ὥστε δεῖ τὸν τῶν τηλικούτων ἐγκλημάτων προκαθήμενον ἄνδρα εἶναι πανταχόθεν σεμνόν τε καὶ ἀνεπίληπτον καὶ τοιαύτης ἀκροάσεως ἄξιον, καὶ πάσης ἀπέχεσθαι κλοπῆς[16]) καὶ καθαρὰς ἔχειν τὰς χεῖρας· ἔχειν δὲ δὴ καὶ πάρεδρον τῶν δοκίμων ἕνα. καὶ γὰρ οὐδὲ ἔξω παραμυθίας αὐτοὺς τῆς ἀποχρώσης καταλείψομεν, ἀλλὰ ἀνὰ decem librarum[17]) αὐτοῖς προφάσει ἀννόνων ἔτους ἑκάστου δώσομεν, ὥστε αὐτοὺς τούτοις ἀρκουμένους μηδεμιᾶς ἀνασχέσθαι κλοπῆς ἢ καπηλείας. [§. 2.] ἀλλὰ μηδὲ ἐπὶ δόσει γίνεσθαι παντελῶς, καθάπερ ἔν τισιν ἐγίνετο χρόνοις, μηδὲ προΐεσθαι χρυσίον μηδενί. ἐν ἴσῳ γὰρ ἐγκλήματι γενήσεται καὶ ὁ δούς τινι προφάσει τῆς ἀρχῆς καὶ ὁ ἐπειδὰν γένοιτο παρά τινος λαβεῖν ἀνασχόμενος, καθὰ καὶ τῷ δοθησομένῳ παρ' αὐτῶν ὅρκῳ δηλωθήσεται.

δ'. Μεμαθήκαμεν[18]) δὲ αὐτοῖς πρὸς ὑπουργίαν εἶναι τάγματα πονηρὰ, φαμὲν δὲ ληστογνώστας τε καὶ βενεφικιαλίους καὶ βαλαντιοτόμους καὶ ἕτερον πλῆθος, ὧν ἕκαστον προσῆκόν ἐστι κεκολάσθαι μᾶλλον ἢ τοιαῦτα βιοῦν· οὐδὲ γὰρ τὸ τῶν ληστογνωστῶν τοῦτο τοιοῦτόν ἐστιν ὡς ἐπ' ἀγαθῷ τι πράττειν, ἀλλ' ἐπὶ τούτῳ μόνον γινώσκουσι τοὺς κλέπτας ἐφ' ᾧ τι κέρδος ἑαυτοῖς τε καὶ τοῖς ἄρχουσιν αὐτῶν θηρᾶν. ἅπερ ἅπαντα προσήκει τοὺς νῦν παρ' ἡμῶν εἰς τὴν πραιτοῦραν τοῦ δήμου παριόντας μισῆσαι καὶ ἀποστραφῆναι, καὶ καθαραῖς χρῆσθαι ταῖς χερσὶ καὶ ἐπεξιέναι πᾶσι τοῖς προσαγγελλομένοις εἴτε περὶ κλοπῆς εἴτε περὶ τῶν ἄλλων ἁμαρτημάτων, καὶ τὴν πόλιν ἡμῖν ἐκκαθαίρειν τῶν τὰς κλοπὰς ἐργαζομένων θηρίων, καὶ ἀνδράσι σπουδαίοις

15) Hal. καὶ γὰρ κατά γε τὰ πολλά. 16) Ven. addit ἤτοι δωροδοκίας, δησυληψίας. glossema, quod nec Cod. Florent. nec Bas. agnoscunt. 17) Ven. supra lineam δέκα λίτρας χρυσίου. 18) Ven. in margine περὶ κοινολαιμίων (?).

χρῆσθαι πρὸς ταῦτα ὑπουργοῖς, καὶ τῇ οἰκείᾳ τάξει προσφέρεσθαι προσηκόντως ὥστε δέος αὐτοὺς ἔχειν τοῦ σφῶν αὐτῶν ἄρχοντος καὶ ἅπαντα πράττειν μετὰ σφοδρότητός τε καὶ εὐνοίας. εἰ γὰρ βουληθεῖεν ὀρθῶς διαγίνεσθαι καὶ τῆς ἐπ' αὐτοῖς ἀξίως κρίσεως, οὔτε πολλοί τινες οἱ κλέπτοντες ἔσονται, τὰ φώριά τε θᾶττον εὑρεθήσεται, οἵ τε ἁμαρτάνοντες ἐλάττους γενήσονται δεδιότες ἀρχὴν, ἣν οὐκ ἄν τις ὠνήσαιτο χρημάτων. [§. 1.] *ἀλλὰ καὶ ἐγκλημάτων κἂν εἰ σφοδρότατα εἴη κατακούσονται, καὶ τοὺς δημοτικοὺς καταστήσουσι θορύβους, οὐ τῷ τῆς ἐνδόξου ταύτης καὶ βασιλίδος ἄρχοντι πόλεως ἀλλ' ἡμῖν αὐτοῖς ὑπηρετούμενοι, καὶ πάσης ἀξιούμενοι παρ' αὐτοῦ τιμῆς ὡς ἄρχοντες ἐλάττους παρὰ μείζονος ἄρχοντος. ἐπικουφίσουσί τε αὐτῷ τὰς φροντίδας, οὐδὲν αἱρούμενοι πράττειν ὅπερ οὐκ ἐστὶν ἀνδρῶν ἀγαθῶν καὶ βασιλικῆς μαρτυρίας ἄξιον. εἰ δέ ποτε συμβαίη (τοῦτο ὅπερ ἀπευχόμεθα) γενέσθαι τινὰ κατὰ τὴν πόλιν ἐμπρησμὸν, δεῖ καὶ αὐτοὺς παρεῖναι καὶ ὑπουργεῖν, καὶ μέγιστον τοῦτο ἔργον ἔχειν τὸ τοὺς κλέπτοντάς τε καὶ ὑφαιρουμένους τὰ τῶν ἀτυχούντων ἀποσοβεῖν καὶ περισώζειν καθ' ὅσον εἰσὶ δυνατοὶ τὰ πράγματα τοῖς ὑπὸ τοῦ πυρὸς βιαζομένοις. καὶ γὰρ εἰ περὶ ταύτην τὴν ἀρχὴν διαγένοιντο σπουδαίως, μείζων αὐτοὺς ὑποδέξεται θρόνος καὶ ἀρχὴ σεμνοτέρα. καὶ εἴσονται, πόσον ἐστὶ τὸ μετὰ σεμνότητος ζῆν ἢ ταύτης μὲν περιφρονεῖν, χρῆσθαι δὲ πολλαῖς ταῖς χερσί καὶ δι' αὐτῶν ἀσεβεῖν καὶ ἀπορεῖν ὕστερον, διότι μηδὲν τῶν οὕτως ἀθροιζομένων πέφυκε μένειν, ἀλλὰ κακῶς τε συλλέγεσθαι καὶ αὐτίκα διαπόλλυσθαι. ὅπως τοίνυν τοὺς ἡμετέρους ὑπηκόους ὠφελήσαιμεν, διὰ ταύτην ᾠήθημεν χρῆναι τὴν πρόφασιν καὶ παραψυχὴν τοσαύτην αὐτοῖς δοῦναι καὶ ἄνδρας τετιμημένους εἰς μέσον ἀγαγεῖν, ὅπως ἂν τῆς αὐτῶν ἀρετῆς αἴσθηται τὸ ὑπήκοον. ἕξουσι δὲ οἱ περίβλεπτοι τῶν δήμων πραίτωρες καὶ πάρεδρον τῆς ἡμετέρας ἐπ' αὐτοῖς κρίσεως καθάπερ εἴπομεν ἄξιον.*

ε'. Παρέσονται δὲ αὐτοῖς καὶ ἀνὰ εἴκοσι στρατιῶται, καὶ ἀνὰ τριάκοντα ματρικάριοι (οὓς δὴ νῦν ἡμεῖς κατεστήσαμεν), ταῖς διατυπώσεσιν ὑπηρετούμενοι ταῖς αὐτῶν καὶ εἴ που δέοι καὶ τοὺς ἀκοσμοῦντας ἐπέχοντες καὶ τῷ προσήκοντι σχήματι παραδιδόντες τὸ πολίτευμα. δεῖ δὲ αὐτοὺς ἐπίστασθαι σαφῶς, ὡς ἐὰν καθαροὺς ἑαυτοὺς τηροῖεν, τήν τε ἐκ θεοῦ συμμαχίαν ἕξουσι, τῆς τε παρ' ἡμῶν εὐμενείας οὐκ ἀποτεύξονται, μακρότερά τε αὐτοῖς ἔσται τὰ τῆς ἀρχῆς. τίς γὰρ ἂν τὸν καλῶς τε καὶ ὀρθῶς διαγινόμενον ἀμείβειν ἐθελήσειεν;

ς'. Ἀλλὰ καὶ εἰ παραπεμφθείη τὶς αὐτοῖς ἐκ τοῦ δικαστηρίου τοῦ λαμπροτάτου[19]) ἐπάρχου τῆς εὐδαίμονος ταύτης πόλεως ἐφ' ᾧ τιμωρίαν ὑποσχεῖν, ἀκριβῶς ἀναζητείτωσαν τὴν. αἰτίαν[20]), καὶ μανθανέτωσαν ἐφ' οἷς ἀναιροῦσι τὸν ἄνθρωπον ἢ ἀφαιροῦνται μέλους ἤ τινος τοιούτου, πυνθανόμενοι καὶ παρ' αὐτοῦ τοῦ ἐνδοξοτάτου ἐπάρχου, εἰ καὶ τοῦτο συνείδοιεν, ὥστε αὐτοὺς ἀκριβῶς ἐξενεγκεῖν τὴν ψῆφον ἢ ψυχῆς ἢ μέλους τινὸς ἀφαιρουμένην[21]) τὸν παραπεμπόμενον. [§. 1.] ὥσπερ δὲ τοὺς περιβλέπτους πραίτωρας τῶν δήμων τηλικαύταις ἐτιμήσαμεν δωρεαῖς, ἀξιώσαντες αὐτοὺς καὶ συμβόλων ἐκ τῆς ἡμετέρας προϊόντων χειρὸς καὶ σιτήσεως καὶ προσηγορίας τοσαύτης καὶ τῶν ἄλλων ὁπόσα ἔμπροσθεν εἴρηται, οὕτως αὐτοὺς ἀπαιτοῦμεν ἀντιδιδόναι ἡμῖν τὴν ἑαυτῶν καθαρότητα καὶ τὴν ἐν ἅπασιν ἀγρυπνίαν καὶ τὸ πάντα πράττειν ἴσῳ καὶ δικαίῳ λογισμῷ καὶ καθαρᾷ τῇ χειρί. εἰ γάρ τι φανεῖεν πλημμελοῦντες καὶ ἢ κλέπτοντες ἢ τῶν κλεπτόντων ἀνεχόμενοι ἢ μὴ πᾶσιν ἐπεξιόντες τρόποις, καὶ τοὺς μὲν ἀξίους θανάτου τιμωρούμενοι τοὺς δὲ μετριώ-

19) Non video quo modo Praef. Urbi, qui inter majores judices censetur, clarissimus vocari possit. fortassis τοῦ λαμπρ. ad δικαστηρίου trahendum et τοῦ ἐπάρχου scribendum. 20) Auth. τὴν ἀξίαν legere suadet. in dignitate condecoratos praetori plebis nulla fuit iurisdictio. 21) Ven. ἀφαιρουμένων.

τερα κράττοντας ἐξελαύνοντες τῆς μεγάλης ταύτης πόλεως ἔνθα ἂν ἡμεῖς προστάξομεν, ἴστωσαν, ὡς αὐτοὶ τὸν ὑπὲρ τούτων ὑφέξουσι λόγον οὐ θεῷ μόνον ἀλλὰ καὶ ἡμῖν, καὶ ἔνοχοι γενήσονται καὶ ζημίᾳ πάσῃ τοῖς ὑπηκόοις συμβαινούσῃ, καὶ τῇ παρ' ἡμῶν ἀγανακτήσει καὶ τῷ θᾶττον ἀτίμως ἐξεληλάσθαι τῆς ἀρχῆς, ἡμῶν διὰ τοῦτο καὶ πόνους ὑποστάντων καὶ δαπάνης μεγάλης ἀνεχομένων, ἵνα μή τινι τῶν ἡμετέρων ὑπηκόων ἐπενεχθείη τὶς συκοφαντία καὶ χρημάτων ἢ ψυχῆς ἀπώλεια καὶ ὅσα τοιαῦτα καθέστηκεν, ἀλλὰ πάντα ὑπὸ κρίσιν γίνοιτο τὴν προσήκουσαν.

Ταύτην οὖν ἅπαντες ἡμῶν τὴν βουλὴν διὰ τοῦδε τοῦ θείου κηρύγματός τε καὶ νόμου γινώσκοντες καὶ ὅτι τῶν συμφερόντων ὑμῖν οὐδ' ὁτιοῦν παραλιμπάνομεν, τῆς ἡμετέρας ὑπερεύχεσθε βασιλείας οὕτως ὑμῶν κηδομένης, οὕτως οἰκειουμένης τὰ ἐφ' ἑκάστῳ συμβαίνοντα, οὕτω τὴν πατρικὴν ἐφ' ἅπασιν ὑμῖν διατηρούσης πρόνοιαν. proponatur Constantinopo. civibus nostris. Dat. XVII Kal.[22]) Octobr. Constantinu*πόλει*.[23]) Belisario V. C. Cons. ind. *ιδ'*.

Nov. 14. **XXXIX.** Auth. 14.

Basil. LX, 38, 3 repraesentant c. 1 usque ad finem. — Summas praestant Iulian. c. 31, Athan. XII, 1, Theod. Nov. 14.

Περὶ τοῦ μὴ εἶναι πορνοβοσκοὺς ἐν μηδενὶ τόπῳ τῆς Ῥωμαίων πολιτείας.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Κωνσταντινουπολίταις.[1])

Καὶ τοῖς παλαιοῖς νόμοις καὶ τοῖς πρῴην βεβασιλευκόσι σφόδρα μεμισημένον ἔδοξεν εἶναι τὸ τῆς πορνοβοσκίας ὄνομα

22) Ven. XVIID. (quod legendum XVI vel XVII K.), cf. subscriptiones const. XXXV et XXXVI. Athan. *εἰδ. ὀκτωβρ.*
23) Ven. addit ON. Cf. ad const. XXXV not. ult.
1) Ven. addit: *βι. γ' τί. β' διγ. α'. β' καὶ βι. ε' τί. γ'*

τε καὶ πρᾶγμα, καὶ τοσοῦτον ὥστε καὶ πολλαὶ κατὰ τῶν τὰ τοιαῦτα πλημμελούντων ἐγράφησαν νόμοι. ἡμεῖς δὲ καὶ τὰς ἤδη τεθειμένας κατὰ τῶν οὕτως ἀσεβούντων τιμωρίας ηὐξήσαμεν, καὶ εἴ τι παραλελειμμένον ἦν τοῖς πρὸ ἡμῶν, καὶ τοῦτο δι' ἑτέρων ἐπηνωρθωσάμεθα νόμων.[2]) καὶ ἔναγχος δὲ προσαγγελίας εἰς ἡμᾶς γενομένης πραγμάτων ἀσεβῶν ἐπὶ τοιαύταις αἰτίαις κατὰ ταύτην τὴν μεγάλην ἁμαρτανομένων πόλιν, τὸ πρᾶγμα οὐ περιείδομεν. ἔγνωμεν γάρ τινας ζῆν μὲν ἀτόπως, ἐκ δὲ αἰτιῶν χαλεπῶν τε καὶ μεμισημένων πρόφασιν ἑαυτοῖς μιαρῶν ἐξευρίσκειν κερδῶν· περινοστεῖν γὰρ χώρας τε καὶ τόπους πολλοὺς[3]) καὶ νέας ἐλεεινὰς δελεάζειν προτεινομένους ὑποδήματά τε καὶ ἐσθῆτά τινα, καὶ τούτοις θηρεύειν αὐτὰς καὶ ἄγειν εἰς τὴν εὐδαίμονα ταύτην πόλιν, καὶ ἔχειν καθειργμένας ἐν ταῖς ἑαυτῶν καταγωγαῖς καὶ τροφῆς αὐταῖς ἐλεεινῆς μεταδιδόναι καὶ ἐσθήματος, καὶ ἐντεῦθεν ἐκδιδόναι πρὸς ἀσέλγειαν αὐτὰς τοῖς βουλομένοις καὶ πάντα πόρον ἄθλιον ἐκ τοῦ σώματος αὐτῶν προσγινόμενον αὐτοὺς λαμβάνειν, καὶ ποιεῖσθαι συγγραφὰς ὡς ἐπὶ χρόνον ὃν αὐτοῖς δόξειε προσεδρεύουσι τὴν ἀσεβῆ τε καὶ ἀνοσίαν ταύτην αὐτοῖς λειτουργίαν πληροῦσαι, τινὰς δὲ αὐτῶν καὶ ἐγγυητὰς ἀπαιτεῖν. ὥστε τοσαύτην γενέσθαι τὴν τοῦ πράγματος ἀτοπίαν, ὡς ἐν πάσῃ σχεδὸν τῇ βασιλίδι ταύτῃ πόλει καὶ ἐν τοῖς περάμασιν αὐτῆς, καὶ τὸ δὴ χείριστον καὶ πλησίον τῶν ἱερῶν τόπων καὶ τῶν σεβασμιωτάτων οἴκων τὰς τοιαύτας αὐτοῖς εἶναι καταγωγάς, καὶ πράγματα οὕτως ἀσεβῆ καὶ παράνομα ἐπὶ τῶν ἡμετέρων τολμᾶσθαι χρόνων, ὥστε καί τινας ἐλεοῦντας αὐτὰς ἀναστῆσαι τῆς ἐργασίας ταύτης πολλάκις βουληθῆναι καὶ πρὸς νόμιμον ἄγεσθαι συνοικέσιον, τοὺς δὲ οὐκ ἐφιέναι· ἐνίους δὲ οὕτως

διγ. κζ' καὶ βι. α' τοῦ κώδ. τί. α' διατ. ιβ' καὶ ια' καὶ βι. ια' τί. μ' διατ. ζ'. quae emendes velim ex nota seq.
2) Imperator referre videtur ad Cod. I, 4, 12. 14. 33. IV, 56, 1. 2. V, 4, 29. XI, 41, 6. 7. 3) Ven. πολιοὺς.

ἀνοσίους καθεστάναι, ὥστε κόρας οὐδὲ τὸν δέκατον[4]) ἀγούσας ἐνιαυτὸν εἰς ἐπικίνδυνον κατάγειν φθοράν, ὥστε καί τινας χρυσίον δόντας οὐ μέτριον μόλις ἐκεῖθεν ἐξωνήσασθαι τὰς ταλαιπώρους καὶ γάμῳ συναρμόσαι σώφρονι. καὶ τρόπους εἶναι μυρίους, οὓς οὐκ ἄν τις ἰσχύσειε λόγῳ περιλαβεῖν εἰς δεινὴν ἀοριστίαν ἐξενεχθέντος τοῦ τοιούτου κακοῦ, ὡς πρότερον μὲν ἐν ἐλαχίστοις[5]) μέρεσι τῆς πόλεως εἶναι, νῦν δὲ αὐτήν τε καὶ τὰ περὶ αὐτὴν ἅπαντα μεστὰ τῶν τοιούτων γενέσθαι κακῶν. ταῦτα τοίνυν πρῴην μέν τις ἡμῖν ἐν ἀποῤῥήτῳ προσήγγειλεν, εἶτα καὶ ἔναγχος οἱ μεγαλοπρεπέστατοι πραίτωρες παρ' ἡμῶν τὰ τοιαῦτα ἀναζητεῖν ἐπιτραπέντες αὐτὰ ταῦτα εἰς ἡμᾶς ἤγαγον. ἅμα τε οὖν ἠκούσαμεν τούτων, ᾠήθημεν χρῆναι θεῷ τὴν τοιαύτην ἀναθεῖναι πρᾶξιν καὶ θᾶττον ἀπαλλάξαι μύσους τοιούτου τὴν πόλιν. [§. 1.] Θεσπίζομεν τοίνυν, πάντας μὲν καθ' ὅσον εἰσὶ δυνατοὶ σωφροσύνην ἄγειν, ἥτις καὶ μόνη θεῷ μετὰ παῤῥησίας δυνατὴ καθέστηκεν ἀνθρώπων παραστῆσαι ψυχάς. ἐπειδὴ δὲ πολλὰ τὰ ἀνθρώπινα, τὸ γοῦν σὺν τέχνῃ καὶ δόλῳ καὶ ἀνάγκῃ τινὰς εἰς τοιαύτην ἀσέλγειαν ἄγεσθαι πᾶσι κωλύομεν τρόποις, καὶ μηδενὶ παῤῥησίαν εἶναι πορνοβοσκεῖν καὶ ἐπ' οἰκήματος ἔχειν γυναῖκας ἢ καὶ δημοσίᾳ προϊστᾶν ἐπ' ἀσελγείᾳ ἢ ἀντ' ἄλλης τινὸς πραγματείας τὰ τοιαῦτα ἐμπορεύεσθαι, μηδὲ συγγραφὰς ἐπὶ τούτῳ λαμβάνειν μηδὲ ἐγγυητὰς ἀπαιτεῖν, μηδὲ τοιοῦτόν τι πράττειν ὅπερ ἀναγκάζει τὰς ταλαιπώρους καὶ ἀκούσας τὴν αὐτῶν σωφροσύνην καταισχύνειν, μηδὲ ἐλπίζειν ὡς ἔξεστι τὸ λοιπὸν αὐτοῖς ἐσθημάτων δόσει ἢ καὶ κοσμίων τυχὸν ἢ τροφαῖς δελεάζειν αὐτὰς εἰς τὸ καὶ ἀκούσας προσκαρτερεῖν. οὐ γὰρ συγχωροῦμεν οὐδ' ὁτιοῦν γίνεσθαι τοιοῦτον, ἀλλὰ καὶ νῦν ἅπαντα ταῦτα ἐν βραχεῖ τῆς προσηκούσης ἠξιώσαμεν θερα-

4) Ven. δεκαετῆ. 5) Auth. ἐσχάτοις legisse videtur. non male.

τείας, παρασκευάσαντες καὶ ἀναδοθῆναι αὐταῖς πᾶσαν ἣν ἔτυχον ἀσφάλειαν προφάσει τοῦ τοιούτου μύσους ἐκθέμεναι, καὶ οὐδὲ συνεχωρήσαμεν τοὺς ἀνοσίους πορνοβοσκοὺς εἴ τι δεδώκασιν αὐταῖς τοῦτο παρ' αὐτῶν ἀφελέσθαι. ἀλλὰ καὶ αὐτοὺς τοὺς πορνοβοσκοὺς ἔξω ταύτης γενέσθαι τῆς εὐδαίμονος παρεκελευσάμεθα πόλεως, ὡς ὀλεθρίους καὶ κοινοὺς λυμεῶνας τῆς σωφροσύνης γινομένους, καὶ ἐλευθέρας τε καὶ θεραπαίνας περιεργαζομένους καὶ κατάγοντας εἰς τὴν τοιαύτην ἀνάγκην καὶ δελεάζοντας καὶ ἔχοντας παρατρεφομένας εἰς πᾶσαν αἰσχύνην. προσαγορεύομεν δὲ, ὡς εἴ τις τοῦ λοιποῦ τολμήσειεν ἄκουσαν κόρην λαβεῖν καὶ ἔχειν πρὸς ἀνάγκης ἀποτρεφομένην τε καὶ ἐκ πορνείας αὐτῷ προσάγουσαν πόρους, τοῦτον ἀνάγκη παρὰ τῶν περιβλέπτων πραιτώρων τοῦ δήμου τῆς εὐδαίμονος ταύτης πόλεως συνεχόμενον τὰς πασῶν ἐσχάτας ὑπομένειν ποινάς· εἰ γὰρ τῶν χρηματικῶν αὐτοὺς κλοπῶν καὶ λῃστειῶν ἐπανορθωτὰς προυβαλόμεθα, πῶς οὐ πολλῷ μᾶλλον τῆς σωφροσύνης κλοπήν τε καὶ λῃστείαν αὐτοῖς ἀπελαύνειν ἐφήσομεν; εἰ δὲ καί τις ἀνάσχοιτο ἐν τῷ ἑαυτοῦ οἴκῳ τινὰ πορνοβοσκοῦντα καὶ τοιαύτης προϊστάμενον ἐργασίας ἔχειν καὶ μὴ ταῦτα προσαγγελθέντα μαθὼν τῆς οἰκήσεως αὐτὸν ἐξελάσειεν, ἴστω καὶ decem librarum auri ὑποστησόμενος ποινὴν καὶ περὶ αὐτὴν κινδυνεύσων τὴν οἴκησιν. εἰ δὲ καί τις συγγραφὴν τὸ λοιπὸν ἐπὶ τούτοις τολμήσειε λαβεῖν ἢ ἐγγυητὴν, ἴστω μηδὲν μὲν ὄφελος τῆς τοιαύτης ἔχων ἐγγύης ἤτοι συγγραφῆς· καὶ γὰρ ὁ μὲν ἐγγυητὴς ἔνοχος οὐκ ἔσται, ἡ δέ γε συγγραφὴ παντοίως ἄκυρος μενεῖ, καὶ αὐτὸς καθάπερ εἰπόντες ἔφθημεν τὴν εἰς τὸ σῶμα τιμωρίαν ὑποστήσεται καὶ τῆς μεγάλης ταύτης ὡς πορρωτάτω πόλεως ἐξελαθήσεται. τὰς γὰρ δὴ γυναῖκας σωφρονεῖν μὲν βουλόμεθά τε καὶ εὐχόμεθα, μὴ μὴν ἀκούσας εἰς ἀσελγῆ βίον κατάγεσθαι μηδὲ ἀσεβεῖν ἀναγκάζεσθαι. πᾶσαν γὰρ πορνοβοσκίαν καὶ γίνεσθαι κωλύομεν καὶ γενομένην κολάζομεν, διαφερόντως μὲν

ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως καὶ ἐν τῇ ταύτης περιοικίδι, οὐδὲν δὲ ἧττον καὶ ἐν τοῖς ἔξω τόποις ἅπασι τοῖς τε ἐξ ἀρχῆς τῆς ἡμετέρας οὖσι πολιτείας, τοῖς τε νῦν παρὰ τοῦ δεσπότου θεοῦ δεδωρημένοις ἡμῖν· καὶ μάλιστά γε ἐν ἐκείνοις, διότι τὰς τοῦ θεοῦ δωρεὰς ἃς περὶ τὴν ἡμετέραν ἐποιήσατο πολιτείαν βουλόμεθα φυλάττεσθαι καθαρὰς πάσης τοιαύτης ἀνάγκης, καὶ τῆς παρὰ τοῦ δεσπότου θεοῦ περὶ ἡμᾶς δωρεᾶς εἶναί τε καὶ διαμένειν ἀξίας. πεπιστεύκαμεν γὰρ εἰς τὸν δεσπότην θεὸν καὶ ἐκ ταύτης ἡμῶν τῆς περὶ τὴν σωφροσύνην σπουδῆς μεγάλην ἔσεσθαι τῇ ἡμετέρᾳ πολιτείᾳ προσθήκην, τοῦ θεοῦ πάντα ἡμῖν αἴσια διὰ τῶν τοιούτων παρεχομένου πράξεων.

Ὅπως ἂν οὖν ὑμεῖς πρῶτοι οἱ ἡμέτεροι πολῖται τῆς σώφρονος ἡμῶν ἀπολαύσοιτε διατυπώσεως, διὰ τοῦτο τῷδε τῷ θείῳ κηρύγματι χρώμεθα, ὅπως ἂν εἰδείητε τὴν ἡμετέραν περὶ ὑμᾶς σπουδήν, καὶ τὸν περὶ τὴν σωφροσύνην τε καὶ εὐσέβειαν πόνον ἡμῶν, δι' ὧν ἐν ἅπασιν ἀγαθοῖς φυλαχθήσεσθαι τὴν ἡμετέραν πολιτείαν ἐλπίζομεν.

Ἐγράφη τὸ ἰσότυπον τῷ ἐνδοξοτάτῳ μαγίστρῳ μετὰ τῆς παραλλαγῆς ταύτης·

Ὅπως ἂν ἅπασι ταῦτα γένοιτο φανερὰ τοῖς τὴν ἡμετέραν ἔχουσι πολιτείαν, ἡ τοίνυν σὴ ὑπεροχὴ τόνδε ἡμῶν δεξαμένη τὸν νόμον ἐν ἁπάσῃ τῇ ὑπηκόῳ διὰ προσταγμάτων οἰκείων τοῦτον ἅπασι φανερὸν καταστησάτω, ὡς ἂν μὴ μόνον ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως, ἀλλὰ καὶ ἐν τοῖς ἔξω φυλάττοιτο τόποις, τῷ δεσπότῃ τῶν ὅλων θεῷ ἀντ' ἄλλης τινὸς εὐωδίας προσαγόμενος. Dat. K. Dec. CP. Bilisario V. C. Cons.

XL.

Summas praestant Iulian. c. 24 (cum quo faciunt *αἱ ῥοπαί* 8, 7), Athan. VII, 2 (unde sumta est epitome, quam habent Ven. et Flor. et ediderunt Hal. et Scr., eademque in Basil. IX, 2, 2 transiit), Theod. Nov. 23. — In Ven. rubrica est *περὶ ἐκκλήτων πρὸς τίνα ἀναπέμπονται εἰ μέχρι ι' χρυσίου λιτρῶν ἐστιν ἡ ἐκκληθεῖσα ὑπόθεσις. βι. ϑ' τῶν βασιλ. τί. β' κεφ. ς'.* (In Flor. adnotatur: *νεαρὰ κγ' βι. τῶν βασιλ. ϑ' τί. β' ἡ ὅλη νεαρά.*) — Haec const. legitur et apud Gratianum c. 28 C. II qu. 6.

DE APPELLATIONIBUS ET INTRA QUAE TEMPORA DEBEAT APPELLARI.

Imp. Iustinianus Augustus Tribuniano illustri magistro officiorum et quaestori sacri palatii.[1])

Anteriorum legum acerbitati plurima remedia imponentes et maxime hoc circa appellationes facientes et in praesenti ad huiusmodi beneficium pervenire duximus esse necessarium. antiquitati etenim cautum erat[2]), ut si quis per se litem exercuerit et fuerit condemnatus, intra duos dies tantummodo licentiam appellationis haberet, sin autem per procuratorem causa ventilata sit, et in triduum proximum eam extendi. ex rerum autem experientia invenimus hoc satis esse damnosum; plures enim homines ignaros legum subtilitatis, et putantes in triduum esse provocationes porrigendas, in promtum periculum incidisse et biduo transacto causas perdidisse. unde necessarium duximus huiusmodi rei competenter mederi.

I. Et sancimus omnes appellationes, sive per se sive per procuratores seu per defensores vel curatores et tutores ventilentur, posse intra decem dierum spatium

1) Apud Athan. inscriptio est *Τριβουνιάνῳ κοιαίστορι*, apud Hal. sic: *Τριβωνιανῷ τῷ ἐνδοξοτάτῳ κοιαίστωρι τὸ β' καὶ ἀπὸ ὑπάτων*, in quo videtur sequutus lectionem Authentici, ubi vulgo inscriptioni additur: iterum et exconsuli. 2) l. 6 §. 5 C. de appellat. 7, 62.

a recitatione sententiae numerandum iudicibus ab his quorum interest offerri, sive mangni sive minores sint (excepta videlicet sublimissima praetoriana praefectura), ut liceat homini intra id spatium plenissime deliberare, sive appellandum ei sit sive quiescendum, ne timore instante opus appellatorium frequentetur, sed sit omnibus inspectionis copia, quae indiscussos hominum calores potest refrenare.

II. Ad hoc sancimus, si quando lis speratur in nostrum inferri consistorium, si forte contigerit imperatoriam maiestatem occupatam publicis causis ex mundanis provisionibus non posse convocare patres quatenus causa agitetur, non ex hoc litem periclitari. quod enim vitium est litigantium, si culmen imperatorium occupetur? vel quis tantae est auctoritatis, ut nolentem principem possit ad convocandos patres ceterosque proceres coarctare? sed si quid tale evenerit, causa intacta permaneat, donec imperator monitus[3]) sua sponte et convocari proceres iusserit, et litem inferri patiatur et omnia secundum morem procedere.

III. Illud etiam in tertio capitulo disponendum est, quod antiquitas bene statuit, novitas autem neglexit. quum enim veneranda vetustatis auctoritas ita magistratus digessit, ut alii maiores alii medii alii minores sint, et appellationes a minoribus iudicibus non solum ad maximos iudices remitterentur, sed ad spectabilium iudicum tribunal, quatenus et ipsi sacro auditorio adhibito litem exercerent, novit asautem hoc deliquit[3a]), evenit, ut super minimis causis maximi nostri iudices inquietentur, et homines propter minimas causas magnis fatigentur dispendiis, ut forsitan totius litis aestimatio ad sumtus iudiciales non

3) Vulgo et apud Gratianum: motus. 3a) dereliquit?

ıfficeret. ideoque sancimus, si quando ex Aegyptiaco ractu vel adiuncta ei utraque Libya provocatio speratur sque ad decem librarum auri[4]) quantitatem, non in hanc egiam urbem eam venire, sed ad praefectum augustalem, ui audiat et causam dirimat vice sacri cognitoris, nulla i penitus post definitivam sententiam appellatione porrigenda. [§. 1.] similique modo quoties in Asiana dioecesi rel Pontica tale aliquid emerserit usque ad praedictam uantitatem decem librarum auri, appellationes ad viros spectabiles, comites forte vel proconsules vel praetores vel noderatores, quibus specialiter easdem lites peragendas leputavimus[5]), remittantur, quatenus et hi ad similitudiıem praefecti augustalis vice sacri cognitoris intercedant, ıt causas sine spe quidem appellationis, dei tamen et egum timore proferant decidendas; Orientalem autem ractum causas appellatione suspensas et usque ad decem

4) Iulian: quingentorum aureorum. Sed et Athan: μέχρι χρυσίου λιτρῶν, et ipse Iulianus mox: decem auri libras.
5) Spectabilibus provinciarum iudicibus Iustinianus appellaiones usque ad D solidorum summam peragendas destinaverat n constitutione, quae deperiit (vide const. XXIII not. 17). idem spectabiles iudices effecerat in Asiana dioecesi Praetorem Pisiliae (const. XXIII) et Lycaoniae (const. XXV) et Comitem Phrygiae Pacatianae (const. XVI c. 2); in Pontica dioecesi Moleratorem Helenoponti (const. XXX), Praetorem Paphlagoniae (const. XXXI) et Comitem Galatiae (const. XVI c. 3); in Orientali ractu Comitem Orientis (const. XVI c. 5) et Praetorem Isauriae (const. XXVI); denique Proconsulem Cappadociae (const. XLIV) et Armeniae (const. XLV), hisque omnibus utpote spectabilibus appellationes usque ad D solidos destinatae erant, id quod in quibusdam expressim statuitur. hac vero nostra constitutione summa X librarum auri pro summa D aureorum ponitur et similiter moderatori Arabiae in const. LIII et proconsuli Palaestinae in const. LIV appellationes usque ad summam X librarum auri peragendae conceduntur. posteriori tamen tempore, dum vicarium Ponticae dioeceseos restituit, ad D aureorum summam imperator denuo redit in const. CLVII. quae res chronologiam harum constitutionum dubitationibus obnoxiam reddit. Biener Gesch p. 511.

librarum auri quantitatem limitandas ad virum spectabilem comitem Orientis mittere, simili modo audientiam et finem eis impositurum.

IV. Illo videlicet observando, ut viri spectabiles [duces] vel alii spectabiles iudices non ad alios eadem spectabilitate decoratos iudices suas transmittant appellationes in litibus quantaecunque quantitatis, quum non oporteat ad compares iudices appellationes referri, sed a minore iudicio in maius tribunal ascendere, sed ad illustrissimam praefecturam illorum appellationes cuiuscunque sint quantitatis ut dictum est dirigantur, qui una cum viro excelso pro tempore quaestore eas dirimat; utroque officio subministrante, id est tam ex sacris scriniis more solito, quam praefectorio. ita tamen haec sancimus, ut nec a ducibus vel aliis spectabilibus iudicibus, quibus forte etsi privati sint imperialis maiestas causas iniunxerit, appellatio ad memoratos spectabiles iudices currat, ne causa non gradatim procedere sed perperam videatur. sed a praesidibus quidem provinciarum et iudicibus a nobis datis, si non sint spectabiles iudices, intra memoratam quantitatem referetur; si autem vel illustres sint dati a nobis iudices quibus apices dignitatum super spectabilitatem sunt, vel duces qui omnimodo spectabilitate sunt decorati, vel hi qui a principe delegati sunt spectabilem habet dignitatem, eorum appellationes sub quacunque quantitate in hanc regiam urbem ad competentes antiquo more iudices referuntur. omnibus aliis, quae de appellationibus statuta sunt vel ab antiqua prosapia vel ab auctoritate anteriorum constitutionum vel a nostra humanitate, intactis illibatisque custodiendis.

Dat. III. Non. Ian. Constantinop. post cons. Belisarii V. C.[6])

6) Similiter Athanas.: *Ἐγράφη γ´ νόννων ἰανουαρ. μετὰ τὴν ὑπατείαν βελισαρίου*, et Iulian.: D. Non. Ian. p. c. Belisarii. (Authenticum in nonnullis Codicibus „Kal. XII April.“ vel „Kal. Iul.“ habet.)

Auth. 40. XLI. Nov. 38.

Summas praestant Iulian. c. 35, Athan. VIII, 1, Theod. Nov. 38.

Περὶ βουλευτῶν ὥστε ἐνναούγκιον καταλιμπάνειν τοῖς ἑαυτῶν βουλευταῖς παισίν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Οἱ τὴν πολιτείαν ἡμῖν[1]) πάλαι καταστήσαντες ᾠήθησαν χρῆναι κατὰ τὴν τῆς βασιλευούσης πόλεως μίμησιν ἀθροῖσαι καθ' ἑκάστην πόλιν τοὺς εὖ γεγονότας καὶ ἑκάστῃ σύγκλητον δοῦναι βουλήν, δι' ἧς ἔμελλε τά τε δημόσια πράττεσθαι, ἅπαντά τε γίνεσθαι κατὰ τάξιν τὴν προσήκουσαν. οὕτω τοίνυν τὸ πρᾶγμα ἤνθησεν, οὕτως ἐφάνη λαμπρὸν, ὡς τὰς μεγίστας τε καὶ πολυανθρωποτάτας οἰκίας βουλευτῶν εἶναι, πλήθους μὲν ὄντος τοῦ βουλεύοντος, τῆς δὲ δοκούσης εἶναι τῶν λειτουργημάτων βαρύτητος οὐδενὶ παντελῶς ἀφορήτου καθισταμένης· τῷ[2]) γὰρ εἰς πλῆθος διῃρῆσθαι τὸ βάρος ἀνεπαίσθητον σχεδὸν τοῖς τοῦτο ὑπομένουσιν ἦν. ἐπεὶ δὲ κατὰ μέρος ἤρξαντό τινες ἑαυτοὺς ἐξαίρειν τῶν βουλευτικῶν λευκωμάτων, καὶ ἐξευρίσκειν προφάσεις, δι' ὧν πως ἐλεύθεροι τούτων ἔσονται, εἶτα κατ' ὀλίγον ἠλαττώθη τὰ βουλευτήρια μυρίων ἐπινοηθεισῶν προφάσεων, ἐξ ὧν ἔμελλε τὰ μὲν ἴδια καλῶς ἕξειν, τὰ δὲ κοινὰ καὶ δημόσια διὰ πάντων ἐλαττοῦσθαι. διὰ τοῦτο εἰς ἄνδρας ὀλίγους περιστάντα τὰ λειτουργήματα κἀκείνοις τὰς οὐσίας κατέσεισε καὶ τὰς πόλεις οὕτως ἠλάττωσεν, ὥστε ὑπὸ τούτους εἶναι τοὺς ὀλεθρίους μισθωτὰς, οὓς δὴ βίνδικας καλοῦσι. συμβέβηκεν οὖν τὸ πολίτευμα μεστὸν μὲν ἐλλειμμάτων, μεστὸν δὲ πάσης ἀδικίας γενέσθαι. [§. 1.] ταῦτα ἡμεῖς πολλάκις ἀνερευνώμενοι

1) Ath. et Theod. ἡμῶν. Non male. 2) Ven. Hal. (cum Auth.) τὸ.

φήθημεν χρῆναι θεραπείαν ἐπαγαγεῖν τῷ πράγματι. καὶ ὅσῳ περὶ τοῦτο ἡμεῖς πονούμεθα, τοσούτῳ πᾶσαν ἐξεῦρον οἱ βουλευταὶ τέχνην κατὰ τῶν ὀρθῶς καὶ δικαίως νομοθετουμένων καὶ κατὰ τοῦ δημοσίου. ἐπειδὴ γὰρ εἶδον ἀναγκαζομένους ἑαυτοὺς πᾶσι τρόποις τῇ βουλῇ φυλάττειν τὸ τέταρτον, καὶ τοῦτο μόλις ἐν τοῖς παρ' ἡμῶν νόμοις[3]) ἀποτεθέν, ἤρξαντο διασπᾶν τὰς οὐσίας αὐτῶν, ὥστε ἀπόρως τελευτᾶν, καὶ οὐχὶ τὸ τέταρτον μέρος, ἀλλ' ὅλην ἐφεξῆς τὴν ἀπορίαν τῇ βουλῇ καταλιμπάνειν. εἶτα ἐπειδὴ καὶ τῶν σωμάτων αὐτῶν ἀποστερῆσαι τὸ βουλευτήριον ἔγνωσαν, ἤδη καὶ πρᾶγμα πάντων ἀσεβέστατον ἐπενόησαν, γάμων ἀπεχόμενοι νομίμων, ὥστε αἱρεῖσθαι μᾶλλον ἄπαιδες τό γε ἐπὶ τῷ νόμῳ τελευτᾶν, ἢ καὶ τῷ γένει καὶ τῇ βουλῇ χρήσιμοι φαίνεσθαι. καὶ αὖθις κατεπράξαντο πρῴην τεθῆναι νόμον[4]), ὃς δεκρέτου χωρὶς ἐπέτρεπεν αὐτοῖς τὰ οἰκεῖα δωρεῖσθαι, καίτοιγε τὴν πρᾶσιν μετὰ δεκρέτου γίνεσθαι τοῦ νόμου βουλομένου· ὁ δὲ οὕτως ἦν θαυμαστὸς, ὥστε μόνην τὴν πρᾶσιν ὑπάγειν τῇ τοῦ δεκρέτου προσθήκῃ καὶ ταῖς ἐντεῦθεν ἀνάγκαις, τἆλλα δὲ πάντα αὐτοῖς ἐφιέναι πράττειν καθ' ὃν ἠβούλοντο τρόπον. ταῦτα μετέστησαν τὰς βουλευτικὰς οὐσίας εἰς ἕτερα καὶ ἕτερα πρόσωπα, οὐδὲν τῆς βουλῆς ἐντεῦθεν ἐχούσης. τοιγαροῦν εἴ τις ἀριθμήσειε τὰ τῆς ἡμετέρας πολιτείας βουλευτήρια, ἐλάχιστα εὑρήσει, τὰ μὲν οὐδὲ ἀνδρῶν εὐποροῦντα οὐδὲ χρημάτων, τὰ δὲ ὀλίγων μὲν ἴσως ἀνθρώπων χρημάτων δὲ οὐδαμῶς. [§. 2.] ἤδη μὲν οὖν κατὰ μέρος ἐθήκαμεν νόμους[5]) ἡμεῖς τοὺς βουλομένους καὶ τὰς πράσεις καὶ τὰς δωρεὰς τὰς ἁπλὰς καὶ πᾶσαν πρᾶξιν ἐκποίησιν ἔχουσαν βουλευτικῶν ἀκινήτων πραγμάτων ὑποκεῖσθαι δεκρέτῳ μετὰ τῆς ἐν ἐκείνῳ τῷ νόμῳ κειμένης παρατηρήσεως γινομένῳ. εἶτα ὕστερον ἐπειδὴ μετὰ ψευδῶν

3) Cod. X, 35. 4) l. 3 C. de praed. curial. 10, 34. 5) Scil. l. 4. 5 C. 10, 34 et l. 4. 5 C. 10, 35, quae tamen deperditae sunt.

ιῶν ἐποιοῦντο τὰς δωρεὰς, καὶ αὐτὸ καθάπαξ ἀνείλομεν δωρεὰν ἁπλὴν ποιεῖσθαι βουλευτὴν εἰς οἱονδήποτε πρόπον. ἐξεῖλομεν δὲ εἰκότως τὰς προγαμιαίας δωρεὰς, ἐπειδὴ δὲ δωρεαὶ καθάπαξ εἰσὶν, ἀλλὰ συναλλάγματός τε εἶδος ταύταις ἔγκειται, καὶ παιδοποιΐας εἰσάγουσιν εὐπορίαν, ερ ἡμῖν καὶ μάλιστα εἰς βουλευτὰς περισπούδαστόν ἐστι. ειτα ὁρῶντες καὶ περὶ αὐτὸ τοῦτο περιγραφὰς πολλὰς νομένας, νόμον ἐγράψαμεν, ὥστε ἐκ τρόπου παντὸς χρῆι τὴν βουλὴν εἴτε μετὰ σώματος εἴτε τούτου χωρὶς πάνς τὸ τριούγκιον ἔχειν, καὶ μὴ ἔλαττον ἐξεῖναί τινι καταμπάνειν τῇ βουλῇ, μηδὲ τεχνάζειν μηδὲ ἐλαττοῦν αὐτὸ τὰ μηδένα τρόπον, εἴτε παῖς ὁ βουλεύων εἴη εἴτε καὶ πὴ δέχοιτο τὸ τριούγκιον ἡ βουλή. [§. 3.] καὶ οὐδὲ μέχρι ύτων ἔστημεν, ἀλλὰ καὶ τὰς θηλείας τῆς οἰκείας ἐνστάσεως δόναι τινὰ μοῖραν ἐθεσπίσαμεν, ὥστε κατὰ μηδεμίαν πρόσιν ἐλαττοῦσθαι τῇ βουλῇ καθάπερ εἰπόντες ἔφθημεν τὸ ταρτημόριον τῆς πάσης τοῦ βουλεύσαντος οὐσίας. καὶ τὰς λλὰς δὲ ταύτας καὶ ἐκκεχυμένας φιλοτιμίας ἀνείλομεν[6]), συγχωροῦντες ἀπαλλάττεσθαι βουλῆς ἄλλως ἢ κατὰ τὴν ν μεγίστων ἀξιωμάτων κτῆσιν, πατρικιότητός τε καὶ τατείας καὶ ἐπαρχότητος, εἴτε τῆς ἐν πολιτικοῖς εἴτε τῆς στρατιωτικοῖς· πραεφεκτωρίας γὰρ εἶναι καὶ τὰς στραγίας ὁ νόμος ἐπίσταται. ὥστε εἴ τις πραεφεκτωρίαν χὴν ἄρξει ἐν αὐτῇ τῇ πράξει γενόμενος, καὶ εἴτε ἄρχων πὴν εἴτε στρατηγῶν, οὗτος ἀπαλλάττεται τύχης κατὰ τὸν ιέτερον νόμον, τῶν ἄλλων πασῶν ἐξαιρέσεων ἀνῃρημένων· ς γὰρ διὰ μόνην τιμὴν διδομένας τοιαύτας ἀξίας (τὰς ραεφεκτωρίας φαμὲν, ταὐτὸ δέ ἐστιν εἰπεῖν καὶ στρατηλαας) οὐκ ἐξαιρεῖν τοῦ βουλευτικοῦ λευκώματος τοὺς τούτων χόντας ἐθεσπίσαμεν. ταῦτα μὲν οὖν ἐν τοῖς ἔμπροσθεν ῶν νενομοθέτηται μετὰ πολλῶν ἄλλων, ἅπερ ἔξεστιν ἐξ

6) l. 67 C. de decurion. 10, 32.

αὐτῶν τῶν ἤδη κειμένων νόμων λαβεῖν. ἀπελύσαμεν δὲ καί τινας βουλευτικῆς τύχης, διαφόρους αὐτοῖς πραγματικοὺς φιλοτιμησάμενοι νόμους, οὓς ἅπαντας κυρίους εἶναι βουλόμεθα, καὶ τὴν παροῦσαν νομοθεσίαν ἀπὸ τῆς ἑνδεκάτης ἐπινεμήσεως τῆς ἄρτι διελθούσης ἄρχεσθαι, ἐξ οὗπερ ἡμῖν ἐν βουλῇ γέγονεν οὗτος ὁ νόμος. [§. 4.] ἐπειδὴ δὲ ὁρῶμέν τινας οὕτως ἀπεχθῶς διακειμένους πρὸς τὰς ἑαυτῶν πατρίδας, ὥστε αἱρεῖσθαι μᾶλλον ἄλλοις τὰς ἑαυτῶν καταλιμπάνειν οὐσίας καὶ μόλις τὸ τέταρτον τῇ βουλῇ καὶ τοῦτο διὰ τὸν ἡμέτερον νόμον, ᾠήθημεν χρῆναι ἀπαιδίας ὑπούσης τοῦτο τὸ μέρος αὐξῆσαι.

α΄. Εἰ τοίνυν μετὰ τόνδε ἡμῶν τὸν νόμον τελευτῇ βουλευτὴς παῖδας οὐκ ἔχων οὔτε ἄῤῥενας οὔτε θηλείας, οὗτος τῆς ἑαυτοῦ περιουσίας τὰς τρεῖς μοίρας καταλιμπανέτω τῇ βουλῇ καὶ τὴν τετάρτην οἷς βούλεται. ἔσται γὰρ αὐτῷ ἀντὶ παιδὸς ἴσως ἑνὸς ἢ καὶ πλειόνων ἡ πᾶσα βουλή, ταὐτὸ δ' ἐστὶν εἰπεῖν καὶ τὸ τῆς πόλεως πλήρωμα ἐν παίδων τάξει καθεστὼς, καὶ εὐφημία διηνεκὴς καὶ ἀθάνατος μνήμη, καὶ καρπὸς τοσοῦτος ὅσος οὐκ ἂν αὐτῷ παρὰ τῶν παίδων ἐγένετο. εἰ δέ τις γνησίους μὲν παῖδας οὐκ ἔχοι, νόθοι δὲ αὐτῷ καθεστᾶσιν, ἐξέστω μετὰ . τοῦ τῆς βουλῆς ἄχθους γράφειν αὐτῷ καὶ τούτους κληρονόμους. καὶ ἡ γραφή γε ἀντὶ πάσης ἐπιδόσεως ἔστω, καὶ μὴ δείσθω (τοῦτο τῶν παλαιῶν νόμων) ἑτέρας προσθήκης μηδὲ τῆς ἐν ᾧ περιῆσαν ἐπιδόσεως, ἀλλ' αὐτόθεν γραφέντες, εἴ γε ἐλεύθεροι καθεστᾶσι, βουλευταὶ καὶ κληρονόμοι γινέσθωσαν, καὶ ἐχέτωσαν καὶ αὐτοὶ τὸ τῆς περιουσίας ἐνναούγκιον, καθάπερ ἂν ὁ πατὴρ αὐτοῖς διανείμῃ· εἰ δὲ καὶ τὸ πᾶν αὐτοῖς βουληθείη καταλιπεῖν, ἔτι κάλλιον πράξειε. πλὴν ἀλλὰ μέχρι τοῦ ἐνναουγκίου πάντως αὐτοῖς καταλιμπανέτω, γινώσκων, ὡς κἂν εἰ καταλίποιεν ἔλαττον, ἀλλ' ἐκ τοῦ νόμου πάντως εἰς τὸ ἐνναούγκιον αὐτοῖς ἡ ἀναπλήρωσις ἔσται τῆς οὐσίας. οἱ δὲ εἴ περ τι τῆς οὐσίας ἐπιθυμοῦσι λαβεῖν, καὶ βουλευταὶ

ινέσθωσαν· εἰ δέ τινες μὲν ἕλοιντο, τινὲς δὲ παραιτή-
οιντο, ἐπὶ τοὺς αἱρουμένους τὰ τῶν παραιτουμένων ἐρχέ-
θω μέρη· εἰ δὲ ἅπαντες ἀπείποιεν, τηνικαῦτα ὡς ἀπαιδίας
ούσης οὕτως ἐπὶ τὴν βουλὴν ἐρχέσθω τὸ ἐνναούγκιον.

β'. Εἰ δὲ ὁ μὲν σιγήσειε, παίδων δὲ αὐτῷ γνησίων
ὐκ εἴη σπορά, τηνικαῦτα τὸ μὲν τέταρτον ἐπὶ τοὺς ἐξ
ἀδιαθέτου κληρονόμους ἐρχέσθω, οἱ παῖδες δὲ οἱ νόθοι, εἰ
βούλονται ἑαυτοὺς ἐπιδοῦναι τῷ βουλευτηρίῳ, προσδεχέ-
σθωσαν καθάπερ ἂν θελήσειαν, εἴτε πάντες εἴτε τινὲς ἐξ
αὐτῶν, πάντως τοῦ ἐνναουγκίου τῆς περιουσίας εἰς τοὺς
βουλεύοντας ἢ τὸν βουλεύοντα περιισταμένου. [§. 1.] εἰ δὲ
καὶ ἐκ δούλης αὐτῷ τεχθέντες εἶεν, εἶτα αὐτοὺς ἐλευθερώ-
σειεν ἢ περιὼν ἢ ἐν τῇ διαθήκῃ καὶ ἐπιδοίη τούτους, καὶ
οὕτως προσδεχέσθωσαν καὶ ἔστωσαν βουλευταί, καθάπερ ὁ
διαθέμενος ἠβουλήθη ἢ καθάπερ ἡ αὐτῶν ἐπιθυμία πεποίη-
κεν ἐπιδόντων ἑαυτοὺς τῇ βουλῇ, ληψόμενοι καθάπερ εἴρη-
ται τὸ ἐνναούγκιον. πανταχοῦ γὰρ βουλόμεθα, κἂν εἰ
διάθοιτο κἂν εἰ μὴ βουλευσάμενος ἀπέλθοι, τοὺς εἰς τὴν
βουλὴν ἐρχομένους τὸ ἐνναούγκιον λαμβάνειν. εἰ δὲ ἐλευθε-
ρώσει μὲν μόνον, οὐ μὴν ἐπιδοίη, καὶ οὗτοι βούλονται ἢ
τις ἤ τινες ἐξ αὐτῶν πρὸς τὸ βουλευτήριον ἰδεῖν, κἀκεῖσε
τὸ ἐνναούγκιον τῷ βουλεύοντι ἢ τοῖς βουλεύουσι κατὰ τὴν
ἀναλογίαν διδόσθω. εἰ δὲ μηδεὶς τῶν νόθων ἢ βουληθείη
ἢ ἐπιδοθείη, τηνικαῦτα τὸ ἐνναούγκιον ἡ βουλὴ λαμ-
βανέτω.

γ'. Εἰ δὲ γνησίων εἴη παίδων πατήρ, ἐνταῦθα τὸ
πρᾶγμα διακριτέον εἴτε μόνων ἀῤῥένων εἴτε μόνων θηλειῶν
εἴτε μεμιγμένης γονῆς, ὥστε τὸν νόμον πανταχόθεν ἔχειν τὸ
τέλειον καὶ τὸ τῇ βουλῇ συμφέρον. εἰ μὲν οὖν ἄῤῥενες
αὐτῷ μόνοι καθεστήκοιεν παῖδες ἢ ἔγγονοι τυχὸν ἄῤῥενες
ἐκ προτελευτησάντων υἱῶν, τὸ ἐνναούγκιον εἰς πάντας κα-
θάπερ ἂν βουληθείη μεριζέτω, οὕτω μέντοι ὥστε κατὰ μηδὲν
ἐλαττωθῆναι τὸν νόμον τὸν περὶ τῶν ἀκαθηκουσῶν διαλεγό-

μενον διαθηκῶν, πλὴν εἰ μὴ τρόπος ἀχαριστίας τοῦτο ποιήσειεν· οὐδὲ γὰρ τὰ ἐπὶ τούτοις τεθειμένα νόμιμα παντελῶς ἀναιροῦμεν. ἐκείνου μέντοι πάντως φυλαττομένου, ὥστε τὸ ἐνναούγκιον πρὸς τοὺς μὴ ἀχαρίστους παῖδας μερίζειν, καὶ κατὰ τοσοῦτον ἕκαστον ὑπεισιέναι τὰ βουλευτικὰ τοῦ πατρὸς λειτουργήματα, καθ' ὅσον αὐτοῖς ὁ πατὴρ διένειμε τὴν οὐσίαν, τοῦ τριουγκίου μόνου τῇ τοῦ πατρὸς καταλιμπανομένου γνώμῃ, ἔνθα ἂν αὐτὸ παραχωρῆσαι βούληται, εἴτε πρὸς τοὺς παῖδας εἴτε καὶ πρὸς ἕτερον.

δ'. Εἰ δὲ πᾶσαι θήλειαι καθεστήκοιεν, εἰ μὲν αὐτῆς τῆς[6a]) πόλεως γαμηθεῖεν βουλευταῖς, ἄδεια ἔσται τῷ πατρὶ εἴπερ γεγαμημέναι τυγχάνοιεν ὡς εἴρηται βουλευταῖς, διαιρεῖν εἰς αὐτὰς τὴν ὅλην οὐσίαν ἢ πάντως γοῦν τὸ ἐνναούγκιον καθάπερ ἂν βουληθείη, τῷ νόμῳ κἀνταῦθα προσέχων τῷ τὰ ἐξ ἀδιαθέτου τάττοντι. εἰ δὲ αἱ μὲν ἐξ αὐτῶν γεγάμηνται βουλευταῖς, αἱ δὲ οὐχὶ τοιούτοις, τὸ μὲν ἐνναούγκιον πάντως καταλιμπανέσθω παρὰ τοῦ πατρὸς ταῖς τῶν βουλευτῶν γυναιξὶ, διαιρούμενον κἀνταῦθα καθάπερ ὁ πατὴρ βουληθείη, τὸ δὲ λειπόμενον εἰς τὰς μὴ βουλευταῖς τῆς αὐτοῦ πατρίδος γαμηθείσας ἢ καὶ εἰς ἑτέρους, δηλαδὴ τῆς νομίμου μοίρας κἀκείναις πάντως ἀποσωζομένης. εἰ δὲ μήπω γάμων ἔτυχον, τηνικαῦτα ἐπὶ τούτῳ τῷ ὅρῳ γράφειν αὐτὰς ἤ τινα ἤ τινας ἐξ αὐτῶν εἰς τὸ ἐνναούγκιον κληρονόμους, ἐφ' ᾧ πάντως γαμηθῆναι τῆς αὐτῆς πόλεως βουλευταῖς· ἢ εἰ μὴ τοῦτο βούλεται αὐτὸς, ἢ αὐτὸς μὲν γράψειεν αἱ δὲ οὐκ ἀνάσχοιντο, τὸ μὲν ἐνναούγκιον ἐπὶ τὸ βουλευτήριον τῆς πόλεως ἐρχέσθω, τὸ δὲ τριούγκιον μόνον εἰς τὰς πάσας καθ' ὅνπερ ὁ νόμος βούλεται μεριζέσθω τρόπον, ἐν λόγῳ καὶ τῶν προικῶν αὐταῖς γινομένων.

ε'. Εἰ δὲ ἄῤῥενές τε καὶ θήλειαι καθεστήκοιεν, οἱ μὲν ἄῤῥενες πάντως τὴν ἡμίσειαν ἐχέτωσαν μοῖραν τῆς περιου-

6a) τῆς αὐτῆς?

σίας, αἱ δὲ θήλειαι τὴν λειπομένην ἡμίσειαν· οὐ τελείαν μέντοι· δώσουσι γὰρ αὗται τὸ τέταρτον τοῖς βουλεύουσιν ἀδελφοῖς, πλὴν εἰ μὴ βουλευτῶν εἶεν γαμεταὶ πᾶσαι ἤ τινες ἐξ αὐτῶν. εἰ γὰρ εἰς τοιούτους ἔλθοιεν γάμους καὶ βουλευταῖς τῆς οἰκείας πατρίδος ζευχθεῖεν, τηνικαῦτα ἐλευθερωθήσονται τῆς τετάρτης μοίρας, οἷα δοκοῦσαι καὶ αὐταὶ διὰ τῶν ἀνδρῶν ἕως περίεισι μετέχειν τοῦ λειτουργήματος. ταῦτα ἡμεῖς νομοθετῆσαι δεῖν ᾠήθημεν, οὐχ ὥστε ἀφελέσθαι τοὺς ἀνθρώπους τῆς τῶν οἰκείων διοικήσεως, ἀλλ' ὥστε τὰς πόλεις μὴ τελείως ἐξερημωθῆναι βουλῆς, μηδὲ περινοίαις τισὶν ἴσως καὶ ἀσεβέσιν ἐλαττοῦσθαι τὰ βουλευτήρια. τοιγαροῦν ἐμάθομέν τινας καὶ ἀπηγορευμένους τῷ νόμῳ συναλλάττειν γάμους, ὥστε ἐντεῦθεν μὴ γνησίους, ἀλλὰ νόθους αὐτοῖς τίκτεσθαι παῖδας, κἀκείνοις δῆθεν ὡς ἐξωτικοῖς καταλιμπάνειν, καὶ οὕτως ἀποστερεῖν τὴν βουλὴν τῆς ὀφειλομένης αὐτῇ περιουσίας.

ς'. Κἀκεῖνό γε μὴν ἐξ αὐτῆς εὑρόντες τῆς πείρας ὡς κατὰ τῶν βουλευτηρίων γίνεται, καὶ πολλοὶ δῆθεν λέγοντες ἢ ταμειακῆς ἢ κωμητικῆς ἢ κογχυλευτικῆς ἢ ἄλλης καθεστάναι καταστάσεως τὸν ἕτερον τῶν αὐτῶν γονέων πειρῶνται προσνέμειν ἑαυτοὺς ἢ ταῖς ταμειακαῖς ἢ ταῖς κωμητικαῖς ἢ κογχυλευτικαῖς ἢ ἑτέραις οἱαισδήποτε τύχαις καὶ τὸ βουλευτήριον ἐκκλίνειν· θεσπίζομεν τοίνυν μηδεμίαν εἶναι τοιαύτην τέχνην[7]) κατὰ τοῦ δημοσίου, ἀλλὰ πάντως, εἴτε ἐκ ταμειακῆς μητρὸς εἴτε ἐκ κογχυλευτικῆς εἴτε ἐκ κωμητικῆς γεννηθείη παῖς βουλευτῇ, τὴν βουλευτικὴν τύχην κρατεῖν βουλόμεθα. βουλευταὶ μὲν γὰρ ἐλάχιστοι πανταχόσε τῆς ἡμετέρας εἰσὶ πολιτείας[8]), ταμειακοὶ δὲ καὶ κωμῆται καὶ κογχυλευταὶ εἰς πλῆθος ἐκκεχυμένοι καθεστᾶσι, καὶ προσῆκόν ἐστι μᾶλλον τὰ βουλευτήρια τῶν πόλεων αὔξεσθαι ἐν ὀλίγοις σώμασι στενοχωρηθέντα, ἢ πλῆθος πλήθει προσθεῖναι. εἰ δέ τινες

7) Hal. *τύχην*. 8) *πολιτ.* deest in Ven.

ὀνόματι τῆς οἰκείας μητρὸς ὡς ταμειακῆς ἢ κογχυλευτικῆς ἢ κωμητικῆς τύχης οὔσης ἑαυτοὺς ἐξελεῖν τῆς βουλευτικῆς ἐπειράθησαν ἢ καὶ πειραθεῖεν τύχης, ἀπὸ τῆς ἄρτι διελθούσης decimae[9]) ἐπινεμήσεως καὶ αὐτῆς τὰ κατὰ τοῦτον πραχθέντα τὸν τρόπον εἴτε ἐκ τῆς θείας αὐλῆς εἴτε ἀλλαχόθεν ἀργὰ καὶ ἀνίσχυρα ἔστω, καὶ τοὺς τοιούτους βουλευτὰς τὸ λοιπὸν εἶναι θεσπίζομεν. εἰ γάρ τι πέπρακται πρὸ τῆς δεκάτης ἐπινεμήσεως, τοῦτο βεβαίως καὶ ἐπὶ τῆς ἰσχύος τῆς ἑαυτοῦ μένειν βουλόμεθα.

Ἐξαιροῦμεν δὲ τῆς παρούσης ἡμῶν θείας διατάξεως Θεοδόσιον καὶ τοὺς αὐτοῦ ἀδελφοὺς, καὶ τοὺς υἱοὺς Ἰωάννου τοῦ ἐπίκλην Ξίσκων[10]), οἵπερ ἑαυτοὺς εἰς ταμειακὴν καίτοι βουλευτῶν ὄντες πατέρων ἔγραψαν τύχην πρὸ τῆς δεκάτης ἐπινεμήσεως, καὶ πᾶν εἴ τι γέγονεν ἐπ' ἐλευθερίᾳ τούτων ἀναιροῦμεν. οὐδενὸς γὰρ αὐτοὺς ἀπολαύειν τῶν πεπορισμένων βουλόμεθα, ἀλλὰ βουλευτὰς εἶναι καὶ τὰ βουλευτῶν πράττειν καὶ τοῖς λειτουργήμασι τοῖς βουλευτικοῖς προσέχειν, οὐδενὸς καθάπερ εἰπόντες ἔφθημεν βοηθεῖν αὐτοῖς πρὸς τοῦτο δυναμένου, κἂν εἴ τι πεπορισμένον[11]) αὐτοῖς εἴτε ἐκ τῆς αὐλῆς εἴτε ἄλλοθεν εἴη.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ ἐπ' ὠφελείᾳ τῶν πόλεων καὶ τῶν βουλευτηρίων δόξαντα καὶ τῷδε τῷ θείῳ δηλούμενα νόμῳ ἡ σὴ ὑπεροχὴ καὶ φυλάττειν καὶ ἔργῳ παραδιδόναι σπευδέτω, ποινῆς ἐπικειμένης viginti librarum auri κατὰ τῶν τόνδε ἡμῶν τὸν νόμον παραβαίνειν θαῤῥούντων. Dat. XV. K.[12]) Mar. CP. post. cons. Bilisarii V. C.[13])

9) Ven. supra lineam ἤτοι δεκάτης. Sed omnino legendum *undecimae*. Vide prooem. §. 3 et Athan. 10) Hal. Ἐξίσκων. 11) Ven. περιωρισμένον. Hal. in notis τῶν πεπορισμένων. 12) Ita Ven. et plerique Codices Authentici. Unus tamen Kal., ut et Athan. πρὸ ε' καλ. μαρτίων. 13) Ven. et Auth. „Belisario v. c. consule" constitutionem datam esse volunt, sed Iulian. Athan. Theod. rectius post cons. Belisarii scribunt. dies enim XV vel V Kal. Mart. p. c. Belisarii incidit in ind.

uth. 18. XLII. Nov. 18.

Exemplar latinum ad Salomonem PP. Africae (XV?) Kal. April. directum, cuius meminit const. LXXXVI c. 1 §. 2 ad nos non pervenit. Recepta sunt c. 1—4 in Bas. XLI, 4, 2 — c. 6 in Bas. XLI, 7, 37 — c. 7 in Bas. XXXV, 20, 1 et schol. 1 ad Bas. XXIII, 1, 62 — c. 8. 9 in Bas. XXIII, 1, 62 cum schol. 1, nec non schol. y ad Bas. XII, 1, 65 et schol. 1 ad Bas. XXII, 1, 75 — c. 10 in Bas. L, 11, 13 — c. 11 in Bas. XXXII, 1, 2. Summas praestant Iulian. c. 34, Athan. IX, 2 (unde Proch. 16, 12. 13 et Epanag. 28, 13. 14, 15 hauserunt), Theod. Nov. 18 (ex quo nonnulla habet Epit. 15, 38. 18, 31), denique incertus epitomator c. 8 in Ἀνεκδότοις meis p. 212, et c. 11 in App. Ecl. III.

Ὥστε τὴν νόμιμον μοῖραν τῶν παίδων εἶναι εἰ μέχρι μὲν τεσσάρων εἴησαν οἱ παῖδες οὐγκίας δ', εἰ δὲ ὑπὲρ τοὺς τέσσαρας εἰσὶν οἱ παῖδες οὐγκίας ϛ'. καὶ ὅτι ἐξ ἀδιαθέτου οἱ φυσικοὶ παῖδες γνησίας μὴ ὑπούσης γονῆς δύο οὐγκίας λαμβάνουσι σὺν τῇ μητρί. καὶ ὅτι καὶ ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου ἁρμόττει ἡ συνεισφορά, εἰ μὴ κωλύσειε ῥητῶς ὁ τεστάτωρ. καὶ περὶ διαιρέσεως γινομένης ἀπὸ γονέων εἰς παῖδας, καὶ περὶ τοῦ ἀρνουμένου τὴν ἰδίαν συγγραφήν, καὶ περὶ ἑτέρων κεφαλαίων.[1])

Imp. Iustinianὸς Αὔγουστος Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἤδη μὲν τῇ μεγάλῃ ταύτῃ καὶ ὡς ἄν τις εἴποι καλῶς παρὰ θεοῦ συστάσῃ πολιτείᾳ, τῇ Ῥωμαίων φαμέν, πολλὰ

XIV, eaque datam esse constitutionem Athanasius demonstrat, dum scribit: σῆ. ὅτι ἐπὶ τῆς ιδ' ἐπινεμήσεως μετὰ τὴν ὑπατείαν βελισαρίου ἐκφωνηθεῖσα ἡ διάταξις εἰς τὴν ια' ἐπινέμησιν τὴν οἰκείαν ἀνάγει νομοθεσίαν (sc. prooem. §. 3 in fine). Quod in subscriptione Iulian. Ath. Theod. addunt ind. XI, id aut mutandum est in ind. XIV, aut explicandum ex eo quod imperatori placuerat sanctionem ad ind. XI retrotrahere.

1) Ven. καὶ π. ἑτ. κεφ. καὶ π. τοῦ ἀρνουμ. κτλ.

ὀνόματι τῆς οἰκείας μητρὸς ὡς το· ..ι μεστὰ τὰ τῶν ν
ἢ κωμητικῆς τύχης οὔσης ἑαυτ·. καὶ οὐ μόνον οἱ τ
ἐπειράθησαν ἢ καὶ πειραθεῖ ..δὲ ἡ τῶν εὐσεβῶν μονά
θούσης decimae[2]) ἐκεινῳ ..η τῶν πρὸ ἡμῶν αὐτοκρα
πραχθέντα τὸν τρόπον ..βέβληνται περὶ τούτου νομοϑ
χόθεν ἀργὰ καὶ ἄν ..ντες ἀεὶ, καὶ ὅπως ἂν ἀρεστοί τε
τὰς τὸ λοιπὸν. εἰ ..τῶν εἰς ἡμᾶς ἀγαθῶν ἄξιον πράτι
τῆς δεκάτης ..προσεξευρίσκειν ἀεὶ τῇ φύσει τε ἀκόλ
τῆς ἑαυτοῦ ..ἐπανορθούμενον. πολλάκις τοίνυν καὶ

Ἐτ ..μεν, ἀνθ' ὅτου τοῖς γνησίοις καὶ εὐγ
Θεοῦ ..οἷς ἔχουσι χάριν οἱ γονεῖς τὸ καταλιμπανόμε
νο ..χρέος καλοῦσι) μόνον τριούγκιον ὥρισαν ἐξ ἀ
..καταλιμπάνεσθαι, τὸ λοιπὸν δὲ ἐν τῇ γνώμῃ τῶν
ἀπόκειται, καὶ λήψονται μὲν καὶ συγγενεῖς ἅπαντες
οἵ γε ἔξωθεν καὶ μετ' ἐλευθερίας οἰκέται, οἱ παῖδες
καὶ πολλοὶ καθεστήκοιεν, εἰ καὶ μηδὲν προσκρούοιε
γονεῦσι, καταιδοῦνται[3]) καὶ τὸ τριούγκιον διαιρῇ
μόνον, κἂν εἰ δέκα τυχὸν κἂν εἰ πλείους εἶεν, καὶ π
ἔσονται παῖδες πατρὸς ἕως ἔζη πλουτοῦντος.

α΄.[4]) Ταῦτα ἡμᾶς ἐκίνησεν ἐπανορθῶσαι τὸν
καὶ μὴ περιϊδεῖν αὐτὸν μέχρι παντὸς ἐρυθριῶντα,
τοιούτῳ διορίσαι τὸ πρᾶγμα τρόπῳ, ὥστε εἰ μὲν ἑνό
παιδὸς πατὴρ ἢ μήτηρ ἢ δυοῖν ἢ τριῶν ἢ τεσσάρω
τριούγκιον αὐτοῖς καταλιμπάνειν μόνον, ἀλλὰ τὴν τρίτ
ἑαυτοῦ περιουσίας, τουτέστιν οὐγκίας τέσσαρας, καὶ
εἶναι τὸ διωρισμένον μέτρον ἄχρι τοῦ ῥηθέντος ἀρ
εἰ δὲ ὑπὲρ τοὺς τέσσαρας ἔχει παῖδας, τὴν ἡμίσειο
πάσης περιουσίας αὐτοῖς καταλιμπάνεσθαι μοῖραν,
ἑξαούγκιον εἶναι πάντως τὸ ὀφειλόμενον, ἑκάστου και
τὸ τετραούγκιον τυχὸν ἢ τὸ ἑξαούγκιον διαιρουμένου.[4]

2) Hal. et Auth. ἅπαντα. 3) Ven. κατευδοῦνται.
in marg. περὶ τοῦ φαλκιδίου. 4[a]) ἑκάστῳ — διαιρούμεν

οῦτο οὐκ ἐν ἀδίκῳ περιστάσει πραγμάτων (εἰκὸς γὰρ κἀνταῦθα τοὺς ἄλλους ἀδικηθῆναι, τῶν μὲν τὰ καλλίονα τῶν ὲ τὰ χείρονα λαμβανόντων), ἀλλὰ τοῦτο δὴ τὸ ἐπιβάλλον κάστῳ διὰ πάντων ἴσον εἶναι ἐν ποιότητί τε καὶ ποσότητι, ἴτε τὶς αὐτὸ κατὰ τρόπον ἐνστάσεως εἴτε κατὰ πρεσβείου ταὐτὸν δέ ἐστιν εἰπεῖν καὶ φιδεϊκομμίσσου) καταλιμπάνει τρόφασιν. πάρεστι γὰρ αὐτῷ τὸ λοιπὸν, ὀκταούγκιον τυχὸν ἢ ἑξαούγκιον, ἔχειν καὶ φιλοτιμεῖσθαι καθ' ὅσον ἂν βουληθείη ἢ τοῖς παισὶν αὐτοῖς ἤ τισι τῶν ἔξωθεν, καὶ τῆς φύσεως πρότερον θεραπευθείσης τὰ εἰκότα, οὕτως ἐπὶ τὰς ἔξω φιλοτιμίας χωρεῖν. τούτου κρατοῦντος ἐφ' ἁπάντων τῶν προσώπων, ἐφ' ὧν ἐξ ἀρχῆς ὁ τοῦ πάλαι τετάρτου τῆς δε ἰνοφφικιόσο[5]) νενομοθέτηται λόγος.

β'. Ἐξῃρήσθω δὲ ἡμῖν ὁ περὶ τῶν βουλευτῶν ἀρτίως τεθειμένος νόμος[6]), ὃς τοῖς παισὶ τοῖς βουλευταῖς ἢ καὶ ταῖς βουλευταῖς γεγαμημέναις θυγατράσιν ἐνναούγκιον πάντως δίδοσθαι βούλεται, τοῦ λοιποῦ τριουγκίου παρὰ τῶν γονέων κατ' ἐξουσίαν διοικουμένου. πάντων τῶν ἄλλων τῶν περὶ τῆς δε ἰνοφφικιόσο κειμένων νόμων καὶ μάλιστα τῶν ἡμετέρων ἐπὶ τῆς ἑαυτῶν φυλαττομένων ἰσχύος ἐπί τε τῶν ἀχαρίστων παίδων ἐπί τε τῶν μὴ τοιούτων, πλὴν κατὰ μόνον τὸ ποσὸν, ὅπερ κατὰ τὸ παρὸν ηὐξήσαμεν κατὰ πάντας τοὺς προκειμένους ὅρους.

γ'. Κωλύομεν δὲ κἀκεῖνο, βαρύ τε ὂν καὶ ἔχον μέν τινα νόμιμον ἀφορμὴν, εἰς δεινὴν δὲ ἐμπίπτον ἀπήνειάν τε καὶ πικρίαν. ἴσμεν γάρ τινας διαθήκας, καθ' ἃς οἱ τελευτῶντες οὐ πατρικῶς οὐδὲ ὡς ἄνδρας ἐχρῆν, ἀλλὰ σφόδρα μαλθακῶς καὶ ὑποκεκλιμένως ἐποιήσαντο τὰς ἐνστάσεις. ταῖς μὲν γὰρ γυναιξὶ πάντα κατέλιπον τῶν ἑαυτῶν πραγμάτων τὸν οὐσούφρουκτον[7]), τοῖς δὲ παισὶ τὴν δεσποτείαν γυμνὴν,

5) Ven. supra lineam τῆς μέμψεως. 6) Const. XLI.
7) Ven. supra lineam ἤτοι πᾶσαν τὴν χρῆσιν.

ὥστε οἶμαι σπούδασμα εἶναι τῆς τοιαύτης διαθήκης τὸ τὴν γυναῖκα καὶ τὴν δεσποτείαν προσλαβεῖν τῶν παίδων ἴσως λιμῷ φθειρομένων. πόθεν γὰρ ἂν ἐν μέσῳ καὶ διοικοῖντο καὶ τὴν ἐφήμερον ἔχοιεν δίαιταν οὐδενὸς αὐτοῖς καταλελειμμένου, γυναικείας ὀργῆς ἴσως καὶ ἀλόγου παρεμπιπτούσης, ἥτις αὐτῶν καὶ τὴν καθ' ἡμέραν ἀφαιρεῖται διοίκησιν; οὐκ ἐξέσται τοίνυν τὸ λοιπὸν οὐδενὶ[8]) παντελῶς παῖδας ἔχοντι τοιοῦτό τι πράττειν, ἀλλὰ πάντως αὐτοῖς τοῦ νομίμου τούτου μέρους, ὅπερ νῦν ἀφωρίσαμεν, καὶ τὴν χρῆσιν καὶ τὴν ἐπικαρπίαν πρὸς τῇ δεσποτείᾳ καταλιμπανέτω, εἰ βούλεται παίδων οὐκ εὐθὺς λιμῷ τελευτώντων ἀλλὰ καὶ ζῆν δυναμένων καλεῖσθαι πατήρ. καὶ ταῦτα πάντα φαμὲν οὐκ ἐπὶ πατρὸς μόνου, ἀλλὰ καὶ μητρὸς καὶ πάππου καὶ προπάππου, καὶ τῶν παρεζευγμένων ἑκάστῳ θηλέων προσώπων, μάμμης φαμὲν καὶ προμάμμης, εἴτε πρὸς πατρὸς εἴτε πρὸς μητρὸς εἶεν.

δ'. Οὐδὲ ἐκείνου φυλαττομένου τὸ λοιπὸν ἐπὶ τοῖς ἐγγόνοις καὶ προεγγόνοις, τοῖς οὐχὶ καὶ suois[9]) καὶ ὑπεξουσίοις, ὥστε παρὰ τὸ τρίτον ἔχειν αὐτοὺς τῆς μοίρας, ἣν τοῖς αὐτῶν γονεῦσιν περιοῦσιν ἔδει καταλιπεῖν τοὺς διαθεμένους. οὐ γὰρ ἐξαιροῦμεν ἔτι τοὺς ἐγγόνους τοὺς ἀπὸ παιδὸς τοῦ πρὸς πατρὸς πάππου[10]) γενομένους, ὥστε ἐκείνους μὲν τέλειον λαμβάνειν τὸ μέρος, ὅσον ἂν ὁ αὐτῶν πατὴρ ἔλαβεν περιών, τοὺς δὲ ἐγγόνους τοὺς ἀπὸ τοῦ πάππου διὰ μέσης θυγατρὸς γενομένους ἢ τοὺς ἀπὸ τῆς μάμμης πρὸς πατρὸς ἢ πρὸς μητρὸς παρὰ τὸ τρίτον λαμβάνειν, ἀλλὰ μίαν τάξιν ἐφ' ἅπασι τίθεμεν ἐγγόνοις καὶ προεγγόνοις, οὐκ ἀνεχόμενοι τὸ θῆλυ τοῦ ἄῤῥενος ἐν τοῖς τοιούτοις ἐλαττοῦν. οὐδὲ γὰρ τὸ ἄῤῥεν αὐτὸ καθ' αὐτὸ οὐδὲ τὸ θῆλυ μόνον πρὸς τεκνογονίαν αὔταρκες, ἀλλ' ὥσπερ ἑκάτε-

8) Hal. τοῦ λοιποῦ μηδενί. 9) Ven. supra lineam ἤτοι γνησίοις. 10) Ven. τοῖς π. π. πάπποις.

ον συνήρμοσεν ὁ θεὸς πρὸς τὴν τῆς γενεσιουργίας χρείαν, οὕτω καὶ ἡμεῖς τὴν αὐτὴν ἑκατέρῳ φυλάττομεν ἰσότητα. §. 1.] ἀλλ' οὐδὲ μέχρι τούτου στήσομεν τὸν νόμον. ταῦτα γάρ φαμεν καὶ ἐπ' ἐκείνων τῶν παίδων, οἵπερ ἐκ γάμων εἰσὶ γνησίων, εἰ καὶ μὴ προῖκες τοῖς γάμοις ἀκολουθήσαιεν, ἀλλὰ διάθεσις ὡμολογημένη καὶ σαφὴς μεταξὺ τῶν συνοικούντων οὖσα τοῖς παισὶ διδοίη τὸ γνήσιον. προῖκα μὲν γὰρ ἀποτελεῖ γάμος, γάμον δὲ προῖκες οὐ ποιοῦσιν, ἀλλ' ἡ τῶν συνοικούντων ἀμοιβαία διάθεσις. ταὐτὸ δὲ κρατείτω καὶ ἐπὶ τῶν ἐκ μεταγενεστέρας διαθέσεως μετὰ προικῴων κατὰ τὰς ἡμετέρας διατάξεις[11]) γενομένων γνησίων. καὶ οὗτος μὲν ἔστω νόμος ταῖς γνησίαις γοναῖς.

ε'. Βλέψωμεν δὲ δή τι καὶ πρὸς μόνην τὴν φύσιν φιλάνθρωπον. πολλοὶ γὰρ ἐνοχλοῦσιν ἡμᾶς ἀεὶ καὶ ἱκετεῖαι συχναὶ καὶ δακρύοντες παῖδες· καὶ ἀεὶ μέν τι φιλάνθρωπον ὁρίζομεν, ἀλλ' ὅτι μὴ μετὰ νόμου τοῦτο πράττομεν ἐρυθριῶμεν, ὥστε τῷ πράγματι καὶ νόμον προσθέντες αὐτοὶ μὲν ὄχλους ἀποσεισόμεθα, δώσομεν δὲ ἅπασιν ἔχειν τὴν ἐκ τοῦ νόμου βοήθειαν. ὅτι μὲν γὰρ διαθέσθαι τοῖς τῶν φυσικῶν παίδων πατράσι καὶ ἐπ' αὐτοῖς δεδώκαμεν γνησίας μὲν ὑπούσης γονῆς ἄχρι μιᾶς μόνης οὐγκίας, ἣν ἕξουσιν ἅμα τῇ μητρὶ (τοῦτο ὅπερ καὶ ἔμπροσθεν ἦν), παίδων δὲ οὐκ ὄντων γνησίων καὶ μέχρι τοῦ ἡμίσεος τῆς περιουσίας ὅλης, τοῦτο λέγουσιν οἱ παρ' ἡμῶν τεθειμένοι νόμοι[12]), οὐκ ἐν διαθήκῃ μόνον τοῖς πατράσιν ἐφιέντες τοῦτο πράττειν, ἀλλὰ κἂν ταῖς ἄλλαις φιλοτιμίαις ἃς καὶ περιόντες δωροῦνται. τὸ δὲ δὴ παρὸν περὶ τῶν ἐξ ἀδιαθέτου τὶ διαλέξεται καὶ ἐκ καινῆς ὑφηγήσεται νῦν. εἰ[13]) γάρ τις τελευτῶν γνησίας αὐτῷ παντελῶς γονῆς οὐχ ὑπούσης, παίδων φαμὲν ἢ ἐγ-

11) l. 10 C. de natural. lib. 5, 27. Const. XXII c. 4.
12) l. 2. 8 C. de natural. lib. 5, 27. 13) Haec periodus *εἰ γάρ τις — κατὰ τοῦτο τίθεμεν νόμον* recurrit in const. CXI c. 12 §. 4. 5.

γόνων ἢ τῆς ἐφεξῆς διαδοχῆς, οὐδὲ νομίμου γαμετῆς, εἶτα τελευτήσειε μὴ διαθέμενος τὴν οὐσίαν, καὶ ἀφίκοιτο συγγένεια τυχὸν ἢ καὶ ἐλευθερωτὴς ἴσως τὴν διακατοχὴν κατασείων τε καὶ ἐπανατεινόμενος, ἢ καὶ τὸ ἡμέτερον ταμεῖον (οὐδὲ γὰρ ἐκείνου τό γε ἐπὶ τούτου φειδόμεθα), εἴη δὲ αὐτῷ κατὰ τὸν οἶκον ἕως περιῆν ἐλευθέρα τε γυνὴ ἐν παλλακῆς σχήματι συνοῦσα καὶ παῖδες ἐξ αὐτῆς (τοῖς γὰρ τοιούτοις μόνοις ταῦτα νομοθετοῦμεν, ἔνθα παντελῶς ἀναμφισβήτητός ἐστιν ἥ τε τῆς παλλακῆς κατὰ τὸν οἶκον σχέσις, ἥ τε τῶν νόθων ἐκεῖσε γονή τε καὶ τροφή), δίδομεν αὐτοῖς καὶ ἀδιαθέτων τῶν γονέων τελευτώντων δύο τῆς πατρῴας οὐσίας ἔχειν οὐγκίας ἅμα τῇ μητρὶ μεριζομένας, ὁπόσοιπερ ἂν εἶεν οἱ παῖδες, ὥστε ἑνὸς παιδὸς πρὸς ἀναλογίαν καὶ τὴν μητέρα λαμβάνειν. καὶ ταῦτά φαμεν, εἰ μιᾷ παλλακῇ συνοικοίη καὶ παῖδας ἐξ ἐκείνης σχοίη, ἢ καὶ προαπελθούσης τῆς παλλακῆς θανάτῳ τυχὸν ἢ χωρισμῷ οἱ παῖδες αὐτῷ κατὰ τὴν οἰκίαν εἶεν· τότε γὰρ δίδομεν αὐτοῖς τὴν ἐξ ἀδιαθέτου πρὸς τὸ διούγκιον κλῆσιν. εἰ δὲ ἐκκεχυμένα τὰ τῆς ἐπιθυμίας αὐτῷ γίνοιτο, καὶ ἄλλας ἐπ' ἄλλαις ἐπεισαγάγοι τῇ προτέρᾳ παλλακὰς καὶ πλῆθος ἔχοι γυναικῶν πορνευομένων (οὕτω γὰρ εἰπεῖν κάλλιον), καὶ ἐξ αὐτῶν παιδοποιούμενος τελευτήσειε πολλὰς ὁμοῦ καταλιπὼν παλλακάς, μισητὸς μὲν ἡμῖν ὁ τοιοῦτος, πόῤῥω δὲ τοῦδε τοῦ νόμου καθάπαξ ἀπελαυνέσθω. ὥσπερ γὰρ εἴ τις νομίμῃ συνοικοίη γυναικί, ἄλλας ἐπεισαγαγεῖν οὐκ ἂν δύναιτο τοῦ συνοικεσίου συνεστῶτος καὶ ἐξ αὐτῶν νομίμως παιδοποιεῖσθαι, οὕτως οὐδὲ μετὰ τὴν γνωριζομένην τῷ νόμῳ καθ' ὃν εἰρήκαμεν τρόπον παλλακὴν καὶ τοὺς ἐξ ἐκείνης παῖδας δώσομεν, εἰ καί τι πάρεργον ἡδονῆς ἄλλο ποιήσαιτο, καὶ τοῦτο εἰς τὴν διαδοχὴν εἰσάγεσθαι τὴν αὐτοῦ, εἰ τελευτήσειεν ἀδιάθετος. εἰ γὰρ μὴ τοῦτο νομοθετήσαιμεν, ἀδιάκριτα μὲν ἔσται τὰ τῶν γυναικῶν, τίνος μᾶλλον ἢ τίνος ἔλαττον ἐρᾷ, ἀδιάκριτα δὲ τὰ τῶν παίδων. καὶ ἡμεῖς οὐ δίδομεν τοῖς ἀσελγαίνουσιν, ἀλλὰ τοῖς σωφρο-

'οῦσι τὸ νόμιμον. οὐ διαφερόμεθα δὲ περὶ τῶν παίδων, ἴτε ἄῤῥενες εἴτε θήλειαι καθεστήκοιεν· ὥσπερ γὰρ ἡ φύσις οὐδὲν περὶ τὰ τοιαῦτα τεχνολογεῖ, οὕτως οὐδὲ ἡμεῖς ἄλλον ἐπ' ἀῤῥένων καὶ ἄλλον ἐπὶ θηλειῶν κατὰ τοῦτο τίθεμεν νόμον. κρατήσει δὲ καὶ οὗτος ὁ νόμος ἡμῖν ἐπὶ τοῖς ἐφεξῆς, καὶ μάλιστα πάντων οὗτος· ἐπειδὴ γὰρ παρὰ τὸ κεκρατηκὸς οὐκ ὀρθῶς ἄνωθεν πολλά τε ἐπηνώρθωσε καὶ εἰσηγήσατο, τὸ[14]) προειληφὸς οὐκ ἂν ἐκ τοῦ μήπω γεγονότος κανονίζοιτο. ταῦτα ἡμῖν περὶ τῶν εἰρημένων διαδοχῶν νενομοθετήσθω.

ς'.[15]) Κἀκεῖνο δὲ καλῶς ᾠήθημεν τῷδε περιλαβεῖν τῷ νόμῳ. τῶν γὰρ ἔμπροσθεν νόμων βουλομένων ἐπὶ τῶν συνεισφορῶν, εἰ μὲν διαθήκης χωρὶς τελευτήσαιεν οἱ γονεῖς, τὰς συνεισφορὰς κατὰ τὴν αὐτῶν δύναμιν γίνεσθαι, εἰ δὲ ἐπὶ διαθήκαις[16]) μηδὲν εἰπόντες περὶ αὐτῶν, μὴ χώραν ταῖς συνεισφοραῖς γίνεσθαι, ἀλλὰ καὶ τὰ πράγματα ἔχειν τὰ κατὰ προῖκα τυχὸν ἢ καθ' ἕτερον τρόπον διδόμενα[17]) καὶ τῶν καταλελειμμένων ἀντιλαμβάνεσθαι· ἡμεῖς θεσπίζομεν, μὴ εἶναι παντελῶς τοιαύτην πρόληψιν, ἀλλ' εἴτε τὶς ἀδιάθετος τελευτήσειεν εἴτε ἐπὶ διαθήκαις (ἐπειδήπερ ἄδηλόν ἐστι μή ποτε ἐκλαθόμενος τῶν δεδομένων ἢ ὑπὸ τῆς ἐν τῷ θανάτῳ ταραχῆς στενοχωρούμενος οὐκ ἐμνήσθη τούτου), πάντως εἶναι τὰς συνεισφορὰς καὶ τὴν ἐκεῖθεν ἰσότητα κατὰ τὸ ἤδη διατεταγμένον, εἰ μὴ ῥητῶς ἐπισκήψειεν αὐτὸς βούλεσθαι μὴ γενέσθαι συνεισφορὰν, ἀλλ' ἔχειν τὸν ἀναγκαζόμενον ἐκ τοῦ νόμου συνεισενεγκεῖν καὶ τὸ ἤδη δεδομένον καὶ τοῖς[18]) ἐκ τῆς διαθήκης χρῆσθαι δικαίοις· πάντων τῶν ἔμπροσθεν περὶ συνεισφορῶν ἡμῖν νενομοθετημένων ἐπὶ τῆς ἑαυτῶν μενόντων ἰσχύος.

ζ'. Καὶ τὸ πολλάκις δὲ ἡμῖν δικάζουσι παραστὰν

14) Ven. καὶ τό. 15) Ven. β'. 16) Bas. διαθήκης. non male. 17) Bas. δεδομένα. Ven. in marg. περὶ συνεισφορᾶς. 18) Hal. καὶ τὸ τοῖς. non male.

ἀναγκαῖον ἐνομίσθη νῦν μέρος γενέσθαι τοῦ παρόντος νόμου. πολλάκις γάρ τινες πλειόνων παίδων καθεστῶτες γονεῖς, εἶτα δοκοῦντες εὐθὺς τὰ πράγματα διαιρεῖν ὅπως ἂν ἀδελφικῆς αὐτοὺς ἀπαλλάξαιεν ἔριδος, εἰς μείζους ἔτι καὶ χαλεπωτέρας αὐτοὺς φιλονεικίας ἐξάγουσι. δέον γὰρ εἴπερ τοῦτο ἠβούλοντο ῥητῶς ἅπαντα διελεῖν ἐν ταῖς διαθήκαις ταῖς ἑαυτῶν, ἢ εἰ μὴ τοῦτο μερίδας γοῦν ποιήσασθαι καὶ ὑποσημήνασθαι ταύταις, καὶ οὕτως ἀναμφισβήτητον δοῦναι τοῖς παισὶ τὴν διαίρεσιν· οἱ δὲ οὐ τοῦτο ποιοῦσιν, ἀλλὰ μέρος μὲν δι' ἑαυτῶν αὐτοὶ γράφουσι, καὶ οὐδὲ τοῦτο συνεχὲς, ἀλλ' ἴσως παρεγγεγραμμένον[19]) ἑτέρου τινὸς γράμμασι καὶ ἐν ἀπογραφῇ τινι παρεῤῥιμμένῃ καὶ φυλακῆς οὐδεμιᾶς ἠξιωμένῃ κείμενον, τὸ δὲ λειπόμενον μέρος οὐκ ἔτι τῆς ἐκείνων ἐστὶ χειρὸς, ἀλλ' ὑπογραφέως τινὸς ἴσως διαφθαρέντος ἢ καὶ τοῦ τυχόντος· κἀντεῦθεν αὐτοῖς δικῶν ἀφορμαὶ μυρίαι, πότερον ταῦτα γνώμῃ πέπρακται τοῦ πατρὸς, ἤ τινός ἐστιν ἔριδός τε καὶ φιλονεικίας τεχνίτου ἐργάτου καὶ πρὸς τινος τῶν μερῶν χάριν γεγραφότος. ταῦτα ἡμεῖς ἐνοχλεῖν τοῦ λοιποῦ τοὺς ἡμετέρους ὑπηκόους οὐ βουλόμενοι, θεσπίζομεν, εἴ τις βούλοιτο τὰ οἰκεῖα πράγματα τοῖς παισὶ διελεῖν, ἢ πάντα ἢ καί τινα τυχὸν καταλιπεῖν ἐξαίρετα, ταῦτα μάλιστα μὲν εἰ δυνατὸν εἴη λεγέτω ἐν τῇ διαθήκῃ καὶ ἀναμφισβήτητον διδότω τοῖς παισὶ τὴν ἐντεῦθεν ὠφέλειαν. εἰ δὲ τοῦτο οὐ πράττοι διά τινας ἀνάγκας, αἳ πολλαὶ περιεστᾶσιν ἀνθρώπους, ἀλλ' ἔξεστι νεμήσεις ποιήσασθαι τῶν πραγμάτων ἅπερ ἂν διανεμηθῆναι βουληθείη, καὶ ὑποσημήνασθαι πάσαις ἢ αὐτὸν, ἢ τοὺς παῖδας ἅπαντας ὑπογράψαι παρασκευάσαι ὧν μεταξὺ τὰ πράγματα διαιρεῖ, κἀντεῦθεν τῷ πράγματι δοῦναι πίστιν ἀναμφισβήτητον. καὶ τὸ κατὰ τοῦτο γινόμενον τὸ σχῆμα κύριόν τε ἔστω καὶ ἰσχυρὸν καὶ ἑτέρας οὐ δεόμενον ἀσφαλείας. εἰ δέ τις τοῦτο

19) Hal. παραγεγρ.

οὐ πράξειεν, ἀλλὰ διεσκεδασμένην οὕτως καὶ ἐν τοῖς πλείστοις ἀμάρτυρον ὑπογραφὴν ποιήσαιτο, ἴστω μηδὲν ἐντεῦθεν τοῖς παισὶ παρέξων ὄφελος, ἀλλ' ὡς οὐδενὸς γενομένου διαιρήσονται τὴν οὐσίαν οἱ παῖδες, ταῖς ἀδήλοις καὶ κατὰ τὸ πλεῖστον ἀμαρτύροις γραφαῖς οὐκ ἀκολουθοῦντες, οὐδὲ τῶν τὴν ὑπόθεσιν κρινόντων (οὓς δὴ τοῦ familiae erciscundae καλοῦσιν οἱ νόμοι δικαστὰς) ἕπεσθαι τούτοις[19a]) ἀναγκαζομένων. δεῖ γὰρ προνοεῖν ἀκριβῶς τῆς τῶν παίδων ἀσφαλείας, καὶ μὴ τὸ μὲν ἀσφαλίζεσθαι, τὸ δὲ καταλιμπάνειν πλανώμενον, δυσκολωτέρων ἔτι καὶ ἀλύτων πολλάκις δὲ καὶ εἰς ἐγκλήματα φερουσῶν αἰτιῶν ἀφορμὴν παρεχόμενον. περὶ μὲν οὖν διαδοχῶν τε καὶ συνεισφορῶν καὶ τῶν ἄλλων τῶν προειρημένων μέχρι τοῦδε νενομοθετήσθω.

η'. Ἡ δὲ περὶ τὴν ἀγνωμοσύνην γινομένη παρά τινων σπουδὴ ἀναγκαῖον ἡμῖν ἐποίησε τὴν τοῦ δήμου πάλαι νομοθεσίαν ἀποδέξασθαι, ἣν διά τινος τῶν οἰκείων ἔγραψε δημάρχων τὴν τοῦ Ἀκουϊλίου προσηγορίαν ἐξ ἐκείνου δεξαμένην, καθ' ἣν ἐξ ἀρνήσεως διπλαῖς ὑπέβαλε ταῖς εἰσπράξεσι τοὺς ἀγνωμονεῖν τε καὶ ἀρνεῖσθαι πειρωμένους, ὅπου γε δὴ καὶ ἄλλαι τινὲς ἀγωγαὶ πρὸς τὴν αὐτὴν ὥρμησαν τάξιν. ἀλλ' ἡ κατὰ μικρὸν δοκοῦσα φιλανθρωπία λέληθε τὴν τῶν πονηροτέρων ἀγνωμοσύνην ἐκθρέψασα. διὸ δὴ καὶ ἡμῖν ἀναγκαίως ἔδοξεν ἔχειν τὰς ἀπρεπεῖς τε καὶ οὐκ εὐσχήμονας τῶν ἀρνήσεων τῇ ῥηθείσῃ ζημιῶσαι ποινῇ. εἰ γὰρ προφέροιτό τινος συγγραφή, ὁ δὲ αὐτὴν ἐξαρνοῖτο καὶ ταῦτα γράμματα ἔχουσαν αὐτοῦ, ὡς ἀναγκασθῆναι τὸν διώκοντα πράγματα ὑπομεῖναι περὶ τὴν σύστασιν αὐτῆς, ἢ τὰ μὲν γράμματα δέχοιτο, φήσοι δὲ μὴ καταβεβλῆσθαι τὸ χρέος αὐτῷ, καὶ συσταίη τούτῳ[20]) νομίμοις τρόποις ὁ διώκων, τὴν καταδίκην κατ' αὐτοῦ διπλασίαν ἐφ' ἑκατέρου θέματος γίνεσθαι θεσπίζομεν, οὐχ ὅτι τοῖς πικροτέροις τῶν νόμων ἡδόμεθα, ἀλλ' ὅτι τὰς

19a) ταύταις? 20) Hal. τοῦτο.

δίκας διὰ τούτων ἐλάττους ἀποτελοῦμεν, ὥστε τῷ δέει τῆς ποινῆς θᾶττον αὐτοὺς λέγειν ἅπερ ὁμολογεῖν προσήκει. ἐπὶ μὲν οὖν τῶν τοιούτων πᾶσι τρόποις τὰς καταδίκας τοῦτον βουλόμεθα φέρεσθαι τὸν τρόπον, καὶ εἴ παρὰ ταῦτά τι πράξειε δικαστὴς, γινωσκέτω ὡς παραβαίνων τὸν νόμον αὐτὸς ἐνέξεται ταῖς ἐντεῦθεν ποιναῖς. ταῦτα δέ φαμεν, εἰ μὴ περὶ τὰς ἀποδείξεις ὁ διώκων ἀπειπὼν ὅρκῳ τοῦ φεύγοντος τὴν μέχρι νῦν ἄρνησιν λυθῆναι βουληθείη. εἰ γάρ τι τοιοῦτο πράξειεν, εἰ μὲν εὐθὺς ἐξ ἀρχῆς μετὰ τὴν ἄρνησιν ἐπαγάγοι τὸν ὅρκον, κἀκεῖνος εὐθὺς ὁμολογήσειε τὸ εἰς ἄρνησιν ἐνεχθὲν, ἀκίνδυνος τό γε εἰς τὸ διπλάσιον ἔσται. εἰ δὲ μακροτέρας γινομένης τῆς δίκης, τηνικαῦτα ὁ διώκων ἐπαγάγοι τὸν ὅρκον, ὁ δὲ καὶ οὕτω τὸ ἐπαγόμενον ὁμολογήσειε, τῆς μὲν τοῦ διπλασίονος αὐτὸν ἐξαιροῦμεν ποινῆς, πᾶσαν δὲ τὴν δαπάνην τὴν μέχρι τότε γενομένην διὰ τὰς ἀποδείξεις τῷ ἐνάγοντι ὅρκῳ τούτου κρινομένην καταβάλλειν τὸν τὴν ἀρχὴν μὲν ἀρνησάμενον ὕστερον δὲ ὁμολογήσαντα κελεύομεν. εἰ δέ τις τὴν ἀρίθμησιν ἐπ' αὐτῷ γενέσθαι τῶν χρημάτων ἀρνησάμενος, εἶτα ὕστερον χρήσαιτο καταβολαῖς παρ' αὐτοῦ γενομέναις, τῷ τοιούτῳ μηδὲν ὄφελος εἶναι τῶν ταῖς ἀληθείαις καταβεβλημένων θεσπίζομεν, ἀλλ' ὁλόκληρον αὐτὸν τὸ χρέος ἀπαιτεῖσθαι κελεύομεν, καὶ ταύτην μόνην ὑπέχειν τῆς ἀρνήσεως τὴν ποινὴν (τοῦτο ὅπερ καί τις τῶν πρὸ ἡμῶν αὐτοκρατόρων ἔτυχε διαταξάμενος)[21]), οὐδενὸς τῶν δικαζόντων οὐδὲ πρὸς τοῦτο ὑποκατακλινομένου, ἀλλὰ τὴν ἀκρίβειαν τοῦ νόμου φυλάττοντος. εἰ δὲ καὶ ὁ φεύγων προκομίσειε γράμματα τοῦ διώκοντος, εἶτα ἐκεῖνος ταῦτα ἀρνηθείη, ὁ δὲ συσταίη τούτοις, μὴ μόνον ἐκεῖνο λογιζέσθω

21) Bas. διαπραξάμενος. Hal. omittit τῶν αὐτοκρ. quum constitutio imperatoris, quae huc trahi possit, omnino non innotuerit, fortasse pro διαταξ. praeferenda est lectio Basil. διαπραξάμενος, ut accipiatur de decisione imperatoris forte (ἔτυχε) ad preces vel in auditorio lata.

ρὶ οὗ τὰ τῆς ἀρνήσεως ἦν, ἀλλὰ καὶ τοσοῦτον ἕτερον ιοσκατατιθέτω. κἀνταῦθα δὲ ὁ περὶ τῆς τῶν ὅρκων δόσεως ιοίως καὶ ἐπὶ τοῦ ἐνάγοντος εἰσαγέσθω λόγος.

θ'. Εἰ δὲ ἡ δίκη πράττοιτο διὰ κηδεμόνων (οἷα αθεστῶσα προσώπων ἃ κηδεμόνων δεῖται), τὰς τοιαύτας ῶν ἀρνήσεων ποινάς, ὅταν ἐπ' οἰκείοις αὐτῶν τῶν κηδειόνων γίνοιντο γράμμασι, μὴ κατὰ τῶν κηδεμονευομένων, ἀλλὰ κατ' αὐτῶν φέρεσθαι τῶν τὴν ἀσχήμονά τε καὶ ἀπρεπῆ αύτην ἄρνησιν ποιησαμένων. εἰ δέ τις ἑτέρα καταδίκης ὔξησις ἢ εἰς τὸ διπλοῦν ἢ εἰς τὸ τριπλοῦν ἢ εἰς τὸ τετραπλάσιον παρὰ τῶν ἀρχαίων νόμων ἢ τῶν βασιλικῶν εἰσῆκται ιατάξεων, μενέτω μὲν ἐκείνη κατὰ τὸ οἰκεῖον σχῆμα, καθάπερ αὐτὴν ἡμεῖς ἐν τοῖς ἡμετέροις Ἰνστιτούτοις καὶ Διγέστοις καὶ τῷ τῶν διατάξεων ἐνομοθετήσαμεν βιβλίῳ, τὸ δὲ νῦν τοῦτο προσθήκη τοῖς προτέροις ἔστω.

ι'. Κἀκεῖνο δὲ στασιασθὲν ἐν δικαστηρίοις οἰόμεθα ρῆναι κάλλιον ἤπερ ἅπαντες οἱ πρὸ ἡμῶν διαρθρῶσαί τε αὶ τάξαι. εἰ γάρ τις ἐγκαλοῖτο πράγματα κατέχειν ἑτέρου, ράσκοι δὲ οὐκ εἶναι τὰ πράγματα ἐκείνου περὶ οὗ φησιν ὁ διώκων, ἀναγκασθείη δὲ ὁ τὴν ἐναγωγὴν ποιούμενος ἢ υμβολαίοις ἢ μάρτυσιν ἢ ἑτέροις πόνοις χρήσασθαι πρὸς ὸ δειχθῆναι τὰ πράγματα ἐκείνου καθεστάναι, εἶτα ὕστερον ὁ μέχρι παντὸς διαρνηθεὶς ἐκείνου ταῦτα μὴ γενέσθαι, χρῆσθαι βουληθείη τοῖς ἐξ ἐκείνου δικαίοις, καὶ φάσκειν ὡς ἐξ ὑποθηκῶν ἢ ἑτέρων αἰτιῶν εἰς ἐκεῖνο τὸ πρόσωπον ἀναφερομένων κυριώτερός ἐστι τοῦ τὴν δίκην κινοῦντος, αἱ μὲν ἄλλαι πᾶσαι σχολαζέτωσαν γνῶμαι αἱ τοῖς πρὸ ἡμῶν παραστᾶσαι, μετρία δέ τις καὶ φιλάνθρωπος καὶ αὐτοῦ τοῦ πράγματος ἐστοχασμένη ποινὴ τοῖς ἀρνηθεῖσιν ἐπαγέσθω. ὑπὲρ γὰρ τῆς περὶ ταῦτα ἀρνήσεως καὶ τῶν τοῦ διώκοντος πόνων καὶ λεγομένης ἔτι τῆς δίκης ἐπὶ τὸν διώκοντα μετατιθέσθω τῶν πραγμάτων περὶ ὧν ἡ ζήτησις γέγονεν ἡ νομή, ἄδειαν ἔχοντος τοῦ ταύτην ἀποδιδόντος, εἴ τινα δίκαια ἔχοι ἐξ

ἐκείνου τοῦ προσώπου, περὶ οὗ πρότερον τὴν ἄρνησιν ὑπέμεινε, προσήκοντα αὐτῷ ταῦτα προτιθέναι καὶ τοῦ νόμου καὶ τοῦ δικαίου τυγχάνειν, τῆς ποινῆς ἐν μόνῃ τῇ μεταστάσει τῆς νομῆς περιϊσταμένης. ταῦτα ἡμῖν ὑπέρ τε διαδοχῶν καὶ συνεισφορῶν καὶ νεμήσεων καὶ τῆς τῶν δικαζομένων ἀσφαλείας καὶ τοῦ τὰ τῶν δικῶν ἐλλαττῶσαι πλήθη καὶ ἐξηύρηται καὶ νενομοθέτηται καὶ ἐκ τοῦ λοιποῦ χρόνου κρατήσει, ὅπως ἂν καὶ τὰς διαδοχὰς εἰδοῖεν καὶ τὰς συνεισφορὰς μὴ ἀγνοοῖεν καὶ περὶ τὰς νεμήσεις μὴ στασιάζοιεν, καὶ μήτε προχείρως ταῖς τῶν οἰκείων γραμμάτων ἐπιπηδῷεν ἀρνήσεσιν οἱ πονηρεύεσθαι βουλόμενοι, μήτε τὰς ἀριθμήσεις ἐξαρνοῖντο, μήτε ὕστερον ἴσως καταβολαῖς χρῷντο, μήτε τὰ ἐξ ὧν κατέχουσι τὰ πράγματα διαρνοῖντο προσώπων, ἀλλὰ μέτριοί τε καὶ ἐπιεικεῖς καὶ ἀληθεῖς ἐκ τῶν πραγμάτων φαινόμενοι μετρίας ἀπολαύοιεν καὶ τῆς δίκης.

ια΄. Τὸ δὲ πονηρῶς παρά τινων ἀμφισβητηθὲν ἐπί τισι τῶν ἡμετέρων διατάξεων καὶ ἐν δίκαις μὲν πολλαῖς κινηθὲν, δίκαιον δὲ ὂν μηκέτι ζητεῖσθαι, τῷ παρόντι προσάπτομεν νόμῳ. διαταξαμένων γὰρ ἡμῶν[22]), εἴ τις βλέψει πρὸς γυναῖκα φιλάνθρωπον[23]) καὶ ταύτην εἰσοικίσαιτο προικῴων συμβολαίων χωρὶς, εἶτα καὶ ποιήσαιτο παῖδας, ὕστερον δὲ γαμικήν τε πρὸς αὐτὴν ἀναλάβοι διάθεσιν καὶ γράψειε συμβόλαια τοιαῦτα καὶ παιδοποιήσειε, μὴ μόνον τοὺς μετὰ ταῦτα τεχθέντας παῖδας, ἀλλὰ καὶ τοὺς ἔμπροσθεν καθεστάναι γνησίους· καὶ διὰ τὴν τῶν σοφιζομένων τε καὶ κακούργως ἑρμηνευόντων δεινότητα καὶ ἑτέραν γραψάντων διάταξιν[24]), ὡς ταῦτα βουλόμεθα κρατεῖν, εἰ καὶ δεύτεροι[25]) μὴ γένοιντο μετὰ τῶν προικῴων παῖδες ἢ γενόμενοι τελευτήσαιεν, ἐξεῦρόν τινες καὶ ἑτέραν ἀμφισβήτησιν, μὴ δεχόμενοι ταῦτα κρατεῖν καὶ ἐπὶ τῶν ἀπελευθέραις συνοικούντων, καί-

22) l. 10. 11 C. de natural. lib. 5. 27. 23) Hal. φιλανθρώπως. 24) Const. XXII c. 4. 25) Ven. δεύτερον.

ιγε τοῖς ὀρθῶς ἐστοχασμένοις τοῦ ἡμετέρου σκοποῦ καὶ ῦτο ἦν ἔχειν ἤδη νενομοθετημένον. εἰ γὰρ ὁ πρὸς ἀπελευ-έραν οὐ καθάπαξ ἐκεκώλυτο γάμος, πρόδηλον ἦν ὡς καὶ π' ἐκείναις ταῦτα κρατεῖν ἠβουλόμεθα. πλὴν ἀλλ' ἐπειδὴ οῦτο ὅλως ἠμφισβήτηται, θεσπίζομεν εἴ τις γαμετὴν οὐκ ἔχων γνησίαν ἢ παῖδας νομίμους πρὸς θεράπαιναν οἰκείαν σχοίη κατά τινα βελτίονα γνώμην, καὶ δὴ καὶ παιδοποιή-σειεν ἐξ αὐτῆς ἐν δουλείᾳ καθεστώσης, ὕστερον δὲ ἐλευθερίᾳ τιμήσειε καὶ τὴν θεράπαιναν καὶ τοὺς φύντας, καὶ δίκαιον αὐτοῖς χρυσῶν αἰτήσειε δακτυλίων καὶ πρός γε καὶ παλιγ-γενεσίας, καὶ πρὸς τοὺς εὐγενεῖς κατὰ τούτους ἀνενέγκοι τοὺς τρόπους καὶ τὸν γάμον βεβαιώσειεν, ὕστερον δὲ καὶ γαμικὰ γράψειε συμβόλαια, καὶ ἢ γένοιντο παῖδες μετὰ ταῦτα ἢ καὶ μὴ γένοιντο (ἵνα τὰ ἑκατέρας ἡμῶν διατάξεως συλ-λάβοιμεν θέματα), ἔστω καὶ[26]) ἡ γυνὴ γνησία καὶ οἱ παῖδες ὑπεξούσιοι καὶ συοι καὶ ἐξ ἀδιαθέτου κληρονόμοι τῷ γεγεννη-κότι (φαμὲν δὲ τοὺς πρὸ τῶν προικῴων τεχθέντας), τῶν ὁδῶν δι' ὧν εἰς εὐγένειαν κατὰ τὸ προειρημένον ἀφίκοντο καὶ τῆς μετὰ ταῦτα τῶν προικῴων ποιήσεως τὸ γνήσιον αὐτοῖς χαριζομένων.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ καλῶς ἡμῖν καὶ ὁσίως παρα-στάντα καὶ ὑπὲρ τῆς τῶν ἡμετέρων ὑπηκόων ἀπραγμοσύνης ἐξηυρημένα ἐν ἅπασι τοῖς ἔθνεσιν οἷς ἄρχει διὰ κηρυγμά-των οἰκείων ποιησάτω φανερὰ, ὥστε γινώσκειν αὐτοὺς, ὡς οὐδεμία μεγίστη φροντὶς, δι' ὧν ἀεί τι προστίθησιν ὁ θεὸς τοῖς ἡμετέροις σκήπτροις, ἔξω καθίστησιν ἡμᾶς τῆς ὑπὲρ αὐτῶν ἐπιμελείας τε καὶ προνοίας. Dat. Kal. Mar. CP. post. cons. Belisarii V. C.[27])

26) Ven. καὶ ἔστω ἡ γ. 27) Ven. Bilis. v. c. cons. Ath. καλ. μαρτ. ὑπατείᾳ βελισαρίου. At Iulian. et Theod.: post consulatum Belisarii. quod omnino praeferendum: haec enim nostra constitutio, utpote passim ad const. XXII XV Kal. Iun. Belisario v. c. cons. datam respiciens, pro-

Nov. 19. **XLIII.** Auth. 19.

Extat in Cod. Ambrosiano. — Summas praestant Athan. XI, 2 et Theod. Nov. 19.

Περὶ τῶν πρὸ τῶν προικῴων συμβολαίων τικτομένων παίδων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἦλθεν εἰς ἡμᾶς ἀμφισβήτησιν ματαίαν τισὶν ἐμπεσεῖν εἰ τὰ νομοθετηθέντα παρ' ἡμῶν περὶ τῶν παίδων τῶν γενομένων πρὸ τῆς τῶν προικῴων ποιήσεως, ὕστερον τῶν προικῴων γενομένων, οὐκ εἰς τοὐπίσω φέρεται ἐπὶ τῶν μὴ ψήφῳ ἢ διαλύσει τετμημένων ζητήσεων, καίτοιγε ἡμῶν, ὅτε κατὰ μέρος ἐτίθεμεν τοὺς νόμους[2]*), ῥητῶς κατὰ τὴν πρώτην διάταξιν*[3]*) τὴν ταῦτα νομοθετοῦσαν μνησθέντων, ὡς εἴτε περίεισιν αὐτοῖς οἱ πατέρες εἴτε ἐτελεύτησαν, οὔπω μέντοι τὰ κατὰ τὰς τοιαύτας ζητήσεις ἢ ψήφοις ἢ διαλύσεσιν ἔλαβον πέρας, πάντως οὕτω κρίνεσθαι ὡς ὁ ἡμέτερος λέγει νόμος· ὃν ἀναπληροῦντες καὶ δεύτερον τεθείκαμεν νόμον*[4]*), τὰ αὐτὰ κρατεῖν θεσπίζοντες, καὶ εἰ μὴ μετὰ τὰ προικῷα γένωνται παῖδες ἢ γενόμενοι τελευτήσουσιν, οὐδὲν ἧττον καὶ τοὺς*

fecto recentior est. — Caeterum const. LXXXVI c. 1 §. 2. 3 narratur, constitutionem nostram Kal. Martii adscriptam habere, sed mense demum Maio (sive Kal. Maii) ad Praef. Praet. directam esse. suspicari tamen est, datam esse eadem die, qua const. XLI, i. e. XV Kal. Mart. ob rationes quas not. 28 ad c. XXXI exposui; neque enim obstat, quod illa c. 2 nuper data esse dicitur, quia in constitutionibus uno eodemque die datis haud raro accidit, ut altera alteram tamquam priorem laudet. Cf. c. XII not. 28.

1) Ven. addit *βι. ε' τοῦ κώδ. τί. ιζ'* (l. *κζ'*) *διατ. ια'*. 2) Decisiones indicat. 3) l. 10 C. de natur. lib. 5, 27. 4) l. 11 C. eod.

πρὸ τῶν προικῴων τεχθέντας γνησίους εἶναι· καὶ ἐπὶ ταύτης ὁμοίως τῆς δευτέρας ἡμῶν διατάξεως προστεθείκαμεν, χρῆναι τὴν αὐτῆς νομοθεσίαν καὶ εἰς τοὺς πρεσβυτέρους ἀναφέρεσθαι χρόνους, ἐξαιρουμένων ἐκείνων τῶν ὑποθέσεων, ὅσας ἢ δικαστικὴ ψῆφος ἢ διάλυσις ἔκρινεν. ἀλλ' ἐπειδή τινες μετὰ τούτους ἡμῶν τοὺς σαφεῖς νόμους τολμηρᾷ διανοίᾳ τὴν ἡμετέραν ἐθάῤῥησαν παρερμηνεῦσαι νομοθεσίαν, καὶ τρίτην ἠναγκάσθημεν θεῖναι διάταξιν[5]), δι' ἧς παρεκελευσάμεθα, κἂν εἰ νομίμην ἐσχηκώς τις γαμετὴν καὶ γνησίους ἐκ ταύτης παῖδας, εἶτα ταύτης τελευτησάσης ἢ τοῦ συνοικεσίου ῥεπουδίῳ διαλυθέντος ἔσχε παῖδας ἔκ τινος πρὸς ἣν ὁ γάμος οὐκ ἀπηγόρευται, μετὰ δὲ τὸ τούτους τεχθῆναι προικῷα συνέταξεν πρὸς ταύτην συμβόλαια, γνησίους καὶ τοὺς οὕτως αὐτῷ γενομένους παῖδας ὑπάρχειν. ἀλλὰ κατὰ ταύτην ἡμῶν τὴν διάταξιν οὐ προστεθείκαμεν ῥητῶς, κρατεῖν τὴν τούτων[5a]) νομοθεσίαν καὶ ἐπ' ἐκείνοις ὧν οἱ πατέρες ἔτι περίεισιν, ἢ ἐτελεύτησαν μέν, τὰ δὲ τῆς φιλονεικίας οὐδὲ δικαστικὴ ψῆφος οὐδὲ φιλικὴ κατέλυσε σύμβασις· ἐντεῦθέν τινες ὑπέλαβον, ἡμᾶς[6]) μηδαμῶς ἐθέλειν τὰ ταῖς μνημονευθείσαις περιεχόμενα νομοθεσίαις περὶ τῶν πρὸ τῆς ποιήσεως τῶν προικῴων τεχθέντων παίδων κρατεῖν καὶ ἐπ' ἐκείνοις τοῖς ἤδη πρὸ τῆς τοιαύτης νομοθεσίας τεχθεῖσι, καὶ μάλιστα ἐκ τοῦ τὸ περὶ τούτου μέρος τὸ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ διατάξει κείμενον ἀφαιρεθῆναι παρ' ἡμῶν ἐν τῇ τοῦ κώδικος συνθήκῃ. ὅπερ ἀτόπως ὑπώπτευσαν· δικαιότατα γὰρ τῆς τε πρώτης καὶ δευτέρας τοῦτο ἀφειλόμεθα διατάξεως καὶ τῇ τρίτῃ οὐ προστεθείκαμεν. ἐν μὲν γὰρ ταῖς κατὰ μέρος τεθείσαις νομοθεσίαις ἀναγκαῖον ἦν ἴσως τὴν τοιαύτην παραλαμβάνειν[6a]) εἰς τοὐπίσω τῆς νομοθεσίας ἀναφοράν, ἐν δὲ τῷ παντὶ συναθροίσματι τῶν νόμων κατὰ τὸν ἐπώνυμον ἡμῶν κώδικα εἰκότως περιαιρεθῆναι τὰ τοιαῦτα

5) Const. XXII c. 4. 5a) ταύτης? 6) Ven. ἡμᾶς ἤ. 6a) περιλ?

προσετάξαμεν, ὥστε μὴ πλῆθος περιττὸν τοῖς βιβλίοις ἐγγραφῆναι· ἐπὶ δὲ τῆς τρίτης διατάξεως οὐ προσεθήκαμέν τι περὶ τῶν χρόνων, ὡς ἅπασι φανερώτατον ὂν χρῆναι τὰ προστεθέντα δι' ἑρμηνείας ἐπ' ἐκείνων κρατεῖν, ἐφ' ὧν καὶ τοῖς ἑρμηνευθεῖσι νόμοις γίνεται χώρα.

α'. Ἐπειδὴ δὲ ὅλως ἐφάνησάν τινες καὶ περὶ τῶν οὕτω φανερῶν ἀμφισβητεῖν ἐγχειροῦντες ἤτοι πλανώμενοι, καὶ τόνδε προστίθεμεν τὸν νόμον, θεσπίζοντες τὴν ἐν ταῖς εἰρημέναις τρισὶ διατάξεσι γενομένην παρ' ἡμῶν νομοθεσίαν κρατεῖν ἐφ' ὧν καὶ ῥητῶς τῷ πρώτῳ τεθέντι παρ' ἡμῶν νόμῳ προσεγράψαμεν, τουτέστιν εἴτε περιεῖναι συμβαίνει τοὺς τῶν τοιούτων παίδων πατέρας εἴτε καὶ τελευτῆσαι, οὔπω δὲ τὰ περὶ τῆς τοιαύτης ὑποθέσεως ἢ ψήφῳ ἢ διαλύσεσι πέρας λαβεῖν. ὥστε κατὰ τοῦτο τὰς τοιαύτας ὑποθέσεις ὑπὸ τοὺς παρ' ἡμῶν τεθέντας ἄγεσθαι νόμους· ἐξαιρουμένων ἐκείνων τῶν ὑποθέσεων, ὅσαι περ ἔφθησαν πρὶν[7]) τοὺς παρ' ἡμῶν τεθῆναι νόμους ἢ ψήφῳ δικαστῶν ἢ διαλύσει κριθῆναι.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ φανερὰ πᾶσι καταστῆναι σπευσάτω. Dat. XV K.[8]) April. CP. post Belisarii V. C. cons.

Nov. 30. **XLIV.** Auth. 30.

In Bas. VI, 16, 1—11 extat c. 1 §. 1—11. Summas habent Iulian. c. 22, Athan. IV, 10, Theod. Nov. 30.

Περὶ τοῦ ἀνθυπάτου Καππαδοκίας.

Ο αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ὁπόσον ἐστὶ τὸ Καππαδόκων ὄνομά τε καὶ ἔθνος, καὶ ὅπως τὴν ἀρχὴν ἵνα κτηθείη πράγματα παρέσχε Ῥω-

7) Hal. ἔφθασαν πρὸ τοῦ. 8) Ita lego secundum Ath. et Auth. Ven. XVI vel XVII K.

μαίοις, οἳ τῆς ἀρχαίας πολυμαθείας οὐκ ἠγνοήκασιν ἐρασταί. τοῦ τε γὰρ Πόντου σχεδὸν παντὸς ἐξῆρχε, καὶ ἄνδρες ὀνομαστότατοί τε καὶ φροντίδος ἄξιοι Ῥωμαίοις γενόμενοι μεγάλως ἐκεῖθεν ἤνθησαν. γῆ τε αὐτοῖς ἐστὶ πολλή τε καὶ θαυμαστὴ, καὶ οὕτως[1]) ἀρέσασα τῇ βασιλείᾳ, ὡς καὶ ἀρχὴν ἐπιστῆσαι ταῖς ἐκεῖσε κτήσεσιν ἰδίαν[2]), τῆς πολιτικῆς[3]) ἀρχῆς οὐκ ἐλάττω, μᾶλλον μὲν οὖν καὶ μείζω. πολυανθρωποτάτη τε γὰρ καθέστηκε, καὶ πόλιν παρέχεται μεγίστην, τὴν τοῦ φιλτάτου Καίσαρος ἡμῖν ἐπώνυμον τοῦ δόντος ἀρχὴν ἀγαθὴν τῇ καθ' ἡμᾶς μοναρχίᾳ, δι' ὃν ἐν ἅπασι τοῖς τῆς γῆς ἔθνεσιν ὀνομαστότατόν ἐστι τὸ τοῦ Καίσαρος ὄνομα, καὶ ᾧπερ ἡμεῖς ἀντ' ἄλλου τινὸς τῶν τῆς βασιλείας συμβόλων σεμνυνόμεθα.

α'. Ταύτην δὴ τὴν χώραν ἀρχῇ παραδεδόσθαι μικρᾷ σφόδρα ἡμῖν ἐφάνη τοῦ προσήκοντος ἀνάξιον. ἄλλως τε καὶ στασιάζουσαν αὐτὴν ἀεὶ πρὸς τὴν ἐφεστῶσαν τοῖς ἡμετέροις οἴκοις θεωροῦμεν ἀρχήν. καὶ μεμερισμένα γε τὰ τῆς πόλεως ἐστὶ, καὶ τὸ μέν τι ταμειακόν ἐστιν αὐτῆς, ἐλευθερικὸν δὲ καλοῦσιν θάτερον, καὶ μία μέν ἐστιν ἡ πόλις τῷ περιβόλῳ, διπλῆ δὲ ταῖς γνώμαις, ὥστε καὶ στάσεων ἀφορμαὶ καὶ διχονοίας καὶ εἴ τι κακὸν ἀνθρώποις ἐνοχλεῖ παρὰ ταύτης ἐστὶν ὥς γε οἰόμεθα τῆς προφάσεως. ἣν ἀνελόντες ἰσχύν τε ἅμα καὶ ὁμόνοιαν τῷ πράγματι δώσομεν, ἧς οὐ μήποτε ἂν οὐδὲν ἐν ἀνθρώποις γένοιτο κάλλιον. [§. 1.] ταῖς μὲν οὖν ἄλλαις ἀρχαῖς, ἃς ἔναγχος ἐν Πισίδαις τε καὶ Λυκάοσι καὶ Θρᾳξὶ κατεστήσαμεν[4]), ἐκ διπλῆς τινος συνόδου τὸ σχῆμά τε καὶ ἄθροισμα καθειστήκει, ταύτην δὲ δὴ τὴν Καππαδόκων μείζονι κατακοσμῆσαι βουλόμενοι σχήματι τριπλὴν ἐπιτίθεμεν τὴν ἐξουσίαν αὐτῇ. ὁ γὰρ κατὰ ταύτην τὴν ἀρχὴν ἡγήσεται

1) Ven. οὔτε. 2) Videatur schol. XXV ad Iulian. ed. Hänel p. 181. 3) Auth. legit Ποντικῆς. non male. 4) Const. XXIII. XXIV. XXV. subit mirari, quod non aeque ad const. XXXI et XXXII imperator respexerit.

μὲν τοῦ νόμου καὶ τῆς πολιτικῆς ἁπάσης τάξεως, ἡγήσεται δὲ καὶ τῶν στρατιωτῶν, τῶν τε ἐπὶ τῆς εἰρημένης χώρας τῶν τε ἐν ταῖς ἄλλαις ἐπαρχίαις τῆς Ποντικῆς διοικήσεως ἱδρυμένων, ἐν αἷς τὰ ταμειακὰ χωρία καθέστηκεν, ὥσπερ ἂν εἰ στρατιωτικὸς αὐτόθεν ἐτύγχανεν ἄρχων· δώσομεν δὲ αὐτῷ καὶ τῶν ταμειακῶν ἄρχειν ἀνθρώπων, καὶ πάντες ὁπόσοι τῆς πρώην κομιτιανῆς εἰσι τάξεως (σουμμάριοί τε φαμὲν καὶ εἴ τι τοιοῦτον ἕτερόν ἐστι) κατακούσονται τούτου. καὶ τριαδικὸν ἔσται τὶ σχῆμα τὸ συνάγον αὐτῷ τὴν ἀρχήν· ὁ γὰρ αὐτὸς πολιτικός τε ἔσται ἄρχων καὶ στρατιωτικὸς καὶ τῶν ταμειακῶν ἡγήσεται πραγμάτων, ὑπουργούσης ἑκατέρας αὐτῷ τάξεως, τῆς τε κομιτιανῆς ἥπερ καὶ τὰ οἰκεῖα πράξει καὶ οὐδὲν ἐπικοινωνήσει τῇ πολιτικῇ τάξει, τῆς τε[5]) τοῦ λαμπροτάτου τῆς ἐπαρχίας ἄρχοντος. πᾶσαν δὲ ἀνθυπατιανὴν γενέσθαι τε καὶ καλεῖσθαι βουλόμεθα, τῆς τάξεως μὲν μίαν ἐχούσης προσηγορίαν, τὴν τῆς ἀνθυπατιανῆς φαμέν, τὰ μέντοι οἰκεῖα διῃρημένως πραττούσης τῆς τε πρώην κομιτιανῆς[6]) τῆς τε πρώην πολιτικῆς, ὥστε τὴν μὲν πολιτικὴν ἐπιμελεῖσθαι τῶν δημοσίων τε καὶ πολιτικῶν ὅσα εἰς αὐτὴν ἀνήκειν ἄνωθεν ἴσμεν, τὴν δὲ πρώην κομιτιανὴν τάξιν ἐφεστάναι τῇ τῶν βασιλικῶν πραγμάτων διοικήσει καὶ τὴν εἴσπραξιν ποιεῖσθαι καθ' ὅπερ νῦν ὑφηγησόμεθα σχῆμα.

β΄. Τὸ μὲν γὰρ τῶν ἐπιτρόπων καὶ τῶν τρακτευτῶν ὄνομα οὐδὲ εἶναι παντελῶς βουλόμεθα, πρὸς τὰ ἔμπροσθεν βλέποντες παραδείγματα καὶ τὴν πολλὴν αὐτῶν ἐπήρειαν ἣν τοῖς ἀθλίοις ἐπῆγον συντελέσιν. ὀνομάζεσθαι δὲ βουλόμεθα κατ' οἰκίαν ἑκάστην κινδύνῳ τῆς ὅλης κομιτιανῆς τάξεως καὶ τῶν δεκατριῶν τῶν πρωτευόντων, οὓς δὴ μαγίστερας πρώτους καὶ δευτέρους καλοῦσιν, ἑτέρους τοὺς μετ' αὐτοὺς εὐθὺς ἀποκρινομένους δεκατρεῖς, ἕνα ὡς εἴρηται κατ' οἰκίαν ἑκάστην. τούτους δὲ δὴ τοὺς μετὰ τοὺς προτέρους δεκατρεῖς

5) Ven. τῇ. 6) Verba τῆς τε πρ. κομ. in Ven. desunt.

ποιεῖσθαι τὴν εἴσπραξιν καὶ περισώζειν τὰ οἰκεῖα τῷ δημοσίῳ, προνοεῖν δὲ καὶ τῆς ἀπαθείας τῶν συντελῶν ἐφ' ᾧ παρὰ μηδενὸς αὐτοὺς μηδεμίαν ὑφίστασθαι βλάβην, γινώσκοντας, ὡς ἡ ἐντεῦθεν ἐπιγινομένη ζημία τοῖς ὑποτελέσιν πολλῷ πλέον τὴν αὐτῶν ὄψεται περιουσίαν, οἷα καὶ τοῦ κινδύνου ἐπ' αὐτοὺς φερομένου πάσης τῆς δημοσίας εἰσπράξεως. μηδ' ὁτιοῦν δὲ παρέχειν παντελῶς μηδὲ τοὺς πρῴην καλουμένους πρώτους καὶ τοὺς δευτέρους μαγίστερας, μήτε τοὺς μετ' αὐτοὺς νῦν δεκατρεῖς οὓς ἐθεσπίσαμεν τὴν ἄνυσιν τῶν δημοσίων ποιεῖσθαι, μήτε ἄλλον μηδένα τῶν τῆς κομιτιανῆς τάξεως τῷ κατὰ καιρὸν περιβλέπτῳ ἀνθυπάτῳ ἢ προφάσει ὀνομασίας ἢ ἑτέρας οἱασδήποτε αἰτίας, μόνων ἀνὰ quinquaginta solidorum[7]) παρ' ἑκάστου τῶν δεκατριῶν πρακτόρων τοῖς προτέροις τρισκαίδεκα μαγίστερσι παρεχομένων.

γ'. Αὐτοὺς μέντοι τοὺς ἀπαιτητὰς μηδ' ὁτιοῦν κομίζεσθαι πλέον παρὰ τῶν γεωργῶν ἢ τῶν ὅλως ὑπομενόντων δι' αὐτῶν τὴν εἴσπραξιν πλὴν τῶν περιεχομένων τοῖς τύποις Νικητοῦ τοῦ τῆς μεγαλοπρεποῦς μνήμης[8]) καὶ ἀφορισθέντων τοῖς ἀπαιτηταῖς, μὴ δυναμένων αὐτῶν πλάττειν ὀνόματα καὶ ὑπὲρ τῶν ὀνομάτων τούτων ἐπάγειν ζημίας ἀσπαστικῶν τε ἕνεκεν ἢ τρακτευτικῶν ἢ ἑτέρας οἱασδήποτε προφάσεως, εἴτε εἰς συνήθειάν τινα δῆθεν ἀναφερομένης εἴτε εἰς οἱανοῦν ἐπήρειαν· τούτων γὰρ πάντων ἐλευθέρους τοὺς ἡμετέρους ὑποτελεῖς φυλάττεσθαι βουλόμεθα. μάλιστα γὰρ αὐτοὺς ἐλευθεροῦμεν τοῦ πονηροῦ τε καὶ ὀλεθρίου δασμοῦ[9]), ὃν τοῖς κατὰ καιρὸν παρέχοντες τρακτευταῖς ἠλαττοῦντο περὶ

7) Ven. inter lineas *ν' νομισμάτων χρυσίου*. 8) Schol. ad Iulianum (ed. Haenel p. 181) „Niceta fuit *ibi*, qui ordinavit quid dari debent". atqui *τύπους* emittere Praefectorum videtur proprium fuisse, ut proinde de Edicto Praef. Praet. XIII (cf. *Ἀνέκδ.* mea p. 271) facile cogitaveris. 9) Ven. *δεσμοῦ*.

τε τὸ δημόσιον περί τε τὰς οἰκείας ἀπογραφὰς[10]), ἀλλὰ κἂν εἴ τις τύπος ἦν βουλόμενος παρέχεσθαί τι τοῖς τρακτευταῖς ἢ μακρὰ συνήθεια, καὶ ταύτην ἀναιροῦμεν. αὐτὸ γὰρ δὴ τὸ τοῦ τρακτευτοῦ περιελόντες ὄνομα καὶ πᾶν τὸ εἰς αὐτὸν ἀνῆκον εἰκότως συναφαιρούμεθα, ταύτην ἰδικὴν φιλοτιμίαν τοῖς ἡμετέροις ὑποτελέσι διδόντες. εἰ δέ τις θαῤῥήσειε τῶν πρακτόρων ἕτερόν τι λαβεῖν παρὰ τὰ διωρισμένα τῷ τύπῳ Νικητοῦ τοῦ μακαριωτάτου (ταῦτα γὰρ μόνα κομίζεσθαι συγχωροῦμεν αὐτοῖς), ἴστω καὶ τῆς στρατείας καὶ τῆς ἀξίας καὶ οὐσίας ἐκπεσούμενος τῆς αὐτοῦ.

δ΄. Ἐπειδὴ δὲ εἰκός ἐστιν ἐν τοῖς δέκα καὶ τρισὶ πράκτορσι (διότι κατὰ βαθμὸν εἰς ταύτην προϊέναι τὴν τάξιν αὐτοὺς θεσπίζομεν) οὐκ εἶναι πρὸς τὸ πρᾶγμα ἐπιτήδειον, μένειν μὲν αὐτῷ καὶ οὕτως τὴν ἐκ τοῦ βαθμοῦ πρόσοδον συγχωροῦμεν, θεσπίζομεν δὲ τοὺς δεκατρεῖς τοὺς προτέρους μαγίστερας καὶ πρός γε τοὺς μετ' αὐτοὺς ἕτερόν τινα βοηθὸν αὐτῷ προσονομάζειν κινδύνῳ οἰκείῳ καὶ τῶν ὄντων αὐτοῖς πραγμάτων, ὃς τῷ πράγματι χρήσεται προσηκόντως, ὥστε μήτε τὸ δημόσιον ἀδικεῖσθαι διὰ τὴν ἀσθένειαν τὴν ἐκείνου, μήτε ἐκεῖνον ἐκπίπτειν τῆς ἐκ τοῦ χρόνου καὶ τοῦ βαθμοῦ παραμυθίας, δηλαδὴ κινδύνῳ τῶν δεκατριῶν μαγιστέρων καὶ τῶν ἄλλων τῶν μετ' αὐτοὺς τῆς τοῦ βοηθοῦ τοῦ μὴ πρὸς τοῦτο ἐπιτηδείου προβολῆς γινομένης ὡς εἴρηται. καὶ μεγάλην ἡμῖν τοὺς τῶν δημοσίων πράκτορας δεήσει χάριν ὁμολογεῖν, ἀπαλλάττουσιν αὐτοὺς τῶν πολλῶν ἐκείνων ζημιῶν, ἃς ἔμπροσθεν τοῖς μαγίστερσι παρέσχον καὶ τῷ κατὰ καιρὸν περιβλέπτῳ κόμητι καὶ τῇ αὐτοῦ τάξει. διὰ τοῦτο δὲ αὐτοὺς τούτων ἁπάντων ἠλευθερώσαμεν ἵνα μηδὲ αὐτοὶ τοὺς ὑποτελεῖς ἀδικοῖεν, μηδὲ τὰς προφάσεις ἐκείνας[11]), ἃς εἰς ἐπήρειαν ἐπινοοῦντες introita[12]) τε καὶ ἕτερα ὀνομά-

10) Ven. et Bas. cum Auth. ἀποτροφάς. 11) Deest (etiam in Auth.) verbum, veluti πλάττοιεν. 12) Ven. inter lineas ἰδικά τε.

ζοντες τὸν τῶν γεωργῶν καταλύουσι βίον, ἀλλὰ μόνοις ἀρκούμενοι τοῖς παρεχομένοις τοῖς ἐπιτρόποις κατὰ τὸν τύπον Νικητοῦ τοῦ τῆς λαμπρᾶς μνήμης τῶν ἄλλων ἁπάντων ἀπέχοιντο.

ε΄. Αὐτῷ δὲ τῷ περιβλέπτῳ ἀνθυπάτῳ ἁπάντων ὁμοίως ἔσται φροντὶς, εἴτε καθεστήκοι τὶ πολιτικὸν εἴτε εἰς τὴν στρατιωτικὴν ἀρχὴν εἴτε εἰς τὴν ταμειακὴν ἐξουσίαν βλέπον, καὶ οὐδενὸς ἀμελήσει τῶν πάντων, ἐπειδὴ καὶ μείζονα τῶν ἄλλων ἄρχοντα δοῦναι τῷ τόπῳ βουλόμεθα. νενομισμένον γὰρ τοῖς πάλαι Ῥωμαίοις ὂν τὰς ἐπαρχίας ἀποκληροῦν ἢ τοῖς γινομένοις ὑπάτοις, ἢ τοῖς ἀντ' ἐκείνων στελλομένοις οὓς ἀνθυπάτους ἐκάλουν, διὰ τοῦτο καὶ τὴν Καππαδόκων ἀρχὴν ἀνθυπατείαν εἶναι βουλόμεθα, ἥτινι Ῥωμαῖοι πρότερον τὴν ἐν Ἀφρικῇ κατεκόσμουν ἀρχὴν, ἣν ἡμεῖς νῦν τοσοῦτον ηὐξήσαμεν ὡς τὸν παραλαμβάνοντα ταύτην τοῖς ἐνδοξοτάτοις ὑπάρχοις τῶν ἱερῶν ἡμῶν συναριθμῆσαι πραιτωρίων. καλείσθω δὲ ὁ ταύτης ἡγούμενος τῇ πατρίῳ φωνῇ proconsul Iustinianus Cappadociae[13]), ὥστε καὶ τὸ τῆς ἀρχῆς ἔχειν ἴδιον καὶ τὸν ἀρχηγέτην συνονομάζειν[14]) τῷ πράγματι. δέξαιτο γὰρ ἂν ὁ τῆς ἀρχῆς κρατῶν τὸ τοιοῦτον σχῆμα ῥᾳδίως, ἐπεὶ καὶ πολλὴν ἔχει τὴν ἐξουσίαν καὶ[15]) ἐκτεινομένην προφάσει τῆς ταμειακῆς κτήσεως καὶ εἰς τόπους ἑτέρους, καὶ ὅλως ἔσται σεμνὴ τοσούτοις ἐφεστῶσα πράγμασί τε καὶ ἀνθρώποις, καὶ διαθήσει γε εὐκολώτερον ἅπαντα τῆς στρατιωτικῆς αὐτῷ παραζευγνυμένης

13) Ven. inter lineas ἀνθύπατος καππαδοκίας. 14) Nec vetus interpres nec recentiores interpretes hunc locum intellexerunt. vertendum: ut et eius magistratus habeat proprium nomen scil. proconsulis Cappadociae) et nominet simul cum ea re principem (scil. imperatorem Iustinianum). 15) Deest in Ven. et Bas. neque ab Auth. agnoscitur. sed πολλὴν ἐξουσίαν habet, quia civilibus et militaribus rebus praeest, et praeterea ἐκτεινομένην ἐξουσίαν, quia domorum extra Cappadociam sitarum curam gerit; ideoque copula καὶ opus est.

ἰσχύος. τὰ μὲν οὖν πολιτικὰ πράξει κατὰ τοῦτο δὴ τὸ συνειθισμένον, τῶν στρατιωτῶν δὲ ἡγήσεται σφόδρα εὐκόλως οἷα κἀκείνων ὑποκεκλιμένων αὐτῷ. [§. 1.] προσεχέτω δὲ μάλιστα τὸν νοῦν τῇ τῶν ταμειακῶν διοικήσει πραγμάτων, ἅπερ εἰς οὕτω δεινὴν καὶ πανταχόθεν κεκαπηλευμένην ἐξωλίσθησεν ἐμπορίαν[15a]), ὡς μηδενὸς ἄξια σχεδὸν αὐτὰ καθεστάναι. τοσαῦτα γὰρ μεμαθήκαμεν ἁμαρτάνεσθαι κατὰ τὴν χώραν, ὅσα μόλις ἀνδρὶ τῶν μεγίστων ἔσται πρὸς θεραπείαν εὔκολα. οἱ γὰρ τὰς τῶν δυνατῶν ἐπιτροπεύοντες κτήσεις, ἀλλ' ἤδη καὶ ἐρυθριῶμεν εἰπεῖν μεθ' ὅσης ἀλλῶνται[16]) τῆς ἀτοπίας, καὶ ὡς δορυφόροι τε αὐτοὺς θεραπεύουσι καὶ πλῆθος ἀνθρώπων οὐ φορητὸν[17]) ἀκολουθεῖ καὶ λῃστεύουσιν ἅπαντες ἀναιδῶς, καὶ θαυμάζομεν ὅπως ἄχρι νῦν τὸ κατ' ἐκείνην ὑπήκοον ἐξήρκεσεν ἀδικούμενον. τοιγαροῦν ἡμέρας ἑκάστης εὐχομένοις τε ἡμῖν καὶ τὰ κοινὰ πράττουσι πλῆθος πρόσεισι Καππαδοκῶν ἀδικουμένων, καὶ πολλοὶ μὲν ἐν αὐτοῖς ἱερεῖς, γυναῖκες δὲ ὡς πλεῖσται, καὶ πάντες ὀδύρονται καὶ τὴν τῶν οἰκείων ἀφαίρεσιν αἰτιῶνται πραγμάτων, ἐπεὶ μήτις ἐστὶ σύνεγγυς ὁ τὰ τοιαῦτα κωλύειν ἰσχύων. ἡ ταμειακὴ δὲ κτῆσις ἤδη σχεδὸν ἰδιωτικὴ γέγονεν ὅλη, διασπωμένη τε καὶ ἁρπαζομένη σὺν αὐταῖς ταῖς τῶν ἵππων ἀγέλαις, ἀντιφθεγγομένου παντελῶς οὐδενὸς, ἀλλὰ τοῦ στόματος αὐτοῖς ἐμφραττομένου χρυσίῳ.

ς'. Διὰ ταῦτα τοίνυν ἕνα τῶν ἡμῖν γνωριμωτάτων ἐπιστῆσαι τῇ χώρᾳ ταύτῃ βουλόμεθα, ὃς δὴ ταύτης τῆς τριπλῆς ἡγήσεται τάξεως, μόνος ἐν αὐτῷ τὴν ὅλην περιφέρων ἀρχήν τε καὶ ἐξουσίαν, καὶ χρώμενος μὲν τοῖς παρασήμοις τῆς πολιτικῆς ἀρχῆς, ὄχημά τε ἐξ ἀργύρου καὶ πέλεκυν καὶ ῥάβδους ἔχων καὶ ὅσα σημεῖα καθέστηκεν ἀρχαῖα τοῦ νόμου. ἐπιτάξει δὲ καὶ τοῖς στρατιώταις, καὶ ἐπιμελήσεται τῶν ταμειακῶν πόρων, ὥστε φοιτᾶν αὐτοὺς

15a) Hal. ἀπορ. 16) Ven. ἀλῶνται. Ita etiam Hal. in notis. 17) Ven. φωρητῶν.

ἀνελλιπῶς ἁπάσαις ταῖς ἐπὶ τούτῳ τεταγμέναις ἀρχαῖς, καὶ πολλῷ μᾶλλον εἰς τὰ ἡμέτερα βασίλεια, καθάπερ καὶ νῦν προσέρχονται προφάσει τῶν τε εἰς ἡμᾶς κομιζομένων, τῶν τε εἰς τὴν θειοτάτην καὶ εὐσεβεστάτην Αὐγούστην τὴν ἡμετέραν σύμβιον, ἔν τε χρυσίῳ καὶ ἐσθῆτι· οὐδὲν γὰρ ἐκεῖθεν ἐλαττωθῆναι βουλόμεθα. [§. 1.] οὐ μὴν κατὰ τὸ τοιοῦτον δίδοσθαι σχῆμα καθάπερ μέχρι νῦν ἔκ τε κλοπῶν καὶ τῆς τῶν ὑποτελῶν ἐπηρείας καὶ δόσεως ὀνόματι (ταῦτα γὰρ ἅπαντα καὶ μισοῦμεν καὶ τῆς ἡμετέρας ἐκβάλλομεν πολιτείας), ἀλλ' ἐξ αἰτιῶν δικαίων τε καὶ νομίμων, ἃς καὶ ὑποτεθῆναι τῷδε τῷ θείῳ ἡμῶν παρεκελευσάμεθα νόμῳ, ὥστε ταύτας κομιζόμενον τὸν κατὰ καιρὸν ἔχοντα τὴν ἀρχὴν εἰσφέρειν ὡς εἴρηται τὰς quinquaginta[18]) τοῦ χρυσίου λίτρας τῇ θειοτάτῃ Αὐγούστῃ τῇ ἡμετέρᾳ συμβίῳ. τὴν γὰρ ἀρχὴν προῖκα καθιστῶμεν ἡμεῖς, καὶ ἀδωρότατον[19]) τὰς χειροτονίας ἐπ' αὐτῇ τίθεμεν, καὶ ἔσται παντελῶς οὐδὲ εἷς ὃς ὑπὲρ ταύτης τι λήψεται. [§. 2.] ἀλλὰ καὶ σίτησιν αὐτῷ μὲν ἄχρι χρυσίου λιτρῶν viginti[20]) δίδομεν καθὰ ὑποτέτακται, τῷ δὲ αὐτοῦ παρέδρῳ ἄχρι χρυσίου λιτρῶν δύο παρέχομεν[21])· λήψεται δὲ καὶ ἡ τάξις ἑκατέρα τὸ παρὰ τοῦ δημοσίου μέχρι νῦν χορηγούμενον κατ' οὐδὲν παντελῶς ἐλαττούμενον. οὐδὲ γὰρ κατά τι τὴν ἀρχὴν ταύτην ἐλαττοῦμεν, καὶ μάλιστα τοῦ ἐνδοξοτάτου πραιποσίτου[22]) τῶν θείων ἡμῶν κοιτώνων. μένειν γὰρ ἐπὶ Καππαδοκίᾳ καὶ αὐτὴν καὶ τὴν ὑπ' αὐτὴν τῶν καθωσιωμένων παλατίνων σχολὴν ἐπὶ τῆς ὁμοίας ἐξουσίας τε καὶ τάξεως καὶ ταὐτοῦ σχήματος θεσπίζομεν, οὐδὲν μέντοι παντελῶς ἐντεῦθεν κομιζομένην οὔτε λόγῳ συνηθειῶν

18) Ven. supra lineam πεντήκοντα. 19) Hal. ἀδωροτάτας. 20) Hal. ι'. Bas. η'. 21) Ven. παρέξει. 22) Illud τοῦ πραιποσίτου pendet ab ἐλαττοῦμεν τὴν ἀρχήν. huc pertinet quod schol. XXV ad Iuliani c. 82 (ed. Haenel p. 181) de comite domorum habet: „Ordinabat autem et praepositos sacri cubiculi, et hoc innovatum est per praesentem constitutionem et quidem ut ipse quem vult non mittat, sed quem princeps voluerit mittere".

οὔτε ἀννόνων, οὔτε ἐν χρυσίῳ οὔτε ἐν ἐσθῆτι οὔτε ἐν ἑτέροις εἴδεσιν, οὔτε παρὰ τοῦ κατὰ καιρὸν ἀνθυπάτου οὔτε παρὰ τῆς αὐτοῦ τάξεως. οὐ γὰρ ἂν ἄλλως τὸ καθαρὸν φυλαχθείη. ὑπὸ μίαν γὰρ τὸ πρᾶγμα συνάγομεν ἐπὶ τῆς χώρας ἀρχήν, ἵνα μὴ τῷ διεσπᾶσθαι χωλεύῃ.

ζ'. Πρόνοιαν τοίνυν καὶ αὐτὸς ὁ παρ' ἡμῶν στελλόμενος θήσεται πολλὴν τῆς ταμειακῆς κτήσεως, καὶ ὄψεται τὸ παραιρεθὲν τῆς ταμειακῆς γῆς καὶ μάτην ὑφ' ἑτέρων κατεχόμενον, εἴτε ἐν νομαῖς εἴτε ἐν ἀροσίμοις εἴτε ἐν οἰνοφύτοις τόποις εἴτε ἐν[23] *χωρίοις εἴτε ἐν οἴκοις, καὶ ἐκδικήσει τῷ πράγματι*[24] *τὴν ἀρχαίαν γῆν, οὐδεμιᾶς ἀντιτιθεμένης αὐτῷ χρονίας παραγραφῆς. οὐ γὰρ ἄν τις ἀντιθείη τοιοῦτό τι τῷ δημοσίῳ, οὐδὲ πρὸς κέρδος πράττων, οὐδὲ ἵνα τὴν οὐσίαν αὐξήσειεν τὴν αὐτοῦ· τοῦτο γὰρ ἐλάττωσις μᾶλλον ἤπερ αὔξησίς ἐστι, τὸ χερσὶ ῥυπώσαις χρώμενον οἴεσθαί τι κερδαίνειν, ὅπερ ὕστερον ἀποτίσει σὺν ἀσεβείᾳ τε καὶ αἰσχύνῃ πολλαπλάσιον.* [§. 1.] *ἀλλὰ καὶ τὴν πόλιν διαφυλάξει παντοίως ἀτάραχον, καὶ στάσιν οὐ συγχωρήσει λυμήνασθαι τῷ πολιτεύματι. τοὺς δημοσίους τε φόρους ἀγρύπνως καὶ μετὰ δικαιοσύνης εἰσπράξει οὐδὲν τῶν κατ' ἐκείνους ἀμελῶν, οὐδὲ συγχωρῶν ἢ τὸ δημόσιον ἢ τοὺς ἰδιώτας κατά τι περὶ τὰ οἰκεῖα ζημιοῦσθαι, οἷα τὴν κατὰ πάντων ἐξουσίαν ἔχων, εἴτε στρατιῶται εἴτε σκρινιάριοι τῶν τε ἐνδοξοτάτων ὑπάρχων τῶν τε ἀνδρειοτάτων εἶεν στρατηγῶν, εἴτε πολιτικὴν ἔχοιεν τάξιν εἴτε ταμειακὴν ζώνην, εἴτε ἐπὶ μειζόνων εἴτε ἐπ' ἐλαττόνων ἀξιωμάτων εἰσίν, εἴτε ἐν ἱερεῦσι τελοῖεν. εἷς γὰρ οὗτος ἅπασιν ἄρχων ἐπιστήσεται, τῆς τε αὐτὸς*[25] *αὐτοῦ δόξης τῶν τε ἡμετέρων νόμων τοῦ τε θεοῦ πρὸ πάντων μεμνημένος. ὃς τοὺς μὲν δημοσίους φόρους διὰ τῆς ἀνθυπατιανῆς τάξεως ἀνελλιπῶς εἰσκομίζε-*

23) Deest in Ven. 24) I. e. *τῇ ταμειακῇ κτήσει.* 25) Hal. *αὐτῆς.* Bas. *τῆς τε* omittunt. quid si legamus *αὐτὸς τῆς αὐτοῦ?*

σθαι φροντιεῖ, τοὺς δὲ ταμιακοὺς πόρους διὰ τῶν ὑποκειμένων ἐκείνῳ πρῴην τῷ θρόνῳ προσώπων εἰσοίσει, καὶ τοῖς ἐξ ἔθους προσταττομένοις παρὰ τῶν ἐνδοξοτάτων πραιποσίτων τῶν θείων ἡμῶν προσέχων κοιτώνων. μὴ δυναμένων τῶν κατὰ καιρὸν ἐκπεμπομένων κανονικαρίων παρὰ τοῦ ἐνδοξοτάτου πραιποσίτου μέχρι ὀβολοῦ γοῦν ἑνὸς κομίζεσθαί τι ἢ ὀνόματι συνηθειῶν ἢ ἑτέρας τῆς οἱασοῦν αἰτίας παρὰ τοῦ κατὰ καιρὸν σουμμαρίου, ἢ τῶν τὰς δημοσίας εἰσπράξεις ποιουμένων ἢ τοῦ περιβλέπτου ἀνθυπάτου ἢ τῆς τάξεως τῆς αὐτοῦ ἢ τῶν καλουμένων κατασκευαστῶν ἢ πραιποσίτου ἢ ἑτέρου οἱουδήποτε προσώπου ἀνήκοντος τῇ θείᾳ ἡμῶν περιουσίᾳ. τὸ στρατιωτικὸν δὲ ἑκατέρᾳ τῶν φροντίδων τούτων βοηθήσει. παύσει τε τοὺς τῶν δυνατῶν δορυφόρους, καὶ οὐ συγχωρήσει τὰ χωρία πορθεῖσθαι καὶ λῃστεύεσθαι. οὐδὲ αὐτὸς περιελεύσεται ταῦτα, καθάπερ οἱ πρῴην ἐποίουν κόμητες. οὐ μὴν οὐδὲ τοποτηρητὰς ἐκπέμψει, ἀλλὰ τοῖς τῶν τόπων ἐκδίκοις καὶ τοῖς ἐκ τῆς αὐτοῦ τάξεως πρὸς ὑπουργίαν χρήσεται. [§. 2.] εἰ δέ που καὶ στρατιωτῶν αὐτῷ δεήσει, τοὺς ἐκ τῶν τόπων ἐν οἷς ἡ χρεία καλεῖ βοηθεῖν προστάξει, καὶ οὗτοι δαπάναις οἰκείαις πάντα πράξουσι, καὶ οὐδὲν ζημιώσουσι τοὺς ὑπηκόους, οὐδὲ καταναλώσουσι προῖκα. ἀλλ' αὐτός τε τούτων ἀφέξεται χρώμενος δαπάναις οἰκείαις ἔνθα ἂν εἴη κἂν εἰ πρὸς ἑτέραν αὐτὸν προστάξοιμεν ἐλθεῖν χώραν, ὅ τε πάρεδρος αὐτοῦ καὶ ἡ λοιπὴ θεραπεία ἀνθυπατιανῶν τε καὶ στρατιωτῶν, καὶ εἴ τι τούτοις ἅπασιν οἰκετικόν τε καὶ ἐν ὑποζυγίοις ἕπεται· ἀνάγκην ἐχόντων καθάπερ εἰπόντες ἔφθημεν τῶν στρατιωτῶν (καὶ εἴ τινες κατὰ τοὺς τόπους ἔχουσι[25a]), σχολάριοι τυχὸν ἢ δομέστικοι) τοῖς ἐπιτάγμασι πείθεσθαι τοῖς αὐτοῦ, τὸν ἐπὶ τῇ ζώνῃ καὶ τῇ περιουσίᾳ κίνδυνον εὐλαβούμενοι. δίδομεν γὰρ αὐτῷ παῤῥησίαν καὶ ταύτης αὐτοὺς ἀφαιρεῖσθαι,

25a) Auth.: habitant, i. e. *οἰκοῦσι*.

εἰ μὴ τοῖς ὑπ᾽ αὐτοῦ προσταττομένοις ὑπουργοῖεν, διότι βουλόμεθα τὸν τὴν ἀρχὴν ἔχοντα ταύτην φοβερόν τε καὶ αἰδέσιμον τοῖς ὑπηκόοις καθεστάναι. καὶ γὰρ εἴτε στρατιώτης ἢ ἀνθυπατιανὸς ἢ σχολάριος ἢ δομέστικος προφάσει τῶν ἐπιταγμάτων τῶν αὐτοῦ ζημιώσειε τὸν ἡμέτερον ὑποτελῆ, τοῦτο προσῆκόν ἐστιν αὐτὸν ἐκ τῶν ἐκείνου σιτήσεων οἰκείῳ κινδύνῳ λαβόντα θεραπεῦσαι τὸν ἠδικημένον. οὐ συγχωρήσει τε παντελῶς οὐδενὶ οὐδὲ τῶν ἐντεῦθεν φοιτώντων ἀδικεῖν τοὺς ἡμετέρους ὑποτελεῖς. [§. 3.] *ἀλλὰ καὶ τὸν τῶν δημοσίων ἵππων δρόμον ἀνεπηρέαστον φυλάξει· οὐδὲν γὰρ ἐξαιροῦμεν τῆς δικαιοδοσίας τῆς αὐτοῦ· καὶ εἴ τις τῶν ἐξ οἱουδήποτε δικαστηρίου πρὸς τὴν χώραν φοιτώντων ἀδικοίη καὶ ὑπὲρ τὸ τεταγμένον ἀπαιτοίη, τοῦτον μετελεύσεται.*

η᾽. Φροντιεῖ δὲ καὶ τῆς πόλεως καὶ τῶν καλουμένων σιτωνικῶν καὶ τῶν ἔργων τῶν αὐτῆς, καὶ παρασκευάσει κατὰ τὸν ἡμέτερον νόμον[26]) *συγγράφεσθαι τοὺς λογισμοὺς καὶ δαπανᾶσθαι καὶ τὰ ταμειακὰ καὶ πολιτικά. καὶ εἴ τινα εὕροι τούτων τῶν τὰς συνήθεις δῆθεν ἐμφανεῖς καθιστώντων προστάξεις, ὅτι τὶς ἀφαιρεῖται τοῦ ὕδατος τοὺς ὁλκοὺς ἢ ὅπως τὰ περὶ τὸ τεῖχος διάκεινται ἢ εἴ τινες εἰσὶ γέφυραι κατὰ τὴν χώραν, ὁδοί τε ὅσαι, καὶ εἴ τις ἄλλη τοιαύτη κατὰ τὸ πάλαι κακῶς πολιτευσάμενον καθέστηκε πρόφασις, καὶ τοῦτον ἀπελάσει πάντως τῆς χώρας, οὐ συγχωρῶν αὐτῷ οὐδὲ ἐμφανῆ τοιαύτην καταστήσασθαι πρόσταξιν οὐδὲ κέρδος τὶ παντελῶς ἐκεῖθεν λαβεῖν. εἰ γάρ τινα συνίδοιμεν ἐποψίαν γενέσθαι, ταύτην ἡμεῖς θείῳ πραγματικῷ χρώμενοι τύπῳ πρὸς τὸν τὴν ἀρχὴν ἔχοντα ταύτην καὶ τῷ σῷ περὶ τούτων θρόνῳ κοινούμενοι τὸ πρᾶγμα διαθήσομεν, ὥστε μηδενὶ τὰς τοιαύτας ἀργυρολογίας βατάς τε καὶ ἐπιδρόμους ῥᾳδίως γίνεσθαι. ὁ δὲ τὴν ἀρχὴν ἔχων μάλιστα μὲν οἴκοθεν πάντ κωλύσει· εἰ δέ τινος καὶ σφοδροτέρου δεηθείη, μηνύσει τ*

26) Cod. I, 4, 26.

πρὸς τὴν σὴν ὑπεροχὴν, πρός τε τον ἐνδοξότατον πραιπόσιτον, πρός τε τοὺς ἄλλους πανευφήμους ἄρχοντας οἷς τίς ἐστι πρὸς τὸ πρᾶγμα μετουσία, πρός τε ἡμᾶς αὐτούς· ἡμεῖς τε αὐτῷ τὸ πρακτέον ὑφηγησόμεθα. [§. 1.] σανίδας δὲ ἀνατίθεσθαι κατὰ τὴν ἐπαρχίαν ἧς ἄρχει προσηγορίαν τινῶν ἐχούσας (ἐξῃρημένης τῆς βασιλείας καὶ τοῦ ταμείου) κωλύσει τοσοῦτον, ὥστε καὶ δημοσίαν ποιεῖν τὴν οὐσίαν τῶν τοιοῦτό τι πράττειν ἐπιχειρούντων, καὶ χειρῶν ἀφαιρεῖσθαι τοὺς ταύτας ἐπιτιθέντας, εἰ παρόντες αὐτοὶ τολμῷεν, εἰ δὲ οἱ τῶν ἀπόντων προνοοῦντες, μεγάλαις ἐκείνους ὑποθήσει βασάνοις. τοὺς μέντοι τίτλους ὅστις δήποτε τολμήσειεν εἴτε παρὼν εἴτε ὑπὲρ ἀπόντος πράττων ἀναθεῖναι καθελὼν εὐθὺς περιῤῥήξει ταῖς τῶν ἀναθέντων κεφαλαῖς, εἰδὼς ὡς εἰ ταῦτα μαθὼν ῥᾳθυμήσειεν, αὐτὸς ἐπὶ τοῖς ἑαυτοῦ πράγμασι τῆς δημεύσεως αἰσθήσεται.

θ΄. Τῶν δικῶν δὲ ἐπιμελήσεται σὺν πάσῃ συντονίᾳ, καὶ οὐκ ἐάσει τὸ γεωργικὸν καθάπερ μέχρι νῦν ἀδικεῖσθαι, οὐδὲ ἐνοχλήσουσιν ἡμᾶς ἔτι Καππαδόκαι πολλὰ βοῶντές τε καὶ προσκυνοῦντες καὶ ὀδυρόμενοι, ἀλλ' αὐτὸς αὐτοῖς διαιτήσει. ἡμεῖς γὰρ εἴ τινα ἴδοιμεν ἐλθόντα ὃς οὐ πρότερον αὐτῷ τὰ οἰκεῖα προσωδύρατο πάθη, τοῦτον αὖθις ἐπὶ τῆς χώρας σὺν ἀτιμίᾳ στελοῦμεν, διότι τὸν ἄρχοντα καταλιπὼν εὐθὺς ἔδραμε πρὸς ἡμᾶς. εἰ δὲ οἱ μὲν προσίοιεν καὶ λέγοιεν τοὺς ἀδικοῦντας, αὐτὸς δὲ ἐκδεδιῃτημένος ἤδη καὶ τρυφῶν οὐκ ἐπιστρέφοιτο τῶν λόγων, ἀλλ' οἰμώζειν τοὺς ἱκετεύοντας καταλιμπάνοι, οἱ δὲ ἀναγκασθεῖεν τρέχειν εἰς ἡμᾶς, καὶ μάλιστα εἰ γυναῖκες εἶεν, ἡμεῖς τε μάθοιμεν ὡς οἱ μὲν προσῆλθον ὁ δὲ οὐκ ἠμύνατο, τὸ πρᾶγμά τε εὐθὺς ὑποπτεύσομεν ὡς ἢ διὰ κέρδος ἢ διὰ χάριν ἢ διὰ θεραπείαν τινῶν γενόμενον, ἑαυτούς τε αὐτῷ[27]) παντοίως ἀντιστήσομεν, καὶ τριπλῆς αὐτῷ τῆς ἀρχῆς οὔσης τριπλασίονα καὶ τὴν

27) Ven. ἐπ' αὐτούς τε αὐτόν.

ἀντίστασιν ἕξει, πολεμοῦντος αὐτῷ τοῦ δικαίου τε καὶ ἡμῶν καὶ τῶν νόμων. [§. 1.] *ἅπερ αὐτὸν προσήκει δεδιότα καὶ τῶν ἡμετέρων παραγγελμάτων ἀναμιμνησκόμενον, ἅτινα δώσομεν αὐτῷ σὺν τοῖς τῆς ἀρχῆς συμβόλοις (ἐκάλουν δὲ ταῦτα καὶ οἱ πάλαι μανδάτα πρινκίπις), πάντα πράττειν κατὰ τὸν ἡμέτερον σκοπὸν, γνώμης τε ἰσότητι καὶ καθαρότητι χειρῶν χρώμενον καὶ δικαιοσύνην τιμῶντα, ἧς οὐδὲν ἐν ἀνθρώποις ἐστὶν ἰσχυρότερόν τε καὶ κάλλιον, οὐδὲ οἰκειοῦν θεῷ τε καὶ βασιλεῖ μᾶλλον δυνάμενον. ὄντα γὰρ αὐτὸν τοιοῦτον καὶ οὕτω παρ' ἡμῶν μαρτυρούμενον μόνον ἅπαντα πράττειν κατὰ τὴν ἐπαρχίαν βουλόμεθα, οὐδὲ δικῶν ἑτέρου τινὸς ἀκροωμένου, οὔτε ἡμῶν ῥαδίως αἱρησομένων ἑτέρῳ τινὶ παραπέμπειν αὐτὰς οὔτε ἐκπεμψόντων τινὰς ἢ προφάσει τοῦ βίας κωλύειν ἢ κατ' ἄλλην οἱανοῦν δήποτε αἰτίαν· πρὸς τῷ κἂν εἴ τι τοιοῦτο μέχρι νῦν γέγονεν ἢ ἐκ θείων ἡμετέρων τύπων ἢ ἐκ προστάξεων ἀρχικῶν, τοῦτο πᾶσι σχολάζειν τρόποις, αὐτοῦ τὴν ὅλην ἀναλαμβάνοντος τῆς ἐπαρχίας διοίκησιν, καὶ ἑτέρῳ πάροδον ἔχειν παντελῶς οὐ συγχωροῦντος.*[28])

ι'. Καὶ ταύτην δὲ δὴ τὴν ἀρχὴν κατὰ τὸ[29]) *τῶν ἀνθυπάτων ἴδιον ἐν ταῖς περιβλέπτοις τίθεμεν. καὶ τάς γε ἐκκλήτους τὰς παρ' αὐτοῦ τὴν σὴν ὑπεροχὴν ἅμα τῷ ἐνδοξοτάτῳ κοιαίστωρι τοῦ θείου ἡμῶν παλατίου κατὰ τὸ τῶν* consultationων[30]) *σχῆμα κρίνειν βουλόμεθα. εἰ δέ τις ἐξ ἑκατέρας Καππαδοκίας δίκη πεντακοσίων ἐλάττων χρυσῶν ἐφέσιμος γένηται, εἴτε ἐξ ἡμετέρας κελεύσεως ὁ δεδομένος εἴη δικαστὴς εἴτε ἔκ τινος ἀρχῆς, ὡς μέντοι μὴ περίβλεπτον αὐτὸν καθεστάναι, ταύτης αὐτὸς ὁ περίβλεπτος ἀνθύπατος ἀκροάσεται κατὰ τὸ τοῦ θείου δικαστοῦ σχῆμα καὶ κατὰ τὸ θεῖον ἀκροατήριον. δίκαιον γὰρ αὐτῷ καὶ τοῦτο δίδομεν καὶ κοσμοῦμεν αὐτῷ τὴν ἀρχὴν προνομίᾳ τοσαύτῃ, ὅσην*

28) Ven. *συγχωροῦντες.* 29) Deest in Ven. 30) Ven. supra lineam *ἤτοι τῶν συνελεύσεων.*

οὐδεὶς μέχρι καὶ νῦν ἐν Καππαδόκαις τεθέαται. ἔστω τε οὖν δίκαιος καὶ ὑψηλογνώμων καὶ εἰς ἡμᾶς τε καὶ τὸν νόμον ὁρῶν, καὶ γινώσκων, ὡς εἰ μὲν ταῦτα τηροίη, μενεῖ τε ἐπὶ τῆς ἀρχῆς ἐπὶ μακρὸν, καὶ διαδέξεταί γε αὐτὸν ἴσως ἑτέρα μείζων ἀρχή· τῶν δὲ ἡμετέρων ἀμελήσας κελεύσεων καί τινας τῶν δυνατῶν, ἀλλ' οὐ τὸν νόμον καὶ ἡμᾶς θεραπεύων, θᾶττόν τε ἐκπεσεῖται τῶν δοθέντων, καὶ τὸ λοιπὸν ἐν κατεγνωσμένοις ἔσται τῆς ἡμετέρας φανεὶς ἀνάξιος κρίσεως.

ια'. Μοιχείας δὲ καὶ παρθένων ἁρπαγὰς καὶ πλεονεξίας καὶ ἀνδροφονίας, καὶ εἴ τι τῶν τοιούτων ἐστὶ πλημμελημάτων, οὕτω κολαζέτω πικρῶς ὡς ὀλίγων ἀνθρώπων τιμωρίᾳ τὸ λοιπὸν ἅπαν διηνεκῶς σωφρονίσαι, καὶ ἔστω μετὰ τοῦ νόμου σωφρονιστὴς ἀκριβὴς τῶν ἁμαρτανόντων· οὐ γὰρ ἀπανθρωπία τοῦτο, μεγίστη δὲ δὴ μᾶλλον φιλανθρωπία τὸ τῇ τῶν ὀλίγων ἐπιστροφῇ πολὺ τὸ σωζόμενον εἶναι. εἰ δὲ ἀνάσχοιτό τινος ἐπὶ τοιούτοις ἐγκαλουμένου, ὃς αὐτῷ ζώνην ἢ ἀξίαν ἢ ἱερωσύνην ἤ τι τοιοῦτο προβαλλόμενος ἤλπισεν ἑαυτὸν ἐξαρπάζειν τῶν ἐκείνου χειρῶν, ἴστω τῆς ἡμετέρας οὐκ ἄξιος φανησόμενος γνώμης· οὐδεμίαν γὰρ οὔτε ἰσχὺν οἰκείαν οὔτε τὴν ἑτέρωθεν προστασίαν οὐδεὶς προϊσχόμενος ἐπὶ τοιούτοις ἐγκλήμασι διαφεύξεται τὸν νόμον. ἀλλὰ καὶ εἴ τις ἐμβαλεῖν ἑαυτὸν τοιαύταις θαῤῥήσειε προστασίαις, καὶ αὐτὸς ὁμοίαν ὑφέξει τῷ πλημμελήσαντι τὴν ποινὴν, ταὐτὸν ὂν ἁμαρτεῖν τε αὐτὸν καὶ τὸν ἁμαρτόντα καὶ πλημμελήσαντα τηλικαῦτα σπεύδειν ἐξαρπάσαι τῶν τοῦ νόμου χειρῶν. [§. 1.] ὑποτεθήσεται δὲ τῷ νόμῳ καὶ ἀπογραφὴ δηλοῦσα τί μὲν αὐτὸν ἐκ τοῦ δημοσίου λαμβάνειν καὶ τοὺς περὶ αὐτὸν προσήκει, τί δὲ προφάσει διδόναι τῶν συμβόλων, τί δὲ εἰσφέρειν τῷ εὐσεβεῖ οἴκῳ τῆς θειοτάτης Αὐγούστης τῆς ἡμετέρας συμβίου, δηλαδὴ τριμερῶς τῶν quinquaginta librarum auri[31]) εἰσκομιζομένων, τοῦτο δὴ τὸ

31) Ven. inter lineas ἢ πεντήκοντα χρυσίου λιτρῶν.

καὶ ἄνωθεν καὶ μέχρι νῦν κεκρατηκός. [§. 2.] καὶ καθαρῶς τοῖς ἡμετέροις ὑπηκόοις (τοῦτο ὅπερ πολλάκις εἰρήκαμεν) χρήσεται, πρᾶγμα διεσπουδασμένον ἡμῖν καὶ χρημάτων ἀμελῆσαι παρασκευάσαν μεγάλων, καίτοιγε ἐν τοσαύταις δαπάναις καὶ πολέμοις μεγάλοις δι' ὧν δέδωκεν ἡμῖν ὁ θεὸς πρὸς Πέρσας τε ἄγειν εἰρήνην, καὶ Βανδίλους τε καὶ Ἀλανοὺς καὶ Μαυρουσίους χειρώσασθαι, καὶ Ἀφρικὴν ὅλην καὶ πρός γε καὶ Σικελίαν κατακτήσασθαι, καὶ ἐλπίδας ἔχειν ἀγαθὰς, ὅτι καὶ τῶν λοιπῶν ἡμῖν τὴν ἐπικράτειαν νεύσειεν ὁ θεὸς ὧνπερ οἱ πάλαι Ῥωμαῖοι μέχρι τῶν πρὸς ἑκάτερον ὠκεανὸν ὁρίων κρατήσαντες ταῖς ἐφεξῆς ἀπέβαλον ῥαθυμίαις· ἃς ἡμεῖς τῇ παρὰ θεοῦ συμμαχίᾳ θαῤῥοῦντες ἐπὶ τὸ κρεῖττον μεταβάλλειν σπεύδομεν, οὐδέν τε ὀκνοῦμεν τῶν εἰς ἐσχάτην δυσκολίαν ἡκόντων, ἀγρυπνίαις τε καὶ ἀσιτίαις καὶ τοῖς ἄλλοις ἅπασι πόνοις ὑπὲρ τῶν ἡμετέρων ὑπηκόων διηνεκῶς καταχρώμενοι. ἐντεύξεται δὲ καὶ τοῖς παραγγέλμασιν ἡμῶν, ἅπερ δώσομεν αὐτῷ μετὰ τῶν συμβόλων τῆς ἀρχῆς καθὰ ἔμπροσθεν[32]) εἰρήκαμεν, καὶ εἴπερ κατ' ἐκεῖνα πράξειεν ἅπαντα, θαυμαστός τε ἔσται καὶ διὰ πάντων ἄξιος τῆς ἡμετέρας φανήσεται ἀρχῆς τε καὶ κρίσεως.

Ταῦτα τοίνυν ἅπαντα τὰ διὰ τοῦδε τοῦ θείου νόμου δηλούμενα ἡ σὴ ὑπεροχὴ γινώσκουσα τάς τε εἰρημένας σιτήσεις τῷ τῆς ἀρχῆς ταύτης διδότω θρόνῳ, οὕτω τε αὐτὴν ἴστω σεμνὴν γενομένην, ὡς πολλοῖς εἰκὸς ἔσεσθαι περισπούδαστον τῇ τοῦ νῦν αὐτῇ δοθέντος παρ' ἡμῶν ἄνθους τε καὶ ἀξιώματος ἐπιθυμίᾳ. Dat. XV. Kal. April. Constantinop. post consul. Belisarii V. C.[33])

32) Ven. πρόσθεν. 33) Subscriptio in Ven. deest. Athanas. ut in Auth.: ἐγράφη πρὸ ιε' καλ. ἀπριλίων μετὰ τὴν ὑπατείαν βελισαρίου. Theod.: ἐξεφωνήθη μηνὶ ἀπριλίῳ (omissis XV. Kal. ut assolet) μετὰ τὴν ὑπ. βελισ.

Auth. 31. XLV. Nov. 31.

In Basil. VI, 14 habetur c. 1—3. — Summas praestant Iulian. c. 39, Athanas. IV, 11, Theod. Nov. 31.

Περὶ διατυπώσεως τῶν τεσσάρων ἀρχόντων Ἀρμενίας.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Τὰ μάτην κείμενα καὶ ἐκκεχυμένως εἰ πρὸς τὴν προσήκουσαν ἀφίκοιτο τάξιν καὶ διατεθείη καλῶς, ἕτερά τε ἀνθ' ἑτέρων τὰ πράγματα φαίνοιτο, καλλίω τε ἐκ χειρόνων, ἐξ ἀκόσμων τε κεκοσμημένα, διηρθρωμένα τε καὶ διακεκριμένα ἐκ τῶν ἔμπροσθεν ἀτάκτων τε καὶ συγκεχυμένων. τοῦτο καὶ ἐπὶ τῆς Ἀρμενίων χώρας ἁμαρτανόμενον εὑρόντες ᾠήθημεν χρῆναι πρὸς μίαν ἁρμονίαν τάξαι αὐτὴν, καὶ ἐκ τῆς εὐταξίας ἰσχύν τε αὐτῇ δοῦναι τὴν προσήκουσαν, τάξιν τε ἐπιθεῖναι τὴν πρέπουσαν.

α΄. Τοιγαροῦν τέσσαρας εἶναι πεποιήκαμεν Ἀρμενίας, τὴν μὲν ἐνδοτάτην, ἧς ἡ μητρόπολις τῇ τῆς εὐσεβοῦς ἡμῶν προσηγορίας ἐπωνυμίᾳ κατακεκόσμηται πρότερον Βαζανὶς[1]) *ἤτοι Λεοντόπολις καλουμένη, ἥνπερ καὶ ἀνθυπατείᾳ τετιμήκαμεν, ἧς Ἀκάκιος προέστηκεν ὁ μεγαλοπρεπέστατος,*[2]) *σπεκταβιλίαν τε ἀποφήναντες τὴν ἀρχὴν καὶ πάντα δόντες αὐτῇ ὁπόσα προσῆκόν ἐστιν ἀνθυπατείαν ἔχειν· στολῇ τε*

1) Bas. *Βεζανίς*. Theod. *Βαζάνη*. 2) Lex qua hoc factum sit non extat; cf. tamen c. XXXIII not. 1. Iustinianus hanc formam interiori Armeniae dedit post XVII Kal. Aug. anni 535; nam tum temporis, ut ex c. XXXI pr. constat, Trapezus et Cerasus sub moderatore Helenoponti constitutae sunt. Videatur etiam Hierocles ed. Parthey p. 37.

γὰρ αὐτὴν κατεκοσμήσαμεν ἀνθυπάτου καὶ πάντα ἀκόλουθα τούτοις ἔχειν διετυπώσαμεν· καὶ πόλεις αὐτῇ δεδώκαμεν Θεοδοσιούπολίν τε, ἣν καὶ πρότερον εἶχε, Σάταλάν τε καὶ Νικόπολιν καὶ Κολώνειαν ἐκ τῆς πρώτης Ἀρμενίας καλουμένης λαβόντες, Τραπεζοῦντά τε καὶ Κερασοῦντα ἐκ Πόντου τοῦ πρῴην Πολεμωνιακοῦ καλουμένου, χωρίσαντες αὐτῶν τὰς μὲν τοῦ λαμπροτάτου τῆς ἐπαρχίας ἄρχοντος, τὰς δὲ τοῦ περιβλέπτου μοδεράτωρος, ἑπτά τε πόλεσι τὴν ὅλην ἐπαρχίαν περιστήσαντες καὶ ὁπόσα τῆς περιοικίδος ἐστὶν αὐτῶν. [§. 1.] δευτέραν δὲ ἐτάξαμεν Ἀρμενίαν τὴν ἔμπροσθεν πρώτην[3]) καλουμένην, ἧς ἡγεῖται Σεβάστεια πόλις, αὐτῇ προσνείμαντες τήν τε τῶν Σεβαστοπολιτῶν[4]) ἣν καὶ πρότερον εἶχε, καὶ πρός γε Κόμανά[5]) τε ἐκ τοῦ καλουμένου πρῴην Πολεμωνιακοῦ Πόντου, καὶ Ζήλαν ἐκ τοῦ Ἑλενοπόντου, καὶ μὴν καὶ Βρίσαν[6]), ὥστε ἐν πέντε πόλεσιν εἶναι τὴν ἐπαρχίαν ταύτην, καὶ τὴν ἀρχὴν, ἡγεμονίαν οὖσαν, καταλιπόντες ἐπὶ τοῦ προτέρου σχήματος, καὶ τὸν ἄρχοντα αὐτῆς οὐδενὶ κοσμήσαντες ὀνόματι μείζονι, ἀλλ' ὃ πρότερον εἶχε, τοῦτο αὐτῷ καταλιπόντες. [§. 2.] ἐπὶ τούτοις τε τρίτην Ἀρμενίαν κατεστησάμεθα τὴν πρότερον δευτέραν, ἧς ἡγεῖται Μελιτηνὴ πόλις ἀρχαία, πόλις ἐπίσημος ἐν καλῷ τε γῆς καὶ ἀέρος κειμένη, καὶ οὐδὲ πόῤῥω διεστῶσα τῶν τοῦ Εὐφράτου ῥευμάτων. ταύτην ᾠήθημεν δεῖν κατὰ τὸ παρὸν αὐξῆσαι καὶ εἰς τὸ τῶν σπεκταβιλίων μεταστῆσαι σχῆμα, τόν τε ἄρχοντα ταύτης Ἰουστινιανὸν ὀνομάσαι κόμητα, δοῦναί τε αὐτῷ καὶ ὑπὲρ σιτήσεων solidos septingentos[7]), καὶ τῷ γε αὐτοῦ παρέδρῳ solidos septuaginta duos[8]), καὶ τῇ

3) Ven. πρῴην. Auth. videtur legisse προύσην. 4) Theod. σεβαστιανούπολιν. Hierocles: Σεβαστούπολις. 5) Hal. Theod. et Bas. Κόμαναν. Apud Hieroclem Κόμανα nominativo est. 6) Theod. Βέρισσαν. Auth.: Bersam. In Notitia 9 ex ed. Parthey p. 187 occurrit: ὁ Βιρήσσης. 7) Hal. νομίσματα ψ'. Theod. et Bas. νομ. τ'. Iulian. cum Ven. facit. Ven. tamen supra lineam habet τ'. 8) Ven. inter lineas οβ'.

: αὐτοῦ τάξει solidos sexaginta[9]), ἅπαντά τε ἔχειν ὁπόσα ὃν τοιούτων ἐστὶν ἴδια θρόνων. τούς τε πρῴην ὀνομαζο- ένους ταξεώτας πάντα μὲν πράττειν ὁπόσα καὶ ἔμπροσθεν, ιὶ μάλιστα περὶ τὴν δημοσίαν εἴσπραξιν ἠσχολῆσθαι, εἰς ὲ τὴν τῶν κομητιανῶν προσηγορίαν μεταβαλεῖν, πάντων ὑτοῖς οὕτω φυλαττομένων, ὡς ἡνίκα ταξεῶται καθεστήκε- αν.[10]) πόλεις δὲ ὑπεκλίναμεν αὐτῇ τοῦτο μὲν Ἄρκαν καὶ ἰραβισσὸν, τοῦτο δὲ Ἀριαράθειαν[11]), καὶ Κώμανα ἑτέραν καλοῦσι δὲ αὐτὴν καὶ Χρυσῆν[12])), καὶ Κουκουσόν[13]), ἃς αἱ πρότερον εἶχεν ἐν ἓξ πόλεσι συνεστῶσα. [§. 3.] συνε- τησάμεθα δὲ καὶ τετάρτην Ἀρμενίαν, ἣ πρότερον οὐκ εἰς παρχίας συνέκειτο σχῆμα, ἀλλὰ τῶν τε ἐθνῶν ἦν καὶ ἐκ ιαφόρων συνείλεκτο βαρβαρικῶν ὀνομάτων, Τζοφανηνή τε αὶ Ἀνζητηνὴ ἢ Τζοφανὴ, καὶ Ἀσθιανηνὴ ἡ καὶ Βαλαβι- ηνὴ[14]) καλουμένη καὶ ὑπὸ σατράπαις οὖσα. ἀρχῆς δὲ νομα τοῦτο ἦν οὐδὲ Ῥωμαϊκὸν οὐδὲ τῶν ἡμετέρων προγό- ων, ἀλλ' ἐξ ἑτέρας πολιτείας εἰσενηνεγμένον. κἀκείνην οίνυν ἀρχῆς πολιτικῆς ἐκοσμήσαμεν σχήματι, ἄρχοντά τε ολιτικὸν ἐγκαταστήσαντες, καὶ πόλιν τε αὐτῇ τὴν Μαρτυ- οπολιτῶν καὶ τὸ Κιθαριζὸν[15]) δόντες φρούριον. καὶ αὐτὴ ἐ ἐν τῷ τῶν ὀρδιναρίων ἀρχῶν κατέστη σχήματι κονσου- αρία[16]) παρ' ἡμῶν γενομένη, ὥστε τεσσάρων Ἀρμενιῶν ὐσῶν δύο μὲν εἶναι σπεκταβιλίας, τήν τε τοῦ ἀνθυπάτου

9) Ven. inter lineas ξ'. 10) Hal. καθεστήκεισαν. Bas. αθειστήκεισαν. 11) Hal. Ἀριαρσάθειαν. Theod. Ἀριαρωθείαν. ιpud Hieroclem est Ἀραραθία. 12) Hal. Χρουσήν. Sed heod. Χρυσίν, ut et Auth. Bas. Χρυσήν. 13) Theod. Κουα- ουσόν. Apud Hierocl. Κουκουσός. 14) Hal. Τζοφαεινή τε αὶ Ἀνζητηνὴ καὶ Ὀφηνὴ καὶ Ἀστειανειὴ καὶ Βαλαβιτηνὴ καλ. heodor.: τοφαινίνιν, βιτίνιν, ἀνζητίνιν, ζοφάνιν, ἀσιανίνην, αλαμιτίνην. Basil.: Τζοφανὴν ἤτε καὶ Ἀνζητινὴ ἢ Τζοφανὴ αὶ Ἀσθειανινὴ ἡ καὶ Γαλβιτινή καλ. videatur de his nomi- ibus Notitia 1 ex ed. Parthey p. 90. 15) Hal. Κιθαρίζην. heod. Κιθαριζόν. Bas. Κυθαριζόν. 16) Ven. supra lineam τοι ὑπατική.

τήν τε τοῦ κόμητος, καὶ ἀνθύπατον μὲν εἶναι τὸν τῆς πρω της ἡγούμενον Ἀρμενίας, κόμητα δὲ τὸν τῆς τρίτης, τὰ δὲ τῆς δευτέρας καὶ τετάρτης ὀρδιναρίους καθεστάναι. κ ἐπειδήπερ τοῦτο ἡμῖν διεσπούδασται, ὥστε τὰς ἄχρι τ πεντακοσίων νομισμάτων ἐκκλήτους οὐχὶ πρὸς ταύτην φέρ σθαι τὴν εὐδαίμονα πόλιν, ἀλλ' ἐπὶ τοὺς σύνεγγυς σπεκτ βιλίους ἄρχοντας, καὶ τοῦτο διατυποῦμεν, ὥστε τῷ μ ἄρχοντι τῆς πρώτης Ἀρμενίας, τουτέστι τῷ ἀνθυπάτῳ, τ ἐκ τῆς δευτέρας Ἀρμενίας ἐκκλήτους φέρεσθαι, τουτέ τὰς[17]) κατὰ Σεβάστειαν, τῷ δὲ τῆς τρίτης Ἀρμενίας κόμη τῷ κατὰ Μελιτηνήν φαμεν, τὰς ἐκ τῆς τετάρτης Ἀρμενί ἐκκλήτους μέχρι τοῦ ῥηθέντος ἀνήκειν ποσοῦ.

β'. Τούτων τοίνυν οὕτως ἡμῖν διατεταγμένων, κ κεῖνο προσδιορίσαι δίκαιον ἔτι νομίζομεν, ἐφ' ᾧ προστῆσ τῆς τρίτης Ἀρμενίας ἄνδρα σεμνὸν, ὑπουργηκότα τε ἡμ ἤδη καὶ ἄξιον τοῦ τῆς ἀρχῆς ὄγκου καὶ προσχήματ εὑρόντες τοίνυν Θωμᾶν τὸν μεγαλοπρεπέστατον ἤδη μ ἀρχὰς ἐπὶ τῆς Ἀρμενίων ἀνύσαντα χώρας, καὶ τἄλλα ἄνδρα χρηστὸν καὶ γνησίως ἡμῖν ὑπηρετησάμενόν τε κ ὑπηρετούμενον, αὐτὸν ἐπὶ τῇ τῆς ἀρχῆς ταύτης προβαλλ μεθα διοικήσει, ὥστε τέως μὲν τῆς ἐπαρχίας ταύτης ἡγε σθαι κατὰ τὸ ῥηθὲν ἡμῖν σχῆμα, προνοεῖν δὲ καὶ τῶ ἄλλων, ὁπόσα ἂν αὐτῷ ἢ διὰ θείων ἐπιτρέψαιμεν com monitoρίων[18]), εἴτε ἐπὶ τῆς ἐπαρχίας ἣν αὐτῷ παραδεδ καμεν εἴτε καὶ ἐπ' ἄλλαις· ὅπερ καὶ πεπράχαμεν θεῖα πρ αὐτὸν πεποιημένοι commonitoria[19]) περὶ πολλῶν καὶ διαφ ρων πράξεων, ἅσπερ[20]) αὐτὸν καὶ εἰς ἑτέρας χώρας προσ κόν ἐστιν εἰς ἔργον ἀγαγεῖν. [§. 1.] τὰ μέντοι περὶ τ ἱερωσύνας καθὰ πολλάκις εἰρήκαμεν μένειν κατὰ τὸ πρ τερον βουλόμεθα σχῆμα, οὐδὲν οὐδὲ περὶ τὸ μητροπολιτικ

17) Hal. τῆς. 18) Ven. supra lineam τουτέστι γραμμ των. 19) Ven. supra lineam γράμματα. 20) Ven. ἅπε emendavi ex Bas. et Auth.

δίκαιον οὐδὲ περὶ τὰς χειροτονίας τοῦ πράγματος ἀμειβομένου ἢ καινιζομένου, ἀλλὰ τῶν πρότερον χειροτονούντων καὶ νῦν ἐχόντων τὴν τῆς χειροτονίας ἐξουσίαν, καὶ τῶν πρότερον[21]) μητροπολιτῶν ἐπὶ τῆς ἑαυτῶν μενόντων τάξεως, ὥστε μηδὲν τό γε ἐπ' αὐταῖς[22]) καινισθῆναι.

γ'. Ἐκεῖνο μέντοι τῶν ἀνωμολογημένων ἐστὶν, ὡς ἐπειδήπερ τὸν τῆς τρίτης Ἀρμενίας κόμητα οὐ πολιτικὸν μόνον ἀλλὰ καὶ στρατιωτικὸν πεποιήκαμεν ἄρχοντα, ἀναγκαίως ἔχειν καὶ τοὺς στρατιώτας αὐτῷ τοὺς κατ' αὐτὴν ἱδρυμένους ὑποκεῖσθαι, ἄδειαν ἔχοντι καθὰ τοῖς στρατιωτικοῖς ἄρχουσιν ἐφεῖται καὶ πρὸς ὄνομα καλεῖν αὐτοὺς καὶ ἐπιζητεῖν καὶ προνοεῖν τῶν σιτήσεων αὐτῶν, καὶ ἐπεξιέναι τοῖς κατ' αὐτοὺς εἴπερ ἀδικοῖεν, καὶ μήτε συγχωρεῖν τοῖς στρατιώταις ἀδικεῖν τοὺς ὑπηκόους, εἰ δέ τι πράξαιεν σφοδρότερον καὶ ἐγκληματικῶν ἀκροᾶσθαι δικῶν, κἂν εἰ στρατιῶται καθεστήκοιεν, καὶ ἅπαντα πράττειν, ὁπόσα τοῖς στρατιωτικοῖς δεδώκαμεν ἄρχουσιν. καὶ ὥσπερ τῷ τε Ἰσαυρίας κόμητι τῷ τε τῆς Πακατιανῆς Φρυγίας, καὶ πρός γε τοῖς πραίτωρσι Λυκαονίας τε καὶ Πισιδίας καὶ Θρᾴκης καὶ τὸ στρατιωτικὸν ὑπεκλίναμεν[23]), οὕτω καὶ αὐτῷ μὴ μόνην εἶναι τὴν τῶν πολιτικῶν πραγμάτων τάξιν, ἀλλὰ καὶ τὴν τῶν στρατιωτικῶν ἐξουσίαν τε καὶ ἀρχὴν, καὶ εἶναι σεμνὸν αὐτὸν στρατιώταις τε καὶ ἰδιώταις κελεύοντα καὶ πάντα πράττοντα, ὡς μιᾶς δὴ τῆς ἀρχῆς καθεστώσης· καὶ μίαν τίθεσθαι πρόνοιαν τοῦ μηδὲν ἔγκλημα κατὰ τὴν ἐπαρχίαν ἁμαρτάνεσθαι, ἀλλὰ καὶ σωφρονισμοῖς ὑποβάλλεσθαι τοῖς προσήκουσι. ταύτης δὲ δὴ τῆς ἐξουσίας οὐκ ἀφαιρούμεθα παντελῶς αὐτὸν ἐπ' οὐδενὶ προσώπῳ τῶν κατὰ τὴν ἐπαρχίαν ὄντων, εἴτε ἰδιωτικῷ εἴτε στρατιωτικῷ εἴτε ταμειακῷ· μίαν γὰρ καὶ

21) Ven. προτέρων. 22) Scilicet subintelligendum ταῖς ἱερωσύναις. 23) Const. XVI. XXIII—XXVI. Galatiae comitis (cf. c. XVI) mentio posteriore demum tempore ob c. CLVIII deleta esse videtur.

συνεχῆ τὴν εἰρήνην ἐν ἅπασι τοῖς ὑπηκόοις τοῖς ἡμετέροις φυλάττεσθαι βουλόμεθα, οὐ τῇ διαφορᾷ τῶν προσώπων τὴν κατὰ τῶν νόμων εἰσάγοντες καταφρόνησιν.

Τὰ τοίνυν παραστάντα ἡμῖν ἡ σὴ ὑπεροχὴ κατὰ τὴν τῶν τεσσάρων Ἀρμενιῶν διατύπωσιν, καὶ μάλιστα κατὰ τὴν τῆς τρίτης ἧς κατὰ πρόφασιν τὸν παρόντα θεῖον ἐποιήσαμεν νόμον, νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον φυλάττεσθαι σπευσάτω, πάντων πραττομένων καὶ ἐγγραφομένων ταῖς μερικαῖς διατυπώσεσι τῶν θρόνων[24]) τῶν σῶν, ὁπόσα δίδοσθαι καθ' ἕκαστον ἔτος προσετάξαμεν. Dat. XV. Kalend. April. CP. post consul. Bilisarii V. C.

Auth. 20. XLVI. Nov. 20.

XLVI.

Basil. IX, 2, 1. — Duplex summa est apud Iulian. c. 25 et 120; brevissimas summas praestant Athan. VII, 1 et Theod. Nov. 20.

Περὶ τῶν ὑπηρετουμένων ὀφφικίων ἐν τοῖς σάκροις[1]) τῶν ἐκκλήτων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἤδη μὲν θεῖον ἐποιησάμεθα νόμον[2]) περὶ τῶν ἐφέσεων διαλεγόμενον, τίνα χρὴ παραφυλάττεσθαι τρόπον ἐπ' αὐταῖς, καὶ ὅθεν καὶ[3]) εἰς τίνας φέρεσθαι τὰς ἐκκλήτους, ὃν πρός τε τὴν σὴν ὑπεροχὴν, πρός τε τὸν ἐνδοξότατον ἡμῶν κατεπέμψαμεν κοιαίστωρα. ἔπειτα δὲ πολλὴ γέγονεν

24) Ven. ὁμοθρόνων.

1) Athan.: ταῖς ἄκραις, sed tit. XXII parat. §. 4 ταῖς ἀκροάσεσι. 2) Cuiacius const. XL, alii l. ult. C. de tempor. et reparat. appellat. 7, 63 significari putant. Ven. ad inscriptionem notat: βι. ζ' τοῦ κώδ. τί. ξβ' διατ. equidem constitutionem indicari crediderim, quae non extet. vide quae notavi ad const. XXIII not. 17 et ad const. XL not. 5. 3) καὶ omittit Ven.

ιφισβήτησις περὶ τῶν ὑπηρετουμένων ταύταις ὀφφικίων, ν μὲν ἐκ τοῦ θείου τῶν ἐπιστολῶν σκρινίου τὰς τῶν ectabilium δικαστῶν οἰκειουμένων ἐν ταῖς ἐκκλήτοις ὑπηιίας, τῶν δὲ ἐκ τοῦ θρόνου τῆς σῆς ὑπεροχῆς μέγιστα λούντων ἠδικῆσθαι, εἰ μεταβεβλημένου τοῦ σχήματος οὐι μόνοι ταῖς ἐκκλήτοις ὑπηρετήσουσι ταῖς ἀπὸ τῶν λαμοτάτων τῶν ἐπαρχιῶν ἀρχόντων ἐρχομέναις εἰς μόνον τὸ ν δικαστήριον, καθάπερ πρότερον ἦν, ἡνίκα ἐν θείῳ μὲν ὶ αὐτὸς ἠκροῶ δικαστηρίῳ, ὑπηρετεῖτο δὲ ἡ τάξις ἡ σή. ιὰ διὰ τὸ τῶν σπεκταβιλίων σχῆμα ἐν τάξει θείου ἀκροαιίου τῆς ὑποθέσεως κινουμένης, καὶ συνακροωμένου τῇ ὑπεροχῇ καὶ τοῦ ἐνδοξοτάτου ἡμῶν κοιαίστωρος, καὶ ιτέρου μέρους τὸ πᾶν οἰκειουμένου, καὶ συναχθέντων ρά τε τῇ σῇ ὑπεροχῇ καὶ τῷ ἐνδοξοτάτῳ ἡμῶν κοιαίστωρι λλάκις τῶν τε ἐκ τῶν θείων σκρινίων, οἵπερ ταῖς ἐφέσε' ὑπηρετοῦνται, τῶν τε ἐκ τῆς τάξεως τοῦ θρόνου τοῦ ῦ, τέλος εἴς τινα τύπον τὸ πρᾶγμα περιέστη, ὃν ἀγράφως ἡμᾶς ἠγάγετε. τὸ πρᾶγμα δὲ καὶ ἡμῖν οὐκ ἄπο τρόπου ιονὸς ἔδοξε. καὶ τέως, ἐπειδήπερ Παφλαγονία καὶ Ὀνωὶς[4]), διῃρημέναι πρότερον εἰς ἄρχοντας δύο, εἰς ἕνα καὶ ν αὐτὸν περιέστησαν τὸ τοῦ πραίτωρος ὄνομα προσλαντα, τοῦτο ἀναμφισβητήτως ἔδοξε τὸ σχῆμα τῇ σῇ προσήιν ἀρχῇ. ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ποτὲ[5]) δύο Πόνν, τουτέστιν Ἑλενοπόντου τε καὶ Πόντου Πολεμωνιακοῦ· κεῖσε γὰρ δύο καθεστώτων ἔμπροσθεν ἀρχόντων, νῦν δὲ ὸς τοῦ μοδεράτωρος γεγονότος, κεκοσμημένου καὶ αὐτοῦ τῶν περιβλέπτων ἀξίᾳ, πάλιν ταῦτα συνέβαινε καὶ εἰς τὸ ν μόνον δικαστήριον φέρεσθαι τὰς ἀπὸ τῶν ἐκκλήτων κας ἐχρῆν, κατὰ μέντοι τοὺς ὅρους τῆς περὶ τῶν ἐκκλήτων ιτάξεως.

4) Ven. Ὀνορία. — Videatur c. XXXII. 5) Videatur XXXI.

α΄. Συνήρεσε τοίνυν ἅμα μὲν τοῖς ὑπουργοῦσιν ἑκα τέρᾳ τῶν ἀρχῶν, ἅμα δὲ ὑμῖν ἀμφοτέροις, καὶ πρός γε κ ἡμῖν ὀρθῶς ἔδοξεν ἔχειν τὸ παραστὰν ἡμῖν, ὥστε μόνην τὴ τάξιν τῆς σῆς ὑπεροχῆς ταῖς τοιαύταις ὑπηρετεῖν ἐκκλήτοι καθάπερ καὶ πρότερον ἦν, εἰ καὶ ἐν σχήματι θείου ἀκροα τηρίου λέγοιντο, καὶ παρῇ καὶ ὁ ἐνδοξότατος ἡμῶν κοιαίστω καὶ μετέχοι τῶν πραττομένων.

β΄. Ἀλλὰ μὴν ἐπείπερ ὁ τῆς πρώτης Καππαδοκί ἡγούμενος πρότερον εἰς τὴν σὴν ἀρχὴν ἑώρα μόνην κἀκεῖ τὸ τῶν ἐφέσεων ἐφέρετο, νῦν δὲ[6]) εἰς τὸ τοῦ περιβλέπτι ἀνθυπάτου μεταβέβληται σχῆμα, οὐδὲν ἧττον προσῆκόν ἐσ καὶ τῆς ἀρχῆς ἐκείνης ἔφεσιν δεχομένης καὶ ἀναπεμπομέν τῆς δίκης ἐνταῦθα κατὰ τὴν θείαν ἡμῶν διάταξιν ἐν τάξ θείου ἀκροατηρίου αὐτὴν ἀγωνίζεσθαι, συνόντος καὶ τι ἐνδοξοτάτου ἡμῶν κοιαίστωρος καὶ συνακροωμένου τῆς ὑπ θέσεως, μόνης δὲ τῆς τάξεως ὑπηρετουμένης τῆς σῆς, ἐπεὶ καὶ πρότερον τοῦτο ἐνενόμιστο. εἰ γὰρ καὶ ὁ περίβλεπτ κόμης τῶν οἰκιῶν[7]) συνανεμίχθη νῦν τῇ ἀρχῇ, ἀλλ' οι οὐδὲ πρότερον πολλαί τινες ἐκινοῦντο δίκαι παρ' αὐτι οὐδὲ ἐκ τοῦ δικαστηρίου τοῦ κατ' αὐτὸν ἐφέρετό τις σχεδ ἔφεσις ἐνταῦθα. νῦν δὲ δὴ καὶ τὰ περὶ τὰς ταμειακὰς δι κήσεις καὶ ἑτέροις τισὶ παρεδώκαμεν, καὶ οὐ δεῖ πα τοῦτο ἐλαττωθῆναι τὸν σὸν θρόνον, ἀλλ' ὁμοίως τι σὴν ὑπηρετεῖσθαι τάξιν μόνην ταῖς ἐνταῦθα φερομένα ὑποθέσεσι.

γ΄. Ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τοῦ τῆς Ἀρμενίας ἀ θυπάτου, ἐπειδὴ πρότερον ἀρχὴν αὐτὴν ὀρδιναρίαν[8]) ποι σαντες[9]), νῦν οὐδὲν αὐτῇ προσθέντες εἰς τὸ τῆς ἀνθυπατεί μετηγάγομεν σχῆμα.[10]) καὶ γὰρ δὴ καὶ ταῖς ἐκεῖθεν δίκα

6) Vide const. XLIII. 7) Comes domorum audit sch liastae apud Iulianum ed. Haenel p. 181. 8) Ven. add ἔμβαθμον. glossema est. 9) Vide c. XLIV not. 2. 10) Cons XLIV.

ἡ τῆς σῆς ὑπεροχῆς ὑπηρετήσεται τάξις, τῆς δίκης μὲν ἐν τάξει θείου ἀκροατηρίου καθάπερ εἰπόντες ἔφθημεν κινουμένης, παρ' ἀμφοτέροις δὲ ὑμῖν ἐξεταζομένης, οὐδὲν δὲ ἧττον τῆς τάξεως τῆς σῆς ὑπηρετουμένης τῷ πράγματι, καθάπερ καὶ πρότερον ἦν ἡνίκα μόνον τὸ τῆς ἀρχῆς τῆς καλουμένης ὀρδιναρίας εἶχε σχῆμα μείζονα τάξιν οὐ προσλαβοῦσα.

δ'. Ἐπειδὴ δὲ καὶ Λυκαονίαν καὶ Πισιδίαν καὶ Ἰσαυρίαν ὑπὸ ἄρχουσι πρότερον τεταγμένας καὶ τὰς ἐκκλήτους ἀναπεμπούσας εἰς τὸν θρόνον τὸν σὸν νυνὶ κοσμηθῆναι τῇ τῶν πραιτώρων[11]) ἀρχῇ συμβέβηκεν[12]) (εἰ καὶ δοκεῖ πως συναναμεμίχθαι τὶς αὐτῇ καὶ στρατιωτικὴ τάξις, ἐπειδὴ πρότερον καὶ δοὺξ ἐφ' ἑκάστης τούτων ἐπαρχίας ἦν), ἀναγκαίως ἡμῖν ἔχειν ἔδοξε διὰ τὸν καινισμὸν τοῦτον μόνῳ δὴ τῷ θρόνῳ τῷ σῷ καὶ τῷ ἐνδοξοτάτῳ κοιαίστωρι παραδοῦναι τὴν τῶν ἐφέσεων ἐξέτασιν, δοῦναι δὲ φιλανθρωπότερον τῇ τάξει τῇ σῇ καὶ τοῖς ἐπὶ τούτῳ πραττομένοις ὑπηρετεῖσθαι. ὥστε εἴ τι γέγονε τοιοῦτον ἔμπροσθεν ἢ καὶ ὕστερον γένηται, τὴν αὐτὴν τῷ πράγματι τάξιν ὑπεῖναι θεσπίζομεν.

ε'. Ἐπειδὴ δὲ δύο καθαρῶς ἦσαν ἀρχαί, τοῦ τε κόμητος τῆς Ἑῴας τοῦ τε ἄρχοντος αὐτῆς τῆς πρώτης Συρίας, καὶ αἱ μὲν τῆς πολιτικῆς ταύτης ἀρχῆς ἐφέσεις εἰς τὸν σὸν ἐφέροντο θρόνον τῆς τάξεως ὑπηρετούσης μόνης τῆς σῆς, αἱ δὲ τοῦ κόμητος τῆς Ἑῴας[13]) οἷα σπεκταβιλίου κατὰ τὸ τῶν θείων ἀκροατηρίων σχῆμα εἴς τε τὸν θρόνον τὸν σὸν εἴς τε τὸν ἐνδοξότατον κοιαίστωρα, μόνων τῶν ἐκ τῶν θείων σκρινίων ὑπηρετουμένων·

ϛ'. ἀλλὰ τοῦτο[14]) ἐν τούτῳ τῷ μέρει καλῶς ἡμῖν

11) Ven. προτέρων. 12) Const. XXIV. XXIII. XXVI.
13) Verba τοῦ τε ἄρχοντος — Ἑῴας in Ven. desunt. 14) Excidisse quaedam crediderim: veluti ἀλλὰ τοῦ κόμητος μόνου καταστάντος. Cf. const. XVI c. 5.

ἔδοξεν ἔχειν ἐπὶ ταύτης δὴ τῆς ἀρχῆς κοινὴν δοῦναι τὴν ὑπουργίαν τοῖς τε ἐκ τοῦ τῶν θείων ἐπιστολῶν σκρινίου, τοῖς τε ἐκ τῆς τάξεως τῆς σῆς ὑπεροχῆς. τὸ γὰρ δὴ τῶν πρόσθεν δύο βικαρίων, τῆς τε Ποντικῆς τῆς τε Ἀσιανῆς, παντελῶς καινισθὲν καὶ εἰς τὴν ἀρχὴν μόνης ἐπαρχίας μιᾶς μεταστὰν[15]) (Γαλατίας φαμὲν καὶ Φρυγίας Πακατιανῆς) φοιτάτω μὲν πρός τε τὴν σὴν ὑπεροχὴν, πρός τε τὸν ἐνδοξότατον κοιαίστωρα, μόνην δὲ τὴν ὑπηρεσίαν δεχέσθω τῆς τάξεως τοῦ θρόνου τοῦ σοῦ.

ζʹ. Κἀκεῖνο μέντοι θεσπίζομεν, ὥστε ἐκ τούτων δὴ τῶν ἀρχῶν τῶν νῦν παρʼ ἡμῶν[16]) ἐξευρεθεισῶν καὶ μεταβαλουσῶν τὸ ἀρχαῖον σχῆμα, εἴτε αὐτόθεν κατὰ τὴν φύσιν τῆς οἰκείας δικάσαιεν ἀρχῆς εἴτε καὶ ἐκ παραπομπῆς ἡμετέρας, ταὐτὸ φυλάττεσθαι σχῆμα, καὶ ἔνθα μόνην ὑπηρετεῖν τὴν τάξιν τῆς σῆς ὑπεροχῆς ἐθεσπίσαμεν.

ηʹ. Ὁμοίως εἴτε ἐκ παραπομπῆς εἴτε ἐκ τῆς τοῦ δικαστηρίου φύσεως ἡ ἔφεσις ἀνέλθοι, τὴν τάξιν τῆς σῆς ὑπεροχῆς ὑπηρετεῖσθαι ταῖς ἐφέσεσι θεσπίζομεν, εἴτε ἐκ παραπομπῆς ἡμετέρας, ὁμοίως τῆς τάξεως ἔσται τῆς σῆς.

θʹ. Ἐφʼ οἷς δὲ[17]) κοινὴν εἴπομεν τήν τε τῶν σῶν[18]) τάξεων τήν τε ἐκ τῶν θείων σκρινίων ὑπουργίαν, ὁμοίως τὴν κοινότητα φυλάττομεν, εἴτε ἐκ παραπομπῆς εἴτε κατὰ τὸ τεταγμένον ἐν τῷ δικαστηρίῳ γένοιτο τὰ τῆς ἐξετάσεως. ἐπʼ ἐκείνων μέντοι τῶν δικῶν, ἃς οὐ σπεκταβίλλιοι δικασταὶ κρίνουσιν ἀλλὰ συνήγοροι μόνον, ἐφʼ ὧν ἐφέρετο τὰ τῆς ὑποθέσεως εἴς τε τὸν θρόνον τὸν σὸν εἴς τε τὸν ἐνδοξότατον ἡμῶν κοιαίστωρα τῶν καθωσιωμένων λιβελλισίων ὑπηρετουμένων αὐταῖς, ἐπειδὴ μηδὲν παντελῶς ἐπὶ ταύταις κεκαίνισται, τὸ παλαιὸν φυλάττομεν σχῆμα. ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων τῶν[19]) οὐ καινισθέντων τὰ τῆς πα-

15) Const. XVI c. 2. 3. 16) Ven. ἡμῖν. 17) Ven. τε. 18) Hal. τῶν τε σῶν. Ven. σῶν non habet. 19) τῶν deest in Ven.

λαιᾶς ὑπουργίας μένειν ἐφ' ἑαυτῶν διατάττομεν οὐδενὸς νεωτέρου γενομένου· ὁ γὰρ ἐπισυμβὰς καινισμὸς ἀλλοῖόν πως χρῆναι γενέσθαι καὶ τὸ τῶν ὑπουργούντων ὑπέδειξε σχῆμα.[20])

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. XV. K. April. Constantinopoli post Bilisarii V. C. cons.[21])

Auth. 21. **XLVII.** Nov. 21.

Cap. 1 in Bas. XLV, 6, 1. — Summam praestat Theod. Nov. 21. (Apud Iulian. et Athan. deest.)

Περὶ Ἀρμενίων ὥστε καὶ αὐτοὺς ἐν πᾶσι τοῖς Ῥωμαίων ἀκολουθεῖν νόμοις.

Ὁ αὐτὸς βασιλεὺς Ἀκακίῳ[1]) τῷ μεγαλοπρεπεστάτῳ ἀνθυπάτῳ Ἀρμενίας.

Τὴν Ἀρμενίων χώραν τελείως εὐνομεῖσθαι βουλόμενοι καὶ μηδὲν τῆς ἄλλης ἡμῶν διεστάναι πολιτείας, ἀρχαῖς τε Ῥωμαϊκαῖς ἐκοσμήσαμεν τῶν προτέρων αὐτὴν ἀπαλλάξαντες ὀνομάτων, σχήμασί τε χρῆσθαι τοῖς Ῥωμαίων συνειθίσαμεν[2]), θεσμούς τε οὐκ ἄλλους εἶναι παρ' αὐτοῖς ἢ οὓς Ῥωμαῖοι ὀνομάζουσιν ἐτάξαμεν.[3]) καὶ ᾠήθημεν χρῆναι ῥητῷ νόμῳ κἀκεῖνο ἐπανορθῶσαι τὸ κακῶς παρ' αὐτοῖς ἁμαρτανόμενον, καὶ μὴ κατὰ τὸ βαρβαρικὸν ἔθος ἀνδρῶν μὲν εἶναι τὰς

20) Ven. addit: ἕως ὧδε τὸ βασιλικόν. 21) Firmat hanc subscriptionem Athan.

1) De Acacio vide const. XLV c. 1. 2) Const. XLV. 3) Const. XXXIII.

διαδοχὰς τῶν τε γονέων τῶν τε ἀδελφῶν τοῦ τε ἄλλοι γένους, γυναικῶν δὲ οὐκ ἔτι, μηδὲ χωρὶς προικὸς αὐτὰς εἰ ἀνδρὸς φοιτᾶν, μηδὲ ἀγοράζεσθαι παρὰ τῶν συνοικεῖν μελ λόντων, τοῦτο ὅπερ βαρβαρικώτερον μέχρι τοῦ νῦν παρ αὐτοῖς ἐνομίσθη, οὐκ αὐτῶν μόνων ταῦτα ἀγριώτερον δοξα σάντων, ἀλλὰ καὶ ἑτέρων ἐθνῶν οὕτως ἀτιμασάντων τὴ φύσιν καὶ τὸ θῆλυ περιυβρισάντων ὡς οὐ παρὰ θεοῦ γενό μενον οὐδὲ συντελοῦν τῇ γενεσιουργίᾳ, ἀλλ' ὡς εὐτελές τ καὶ ἠτιμασμένον καὶ πάσης ἔξω προσῆκον καθεστάνι τιμῆς.

α'. Θεσπίζομεν τοίνυν διὰ τοῦδε τοῦ θείου νόμου ὥστε καὶ παρὰ Ἀρμενίοις τὰ αὐτὰ κρατεῖν ἅπερ καὶ παρ ἡμῖν προφάσει τῆς τῶν θηλειῶν διαδοχῆς, καὶ μηδεμία εἶναι διαφορὰν ἄῤῥενός τε καὶ θηλείας, ἀλλ' ὥσπερ ἐν το ἡμετέροις νόμοις τέτακται, κατὰ ποῖον μὲν σχῆμα κληρονο μοῦσι γονεῖς, ἤγουν πατέρα καὶ μητέρα καὶ πάππον κ μάμμην καὶ τοὺς ἔτι ποῤῥωτέρω, ἢ καὶ τοὺς μετ' αὐτοὺ τουτέστιν υἱὸν καὶ θυγατέρα, ὅπως τε αὐτοὶ κληρονομοῦν ται, οὕτως καὶ παρὰ Ἀρμενίοις εἶναι, καὶ μηδὲν τὰ Ἀρμ νίας νόμιμα τῶν Ῥωμαίων διεστάναι. εἰ γὰρ τῆς ἡμετέρ πολιτείας εἰσί, δουλεύουσί τε ἡμῖν μετὰ τῶν ἄλλων ἐθνῶ καὶ πάντων ἀπολαύουσι τῶν ἡμετέρων, οὐ δή που μόν παρ' αὐτοῖς αἱ θήλειαι τῆς παρ' ἡμῖν ἰσότητος ἐκβληθ σονται, ἀλλὰ πᾶσιν ἐν ἴσῳ τὰ τῶν ἡμετέρων ἔσται νόμω ὅσα τε ἐκ τῶν παλαιῶν συνηθροίσαμεν καὶ ἐν τοῖς ἡμετέρο ἐτάξαμεν ἰνστιτούτοις τε καὶ διγέστοις, ὅσα τε ἐκ τῆς βασ λικῆς νομοθεσίας τῶν τε ἔμπροσθεν αὐτοκρατόρων καὶ ἡμῶ τε[4]) αὐτῶν ἀπογέγραπται.

β'. Ταῦτα τοίνυν ἅπαντα κρατεῖν εἰς τὸν ἅπαντ θεσπίζομεν χρόνον, ἀρχόμενα ἐκ προοιμίων τῆς παρούση τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως καὶ αὐτῆς, καθ' ἣν τόνδ

4) Bas. omittunt τε.

γράφομεν τὸν νόμον· τὸ γὰρ καὶ τὰ παλαιότερα περιεργάσασθαι καὶ πρὸς τοὺς ἄνω χρόνους ἀνελθεῖν συγχύσεως μᾶλλον ἢ νομοθεσίας ἐστίν. ἀλλ' ἐκ τῶν χρόνων καθάπερ εἰπόντες ἔφθημεν τῆς παρούσης τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως καὶ αὐτῆς καὶ κατὰ τὸν ἑξῆς ἅπαντα χρόνον αἱ διαδοχαὶ μενέτωσαν ὅμοιαι, τῶν ἐκ πάσης αἰτίας εἰς διαδοχὰς φερομένων ὁμοίως μὲν ἐπὶ γυναικῶν ὁμοίως δὲ ἐπὶ ἀνδρῶν τοῦ λοιποῦ φυλαττομένων. τὸ δὲ ἔμπροσθεν γενόμενον ἅπαν μένειν ἐπὶ τοῦ προτέρου σχήματος ἐῶμεν, εἴτε ἐπὶ γενεαρχικῶν εἴτε ἐπὶ τῶν ἄλλων γέγονεν, οὐδ' ὁτιοῦν ἐπικοινωνούντων τῶν θηλειῶν προσώπων ἐπὶ τοῖς ἤδη διανεμηθεῖσι γενεσιαρχικοῖς χωρίοις ἢ ταῖς γενομέναις διαδοχαῖς μέχρι τῆς τρισκαιδεκάτης ἐπινεμήσεως καὶ αὐτῆς, ἀλλ' ἐκ τοῦ ῥηθέντος χρόνου τουτέστιν ἀπὸ τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως κρατεῖν τὰ παρ' ἡμῶν νομοθετηθέντα θεσπίζομεν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ μεγαλοπρέπεια καὶ οἱ μετ' αὐτὴν τῆς ἀρχῆς ἀντιληψόμενοι παραφυλάττειν εἰς τὸ διηνεκὲς σπουδασάτωσαν. Dat. XV. K. Apr. Constantinop. post Bilisarii V. C. consul.[5])

5) Theod. ἐξεφωνήθη μηνὶ ἀπριλίῳ (omisso ut solet XV Kal.) ἰνδ. ιδ' μετὰ τὴν ὑπατείαν βελισαρίου.

Nov. 22. **XLVIII.** Auth. 22.

Cap. 3 pr. est in Bas. XXVIII, 4, 47; cap. 5 extat in Epan. XXI, 1 et Basil. XXVIII, 7, 41; cap. 6. 7 in Proch. XI, 23. Epan. XXI, 2. 3. Basil. XXVIII, 7, 41 (c. 7 pr. habetur etiam in Nov. Leonis Coll. II Nov. 33); cap. 8 in Bas. XXVIII, 4, 45; cap. 9. 10 in Basil. XXVIII, 7, 21; cap. 11 in Proch. XXXIV, 14. Epan. XXXVII, 12. Basil. XXVIII, 4, 45; cap. 12 in Epan. XXXVII, 13 et Bas. XXVIII, 4, 45; cap. 13 in Bas. l. l. cum scholio; cap. 15 §. 1 in Epan. XXI, 6 in fine; cap. 15 §. 3 et cap. 16 pr. in Bas. XXVIII, 7, 2; cap. 16 §. 1 in Epan. XXI, 5 in fine; cap. 17 in Bas. XXVIII, 5, 41; cap. 19 in Bas. XXVIII, 4, 45; cap. 20—21 §. 1 initio in Bas. XXVIII, 12, 1; cap. 22—24 in Proch. VI, 4—6. Epan. XIX, 15. 16 et Bas. XXVIII, 14, 1; cap. 25—36 in Bas. l. l.; cap. 38—48 in Bas. XXVIII, 14, 1. — Summas habent Iulian. c. 36, Athan. X, 2 (unde nonnulla traxit Nomoc. L titulorum), Theod. Nov. 22. Praeterea reperiuntur summae cap. 6 in libro *αἱ ῥοπαὶ* 26, 13; cap. 22 in Ecloga priv. aucta II, 14 et in Nomoc. XIV titulorum XIII, 2; cap. 24 in libro *αἱ ῥοπαὶ* 40, 9; denique cap. 34 auctore Symbatio in tractatu de peculiis (cf. *Ἀνέκδ.* ed. Heimbach. I p. 261).

Περὶ τῶν δευτερογαμούντων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Πολλοὶ μὲν ἤδη καὶ ποικίλοι τέθεινται νόμοι παρ' ἡμῶν, καὶ ἑκάστῳ μέρει τῶν πρότερον ἡμῖν νομοθετηθέντων μὲν ἢ διαταχθέντων, δοξάντων δὲ ἡμῖν ἔχειν οὐκ ὀρθῶς τὴν ἐπὶ τὰ κρείττω διδόντες ὁδὸν καὶ ὑφηγούμενοι τοῖς ὑπηκόοις ὃν προσήκει διαζῆν τρόπον, τὸ δὲ δὴ νῦν τοῦτο τὸ παρ' ἡμῶν γινόμενον νόμος τίς ἐστι κοινὸς, τῷ πάντων καιριωτάτῳ τῶν πραγμάτων τὴν προσήκουσαν τάξιν ἐπιτιθείς. εἰ γὰρ ὁ γάμος οὕτως ἐστὶ σεμνὸν ὡς τῷ ἀνθρωπίνῳ γένει δοκεῖν ἀθανασίαν ἐπιτεχνητὴν εἰσηγεῖσθαι καὶ ἐκ τῆς παιδοποιΐας ἀνανεούμενα τὰ γένη μένει[1]) διηνεκῆ τῆς τοῦ θεοῦ φιλανθρωπίας καθ' ὅσον ἐστὶ δυνατὸν τῇ καθ' ἡμᾶς τὸ ἀθάνατον χαριζομένης φύσει, εἰκότως ἡμῖν περισπούδα-

1) *μένειν?*

στα τὰ περὶ τῶν γάμων ἐστί. τὰ μὲν γὰρ ἄλλα τῶν νομοθετηθέντων οὐ πᾶσι προσήκει οὔτε ἀνθρώποις οὔτε πράγμασιν οὔτε καιροῖς, τὸ δὲ περὶ τῶν γάμων σπούδασμα πάσης ἐστὶν ὡς εἰπεῖν τῆς ἀνθρωπίνης γονῆς ἐξ οὗ καὶ ἀνανεοῦται μόνου, καὶ πλείονος τῶν ἄλλων φροντίδος καθέστηκεν ἄξιον. ἡ μὲν οὖν παλαιότης οὐ σφόδρα τὰ περὶ τῶν προτέρων ἢ τῶν δευτέρων περιειργάζετο γάμων, ἀλλ' ἐξῆν καὶ τοῖς πατράσι καὶ ταῖς μητράσιν εἰς πλείους ἀφικνεῖσθαι γάμους καὶ κέρδους οὐδενὸς ἀφαιρεῖσθαι, καὶ τὸ πρᾶγμα ἦν ἐν ἁπλότητι συγκεχυμένον.[2]) ἐκ δὲ τῶν τοῦ μείζονος Θεοδοσίου χρόνων[2a]) πλείων φροντὶς γέγονε τῆς περὶ ταῦτα τεχνολογίας, ἕως περιελθοῦσα διὰ τῶν ἐφεξῆς βασιλέων εἰς Λέοντα τὸν τῆς εὐσεβοῦς μνήμης ἀφίκετο, ἄνδρα γενναίως τε καὶ ἀνδρικῶς καὶ τὰ περὶ τούτων κατὰ τὸ πλεῖστον νομοθετήσαντα. ἡμεῖς δέ γε ἐν τῇ τῶν διατάξεων συνθήκῃ πολλὰ μὲν καὶ ἄλλα περὶ τούτων διωρίσαμεν, ᾠήθημεν δὲ χρῆναι νῦν βουλαῖς τελειοτέραις τὸ πρᾶγμα κατασκεπτόμενοι καί τινα ἐπανορθῶσαι οὐ τῶν ἄλλοις μόνον, ἀλλ' ἤδη καὶ τῶν παρ' ἡμῶν αὐτῶν νομοθετηθέντων. οὐ γὰρ ἐρυθριῶμεν, εἴτι κάλλιον καὶ ὧν αὐτοὶ πρότερον εἴπομεν προσεξεύροιμεν, τοῦτο νομοθετεῖν, καὶ τὴν προσήκουσαν τοῖς πρότερον δευτέραν[3]) ἐπιτιθέναι διόρθωσιν οἴκοθεν, ἀλλὰ μὴ παρ' ἑτέρων ἀναμένειν ἐπανορθωθῆναι τὸν νόμον.

α'. Δύο τοίνυν ταῦτα προειρήσθω τοῦδε τοῦ νόμου. καὶ πρῶτον ἐκεῖνο, τὸ πάντα μὲν ὁπόσα ἐν τοῖς ἔμπροσθεν νενομοθέτηται εἴτε παρ' ἡμῶν εἴτε παρὰ[4]) τῶν πρὸ ἡμῶν ταῦτα κρατεῖν ἕκαστον κατὰ τοὺς οἰκείους χρόνους, οὐκ ἔχοντα οὐδένα ἐκ τοῦ παρόντος νόμου καινισμόν, ἀλλ' ἐπὶ τῶν οἰκείων θεμάτων κρατοῦντα καὶ πολιτευόμενα, καὶ τὰς ἑαυτῶν ἐκβάσεις ἐκ τῶν ἤδη τεθέντων ἀναμένοντα νόμων

2) Hal. συγκείμενον. 2a) Cf. Cod. 5, 9, 1 sqq. 3) Ven. πρ. δευτέροις. Scr. (ex Hal.) πρ. δευτέραν. Auth. δευτ. omittit. Videtur requiri διαταχθεῖσι vel simile quid. 4) παρὰ omittit Ven.

καὶ οὐδὲν κοινωνοῦντα τῷ παρόντι νόμῳ· τὸν δὲ παρόντα νόμον ἐκ τοῦ νῦν κρατεῖν ἐπὶ πᾶσι τοῖς ἐσομένοις θέμασι, καὶ ἐπὶ πάντων τῶν μετὰ ταῦτα γάμων εἴτε προτέρων εἴτε τῶν ἐφεξῆς, ἐπί τε τῶν ὕστερον ἐσομένων εἴτε γαμικῶν κερδῶν εἴτε διαδοχῶν τῶν ἐκ παίδων. καὶ γὰρ τὸ μὲν προειληφὸς ἅπαν τοῖς ἤδη γεγραμμένοις καταλιμπάνομεν νόμοις, τὸ δὲ μέλλον διὰ τοῦ παρόντος ἀσφαλιζόμεθα νόμου, ὥστε εἴτε πρῶτοι εἴτε δεύτεροι γεγόνασι γάμοι, εἴτε τοῖς γονεῦσι διαδοχαὶ τῶν ἐκ τοῦ πρώτου γάμου παίδων εἴτε κέρδη ἐκ προικῴων[5]) ἢ προγαμιαίων δωρεῶν ἢ ἐξ ἄλλης αἰτίας, εἴτε ὄντων ἐκ τοῦ δευτέρου γάμου παίδων εἴτε καὶ μή, ἐν τοῖς ἔμπροσθεν χρόνοις ταῦτα παραφυλαττέσθω κατὰ τοὺς ἑαυτῶν ἕκαστα χρόνους. καὶ ἀπολαυέτωσαν οἵ τε ἄνδρες αἵ τε γυναῖκες τῆς ἔμπροσθεν νομοθεσίας, εἴτε πρὸς δευτέρους ἔλθοιεν γάμους εἴτε καὶ μέχρι τῶν πρώτων ἔστησαν εἴτε διεδέξαντο τοὺς παῖδας, εἴτε τὶ τῶν πάντων ἔπραξαν τοῖς προτέροις ἀκολουθοῦντες νόμοις. τοὺς γὰρ ἐκείνοις πιστεύσαντας καὶ οὕτως συμβάλλοντας οὐκ ἄν τις αἰτιάσαιτο διὰ τί μὴ καὶ τὸ μέλλον ἠπίσταντο, καὶ τῷ φαινομένῳ μὲν καὶ τῷ πολιτευομένῳ παντάπασιν ἠπίστουν τὸ δὲ οὔπω γενόμενον ἐδέδισαν.[6]) ὥστε ἐκεῖνα μὲν ἅπαντα μενέτω τὴν ἑαυτῶν φυλάττοντα τάξιν, ὁ δὲ ἐφεξῆς χρόνος ἐν τοῖς μετὰ ταῦτα τικτομένοις θέμασιν ἐν ἑνὶ πάντα τῷδε τῷ νόμῳ κείμενά τε καὶ συνηθροισμένα θεασάσθω, ὁπόσα περὶ τῶν ἐσομένων ὡς εἴρηται γάμων προσήκει κρατεῖν. ἓν μὲν οὖν τοῦτο προειρήσθω τοῦ νόμου.

β'. Δεύτερον δὲ ἐκεῖνο, ὥστε ἅπαντα ὁπόσα ἐκ τῆς νῦν ἡμέρας ὁ διαθέμενος διατάττοι περὶ τῶν τοιούτων, εἴτε ἀνὴρ εἴτε γυνὴ καθεστήκοι, ταῦτα κρατεῖν. νομοθετείτω μὲν γὰρ ἕκαστος ἐπὶ τοῖς ἑαυτοῦ τὰ εἰκότα, καὶ ἔστω νόμος ἡ

5) Malim cum Auth. legere προικῶν. 6) Hal. δεδίεσαν. Scrimg. ἐδεδίεσαν.

τούτου βουλῇ, καθάπερ καὶ ὁ παλαιότατος ἡμῖν τῶν νόμων καὶ πρῶτος σχεδὸν τὴν πολιτείαν Ῥωμαίοις διατάξας φησὶ (φαμὲν δὲ τὸν δυοδεκάδελτον), κατὰ τὴν ἀρχαίαν καὶ πάτριον γλῶτταν οὑτωσί που λέγων· uti legasset quisque de sua re ita ius esto· οὐδενὸς δυναμένου παρὰ τὴν ἐκείνου γνώμην, οὐδ' ἂν εἰ θεῖον πράττοι τύπον οὐδ' ἂν εἴ τι τῶν πάντων, ἕτερόν τι παραδιατυποῦν ἐπὶ τοῖς ἀλλοτρίοις. §. 1.] εἰ δὲ μηδὲν ὁ διαθέμενος εἴποι ἢ διατυπώσειεν, ὅπερ μὴ τοῖς ἤδη κειμένοις καὶ κρατοῦσι προκατείληπται νόμοις, μήτε τὶ παρὰ τοὺς καθόλου νόμους διατάττοι, τηνικαῦτα ὅδε ἡμῖν ὁ νόμος κείσθω, πάντα καθ' ὅσον ἀνθρώπῳ δυνατὸν περιλαμβάνων καὶ διαβαίνων ἐν βραχεῖ, καὶ τὰ ἐπὶ τοῖς πρώτοις ἐπανορθούμενος γάμοις καὶ τὰ ἐπὶ τοῖς δευτέροις, καὶ τὰ ἐπὶ ταῖς διαδοχαῖς καὶ ταῖς λύσεσι τῶν γάμων, εἴτε ἐκ θανάτων εἴτε ἐκ διαζεύξεως, καὶ τὰ πρὸ τοῦ πενθίμου χρόνου καὶ μετ' ἐκεῖνον, καὶ μίαν τινὰ συνέχειαν ποιούμενος παντὸς δὴ τούτου τοῦ συγγράμματος, καὶ νομοθεσίαν πάλαι μὲν ἀρξαμένην, ἐκ πέντε δὲ μάλιστα καὶ πεντήκοντα καὶ ἑκατὸν ἐτῶν[7]) συχνότερόν τε κινηθεῖσαν, καὶ κατὰ μέρος ἀθροισθεῖσάν τε ἅμα καὶ τῷ κατὰ μικρὸν συνδεῖσθαί τε πρὸς ἑαυτὴν καὶ συγκολλᾶσθαι συγχεθεῖσαν ἐν πλείστοις καί τινος ἀεὶ δεομένην ἐπανορθώσεως, καθαράν τε καὶ σύμφωνον ἑαυτῇ παντοίως ἀποφαίνων.

γ'. Γάμον μὲν οὖν διάθεσις ἀμοιβαία ποιεῖ, τῆς τῶν προικῴων γε οὐκ[8]) ἐπιδεομένη προσθήκης. ἐπειδὰν δὲ ἅπαξ συνέλθοι, εἴτε ἐπὶ ψιλῇ γαμικῇ διαθέσει εἴτε καὶ ἐπὶ δόσει[9]) προικὸς καὶ τῆς διὰ τὸν γάμον δωρεᾶς, δεῖ τῷ πράγματι πάντως ἀκολουθῆσαι καὶ λύσιν αὖθις ἀνεύθυνον ἢ μετὰ

7) Contius notat: Intellegit tempus quod intercessit inter l. 3 C. de sec. nupt. datam Syagrio et Eucherio coss. anno Christi 381 et hanc legem datam post consul. Belisarii anno Christi 536, quod quidem tempus exacte est annorum 155. 8) Hal. et Bas. οὐκ ἀεί. Schol. ad Bas. notat: ἀλλ' ἢ ἐπὶ μόνων τῶν συγκλητικῶν. 9) Vulgo ἐπιδόσει.

ποινῆς, ἐπειδὴ τῶν ἐν ἀνθρώποις παρακολουθούντων τὸ δεθὲν ἅπαν λυτόν. τὸ δὲ καὶ ἐπὶ τῶν ἀπροίκων συμβολαίων[9a]) διαλυομένων καὶ ποινὴν ἴσως ἀκολουθεῖν, τοῦτο ἡμεῖς ἐξεύρομεν πρῶτοι.

δ'. Διαλύονται δὲ ἐν ζωῇ τῶν συμβαλλόντων γάμοι οἱ μὲν συναινοῦντος ἑκατέρου μέρους (ὑπὲρ ὧν οὐδὲν ἐνταῦθα διαλεκτέον τῶν συμφώνων τὸ πρᾶγμα καθάπερ ἂν ἑκατέρῳ δόξειε διοικουμένων), οἱ δὲ κατὰ πρόφασιν εὔλογον, οἳ δὴ καὶ bona gratia καλοῦνται[10]), οἱ δὲ αἰτίας ἁπάσης χωρίς, οἱ δὲ καὶ μετὰ αἰτίας εὐλόγου.

ε'. Κατὰ μὲν οὖν πρόφασιν ἄμεμπτον, ὅταν ἄσκησιν θάτερον ἕληται τῶν μερῶν πρὸς τὴν ἐπὶ τὰ κρείττω μεταβαῖνον ὁδὸν καὶ τὸν ἐν ἁγνείᾳ βίον αἱρούμενον. τηνικαῦτα γὰρ νόμος καὶ ἄλλος ἡμέτερος[11]) λέγει, παῤῥησίαν εἶναι καὶ ἀνδρὶ καὶ γυναικὶ πρὸς τὰ καλλίω μεθισταμένοις[12]) διαλύειν τὸ συνοικέσιον, καὶ ἀναχωρεῖν μετά τινος βραχείας ὑπολειπομένης τῷ καταλελειμμένῳ παραμυθίας. ὅπερ γὰρ ἂν συμφωνήσειαν οἱ συμβάλλοντες ἀπὸ τελευτῆς γίνεσθαι κέρδος, τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου, εἴτε ἀνὴρ εἴτε γυνὴ καθεστήκοι, διότι καὶ οὗτος τό γε ἐπὶ τῷ συνοικήσαντι δοκεῖ τελευτᾶν ἑτέραν ἀνθ' ἑτέρας βίου πορείαν ἑλόμενος.

ϛ'. Καὶ κατὰ πρόφασιν δὲ ἀναγκαίαν τε καὶ οὐκ ἄλογον διαλύεται γάμος, ὅταν τὶς οὐχ οἷός τε εἴη συνιέναι τῇ γυναικὶ καὶ τὰ παρὰ τῆς φύσεως ἀνδράσι δεδομένα πράττειν, ἀλλὰ διετία μὲν κατὰ τὸν περὶ τούτου πρῴην παρ' ἡμῶν γεγραμμένον νόμον[13]) παραδράμοι ἐκ τοῦ τῶν γάμων καιροῦ, ὁ δὲ ὅτι ταῖς ἀληθείαις ἐστὶν ἀνὴρ οὐ δείκνυσι. πάρεστι γὰρ τῇ γυναικὶ ἢ τοῖς γε αὐτῆς πατράσι διαζευγνύ-

9a) Auth. matrimoniis. Infra c. 18 init. συναφείας. Forte συνοικεσίων. 10) Malim ᾗ — καλεῖται. Ita etiam Auth. legisse videtur. 11) l. 52 §. 15 l. 54 C. de episc. 1, 3. 12) Hal. cum Auth. μεθισταμένῳ. Ven. μεθισταμένῃ. 13) l. 10 C. de repudiis 5, 17.

ναι τὸ συνοικέσιον καὶ στεῖλαι διαίσιον, εἰ καὶ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. κἀνταῦθα ἡ μὲν προῖξ, εἴ τις ἐστὶν ὅλως ἐπιδεδομένη προῖξ, ἀκολουθήσει τῇ γυναικί, καὶ ἀποδώσει ταύτην ὁ ἀνὴρ εἴ γε τύχοι λαβών, ἡ δὲ διὰ τὸν γάμον ἤτοι πρὸ τῶν γάμων δωρεὰ μενεῖ παρὰ τῷ ἀνδρὶ οὐδὲν οἴκοθεν ζημιουμένῳ. τοῦτον δὲ δὴ τὸν νόμον ἐπανορθοῦμεν βραχείᾳ τινὶ προσθήκῃ. οὐ γὰρ διετίαν ἀριθμεῖσθαι μόνην τὴν ἐξ αὐτοῦ τοῦ καιροῦ τῆς συναφείας, ἀλλὰ τριετίαν βουλόμεθα· καὶ γὰρ ἐδιδάχθημεν ἐκ τῶν ἐπισυμβάντων ἐν μέσῳ, τινὰς πλείονα ἢ καὶ κατὰ διετίαν χρόνον οὐκ ἰσχύσαντας ὕστερον ἱκανοὺς ὀφθέντας ὑπηρετήσασθαι τῇ τεκνογονίᾳ.

ζ′. Ἀλλὰ καὶ τὸ τῆς αἰχμαλωσίας τοιοῦτόν ἐστιν, ὁποῖον bona gratia[14]) διαλύειν[14a]) τὸν γάμον. εἴτε γὰρ ἀνδρὶ συμβαίη τοιοῦτον ἀτύχημα τῆς γυναικὸς ἐν τῇ πολιτείᾳ μενούσης, εἴτε αὖθις γυνὴ μὲν εἰς αἰχμαλωσίαν ἀπίοι, μένοι δὲ ὁ ἀνὴρ ἐν πολιτείᾳ, ὁ μὲν ἀκριβής τε καὶ λεπτὸς λόγος διαλύει τὸν γάμον (δουλείας γὰρ ἅπαξ ἐπιγενομένης θατέρῳ ἡ τῆς τύχης ἀνισότης τὴν ἐκ τῶν γάμων ἰσότητα μένειν οὐ συγχωρεῖ), πλὴν ἀλλὰ φιλανθρωπότερον τὰ τοιαῦτα θεωροῦντες ἕως μέν ἐστι φανερὸν περιεῖναι ἢ τὸν ἄνδρα ἢ τὴν γαμετὴν μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν, καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους οὔτε γυναῖκες οὔτε ἄνδρες, εἰ μὴ βούλοιντο δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ μὲν τῇ τῆς πρὸ γάμου δωρεᾶς φαμεν ἐκτίσει, ἡ δὲ τῆς προικός. εἰ δὲ ἄδηλον καθεστήκοι, πότερον περίεστιν ἢ μὴ τὸ εἰς πολεμίους ἀφικόμενον πρόσωπον, τηνικαῦτα[15]) πενταετίαν μενετέον εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικί, μεθ' ἥν, εἴτε σαφῆ γένοιτο τὰ τῆς τελευτῆς εἴτε ἄδηλα μένοι[16]), γαμεῖν ἔξεστιν ἀκινδύνως. καὶ

14) Ven. inter lineas καλῇ πίστει καὶ χάριτι. 14a) διαλύει? 15) Hoc Theod. interpretatur μετὰ τὴν ἄγνοιαν, Athan. vero ἀπὸ καιροῦ τῆς αἰχμαλωσίας (nisi ἀδηλίας legendum sit). 16) Ven. μένειν, et mox supra lineam ἔτη πέντε.

τοῦτο γὰρ δὴ ταῖς καλουμέναις bona gratia διαλύσεσι παρὰ τῶν πρὸ ἡμῶν συνηρίθμηται[17]), καὶ ἡμεῖς δὲ εἰς τοῦτο σύμφαμεν, ὥστε ἐνταῦθα οὐδὲ διαισίῳ γίνεται καιρὸς οὕτω τῶν προσώπων διεστώτων ἀλλήλων, καὶ οὐδεὶς ἐντεῦθεν κερδανεῖ, οὔτε ὁ ἀνὴρ τὴν προῖκα οὔτε ἡ γυνὴ τὴν προγαμιαίαν δωρεὰν, ἀλλ' ἕκαστος ἐπὶ τῶν οἰκείων μενεῖ.

η'. Τὸ δὲ πρότερον ἐκ τῆς τῶν νόμων αὐστηρίας εἰσηγμένον ἡμεῖς φιλανθρώπῳ λύομεν συγχωρήσει. εἰ γὰρ ἐκ ψήφου δικαστικῆς εἰς μέταλλόν τις ἢ ἀνὴρ ἢ γυνὴ δοθῆναι προσετάχθη (ὁποῖον νῦν ἐστι τό τε ἐν Προικοννήσῳ τό τε ἐν τῇ καλουμένῃ Γύψῳ), δουλεία μὲν ἦν κατὰ τὸ παρὰ τῶν παλαιῶν νομοθετηθὲν ἐκ τῆς τιμωρίας ἐπαγομένη, διεζεύγνυτο δὲ ὁ γάμος, τῆς τιμωρίας τὸν καταδεδικασμένον ἐχούσης ἑαυτῇ δουλεύοντα. ἡμεῖς δὲ τοῦτο ἀνίεμεν, καὶ οὐδένα τῶν ἐξ ἀρχῆς εὖ γεγονότων ἐκ τιμωρίας γίνεσθαι συγχωροῦμεν οἰκέτην. οὐ γὰρ ἂν μεταβάλοιμεν ἡμεῖς τύχην ἐλευθέραν εἰς δουλικὴν κατάστασιν οἵ γε καὶ τῶν ἔμπροσθεν δουλευόντων ἐλευθερωταὶ σπεύδοντες εἶναι. μενέτω τοίνυν ὁ γάμος ἐνταῦθα μηδὲν ἐκ τῆς τοιαύτης ψήφου βλαπτόμενος, οἷα μεταξὺ προσώπων ἐλευθέρων συνεστώς.

θ'. Εἰ δὲ ψῆφος δικαστικὴ τὸν ἀπελεύθερον ἢ τὴν ἀπελευθέραν ἢ τοὺς τούτων παῖδας καταδουλώσειε, συνίσταται μὲν ἐξ ἀρχῆς ὁ γάμος, ἡ δὲ ὕστερον ἐπιφανεῖσα δουλεία διαζεύγνυσιν αὐτοὺς ἀπ' ἀλλήλων ὡσανεὶ τελευτῆς ἀκολουθησάσης, ἐπείπερ οἱ πρὸ ἡμῶν φασι τὴν ἐπιγενομένην δουλείαν οὐ μακρῷ[18]) διεστάναι θανάτου. ὥστε ἐντεῦθεν τὸ μὲν οἰκεῖον ἕκαστος ἀπολαμβανέτω, τὶ δὲ ἀπὸ τελευτῆς μόνον τοῖς ἐλευθέροις[18a]) περιγινέσθω σύμφωνον, τοῦ λοιποῦ πρὸς τὸν καταδουλώσαντα χωροῦντος.

ι'. Εἰ δὲ εὐθὺς ἐξ ἀρχῆς οἰηθείη τὶς ἐλευθέρῳ συνάπτεσθαι προσώπῳ, εἶτα ἐκεῖνο δοῦλον ὕστερον ἀποφανθείη

17) Dig. 24, 2, 6. 18) Ita Bas. cum Auth. Ven. μικρῷ
18a) τῷ ἐλευθέρῳ?

καθεστως, οὐ φήσομεν λύεσθαι τὸν γάμον, ἀλλ' αὐτὸ τὴν ἀρχὴν οὐδὲ γάμον γενέσθαι παρὰ[18b]) τὴν ἔμπροσθεν ἡμῖν εἰρημένην αἰτίαν, τὴν τῆς περὶ τὴν τύχην ἀνισότητος, ὥστε οὐδὲ κέρδος ἐκ γάμου θεωρητέον οὐδέ τι τοιοῦτο, ἀλλὰ ψιλὴν τῶν προσηκόντων διὰ τῶν προσφόρων ἀγωγῶν ἀνάδοσιν. ταῦτα δὲ διορίζομεν καὶ τὸν τοιοῦτον οὐκ εἶναί φαμεν γάμον, εἴπερ τὸ πρᾶγμα τύχης ἀδηλία διοικήσειε μόνη, μηδὲ συναινέσεως τοῦ δεσπότου μηδὲ κακουργίας αὐτοῦ τινος μηδὲ ῥᾳθυμίας ἐλεγχομένης.

ια'. Εἰ γὰρ ἐξέδωκεν ὡς ἐλευθέραν τὴν ἑαυτοῦ θεράπαιναν ὁ δεσπότης, ὁ δὲ ἐλεύθερος ὢν καὶ πιστεύσας τῷ διδόντι ταύτην ἔλαβεν, ἴσως καὶ προικῴων γενομένων συμβολαίων, ἢ μηδὲ γενομένων μέν, τῆς δὲ αὐτοῦ γνώμης τὸ πρᾶγμα διοικησαμένης, οὐκ ἂν εἴη δίκαιον τὸν τοιοῦτον μὴ συνεστάναι γάμον, ἀλλὰ σιωπηρὰν ἐλευθερίαν ἀκολουθεῖν εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικὶ τοιούτου[19]) τινὸς παρὰ τοῦ δεσπότου γεγονότος θεσπίζομεν, ἀναρπάζεσθαί τε τὸν τοιοῦτον ἢ τὴν τοιαύτην εἰς εὐγένειαν, καὶ τὸ πρᾶγμα ὡς ἐπ' ἐλευθέροις τε καὶ εὖ γεγονόσι[20]) κρίνεσθαι. εἰ δὲ αὐτὸς μὲν οὐ συναρμόσειε τὸν γάμον ὁ θατέρου τῶν προσώπων δεσπότης, εἰδείη δὲ τὸ γινόμενον καὶ ἐξεπίτηδες ἀποκρύπτοι, ἵνα ὕστερον πρᾶγμα ῥάψειε τῶν συναφθέντων θατέρῳ, τιμωρούμεθα τὴν τοιαύτην εἴγε σαφῶς ἀποδειχθείη κακουργίαν, καὶ ἀφαιρούμεθα τὴν δεσποτείαν τῶν οὕτω πονηρῶς βεβουλευμένων[20a])· καὶ ἔστω πάλιν καὶ τοῦτο γάμος ὥσπερ ἂν εἰ συνῄνεσεν ὁ κεκτημένος τὴν ἀρχήν· καὶ ὁ μὲν ἐκπιπτέτω τῆς δεσποτείας, αὖθις δὲ εἰς εὐγένειαν ἀναρπαζέσθω τὸ δοῦλον πρόσωπον, τοιούτου συμβαίνοντος ἀποτελέσματος ἤπερ συνῄνεσεν ἢ εἴπερ ἐκακούργησεν ὁ κεκτημένος· πρό-

18b) διά? 19) Sic Hal. et Proch.; Ven. et Bas. (cum Auth.) καὶ τοιούτου. Epan. τοιούτου γάρ. 20) Ven. supra lineam τοῖς εὐγενοῖς. Proch. et Bas. εὐγενέσι. 20a) τὸν — βεβουλευμένον. Auth.: cogitantem.

δῆλον ὄν, ὡς καὶ οἱ παῖδες οἱ ἐκ τῶν τοιούτων γάμων ἐλεύθεροί τε καὶ εὐγενεῖς κατὰ τόνδε ἡμῶν ἔσονται τὸν νόμον.

ιβ΄. Καὶ πολλῷ μᾶλλον ταῦτα κρατείτω, εἴπερ ἔτυχεν ἤδη τὸν οἰκέτην ἢ τὴν θεράπαιναν ἢ νοσοῦντας ἀποκηρυξάμενος ἢ καὶ καταφρονήσας αὐτῶν καὶ ἀποβαλὼν τὴν ἐπὶ τῇ δεσποτείᾳ κατ' αὐτῶν γνώμην· ἐκεῖνοι γὰρ ὡς ἤδη καθεστῶτες ἐλεύθεροι, καὶ κατὰ τὸν ὡσανεὶ pro derelicto[21]) τίτλον ἑαυτῶν ἀλλ' οὐχ ἑτέρου ὄντες, οὐκ ἂν ὕστερον ἐνοχλοῖντο παρὰ τῶν τὸ κεκτῆσθαι τούτους πάλαι μισησάντων.

ιγ΄. Deportatίων μέντοι, εἰς ἣν μετεχώρησε καὶ ἡ παλαιὰ πυρός τε καὶ ὕδατος ἀπαγόρευσις (ἣν aqua et igni interdictiona καλοῦσιν οἱ ἡμέτεροι νόμοι), οὐ διαλύει τὰ συνοικέσια. τοῦτο γὰρ δὴ καὶ τῷ θειοτάτῳ πρώην ἔδοξε Κωνσταντίνῳ[22]) φιλάνθρωπόν τι πρᾶγμα, καὶ ὑφ' ἡμῶν μὲν ἀποδεχθὲν, τοῦ δὲ παρόντος οὐ προσαπτόμενον νόμου, ὥστε οὐδὲ τὰ ἀποτελέσματα ῥητέον τῷ γε ἐπὶ τῆς οἰκείας μένοντι τάξεως πράγματι.

ιδ΄. Ἴσμεν δὲ δὴ καὶ τὸν τῆσδε ἡμῶν τῆς εὐδαίμονος πόλεως οἰκιστὴν (τὸν τῆς θείας φαμὲν λήξεως Κωνσταντῖνον) γεγραφότα νόμον[23]), καθ' ὃν εἴ τις ἐπὶ στρατοπέδου γένοιτο καὶ σιγήσειε πρὸς τὴν γαμετὴν ἐπὶ τετραετῆ χρόνον, καὶ μηδ' ὁτιοῦν αὐτῇ γένηται παρ' ἐκείνου σύμβολον τῆς περὶ αὐτὴν διαθέσεως, τηνικαῦτα ἄδειαν εἶναι τῇ γυναικὶ πρὸς δευτέρους ἀφικνεῖσθαι γάμους, διδασκαλίαν ἐπιδούσῃ πρότερον τῷ τὴν στρατηγίαν ἔχοντι καὶ αὐτὸ τοῦτο ἐκμαρτυραμένῃ· καὶ εἴ τι τοιοῦτο γένοιτο, ἀνεύθυνός τε ἡ γυνὴ πρὸς ἀνδρὸς ἑτέρου μεταβήσεται, καὶ οὐ ζημιωθήσεται μὲν τὴν προῖκα, οὐκ ἔτι δὲ τὴν προγαμιαίαν κερδανεῖ δωρεάν. ταῦτα μὲν οὖν ὁ θειότατος Κωνσταντῖνος. σφόδρα δὲ ἡμῖν ἀώρως ἔχειν ἡ τοιαύτη διάταξις δοκεῖ· τὸ γὰρ πράξεσι πο-

21) Ven. supra lineam ἀπρονοήτων. 22) l. 24 §. 2 C. de donat. inter V. et U. 5, 16. 23) l. 7 C. de repud. 5, 17.

ιμικαῖς ἐνησχολημένῳ τῷ γήμαντι γυναικὸς ἐπάγειν στέρη-ιν οὐχ ἧττων ἐστὶ ποινὴ τοῦ παρὰ πολεμίοις ἁλῶναι. ὥστε ἡ πρότερον εἰς ἀνδρὸς φοιτάτω δευτέρου ἡ τοιαύτη γυνή, ποίαν ὁ νομοθέτης οὗτος ὑπέθετο, πρὶν ἂν καὶ δεκαετὴς ἐλθοι χρόνος καὶ αὐτὴ διενοχλήσειε τὸν ἄνδρα, στέλλουσα ράμματα ἢ διά τινων ῥήμασι χρωμένη πρὸς αὐτόν, ὁ δὲ σαφῶς ἀπείποι πρὸς τὸν γάμον τὸν αὐτῆς ἢ καθάπαξ ιγήσειε, τηνικαῦτά τε διδασκαλίαν ἐπιδοίη ἢ τῷ ἐνδοξο-ἀτῳ στρατηγῷ ἢ τῷ περιβλέπτῳ δουκὶ ἢ τῷ λαμπροτάτῳ ιβούνῳ, ὑφ' οὓς ὁ στρατιώτης ἐκεῖνός ἐστι· τότε γὰρ ἄδειαν ὑτῇ δίδομεν καὶ ἱκετηρίαν ἀνατεῖναι βασιλεῖ κἀκεῖθεν τοῦτο πιτραπῆναι. ἴστω δέ, ὡς εἰ παρὰ ταῦτά τι πράξειεν, ὡς ροπετῶς γημαμένη ὑποπεσεῖται ταῖς ἐκ τοῦ νόμου ποιναῖς. §. 1.] αἱ μὲν οὖν ἐπιεικέστεραι τῶν γάμων διαλύσεις, ἃς ενικῷ τινι λόγῳ ὑπὸ τὴν bona gratia γινομένην διάζευξιν νοιστέον, τοιαῦταί πως εἰσίν.

ιε'. Αἱ δὲ ἐφεξῆς αἰτίαν ζητοῦσιν ἰδεῖν ἢ παρὰ τοῦ νδρὸς ἢ παρὰ τῆς γυναικὸς γινομένην, ἵνα ζημιώσωσι τὸν ροπετῆ τῇ τῶν παρ' αὐτοῦ δεδομένων ἐκπτώσει, προικός αμεν ἢ διὰ γάμον δωρεᾶς. ἀλλὰ τούτων τῶν αἰτιῶν οἱ ἐν ἀρχαιότεροι πολλοὺς ἐποιοῦντο καὶ διαφόρους καταλό-ους. Θεοδόσιος δὲ ὁ νέος, τὰς μὲν ἐκεῖθεν λαβὼν τὰς δὲ ὐτὸς προσεξευρών, τὴν περὶ τῶν repudiων ἔγραψε διά-αξιν[24]), ἡμῖν δὲ καὶ ἕτεραί τινες προσεξευρέθησαν αἰτίαι, ς ὀρθῶς ἔχειν συνείδομεν εἰς αἰτίαν ἀνενεγκεῖν τοῦ ταύ-αις ὑποπεσόντος. [§. 1.] εἰ τοίνυν κατὰ τὴν Θεοδοσίου οῦ τῆς εὐσεβοῦς λήξεως διάταξιν ἰσχύσειεν ἡ γυνὴ δεῖξαι ὸν συνοικήσαντα ἢ μοιχείαν ἁμαρτόντα, ἢ ἔνοχον καθε-τῶτα φόνου, ἢ μαγγανείαις τε καὶ ἀγυρτίαις ἐσχολακότα, τῷ χαλεπωτάτῳ πάντων ἁμαρτημάτων ἐπικοινωνήσαντα λημμελήματι, φαμὲν δὲ τῷ μηχανήσασθαί τι κατὰ τῆς βασι-

24) l. 8 C. de repud. 5, 17.

λείας αὐτῆς, ἢ καταδικασθέντα παραποιήσεως, ἢ τάφους διορύξαντα, ἢ ἔκ τινος τῶν ἱερῶν οἴκων τὶ σεσυληκότα, ἢ ληστρικὸν ἐπανῃρημένον βίον ἢ τοὺς ληστεύοντας ὑποδεχόμενον, ἢ ἕνα τῶν καλουμένων ἀπελατῶν (οἷς ἐστι φροντὶς τοῖς ἀλλοτρίοις ἐφεδρεύειν ὑποζυγίοις ἢ βοσκήμασι καὶ ταῦτα μεθιστᾶν ἑτέρωθι), ἢ ἐξελέγξειεν ἀνδραποδιστὴν καθεστῶτα, ἢ οὕτως ἀσελγῶς βιοῦντα ὡς ἐν ὄψεσι τῆς γαμετῆς ἑτέραις συνδιαφθείρεσθαι ὅπερ μάλιστα γυναῖκας οἷα περὶ τὴν εὐνὴν ἠδικημένας ἀγριαίνειν ποιεῖ (καὶ μάλιστα δὴ τὰς σώφρονας), ἢ εἴπερ ἐπιβουλευομένη παρὰ τοῦ ἀνδρὸς δείξειε[25]) περὶ τὴν σωτηρίαν αὐτὴν ἢ φαρμάκοις ἢ ξίφει ἢ καθ' ἕτερον τοιοῦτόν τινα τρόπον (πολλαὶ δὲ ἀνθρώποις αἱ πρὸς κακίαν ὁδοί), ἢ καὶ μάστιξιν ἐπ' αὐτὴν χρῷτο, εἰ τοίνυν γυνὴ τοιοῦτό τι δεῖξαι δυνηθείη, ἄδειαν αὐτῇ δίδωσιν ὁ νόμος καὶ repudiῳ χρῆσθαι καὶ ἀφίστασθαι τοῦ γάμου καὶ τὴν προῖκα λαμβάνειν καὶ τὴν προγαμιαίαν δωρεὰν ἅπασαν, οὐ μόνον εἰ πάσας ὁμοῦ δείξει τὰς αἰτίας, ἀλλ' εἰ καὶ καθ' αὑτὴν μίαν. [§. 2.] καὶ αὖθις ἄδειαν δίδωσι τῷ ἀνδρὶ τὴν γυναῖκα ἀποπέμπειν, εἰ μοιχευομένην εὕροι, ἢ μαγγανεύουσαν, ἢ ἐξαμαρτάνουσαν φόνον ἢ ἀνδραποδισμὸν ἢ τυμβωρυχίαν, ἢ ἱερόσυλον οὖσαν ἢ συσπεύδουσαν λῃσταῖς ἢ συλληστεύουσαν, ἢ τἀνδρὸς ἀγνοοῦντος ἢ καὶ κωλύοντος χαίρουσαν τοῖς μεθ' ἑτέρων οὐδὲν αὐτῇ προσηκόντων συμποσίοις, ἢ καὶ ἄκοντος τοῦ ἀνδρὸς εὐλόγου προφάσεως χωρὶς ἀπόκοιτον γινομένην, ἢ παρὰ τὴν αὐτοῦ γνώμην ἱπποδρομίαις χαίρουσάν τε καὶ παραγινομένην, ἢ θεάτροις παραβάλλουσαν[26]) (φαμὲν δὲ τοῖς ἔνθα σκηναὶ καὶ τὰ τοιαῦτά ἐστιν ἢ καὶ ὅπη θηρίοις πρὸς ἀνθρώπους ἡ μάχη), ἢ ἐπιβουλὰς αὐτῷ ῥάπτουσαν τὰς ἐκ φαρμάκων ἢ ξίφους ἢ καθ' ἕτερον γινομένας τρόπον ἐξ ὧν περὶ τὸ ζῆν ὁ κίνδυνος,

25) ἐπιβουλευομένην — ἑαυτὴν δείξειε? Ita scilicet Auth. videtur legisse. 26) παραγνώμην θεάτροις παρεμβ? Cf. l. 8 C. cit.

ἢ καὶ συνεπισταμένην τοῖς τυραννίδα μελετῶσιν, ἢ καὶ παραποιήσεως ἔνοχον καθεστῶσαν, ἢ τὰς τολμηρὰς αὐτῆς χεῖρας ἐπάγουσαν αὐτῷ. καὶ γὰρ δὴ τοιούτου τινὸς γεγονότος δίδωσιν ὁ νόμος οὗτος ἀποπέμπεσθαι ἀνδρὶ τὴν γαμετὴν, κἂν εἰ μίαν τούτων καὶ μόνην δείξειεν αἰτίαν, καὶ κερδαίνειν μὲν τὴν προῖκα τὴν δὲ προγαμιαίαν δωρεὰν ἔχειν. [§. 3.] εἰ δὲ καὶ θάτερον αὐτῶν πρόσωπον ἀλόγως ῥεπούδιον πέμψειεν, αὐτῷ τούτῳ τῷ διαζεῦξαι τὸν γάμον λόγου χωρὶς ὑπεύθυνον ἔσται ταῖς ἔμπροσθεν ἡμῖν εἰρημέναις ποιναῖς, πρὸς τῷ τὴν γαμετὴν ὑπεύθυνον ὅλως ἐκ τῶν εἰρημένων αἰτιῶν ἢ τῆς ἀλόγου πομπῆς γινομένην καὶ εἰς πενταετίαν ὅλην πρὸς δεύτερον ἐλθεῖν κωλύεσθαι συνοικέσιον, καὶ τὸν πρὸ τῆς πενταετίας γάμον μὴ ἀνεύθυνον εἶναι, μὴ γάμον[27]), ἀλλὰ πᾶς φησὶν[28]) ὁ βουλόμενος προσίτω καὶ κατηγορείτω τοῦ γινομένου ὡς παρὰ τὸν νόμον τολμηθέντος.

ιϛ'. Εἰ δὲ καὶ εὐλόγως ἡ γυνὴ τὸ ῥεπούδιον στείλειε καὶ κρατήσοι[29]) τῶν ἀγώνων, ἢ ὁ ἀνὴρ ἀλόγως αὐτὴν ἀποπεμψάμενος ὑποπέσοι ταῖς ποιναῖς, κερδαινέτω μὲν τὰ κέρδη τὰ ἔμπροσθεν εἰρημένα, ἐρυθριάτω δὲ πρὶν ἐνιαυτὸν ἐξήκειν πρὸς δεύτερον φοιτᾶν γάμον.[30]) ὅπερ οὐ παραφυλακτέον ἡμῖν ἐπ' ἀνδρός· τῷ γὰρ εὐλόγως κεκρατηκότι τῶν τοιούτων κερδῶν, ὅπου γε καὶ τῷ μὴ κεκρατηκότι καὶ παραχρῆμα γαμεῖν ἔξεστιν, ἐπεὶ μηδεμία περὶ τὴν τῆς γονῆς σύγχυσιν εὔλογός ἐστιν ὑπόνοια, ὅπερ ἐπὶ τῶν γυναικῶν τὴν πρὸ τοῦ ἐνιαυτοῦ συνάφειαν εἰκότως ἀπείργει· καὶ τοσοῦτόν ἐστι τὰ τῆς κωλύσεως ἐντεῦθεν, ὅτι κἂν εἰ bona gratia διαλυθῆναι συμβαίη τὸν γάμον, ἀλλὰ καὶ οὕτως ἐκ

27) Legerim (cum Auth.) μηδὲ γάμον νόμιμον κληθῆναι. In l. 8 C. cit: „connubium illud nolumus nuncupari: insuper etiam arguendi hoc ipsum volenti concedimus libertatem". In Basil. oratio directa est: οὐδὲ νόμιμος γάμος κληθήσεται. 28) φησὶν in Auth. rectius omittitur. 29) Ita Bas. cum Auth. Ven. κρατήσει. 30) Ita Bas. cum Auth. Ven. γάμον omittit.

τῆς Ἀναστασίου τοῦ τῆς εὐσεβοῦς λήξεως διατάξεως[31]) εἰς ἐνιαυτὸν ἡ κώλυσις τῶν δευτέρων γάμων ταῖς γυναιξὶν ἐπιτέτακται. [§. 1.] ταύτας μὲν οὖν τὰς αἰτίας ἡμῖν ὁ Θεοδόσιος ἀφηγήσατο, ἡμεῖς δὲ ἐκ τῶν παλαιῶν λαβόντες καὶ ἑτέρας προσεθήκαμεν τρεῖς. εἰ γὰρ ἡ γυνὴ τοσαύτῃ κατέχοιτο πονηρίᾳ, ὡς καὶ ἐξεπίτηδες ἀμβλῶναι καὶ τὸν ἄνδρα λυπῆσαι καὶ ἀφελέσθαι τῆς ἐπὶ τοῖς παισὶν ἐλπίδος, καὶ τοσαῦτα τὰ τῆς ἀκολασίας ἐστὶν ὡς καὶ ἀνδράσι κατὰ τρυφῆς πρόφασιν συλλούεσθαι, ἢ καὶ ἕως συνέστηκε τὸ πρὸς τὸν ἄνδρα συνοικέσιον πρὸς ἑτέρους περὶ γάμων ἑαυτῆς διαλέγοιτο, ἄδεια δέδοται παρ' ἡμῶν τοῖς ἀνδράσι πέμπειν αὐταῖς ῥεπούδια καὶ κερδαίνειν τὰς προῖκας καὶ τὰς προγαμιαίας ἔχειν δωρεάς, ὡς ἤδη καὶ τούτων τῶν αἰτιῶν εὐλόγως διαλύειν δυναμένων τὸν γάμον καὶ ὑπὸ τὴν αὐτὴν ἀγομένων τάξιν, ὑφ' ἣν τὰς ποινὰς ἡ Θεοδοσίου τοῦ τῆς εὐσεβοῦς λήξεως ὥρισε διάταξις.

ιζ'. Ἐναπογράφῳ δὲ ἀλλοτρίῳ γαμεῖν ἐλευθέραν οὐκ ἔξεστιν οὔτε ἀγνοοῦντος οὔτε εἰδότος οὔτε συναινοῦντος τοῦ κεκτημένου, ἀλλὰ κἂν εἴ τι τοιοῦτο παρὰ τοῦ ἐναπογράφου πραχθείη, πάρεστι τῷ δεσπότῃ καὶ αὐτῷ καθ' αὑτῷ καὶ διὰ τοῦ τῆς χώρας ἄρχοντος σωφρονίζειν τε πληγαῖς μετρίαις τὸν ταῦτα πράξαντα ἐναπόγραφον καὶ ἀφέλκειν ἀπὸ τῆς μάτην αὐτῷ συνούσης[32]), ὥστε οὐδὲ γάμος ἐστὶ τὸ γενόμενον οὐδὲ ἐπίδοσις προικὸς οὐδὲ προγαμιαία δωρεὰ[33]), ἀλλὰ ψιλὴ τοῦ γεγονότος κακῶς ἐπανόρθωσις. [§. 1.] οὕτω μὲν οὖν τὰ συνοικέσια διαλύεται περιόντων ἔτι τῶν ταῦτα συμβαλόντων, καὶ χρηματικαὶ αἱ ποιναὶ περὶ τὴν προῖκά πως καὶ τὴν προγαμιαίαν σχεδὸν ἵστανται δωρεάν.

ιη'. Ἀλλ' ἡμῖν τι καὶ ἕτερον προσεξεύρηται, τὸ καὶ τὰς ἀπροίκους συναφείας ἀλόγων γινομένων τῶν διαιρέσεων

31) l. 9 C. de repud. 5, 17. 32) Cf. l. 24 §. 1 C. de agricolis 11, 48. 33) Ven. et Bas. et Auth. προγαμιαίας δωρεᾶς, de cuius tamen ἐπιδόσει sermo esse non potest.

σωφρονισμῷ παραδοῦναι προσήκοντι. εἰ γάρ τις ἀγάγοιτο γαμετὴν ἢ καὶ γυνὴ πρὸς ἄνδρα ἔλθοι, γαμικῆς μὲν ληφθείσης προαιρέσεώς τε καὶ γνώμης, οὐ μὴν ἀκολουθησάσης προικὸς ἢ προγαμιαίας δωρεᾶς (ἔνθα δὴ καὶ προπετέστερον γίνεσθαι τὰς λύσεις συνέβαινε μηδενὸς ἐντεῦθεν ὑπόντος κατὰ τοῦ προπετευσαμένου κινδύνου), διάταξιν[34]) ἐγράψαμεν λέγουσαν, ὡς εἴ τις ὑπεξουσίαν γυναῖκα γνώμῃ γονέων ἢ καὶ αὐτεξουσίαν τυχὸν ἀγάγηται μήτε προικὸς ἐπιδοθείσης μήτε συμβολαίων τοιούτων γενομένων, ὁ μὲν γάμος ἔστω γάμος, κἂν εἰ προικῷα μὴ συγγραφείη, μὴ διὰ τοῦτο δὲ ὁ ἀνὴρ (τοῦτο ὅπερ ἐπὶ πολλῶν ἴσμεν γενόμενον) ἐκδιωκέτω τῆς οἰκίας τὴν γαμετὴν χωρὶς μιᾶς τῶν ἔμπροσθεν εἰρημένων εὐλόγων αἰτιῶν, ἅς τε Θεοδόσιος ἅς τε ἡμεῖς ἠριθμήκαμεν. εἰ δέ τι τοιοῦτο γένηται καὶ ἢ χωρὶς αἰτίας αὐτὴν ἀποπέμψηται τῆς οἰκίας ἢ καὶ αὐτὸς εὔλογον αἰτίαν παράσχοι τῷ τὴν γυναῖκα ἀποχωρῆσαι τοῦ πρὸς αὐτὸν συνοικεσίου, τὸ τέταρτον μέρος τῆς ἰδίας περιουσίας ἀναγκαζέσθω καταβαλεῖν αὐτῇ. ἀλλὰ μέχρι μὲν τετρακοσίων χρυσίου λιτρῶν τὴν περιουσίαν ἔχων ἑκατὸν λίτρας ζημιωθήσεται, τουτέστι τῷ τετάρτῳ τῆς περιουσίας μέρει, ἐλάττονα δὲ ταύτης καθ' ὅσον ἡ τοῦ τετάρτου ποιεῖ ποσότης· εἰ δὲ καὶ μείζονα τῆς εἰρημένης τῶν τετρακοσίων τοῦ χρυσίου λιτρῶν ποσότητος εἰς περιουσίαν ἔχει, μὴ πλέον τῶν ἑκατὸν τοῦ χρυσίου ζημιούσθω λιτρῶν. πρὸς γὰρ δὴ τὴν μεγίστην ἐπίπαν ἀποβλέψαντες προῖκα τὸν νόμον τοῦτον ἐγράψαμεν, οὐσίαν εἰκότως ἐκείνην κατὰ τοὺς ἡμετέρους νόμους[35]) οἰηθέντες εἶναι ἥπερ ἂν καθαρὰ χρεῶν διαφαίνοιτο. καὶ ὅ γε λόγος ἐκ τῶν αὐτῶν αἰτιῶν ἐξ ἀντιστρόφου χωρείτω, καὶ εἴπερ ἡ γυνὴ παρ' αἰτίαν οἰκείαν ἀποχωρήσει τοῦ ἀνδρὸς ἄπροικος καθεστῶσα ἢ καὶ πέμψειεν αὐτῷ δίχα τινὸς αἰτίας εὐλόγου ῥεπούδιον, ταῖς αὐταῖς ἐν ἅπασιν ὑποκείσθω[35a]) ποιναῖς. καὶ

34) l. 11 C. de repud. 5, 17. 35) l. 39 §. 1 D. de V. S.
35a) Ven. ὑποκεῖσθαι.

εἰ μὲν κατ' αἰτίαν αὐτῆς ὁ γάμος λυθείη, τὴν πενταετίαν φυλακτέον τῇ γυναικὶ καὶ δευτέροις οὐχ ὁμιλήσει γάμοις· εἰ δὲ κατ' αἰτίαν τοῦ συνοικοῦντος ἢ καὶ bona gratia διαλυθείη (ἴσως γὰρ καὶ τοῦτο), τὸν ἐνιαυτὸν φυλαττέτω διὰ τὸ τοῦ σπέρματος ἀσύγχυτον, ἵνα διὰ πάντων ἡμῖν ὁ νόμος τέλειος ᾖ.

ιθ'. Ἔστι δέ τι καὶ ἕτερον ἡμῖν εὐσεβές τε ἅμα καὶ χάριεν ἐξευρημένον, ἔνθα καὶ ῥεπουδίων σταλέντων οἱ γάμοι μένουσιν ἔτι. τὰς γὰρ τῶν ὑπεξουσίων πονηρίας περὶ τοὺς πατέρας κωλύοντες (ἐπειδή τινας εὕρομεν ἐξεπίτηδες ῥεπούδια γράφειν σπεύδοντας καὶ πέμπειν ταῖς αὐτῶν γαμεταῖς, ἢ καὶ τοὐναντίον μηδεμιᾶς εὐλόγου παντελῶς ὑπούσης αἰτίας διαλύειν τοὺς γάμους, ὥστε τοὺς αὐτῶν γονεῖς ὑποβάλλεσθαι ταῖς ἐκτίσεσι τῆς προικὸς ἢ τῆς πρὸ γάμου δωρεᾶς ὡς δὴ διαλυθέντος τοῦ γάμου, καὶ αὐτοὶ μὲν ἴσως λάθρα συνῴκουν[36]) ἀλλήλοις, ἀπῄεσαν[37]) δὲ οἱ γονεῖς ἐζημιωμένοι καὶ ταύτην τῆς περὶ τοὺς παῖδας φιλανθρωπίας ἔχοντες τὴν ἀμοιβὴν) νόμον[38]) ἐγράψαμεν βουλόμενον, μήτε ὑπεξουσίους μήτε ἐμαγκιπάτους παῖδας, μήτε ἄῤῥενας μήτε θηλείας, δύνασθαι διαλύειν τοὺς γάμους εἰς τὴν τῶν οἰκείων βλάβην πατέρων ἢ μητέρων, οἳ τὰς προῖκας ἢ τὰς προγαμιαίας δωρεὰς ἐπιδεδώκασιν ἢ ὑπεδέξαντο μόνοι ἢ καὶ μετὰ τῶν παίδων, ἀλλ' ὥσπερ ἐν τῇ συστάσει τῶν γάμων ἀναμένομεν τὴν τῶν πατέρων συναίνεσιν, οὕτως οὐδὲ διαλύεσθαι τοὺς γάμους συγχωροῦμεν ἐπὶ τῇ τῶν γονέων βλάβῃ παρὰ τὴν ἐκείνων γνώμην. ἀλλ' εἰ καὶ πεμφθείη ῥεπούδιον, ἁρμόζειν κατ' αὐτῶν τὴν εἴσπραξιν τῶν ποινῶν οὐ συγχωροῦμεν, εἴτε αὐτοὶ δεδώκασι ταῦτα ἢ ὑπεδέξαντο ἢ καὶ συνυπεδέξαντο. οὐδὲ γὰρ ἂν ἔχοι λόγον, τὸν μὲν πατέρα παρὰ γνώμην τοῦ παιδὸς μὴ δύνασθαι διαλύειν τὸν γάμον, τοῖς δὲ

36) Hal. συναναμίγνυνται. 37) Ven. ὑπήεσαν. 38) l. 12 C. de repud. 5, 17.

παισὶν ἐπιτρέπειν, ἴσως καὶ ἐλάττοσι τὴν ἡλικίαν οὖσι καὶ μηδὲ τὸ συμφέρον ἐπισταμένοις, λύειν παρὰ τὴν τῶν πατέρων γνώμην τὸν γάμον κἀντεῦθεν τοὺς πατέρας ἀδικεῖν. τοῦτο δὲ εὖ μὲν ἀρξάμενος ὁ φιλοσοφώτατος ἐθέσπισε Μάρκος, Διοκλητιανὸς[39]*) δὲ τούτῳ κατηκολούθησεν, ἡμεῖς δὲ ὁμοίως ἀπεδεξάμεθα. καὶ ἔστω τέλος ἡμῖν τοῦτο τῶν διαζεύξεων αἳ περιόντων τῶν συνοικούντων γίνονται.*

κ΄. Τὸ δὲ ἐφεξῆς τῶν γάμων τέλος ὁ πάντα ὁμοίως διαλύων ἐκδέχεται θάνατος, ὥστε εἴτε θανάτῳ τοῦ ἀνδρὸς διαλυθείη τὸ συνοικέσιον εἴτε τελευτῇ τῆς γυναικός, κέρδος γίνεσθαι τῷ μὲν ἀνδρὶ τὴν προῖκα κατὰ τὸ τοῖς γαμικοῖς συμβολαίοις περιεχόμενον σύμφωνον, τῇ γυναικὶ δὲ τὴν προγαμιαίαν δωρεὰν καθάπερ ἂν κἀκεῖσε δόξειεν ἐξ ἀρχῆς τοῖς συμβάλλουσιν, οὐ κωλυομένων μὲν τῶν ἀνίσων κατὰ τὸ ποσὸν ἐπιδόσεων, κωλυομένων δὲ τῶν ἀνίσων συμφώνων· τοῦτο ὅπερ ὁ μὲν γενναιότατος Λέων ἐν τοῖς οἰκείοις ὀρθῶς ἔγραψε νόμοις[40]*), ἡμεῖς δὲ αὐτὸ παραλαβόντες ἔτι σαφέστερον διετάξαμεν.*[41]*) εἰ γὰρ ὁ μὲν πλεῖον ὁ δὲ ἔλαττον ἐν τῷ κέρδει συμφωνήσειεν, ἄδηλον ἦν ὁποῖον δεῖ τὸ κρατοῦν εἶναι, πότερον τὶ πλεῖον ἢ τὸ ἔλαττον τῆς ἀμφισβητήσεως ἑκατέρωθεν ὁμοίως ἀνισταμένης· ὥστε ἡμῖν ἔδοξε τὰς ἀμετρίας ἀποστρεφομένοις*[42]*) πρὸς τὸ ἔλαττον καθελκύσαι τὸ πλεῖον ἐν τῷ συμφώνῳ, ὡς μὴ τῷ μὲν ἐξεῖναι τρίτον τῷ δὲ τυχὸν τέταρτον τοῦ κέρδους συμφωνεῖν, ἀλλ' εἴ τι τοιοῦτο γένοιτο, τὸ τέταρτον*[43]*) ἐφ' ἑκατέρου παραλαμβάνεσθαι, καὶ ἐφεξῆς ὁμοίως ἐπὶ τῶν μερῶν, οὐ μὴν ἐπὶ τῆς συμπεφωνημένης ἑκατέρωθεν ποσότητος.*[44]*)* [§. 1.] *λυθέντος τοίνυν τοῦ γάμου κατὰ τὰς ἔμπροσθεν ἁπάσας δια-*

39) l. 3. 5 C. de repud. 5, 17. 40) l. 9 C. de pactis conventis 5, 14. 41) l. 10 C. eod. 42) Hal. *τῆς ἀμετρίας ἀποστρεφομένης*. 43) *τὸ τέτ.* apud Hal. et in Ven. deest. Ex Auth. supplevit Osenbrüggen. 44) In l. 9 C. cit. est: „eandem partem, non pecuniae quantitatem".

ζεύξεις εὔδαιμον μὲν καὶ μακάριον ἑκατέρῳ τῶν συμβαλόντων μένειν ἐπὶ τῆς προτέρας εὐνῆς, καὶ μὴ τὴν γινομένην γονὴν τοῖς ἐφεξῆς συνοικεσίοις ἴσως λυπεῖν. καὶ εἴ γε τοῦτο πράξαιεν καὶ ἐπὶ τῶν προτέρων σταῖεν γάμων, ἕξουσι μὲν τὰ οἰκεῖα, τουτέστι προῖκα μὲν ἡ γυνὴ προγαμιαίαν δὲ δωρεὰν ὁ ἀνήρ, οὐδὲ πολυπραγμονούντων ἡμῶν τοῦτο ὅπερ ἐπὶ τῶν δευτέρων ἐστὶ γάμων, λήψονται δὲ τὰ κέρδη, ὁ μὲν ἀνὴρ τὰ ἐκ τῆς προικὸς ἡ δὲ γυνὴ τὰ ἐκ τῆς προγαμιαίας δωρεᾶς, καὶ ἔσονται ταῦτα αὐτοῖς οἰκεῖα οὐδὲν σχεδὸν τῆς ἄλλης αὐτῶν διαφέροντα κτήσεως. ὥστε ἐν ὅσῳ περίεισι πᾶσαν ἄδειαν ἕξουσιν ἐκποιήσεως ἐπ' αὐτοῖς, ὡς ἐπὶ τοῖς ἄλλοις οἷς οἴκοθεν ἐξ ἀρχῆς εἶχον· εἰ δὲ καὶ τελευτῷεν πάρεστιν αὐτοῖς καὶ ληγάτοις καὶ φιδεϊκομμίσσοις τὰ πράγματα ταῦτα εἰς ἑτέρους μεταστῆσαι. καὶ γὰρ δὴ τὰς τοιαύτας ἐκποιήσεις ἐφήκαμεν ἡμεῖς διάταξιν[45]) ὑπὲρ τούτων γεγραφότες. [§. 2.] εἰ μέντοι τοὺς μὲν παῖδας ἔκ τινος μοίρας γράψοιεν κληρονόμους, ἐξωτικοὺς δὲ ἐξ ἑτέρας, μένοι δὲ τὰ τοιαῦτα πράγματα ἢ καί τινα ἐξ αὐτῶν ἀνεκποίητα, οὐ παρὰ τοῦτο ἐκποιεῖσθαι ταῦτα δοκεῖ ἐπειδή τις καὶ ἕτερος γέγραπται κληρονόμος, ἀλλὰ μενέτω καὶ ταῦτα τοῖς παισίν. οὐδὲ γὰρ εἰ γράψαιεν πάντας τοὺς παῖδας κληρονόμους, ἐξ ἀνίσων μέντοι μερῶν, ταῦτα κατὰ τὰς κληρονομιαίας λήψονται μοίρας, ἀλλ' ἐξ ἴσης διαιρήσονται πρὸς τὸν ἀριθμὸν τὸν ἑαυτῶν, ὥσπερ κἂν εἰ μηδένα αὐτῶν γράψειαν κληρονόμον ἀλλ' ἐξωτικοὺς ἅπαντας, αὐτοῖς τοῦ ἱκανοῦ δι' ἑτέρων τρόπων γινομένου, λήψονται ταῦτα καίτοι μὴ κληρονομοῦντες τοῦ γονέως. ἔδοξε γὰρ ἡμῖν κατὰ πρόληψιν ὁ πατὴρ ἐν ᾧ μὴ ζῶν ἐκποιήσειεν ἢ καὶ ῥητῶς ὑπόθοιτό τι τῶν πραγμάτων τούτων ἢ τελευτῶν μὴ ῥητῶς εἰς ἕτερον αὐτὰ μεταθείη, βούλεσθαι μᾶλλον φυλάττειν τοῖς παισὶν ὡς ἐξ αἰτίας ἐκείνων αὐτῷ προσγενόμενα, ἀλλὰ μὴ

45) l. 8 §. 1 C. de sec. nupt. 5, 9.

ἰς τοὺς ἔξωθεν ἄγειν. καὶ δοθήσεται ταῦτα τοῖς παισὶ ἱρας ἐξαίρετον ἐκ τοῦ ἡμετέρου νόμου, κἂν εἰ μὴ κληροομοῖεν ἢ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἢ ὁποτέρου, κἂν εἴ ινες μὲν αὐτῶν κληρονομοῖεν, τινὲς δὲ παραιτοῖντο. τοῦτο ἀρ ἡμῖν ὀρθότερον τῶν προτέρων ἔδοξεν ἔχειν, ὥστε εἴπερ ἱρας ἐστὶν ἐκ τοῦ νόμου καταφερόμενον εἰς αὐτούς, ηδεμιᾷ προσθήκῃ μήτε ἐπιθολοῦσθαι μήτε ἐλαττοῦσθαι, λὴν εἰ μὴ τὴν αἰτίαν αὐτοὶ δοῖεν οἱ παῖδες τῆς ἑαυτῶν λαττώσεως.

κα'. Εἰ γάρ τις ἐξ αὐτῶν ἀχάριστος φανείη, τὸ γέρας ῦτο τοῖς ἄλλοις δίδομεν τοῖς οὐδέν τι τοιοῦτο πράξασιν, 'α καὶ τοὺς ἄλλους παιδεύσωμεν τοὺς γονεῖς τιμᾶν καὶ ρὸς τὸ τῶν ἀδελφῶν παράδειγμα βλέπειν. ὥστε εἰ τοσοῦν ἀτύχημα τῆς τῶν παίδων εἴη γονῆς ὡς ἅπαντας ἀχαρίους εἶναι, ἐπὶ τοὺς κληρονόμους ἐρχέσθω ταῦτα τοῦ λευτήσαντος ὡς τῆς ἐκείνου περιουσίας ὄντα, οὐ δυναμέων τῶν παίδων ἐκ τοῦ παρ' αὐτῶν ἠτιμασμένου γονέως ρας ἔχειν, ὅπερ ἡμεῖς αὐτοῖς διὰ ταύτην τὴν αἰτίαν οὐ δομεν. [§. 1.] εἰ δὲ τῶν παίδων οἱ μὲν ἐν ζῶσι καθεήκοιεν, οἱ δὲ ἀπέλθοιεν μὲν παῖδας δὲ καταλίποιεν, τὸ ῦ τελευτήσαντος μέρος τοῖς ἐκείνου δίδομεν παισὶν[46]), εἰ ηρονομοῖεν τοῦ πατρός· ἐπείτοιγε ἐπὶ τοὺς ἀδελφοὺς νομεν. καὶ ταύτῃ δὴ τὸν νόμον ἡμῶν τελειοῦντες βουλόθα τοῦτο κρατεῖν οὐκ ἐπὶ προικὸς μόνον οὐδὲ ἐπὶ προμου δωρεᾶς, ἀλλὰ καὶ ἐπὶ τῶν ἐν ἀπροίκοις συνοικεσίοις ρὰ τῆς διατάξεως ἡμῶν[47]) εἰσαγομένων κερδῶν· κἀκεῖνα ρ, εἰ μὴ πρὸς δευτέρους ἔλθοιεν γάμους οἱ πατέρες ἀλλὰ υλάξαιεν, ἔσται τῶν παίδων καθ' ὅνπερ ἔμπροσθεν εἰρήμεν τρόπον. οἱ μὲν οὖν πρότεροι γάμοι καὶ τὰ ἐντεῦθεν ρδη τε καὶ αἱ παρατηρήσεις μέχρι τούτου τετυπώσθωσαν.

46) Ven. τοῖς ἐκ. δ. τοῖς παισίν. 47) l. 11 C. de repud. 17.

κβ΄. *Εἰ δέ τινες τοῖς ἔμπροσθεν οὐκ ἀρκεσθέντες γά-μοις πρὸς δευτέρους ἔλθοιεν, ἀνάγκη τῷ νόμῳ τούτοι ὑποθέσθαι ἢ ἄπαιδας ὄντας ἐκ τῶν προτέρων ἐκ δὲ τῶ δευτέρων παιδοποιουμένους, ἢ τοὐναντίον ἄπαιδας μὲν ἐ τῶν δευτέρων πατέρας δὲ ἐκ τῶν προτέρων, ἢ ἄπαιδα ἀμφοτέρωθεν, ἢ πατέρας ἑκατέρωθεν. εἰ μὲν οὖν ἄπαιδε μείνοιεν ἐκ τῶν προτέρων ἢ καὶ ἐξ ἀμφοτέρων τῶν γάμω οὐδεμία πολυπραγμοσύνη περὶ τὰ δεύτερα[48]), ἀλλ' ἄνδρε μὲν ἀπελεύσονται παντοίως πάσης παρατηρήσεως ἐλεύθερο γυναιξὶ δὲ μόνον[49]) ἐπικείσεται δέος τὸ μὴ πρὸ τοῦ ἐνιαυ σιαίου χρόνου πρὸς δεύτερον ἐλθεῖν συνοικέσιον, ἢ γινώ σκειν ὡς εἴ τι τοιοῦτο πράξαιεν καὶ ἀώρους συναλλάξαι γάμους, ὑφέξουσι ποινάς, ἄλλας μὲν εἴπερ ἄπαιδες ἐκ τῶ προτέρων ὦσι συνοικεσίων, μείζους δὲ εἰ καὶ παῖδες ὑπεῖε εἰ μὲν γὰρ οὐχ ὕπεστι γονή, τὸ τῆς ἀτιμίας εὐθὺς ἀκολου θήσει καὶ ἔσται παντοίως ἡ γυνὴ διὰ τὴν τῶν γάμω σπουδὴν ἠτιμασμένη, καὶ οὐδὲ λήψεταί τι τῶν παρὰ το προτέρου καταλελειμμένων αὐτῇ συνοικεσίου, οὔτε ἀπολαύσε τῆς προγαμιαίας δωρεᾶς, οὐδὲ τῷ συνοικοῦντι κατὰ τὸ δεύτερον γάμον περαιτέρω τῆς τρίτης τῆς οἰκείας περιουσία ἐπιδώσει μοίρας. οὐ μὴν οὐδὲ τῆς ἔξωθεν αἰσθήσεται φιλ τιμίας, οὐδὲ λήψεται παντελῶς παρ' οὐδενὸς τῶν ἔξωθε οὐ κλῆρον, οὐ φιδεϊκόμμισσον, οὐ ληγάτον, οὐ μόρτις καὺσ δωρεάν, ἀλλὰ ταῦτα ἐλεύσεται ἢ μενεῖ παρὰ τοῖς κληρονό μοις τοῦ τελευτήσαντος ἢ καὶ συγκληρονόμοις αὐτῆς, εἴ ἠδύνατο κληρονομεῖν ὅλως, οἷα ταύτης[50]) οὐδ' ὁτιοῦν ὀφ λος ἐχούσης· ἀλλ' εἰ γεγραμμένοι καὶ ἕτεροι τύχοιεν κλη ρονόμοι εἴτε καὶ ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς ἐκείνο ἐλεύσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα. οὐ γὰρ δημόσιον αὐτὰ οἰκειώσεται, μήποτε δόξωμεν τὰ τοιαῦτ*

48) Proch. *μέτρα.* 49) Proch. *τοῦτο μόνον.* 50) Proc et Epan. *αὐτῆς.*

ιωφρονίζοντες τῆς τοῦ δημοσίου προνοεῖν ὠφελείας, ἀλλ' οὕτω μὲν τὰ παρὰ τῶν ἔξωθεν αὐτῇ καταλελειμμένα πρὸς ἑτέρους χωρήσει, τὰ δέ γε παρὰ τοῦ πρότερον συνοικήσαντος ἀφίξεται παρ' αὐτῆς ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καταλιπόντος ἀνδρὸς συγγενείας τὰ τῷ ἐδίκτῳ περιεχόμενα, τουτέστιν ἀνιόντας τε καὶ κατιόντας καὶ τοὺς ἐκ πλαγίου μέχρι δευτέρου βαθμοῦ, τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας φυλαττομένων τάξεως· ὧν οὐχ ὑφεστώτων ἐπὶ τὸ ταμιεῖον ἐλεύσεται. [§. 1.] ἀλλ' οὐδὲποῤῥωτέρω[51]) κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ὑπεισελεύσεται συγγενῶν, ἀλλὰ μέχρι τρίτου βαθμοῦ θεωρουμένου πανταχόθεν στήσεται μόνον τὰ τῆς διαδοχῆς αὐτῇ, οἱ ποῤῥωτέρω δὲ ὄντες ἑτέρους ἕξουσι κληρονόμους. καὶ ἥ γε πρὸ[52]) τῶν ἄλλων αὐτῇ ποινῶν ἐπαχθεῖσα, φαμὲν δὴ τὴν ἀτιμίαν, εἰ μὲν ἄπαις ἐκ τῶν προτέρων εἴη γάμων, λέλυται βασιλέως γράμμασι κελεύοντος, εἰ δὲ παῖδες ὑπεῖεν οἵας δήποτε γονῆς, ἔξεστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δεῖσθαι, οὐ μὴν ὄφελός τι τῶν ἀντιγραφομένων ἔχειν, πλὴν εἰ μὴ βούλεται τὴν ἐκ τῆς βασιλείας ἔχειν ὠφέλειαν καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ποινῶν τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶ τὴν ἡμίσειαν τῆς οἰκείας περιουσίας δωρουμένη μοῖραν καθαρῶς αἱρέσεως ἁπάσης χωρὶς καὶ οὐδὲ τὴν χρῆσιν παρακατέχουσα, ἀλλὰ πάσης τῆς οὐσίας τῆς[53]) ὅτε πρὸς τοὺς δευτέρους ἐφοίτα γάμους, κατὰ τὴν ἡμίσειαν καθάπερ εἰπόντες ἔφθημεν[54]) ἐξισταμένη μοῖραν τοῖς ἔμπροσθεν γενομένοις παισί· καὶ διαιρήσονται τοῦτο οἱ παῖδες ἅπαντες ἐξ ἴσης, καὶ παῖδας μὲν ἔχοντες εἰς τοὺς ἑαυτῶν παραπέμψουσι παῖδας (δεῖ γάρ τι καὶ τοῖς παλαιοῖς προσθεῖναι νόμοις), εἰ δὲ οὐκ ἔχοιεν, τὰ τοῦ τελευτήσαντος ἢ τῶν

51) Proch. et Epan. περαιτέρω. 52) Hal. πρός. 53) Hal. addit παρούσης. summa in Nomoc. XIV titt. habet τῆς οὔσης ἐν τῷ δευτερογαμεῖν. 54) Ven. εἰπόντες omittit.

τελευτησάντων μέρη λήψονται πάντες ἀναλόγως οἱ τούτων ἀδελφοί. εἰ δὲ πάντες ἀπέλθοιεν, ἐχέτω παραψυχὴν τῆς ἑαυτῆς δυσκληρίας ἡ μήτηρ τὸ ταῦτα πάλιν ἀναλαβεῖν. καὶ ταῦτά φαμεν, εἴπερ ἀδιάθετοι τελευτήσοιεν οἱ παῖδες. οὐδὲ γὰρ ἐπὶ τοῖς ἅπαξ γενομένοις αὐτῶν εἴρξομεν αὐτοὺς διαθήκας γράφειν ἢ περιόντας ὃν βούλονται ταῦτα διατιθέναι τρόπον. αἱ μὲν οὖν ἐπικείμεναι ποιναὶ ταῖς πρὸ τοῦ πενθίμου γημαμέναις χρόνου τοιαῦταί πως εἰσί, καὶ τρεῖς ὑπὲρ τούτων διατάξεις[55]) τὰς ἔμπροσθεν γεγραμμένας μιᾷ τινι ταύτῃ παρενθήκῃ ὅδε ἡμῖν ὁ νόμος μετὰ τῆς προσηκούσης ἀπήγγειλε προσθήκης.

κγ'. Εἰ δὲ ἀναμείνειε μὲν τὸν χρόνον ἡ γυνὴ καὶ ταύτῃ διαφύγοι τὰς εἰρημένας ποινάς, ἐπὶ δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον τῶν προτέρων ἀμελήσασα γάμων, εἰ μὲν οὐκ ἔχοι παῖδας (εἰρήσθω γὰρ καὶ αὖθις), ἀκίνδυνον ἅπαν τὸ ἐντεῦθεν. εἰ δὲ ὑπείη γονὴ καὶ παῖδας ὁ νόμος ἐντεῦθεν ἀτιμασθέντας ἴδοι, τηνικαῦτα πάσης φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης κατὰ τὸ τῆς δεσποτείας ἀφαιρεῖται μέρος μόνην αὐτῇ καταλιπὼν τὴν χρῆσίν τε καὶ ἐπικαρπίαν. καὶ ταῦτα δὲ νενομοθετήσθω καὶ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς καὶ ἐπὶ πάσης ἑτέρας φιλοτιμίας, εἴτε ἐν ζωῇ παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν γενομένης ἢ καὶ ἐκ διαθήκης ἢ μόρτις καῦσα δωρεᾶς, εἴτε ἐνστάσεως εἴη μέρος εἴτε πρεσβεῖον εἴτε φιδεϊκόμμισσον. καὶ γενικῶς εἰπεῖν ἅπας αὐτὴν ἐπιλείψει δεσποτείας τρόπος ἐπὶ τοῖς παρὰ τοῦ προτέρου ἀνδρὸς εἰς αὐτὴν ἀφιγμένοις, καὶ οἱ παῖδες αὐτὰ λήψονται καὶ τῆς δεσποτείας ἔσονται κύριοι κατὰ τὸν καιρὸν εὐθὺς καθ' ὃν ἡ μήτηρ συνῴκησεν ἄλλῳ. καὶ ταῦτα κοινὰ γυναικός τε καὶ ἀνδρὸς ἐπιτίμια κείσθω. εἰ γὰρ δὴ κἀκεῖνος παῖδας ἔχων δευτέραν αὐτοῖς ἐπεισαγάγοι γαμετήν, οὐ

55) Videntur indicari Iustiniani constitutiones in tit. C. de secundis nupt. positae. Theodorus laudat l. 1. 2. 3. 6 C. de sec. nupt. 5, 9 et l. 4 C. ad Sc. Tertull. 6, 56.

τῶν ἐκ τῆς προικὸς ἀπολαύσει κερδῶν κατὰ δεσποτείας λόγον, οὐ φιλοτιμίαν ἄλλην παρὰ τῆς γυναικὸς λαβὼν ταύτην ἕξει βεβαίως, πλὴν ὅσον χρῆσθαι καὶ καρποῦσθαι μέχρι περιῇ μόνον. κἀνταῦθα γὰρ οἱ παῖδες, εἰ καὶ ὑπεξούσιοι καθεστήκοιεν, ἀλλ' οὖν κύριοι κατὰ δεσποτείαν τῶν τοιούτων ἔσονται παραγινομένων εὐθὺς εἰς αὐτοὺς ἅμα τῇ τῆς δευτέρας γαμετῆς συναφείᾳ. καὶ οὐ διαφερόμεθα περὶ τῆς προικὸς ἢ τῆς πρὸ γάμου δωρεᾶς, πότερον αὐτοὶ ταύτην δεδώκασιν οἱ γήμαντες, ἢ τινες ἄλλοι ὑπὲρ αὐτῶν τοῦτο ἔπραξαν εἴτε τῶν ἐκ γένους εἴτε καὶ τῶν ἔξωθεν. κἂν εἰ δοκῇ πως συνανειλῆφθαι καὶ ἡ προγαμιαία δωρεὰ τῇ προικί,

κδ'. ἀλλὰ τὸ νομοθετηθὲν ἐπὶ τῶν ἐντεῦθεν εἰς τοὺς γήμαντας περιερχομένων κερδῶν καὶ οὕτω κύριον ἔστω καὶ οὕτως ἀσφαλὴς τῶν τοιούτων ὁ νόμος αὐτοῖς γενήσεται φύλαξ, ὅτιπερ οὐδὲ ἐκποίησιν οὐδεμίαν ἐφίησι τοῖς γονεῦσιν ἐπὶ τοῖς τοιούτοις οὐδὲ ὑποθήκην. ἀλλὰ κἂν εἴ τι πράξαιεν οἱ γονεῖς, εὐθὺς τὴν αὐτῶν ὑποτίθησιν[56]) αὐτοῖς περιουσίαν, οὐχ ὥστε κωλύειν τοὺς γονεῖς ἐπ' αὐτοῖς[57]) τι πράττειν ὧν βούλονται (αἰσχύνεται γὰρ ὁ νόμος σωφρονιστὰς τοὺς παῖδας τοῖς γεννήσασιν ἐπιστῆναι), ἀλλ' ἐκείνους μὲν ἐρυθριᾷ, διαπειλεῖ δὲ τοῖς λαμβάνουσιν ὡς οὐδὲν αὐτοὺς τὸ ληφθὲν[58]) ὀνήσει. καὶ ἴστωσάν γε καὶ ἐκ τοῦδε ἡμῶν τοῦ νόμου, ὡς κἂν εἴ τινα παρὰ τῶν τοιούτων γονέων ἀγορασίαν ποιήσαιντο, κἂν εἰ λάβοιεν δωρέαν κἂν εἴ τι τῶν πάντων πράξαιεν, ἐν ἴσῳ τοῖς μήτε πεπραγμένοις μήτε γεγραμμένοις ἔσται τὸ γενόμενον. ἐκδικήσουσι γὰρ αὐτὰ πάντως οἱ παῖδες, κληρονόμοι τε αὐτῶν καὶ διάδοχοι παρά τε κληρονόμων ἐκείνων καὶ διαδόχων, οὐκ ἄλλως ἀποκλειόμενοι πλὴν εἰ μὴ τριακονταετὴς παρέλθοι χρόνος καὶ ἡ

56) ἑαυτῶν ὑποτιθέασιν Proch. 57) Ven. αὐτούς. Proch. et Epan. ἑαυτοῖς. mox Hal. ὡς pro ὧν. 58) Proch. αὐτοῖς τολμηθέν.

κατοχῇ κυρίους τοὺς λαβόντας καταστήσει, ἀρχομένου τοῖς παισὶν τοῦ χρόνου τρέχειν ἐξ οὗπερ αὐτεξούσιοι φανεῖεν ὄντες ἢ γενόμενοι, πλὴν εἰ μή τις ἄνηβος ἡλικία προσβοηθήσειεν ἔτι.

κε'. Ἐλεύσεται δὲ τὰ τοιαῦτα τῶν κερδῶν εἰς τοὺς παῖδας ἅπαντας τοὺς ἐκ τῶν προτέρων γάμων. οὐ γὰρ ἐφίεμεν τοῖς γονεῦσι τὴν οὐκ ὀρθῶς ἐπεισηγμένην ἐπιλογὴν εἰς αὐτοὺς ἐνδείκνυσθαι, οὐδὲ τῷ μὲν τῶν παίδων διδόναι τὸν δὲ ἀτιμάζειν· ἅπαντες γὰρ τοῖς δευτέροις ὁμοίως ἠτιμάσθησαν γάμοις. ἄλλως τε εἴπερ[59] *ἁπάντων τῶν παίδων ὁμοίως κληρονομοῦσιν οἱ γονεῖς, καὶ οὐ τὸν μὲν διαδέχονται τὸν δὲ οὐχ ὁμοίως, ἀνθ' ὅτου μὴ καὶ αὐτοὶ πᾶσιν ἐξίσης τό γε ἐπὶ τούτῳ προσφέρονται, ἀλλὰ τοὺς μὲν ἐπιλέγονται τοὺς δὲ παρορῶσιν; ὥστε κατὰ τὴν ἀναλογίαν ἕκαστος τὸ τοιοῦτο*[60] *κερδαινέτω, καὶ εἰ σχοίη παῖδας εἰς αὐτοὺς τοῦτο παραπεμπέτω, οἱ δὲ τοῦτο ἐν ἀλλήλοις διαιρείσθωσαν, αὐτοὶ μὲν κατὰ τὸ μέτρον ὁπόσοι καθεστᾶσιν, οὐ μέντοι τὸ τοῦ πατρὸς ὑπερβαίνοντες μέρος.*

κϛ'. Ἐπειδὴ δὲ ἀκύρους ἀπεφηνάμεθα τὰς ἐκποιήσεις τὰς παρὰ τῶν γονέων ἐπὶ τοῖς τοιούτοις γινομένας, λεπτοτέραν ἐπιθεῖναι προσήκει τῷ πράγματι τάξιν. εἰ μὲν γὰρ πάντες περίεισιν οἱ παῖδες οἱ ἐκ τῶν προτέρων φύντες γάμων καὶ προτελευτήσειεν αὐτοῖς ὁ γονεύς, ἄκυρα παντοίως μενεῖ τὰ τῆς ἐκποιήσεως κατὰ τὸ ἔμπροσθεν ἡμῖν εἰρημένον. εἰ δὲ τελευτήσαιεν πάντες καὶ πάλιν εἰς ἀπαιδίαν τὸ πρᾶγμα περισταίη, τηνικαῦτα ἐξ ἀποτελέσματος κύριον ἔσται τὸ ἐκποιηθέν· τίς γὰρ ἂν αὐτὸ καὶ ἀνατρέψειε τῶν παίδων (οἷς δὴ καὶ μόνοις τοῦτο ἐφυλάξαμεν) οὐχ ὑπόντων; ἀλλ' ἐνταῦθά τις ἡμᾶς πρῴην εἰσῆλθεν ἔννοια λεπτή τε καὶ μεμεριμνημένη καὶ τὸ μέσον ἀμφοῖν τῶν θεμάτων

59) Ita Ven. et Bas. Hal. *ἀλλ' ὥσπερ*, quocum facit Auth.
60) Ven. *τῶν τοιούτων*.

γαζομένη. ἐπειδὴ γὰρ πάντων μὲν ὑπόντων τῶν παί-
αὶ προτελευτήσαντος τοῦ γεγεννηκότος οὐδὲν ὑπολέ-
μέρος αὐτοῖς ἐκ τῶν κερδανθέντων, πάντων δὲ
ησάντων ὅλον εἰς αὐτοὺς ἐπανήει, διεσκεψάμεθα μέσην
ῷ πράγματι τάξιν ἐπινοῆσαι, ὥστε, εἰ πλειόνων ὄντων
ν τελευτήσειεν εἷς, εἰ μὲν ἔχοι παῖδας, ἐπ' ἐκείνους
ναι τὸν κλῆρον τοῦτον, ὅπερ πολλάκις εἰρήκαμεν, εἰ
ι ἔχει παῖδας, μὴ πάντως εἰς τοὺς ἀδελφοὺς τὸ πᾶν
αι, ἀλλ' ὅσον ἐκ τοῦ συμφώνου τοῦ ἐξ ἀπαιδίας
ι τῷ γεγεννηκότι, τοῦτο αὐτὸν κερδαίνειν, τὸ λοιπὸν
γχωρεῖν ἔρχεσθαι ἐπὶ τοὺς τοῦ παιδὸς διαδόχους, εἴτε
οὶ καθεστήκοιεν εἴτε ἐξωτικοὶ τυχὸν (ὅπερ μάλιστα ἐπὶ
συμβαίνει), εἴτε διάθοιντο εἰς τὰς αὐτῶν περιουσίας
κὶ ἀδιάθετοι τελευτήσοιεν. καὶ τοῦτο δὲ ἡμεῖς ἐγρά-
[61]) ἡμετέρῳ νόμῳ, μεριμνήσαντές τε αὐτὸ[62]) καὶ
ντες πρῶτοι καὶ φιλανθρώπως νομοθετήσαντες· ὥστε
ἰθα εἴπερ ἐκποιήσειεν ὁ γονεὺς πρὶν εἰς δευτέρους
ἰθαι γάμους, εἶτα τελευτήσειε τῶν παίδων εἷς, κατὰ
ον ἔῤῥωται μόνον τὰ ἐκποιηθέντα, καθ' ὅσον εἰς τὸν
σαντα κατὰ τὸ ἐξ ἀπαιδίας περιέρχεται σύμφωνον,
γε κατὰ τὰ ἄλλα μέρη ὁπόσα εἰς τοὺς τοῦ παιδὸς
όμους χωρεῖ παντοίως ἄκυρον ἔσται. ὥστε ἐκποιήσεως
νης μενεῖ τὸ πρᾶγμα ἐν μετεώρῳ ταῖς ἐφεξῆς συμ-
ιλλόμενον τύχαις, καὶ ἢ τελείως ἐξ ἀρχῆς ἀκυρουμένης
ιποιήσεως ἢ τελείως ἰσχυούσης, ἢ κατὰ μέρος μὲν
ομένης κατὰ μέρος δὲ ἱσταμένης. [§. 1.] καὶ ἐπὶ τού-
ὲ δὴ τῶν κερδῶν, ὅσα πρὸς τοὺς δευτέρους ἐρχομένων
; τῶν γονέων λαμβάνουσιν οἱ παῖδες[63]), οὐ περιεργα-
ι, πότερον κληρονομοῦσιν ἢ τοῦ προτελευτήσαντος
; ἢ τοῦ δευτέρου τελευτῶντος οὐδὲ εἴ τινες μὲν κλη-

) Hal. ἐνεγρ. indicatur const. X. 62) Flor. et Bas.
63) Ven. verba οἱ παῖδες non habet.

ρονομοῦσι τινὲς δὲ οὐχὶ, ἀλλὰ καθάπερ ἔμπροσθεν εἴπομεν γέρας αὐτοῖς δίδομεν τοῦτο εἴτε κληρονομοῖεν εἴτε καὶ μή. καὶ διδόμενον τοῦτο ἐξ ἴσου λήψονται αὐτοὶ μὲν περιόντες, σὺν αὐτοῖς δὲ καὶ οἱ τοῦ τελευτήσαντος παῖδες τὸ τοῦ γεγεννηκότος λαμβάνοντες μέρος· πανταχοῦ μέντοι τῆς ἀχαριστίας καθὰ καὶ ἔμπροσθεν εἴπομεν ἐμποδὼν πρὸς τὸ τοιοῦτο κέρδος ἱσταμένης τῷ τοιούτῳ παιδί. τοὺς γὰρ κατὰ τῶν ἀχαρίστων κειμένους οὐχ ὑπερβαίνομεν νόμους, ταύτῃ καὶ τοὺς γονεῖς τιμῶντες καὶ τοὺς παῖδας εἰς εὐσέβειαν ἄγοντες. ὥσπερ γὰρ τὰ τῆς ἐπιλογῆς ἐκωλύσαμεν καὶ πᾶσιν δίδομεν ὁμοίως τὰ τοιαῦτα γέρα, οὕτω τὸ τῆς ἀχαριστίας οὐκ ἀναιροῦμεν. πρόδηλον δὲ, ὡς ἀχάριστον προσήκει νοεῖν τὸν ἢ περὶ ἀμφοτέρους τοὺς γονέας ἢ πάντως περὶ τὸν ὕστερον τελευτῶντα γενέσθαι φανερῶς ἀποδεικνύμενον.

κζ΄. Ἄριστα δὲ ἡμῖν Λέων ὁ τῆς θείας λήξεως[64]) δοκεῖ σκέψασθαι τὰ περὶ τῶν ἐπιδόσεων ὧν εἰς τὰ δεύτερα ποιοῦνται συνοικέσια οἱ ταῦτα συμβάλλοντες. φησὶ γὰρ, ὡς εἴπερ ἐκ προτέρου γάμου παῖδας ἔχοιεν οἱ γονεῖς, εἶτα εἰς δεύτερον ἢ καὶ ἐφεξῆς χωροῖεν συνοικέσιον, οὐ δύνανται οὔτε εἰς τὴν μητρυιὰν οἱ πατέρες, οὔτε εἰς τὸν πατρωὸν αἱ μητέρες κατὰ τὸν τῆς ζωῆς χρόνον τὴν οἱανοῦν ποιεῖσθαι φιλοτιμίαν ἢ ἐν τελευτῇ τι καταλιμπάνειν, πλὴν ἢ τοσοῦτον ὅσον ὁ εἷς παῖς ἢ θυγάτηρ μόνος ὢν ἐκ τοῦ φύσαντος ἔχει· εἰ δὲ πολλοὶ παῖδες εἶεν, καὶ ἕκαστος ἴσον ἔχοι μέρος, οὐ πλέον τοῦ εἰς ἕκαστον ἀφικνουμένου ἢ ὁ πατρωὸς ἢ ἡ μητρυιὰ παραλήψονται· εἰ δὲ ἄνισα τὰ καταλελειμμένα τυγχάνοι, τοσοῦτον ἀνάγκη μόνον εἰς τὴν μητρυιὰν ἢ τὸν πατρωὸν ἔρχεσθαι ἐξ οἱασδήποτε φιλοτιμίας τοῦ γονέως, εἰς ὅσον ὁ τὸ ἔλαττον ἔχων παῖς ἐκ τῆς ἐκείνου περιουσίας λαμβάνει ἢ ἀπὸ τελευταίας βουλήσεως καταλειφθὲν ἢ καὶ ἐν ζωῇ δεδομένον, δηλαδὴ τῆς πρῴην τετάρτης, νυνὶ δὲ

64) l. 6 C. de sec. nupt. 5, 9.

τρίτης ἢ ἡμισείας κατὰ τὸν ἡμέτερον νόμον[65]) μοίρας πάντως τῷ παιδὶ καταλιμπανομένης ἢ διδομένης, εἰ μὴ πάλιν ὁ τῆς ἀχαριστίας ἐναντιῷτο λόγος. ταὐτοῦ τούτου φυλαττομένου καὶ ἐπὶ πάππου καὶ μάμμης καὶ προπάππου καὶ προμάμμης καὶ ἐγγόνων ἀῤῥένων ἢ θηλειῶν καὶ προεγγόνων ὁμοίως, εἴτε ὑπεξούσιοι τυχὸν εἴτε ἐμαγκιπάτοι καθεστήκοιεν, ἐκ τῆς πατρῴας ἢ μητρῴας κατιόντες σειρᾶς. καὶ τοῦτο διορίσας ὀρθῶς ἐπήγαγεν, ὅτι τὸ πλέον τοῦ καταλειφθέντος ἢ δοθέντος ὅλως ἢ τῇ μητρυιᾷ ἢ τῷ πατρωῷ ὡσανεὶ μήτε γραφὲν μήτε καταλειφθὲν ἢ δοθὲν ἢ δωρηθὲν ἁρμόσει τοῖς παισὶ, καὶ μεταξὺ τούτων μόνων ἐξίσης διαιρεθήσεται. τὸ γὰρ δεῖν καὶ τοὺς ἐκ τοῦ δευτέρου γάμου παῖδας μετέχειν καὶ τούτων γέγραπται μὲν ἐπί τινος διατάξεως[66]), οὐ μὴν καὶ νῦν ἡμῖν ἀρέσκει, ἀλλὰ τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶ δι' οὓς καὶ παρατετήρηται διδόσθω μόνοις, οὐδεμιᾶς μηχανῆς οὔτε δι' ὑποβολιμαίων προσώπων οὔτε κατ' ἄλλην αἰτίαν παραλαμβάνεσθαι δυναμένης. τοῦτο δὲ τὸ περιττὸν διαιρήσονται πρὸς ἀλλήλους οἱ κεχαρισμένοι παῖδες τοῖς γονεῦσιν, οὐχ οἱ ἀχάριστοι περὶ τούτους δεικνύμενοι καὶ ἀχαριστίας τοιαύτης ὑπεύθυνοι καθεστῶτες ὁποίαν οἱ νόμοι ζητοῦσι. τοὺς γὰρ τοιούτους καὶ τῆς ἐντεῦθεν ὠφελείας ἀφαιρούμεθα, μήποτε τῆς ἐλπίδος ὑποφαινομένης τῆς ἐντεῦθεν κτήσεως κατὰ τῶν γονέων χωροῖεν καὶ θρασύνοιντο καὶ τοὺς τῆς φύσεως ἀτιμάζοιεν νόμους. πρόδηλον δὲ, ὡς κἀνταῦθα εἴ τις τούτων τελευτήσειεν εἰς οὓς τὸ περιττὸν ἐφέρετο, παίδων ὑπόντων οἱ τοῦ τελευτήσαντος παῖδες τοῦτο λήψονται κατὰ μὲν τὸ οἰκεῖον πλῆθος, πρὸς δὲ τὸ[67]) τοῦ τελευτήσαντος μέρος.

κη'. Ἐπειδὴ δὲ τοῖς μέχρι νῦν νόμοις ἀδιάκριτόν ἐστι, πότε προσήκει τὸ πλεῖον θεωρεῖν, ἄρα κατὰ τὸν τῆς ἐπι-

65) Const. XLII. 66) l. 9 C. de sec. nupt. 5, 9. 67) Ven. verba ὑπόντων — πρὸς δὲ τὸ omittit.

δόσεως καιρὸν ἢ κατὰ τὸν τῆς τοῦ γάμου διαλύσεως, κράτιστον ἡμῖν ἔδοξεν εἶναι τὸν τῆς τελευτῆς τοῦ δευτερογαμήσαντος γονέως παρατηρεῖν καιρόν. γράφουσι μὲν γὰρ ἄνθρωποι καὶ ὧν ἔχουσι πλείονα, γράφουσι δὲ καὶ ἐλάττονα, αἱ δὲ ἐπισυμβαίνουσαι τύχαι τὰς ἐναντίας ἐκβάσεις ὡς ἐπίπαν ἐργάζονται. ὥστε ἵνα μὴ περὶ ταῦτα πλανώμεθα, τὸν καιρὸν ἐκεῖνον σκεπτέον καθ' ὃν ὁ δευτερογαμήσας τελευτᾷ, καὶ τὴν ἀναλογίαν τὴν ἐκεῖθεν ληπτέον καὶ πρὸς ἐκείνην τὸ πλεῖον σκοποῦντας ἀφαιρεῖσθαι τὸ ὑπερβαῖνον προσήκει καὶ τοῖς παισὶ προσνέμειν· ἐπὶ πᾶσι τοῖς τοιούτοις οὐ τῆς ἐξ ἀρχῆς δόσεως ἢ γραφῆς θεωρουμένης, ἀλλὰ τοῦ καλουμένου eventu[68]) σκοπουμένου.

κθ'. Ἀλλ' οὐδὲ ἐκεῖνο ἡμῖν παραλειπτέον, ὅπερ ὀρθῶς ἔχειν Θεοδόσιος ὁ τῆς εὐσεβοῦς λήξεως ὁ νέος διετάξατο[69]), φήσας, ὅτιπερ ἐὰν γυνὴ παιδοποιησαμένη πρὸς δεύτερον ἔλθοι γάμον, κἀκεῖθεν αὐτῇ γένοιντο παῖδες ἕτεροι, εἶτα καὶ ὁ δεύτερος ἀνὴρ τελευτήσειε, τὰ μὲν αὐτῆς οἰκεῖα πράγματα οἱ ἐξ ἀμφοτέρων τῶν γάμων παραλήψονται παῖδες ἀδιαθέτου τῆς μητρὸς τελευτώσης ἐξ ἴσης καὶ ὁμοιοτάτης διανεμήσεως·[70]) τὴν μέντοι πρὸ γάμου δωρεὰν ἑκατέρα γονὴ τὴν τοῦ οἰκείου λήψεται πατρὸς, καὶ ἐξ ὁλοκλήρου μὲν οἱ τοῦ πρώτου γάμου παῖδες τὴν ἐκείνου κερδανοῦσι δωρεὰν, ἐξ ὁλοκλήρου δὲ οἱ ἐκ τῶν δευτέρων φύντες σπερμάτων τῆς παρ' ἐκείνου γενομένης ἀπολαύσουσι φιλοτιμίας, κἂν εἰ μὴ πρὸς τρίτον ἐκείνη[71]) συνοικέσιον ἦλθεν. τί γὰρ τοῦτο τοὺς προτέρους ὀνήσει; τί δὲ βασκαίνουσιν οἱ πρότεροι παῖδες τοῖς δευτέροις, εἰ μὴ κἀκεῖνοι τρίτοις ὑβρίσθησαν γάμοις; καὶ ἁπλῶς ἑκάστη γονὴ τὴν τοῦ οἰκείου γονέως λαμβανέτω προγαμιαίαν δωρεὰν, καὶ ὅλως τῶν πρώτων παίδων διὰ τὴν

68) Ven. inter lineas ἀποτελέσματος. 69) l. 4. C. de sec. nupt. 5, 9. 70) Ven. ἀδιαθέτου δὲ τῆς — διανεμήσεως ἔσται. (etiam Hal. hoc ἔσται habet.) sequutus sum lectionem Basil. quam firmat Auth. 71) ἐκείνη Ven. omittit.

υτερογαμίαν λαβόντων οἱ δεύτεροι πάντως αὐτὴν ἐχέτωσαν, ν εἰ μὴ τρίτοις ὡμίλησεν ἡ δευτερογαμήσασα γάμοις, ὥστε δοκεῖν κατὰ τοῦτο τῶν ἀδελφῶν ἐλαττοῦσθαι. ἐκ δὲ τῆς ν πραγμάτων[72]) ἀκολουθίας ταὐτὸ καὶ ἐπὶ πατέρων ἔστω υτερογαμούντων, καὶ φυλαττέσθω τοῖς μὲν ἐκ τοῦ προτέ-υ γάμου παισὶ διὰ τὴν δευτερογαμίαν ἡ κερδανθεῖσα οῖξ, τοῖς δὲ δευτέροις τὰ ἐκ τῶν δευτέρων[72a]), κἂν εἰ μὴ ὸς τρίτους ὁ πατὴρ ἀφίκετο γάμους. [§. 1.] τὰ δέ γε ιπὰ, ὁπόσα ἐπὶ τῶν τοιούτων ἐκέρδανεν ἢ ὁ πατὴρ ἢ ἡ ὴτηρ ἐκ τῆς δευτερογαμίας, ἢ κατὰ ληγάτον τυχὸν ἢ φιδεϊ-μμισσον, οὐ μὴν εἰς τρίτους ἐληλύθασι γάμους, ταῦτα ναναχραθέντα τῇ αὐτῶν περιουσίᾳ καὶ ὑπὸ τρίτων οὐ λευθέντα γάμων μενέτω παρ' αὐτοῖς ἀκίνητα, καὶ εἰς τὰς πῶν ὡς οἰκεῖα διαδοχὰς ἀφικνείσθω, καὶ παρὰ περιόντων βούλονται διοικείσθω τρόπον.

λ'. Ἐπειδὴ δὲ τὰ κέρδη πανταχοῦ κατὰ τὴν τοῦ λόγου νέχειαν εἰς τὰς ἀπὸ τελευτῆς διαζεύξεις ἐνομοθετήσαμεν, αχεῖ τινι λόγῳ κἀκεῖνο προστίθεμεν, ὡς ὁπόσα κερδάναιεν γονεῖς ῥεπουδίῳ διαλυθέντος τοῦ γάμου, εἴτε bona gratia αλέντος εἴτε καὶ ἄλλως, εἴτε κατὰ προικὸς εἴτε κατὰ προ-αμιαίας δωρεᾶς πρόφασιν, ταῦτα κατὰ μίμησιν τῶν ἀπὸ λευτῆς κερδῶν ἅπαντα φυλαττέσθω τοῖς παισί· ταὐτοῦ ύτου φυλαττομένου καὶ ἐπὶ τῶν ἀπροίκων γαμετῶν, ἔνθα παρ' ἡμῶν τεθεῖσα διάταξις τὴν προπέτειαν ἐτιμωρή-ιτο.[73]) καὶ οὐ διαφερόμεθα, παρὰ τίνος αἰτίαν ὁ γάμος ῥεπουδίῳ διαλέλυται· ὁπωσδήποτε γὰρ ἂν ἔχοι τὸ ρᾶγμα, φυλάττεται καὶ ἐπ' ἐκείνων τὸ κερδανθὲν τοῖς ἐκ ῶν γάμων ἐκείνων παισὶν ἐξ ὧν προῆλθον οἱ παῖδες, εἴτε πρῶτοι διελύθησαν γάμοι ῥεπουδίῳ εἴτε καὶ οἱ δεύτεροι, ν εἰ τρίτος οὐκ ἠκολούθησε γάμος.

λα'. Τὰ δὲ περὶ αὐξήσεων ἢ μειώσεων προικῶν ἢ

72) Ven. προγάμων. 72a) τοῦ δευτέρου? 73) l. 11 C. e repud. 5, 17.

προγαμιαίων δωρεῶν εἴρηται μέν τισι τῶν ἔμπροσθεν νόμων[74]), ἡμῖν δὲ ἐξείργασται τελειότερον, οἵ γε καὶ συνεστώτων τῶν γάμων τὰς διὰ τὸν γάμον δωρεὰς οὐκ αὔξεσθαι μόνον, ἀλλὰ καὶ ἐξ ἀρχῆς δίδοσθαι προσετάξαμεν, καὶ ὥσπερ αὔξεσθαι συνεχωρήσαμεν, οὕτω καὶ μειοῦσθαι τῶν συνελθόντων βουλομένων ἐφήκαμεν. ἀλλὰ τοῦτο (τὸ τῆς μειώσεώς φαμεν) εἰ δεύτερος γένοιτο γάμος οὐκ ἐφήσομεν, ἵνα μή τι τῇ Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως προσκρούσωμεν διατάξει[75]), ἡνίκα παῖδες ἐκ τοῦ προτέρου γένοιντο γάμου. εἰ γὰρ ἄμετρον ἐπιδοίη τὴν προῖκα ἢ τὴν προγαμιαίαν δωρεὰν ὁ γονεὺς ἢ ἕτερόν τι φιλοτιμήσαιτο, εἶτα συναισθόμενος καὶ φέρεται τὰ τοῦ νόμου, συστείλειε τὸ γενόμενον καὶ ἐλαττώσειε τὴν προῖκα ἢ τὴν προγαμιαίαν δωρεάν, οὐκ ἔτι κέρδος ἔσται τοῖς παισὶ τὸ δοθέν, ἀλλ' ἐξέσται κερδαίνειν ἢ τῷ πατρωῷ ἢ τῇ μητρυιᾷ, τῶν παίδων κατὰ τοῦτο ἀδικουμένων.

λβ'. Εἰ δὲ μόνον οὐσούφρουκτον πραγμάτων ἢ ὁ ἀνὴρ τῇ γαμετῇ ἢ ἡ συνοικοῦσα τῷ γήμαντι κατὰ τελευταίαν δοίη βούλησιν, ὁ μὲν πρὸ ἡμῶν ἔλεγε νόμος[76]), εἰ πρὸς δευτέρους ἀφίκοιντο γάμους ἢ ὁ πατὴρ ἢ ἡ μήτηρ, αὐτίκα τῆς καταλειφθείσης χρήσεως ἐκπίπτειν, ὥσπερ πρότερον ἐξέπιπτον τῆς δεσποτείας, καὶ παραχρῆμα τοῖς παισὶν αὐτὴν ἀποκαθίστασθαι, εἰ δὲ ἄνηβοι τυχὸν οἱ παῖδες εἶεν, καὶ μετὰ τῶν ἐν μέσῳ καρπῶν· τοῦτο γὰρ ἐδόκει τῷ νόμῳ. ἡμῖν δὲ οὐ σφόδρα τοῦτο ἤρεσεν, ἀλλὰ βουλόμεθα, κἂν ἡ χρῆσις δοθείη ἢ κατὰ φιλοτιμίαν, ἢ μόρτις καῦσα δωρεᾶς γενομένης ἢ καὶ inter vivos ἐν οἷς ἔξεστι καὶ δωρεῖσθαι ἢ[77]) καταλειφθείη, καὶ ὁ λαβὼν εἰς δευτέρους ἀφίκοιτο γάμους, μένειν καὶ οὕτω τὴν χρῆσιν ἄχρις οὗ περιῇ ὁ τοῦτον ἔχων

74) l. 19. 20 C. de donat. ante nupt. 5, 3. 75) l. 6 C. de sec. nupt. 5, 9. 76) l. un. C. si secundo nupserit 5, 10. 77) Hal. εἰ (Auth.: si). Ven. omittit, sicut et Bas. emendavi secutus Iulianum „in ultimis suis elogiis — reliquerit“.

οὐσούφρουκτον, εἰ μὴ ῥητῶς αὐτὸς ὁ τὴν δωρεὰν ὡς ηται πεποιημένος ἢ ὁ τοῦτον καταλιπὼν, εἴτε ἄῤῥην εἴτε λεια, φήσοι βούλεσθαι πρὸς δευτέρους ἀφικνουμένου ιους τοῦ τὸν οὐσούφρουκτον λαβόντος λύεσθαί τε αὐτὸν πρὸς τὴν οἰκείαν ἐπαναστρέφειν δεσποτείαν. ἀλλὰ ταῦτα περὶ τῶν κατὰ φιλοτιμίαν δεδομένων φαμέν.

λγ'. Εἰ μέντοι ἐν προικὶ ἢ προγαμιαίᾳ δωρεᾷ πραγ- ων οὐσούφρουκτος δοθείη, οὐδὲν παντελῶς καινίζομεν, ὰ τὰ ἤδη νενομοθετημένα κρατείτω, καὶ μενέτω παρὰ εἰληφόσιν ἄχρις οὗ περιῶσι, κἂν εἰ μυριάκις ἐναντίον βουληθεῖεν οἱ τελευτήσαντες. τὸ γὰρ ἐκ τοῦ νόμου δε- ένον κέρδος ἰδιώτης ἀφελέσθαι παντάπασιν οὐκ ἰσχύσει.

λδ'. Ἐπειδὴ δὲ ὅλως εἰς μνήμην τῶν περὶ τοῦ οὐ- φρούκτου νόμων ἀφικόμεθα, κἀκεῖνο προσαναμίξαι τῷ ῳ καλὸν, ὅπερ τισὶν[78]) ἔμπροσθεν εἴρηται διατάξεσιν, πάντων ὁ πατὴρ τῶν εἰς τοὺς παῖδας ἀφικνουμένων ἐκ μητρῴας σειρᾶς εἴτε ἐκ γαμικῆς τῶν παίδων αἰτίας ἀλλαχόθεν τὸν οὐσούφρουκτον ἔχει, κἂν εἰ πρὸς δευτέ- ς ἔλθοι γάμους. τὴν γὰρ χρῆσιν αὐτῷ ἄχρις οὗ περιῇ ιν ἀδιάπτωτον καὶ οἱ πρὸ ἡμῶν ἅπαντες βούλονται οι καὶ ἐπὶ τοῖς μητρῴοις καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι, καὶ ῖς σύμφαμεν. ὁ δὲ τῶν castrensiων et quasi castren- ν πεκουλίων ἐξηρήσθω λόγος.

λε'. Μήτηρ μέντοι δωρησαμένη τὶ τῷ παιδὶ τῶν οἰ- ιν εἴπερ εἰς δευτέρους ἔλθοι γάμους, οὐκ ἂν δύναιτο ὶ πρόφασιν ἀχαριστίας τὸ δεδομένον ἀνατρέπειν (οὐ γὰρ καθαρᾶς δοκεῖ γνώμης τὴν ἀχαριστίαν εἰσάγειν, ἀλλὰ δεύτερον γάμον ἐννοοῦσα ἐπὶ ταύτην ἐλθεῖν τὴν σκῆψιν είληπται), πλὴν εἰ μὴ καθαρῶς ὁ παῖς ἢ περὶ τὴν ζωὴν ἢν ἐπιβουλεύων τῇ μητρὶ ἢ χεῖρας ἐπιβάλλων ἀσεβεῖς ἢ

78) Indicantur l. ult. C. de bonis mat. 6, 60 et l. 6. 8 C. bonis quae liberis 6, 61 (Theod. praeterea laudat l. 11 C. . et C. 8, 46, 2).

περὶ τὴν τῆς οὐσίας ὅλης ἀφαίρεσιν πράττων τὶ κατ' αὐτῆς ἀποδεικνύοιτο.

λς'. Οὐ μὴν συγχωροῦμεν ταῖς γυναιξὶ πρὸς δεύτερον ἀφικνουμέναις γάμον ἔτι βούλεσθαι ταῖς τῶν πρότερον συνοικησάντων ἀξίαις ἢ προνομίοις χρῆσθαι, ἀλλ' εἰς οἷον ἂν μετὰ τὸν πρότερον ἀφίκοιντο γάμον, ἐκείνου στεργέτωσαν τὴν τύχην. ἡ γὰρ τῶν ἔμπροσθεν ἐπιλελησμένη οὐκ ἂν αὖθις ἐκ τῶν ἔμπροσθεν βοηθοῖτο.

λζ'. Χάριεν δὲ κἀκεῖνο καὶ οὐδὲ εὐσεβείας ἔξω τῷ τῆς θείας λήξεως Ἀλεξάνδρῳ πρὸς πολλοῖς ἑτέροις τῶν ἀρχαίων νομοθετῶν διώρισται[79]), ὥστε εἴ τις ἐλευθερώσειε θεράπαιναν, εἶτα ἀγάγοιτο αὐτὴν γαμετήν, ἡ δὲ ὡς ἔοικεν ὑπερμαζῶσά τε καὶ τρυφῶσα διαλύσειε τὸ πρὸς τὸν ἐλευθερωτὴν συνοικέσιον, οὐκ ἐφίησιν ὁ νόμος πρὸς δευτέρους γάμους ἐλθεῖν ἄκοντος τοῦ πρότερον γήμαντος, ἀλλὰ τὸν ἐφεξῆς γάμον πορνείαν ἡγεῖται καὶ φθοράν, ἀλλ' οὐ γάμον οὐδὲ συνάφειαν, ἐξ ἧς ὕβρις οὐκ εὐπρεπὴς τῷ τὴν ἐλευθερίαν ἐπιθέντι προσγίνεται.

λη'. Ταὐτοῦ[80]) δὲ δὴ βασιλέως κἀκεῖνο εὑρόντες ἄξιον τῆς ἑαυτῶν ἡγησάμεθα μέρος ποιήσασθαι νομοθεσίας, ὡς ἐπειδὴ πάντων ἡ μήτηρ ἀξιοπιστοτέρα πρὸς τὴν τῶν παίδων ἀναγωγὴν ἐδόκει, δίδωσιν αὐτῇ καὶ τοῦτο ὁ νόμος, εἰ μὴ πρὸς δευτέρους φοιτήσειε γάμους.

λθ'. Τὰς δὲ δὴ προῖκας ἃς ἂν λάβοιεν οἱ συνοικοῦντες οὐ δώσουσι προχείρως ταῖς γυναιξὶ συνεστώτων ἔτι τῶν συνοικεσίων, πλὴν ἐξ αἰτιῶν ἃς ὁ νόμος ἠρίθμησεν. ἐπείτοιγε εἴ τι τοιοῦτο πράξαιεν, μίμησις δωρεᾶς τὸ γενόμενον αὐτόθεν εἶναι δοκεῖ, καὶ εἰ τελευτήσειεν ἡ γυνή, καὶ ἀναλήψονται τὰς προῖκας οἱ δεδωκότες αὐτὰς ἀώρως ταῖς γυναιξὶν ἄνδρες παρὰ τῶν κληρονόμων τῶν γυναικῶν μετὰ τῶν ἐν

79) l. 1 C. de incest. nupt. 5, 5. 80) Hal. Τινός. ita et Bas. ad quae schol. notat: περὶ Ἀλεξάνδρου τοῦ Μαμμαίας φησίν. indicatur l. 1 C. ubi pupilli 5, 49.

ίσῳ καρπῶν, αὐτοί τε καὶ κληρονόμοι αὐτῶν, καὶ ἕξουσιν ς κέρδος κατὰ τὸ συμπεφωνημένον. καὶ εἰ πρὸς δευτέρους ρίκοιντο γάμους οἱ ἄνδρες, φυλάξουσιν ἀνεκποίητα ταῦτα ῖς παισὶν, τοῦτο δὴ τὸ καθ' ὅλου διατεταγμένον. εἰ ἐντοι μὴ τύχοιεν λαβόντες οἱ συνοικοῦντες τὰς προῖκας ι συνεστῶτος τοῦ συνοικεσίου, καὶ μετὰ τελευτὴν αὐτὰς ὴν γαμετῶν κατὰ τὸν νόμον ἐκ[81]) τῶν ἐκείνων λήψονται .ηρονόμων, καθάπερ ἡ γραφὴ βούλεται τοῦ προικῴου.

μ'. Εἰ δὲ ἐπιτροπεύοι γυνὴ τῶν παίδων, πρόδηλον ς ἀνήβων καθεστώτων, διομοσαμένη μὴ πρὸς δεύτερον ηχεσθαι γάμον, εἶτα καταφρονήσασα καὶ τῆς προτέρας εὐνῆς ιὶ τῶν ὅρκων εἰς ἀνδρὸς ἔλθοι δευτέρου, μὴ πρότερον ιίτροπόν τε αἰτήσασα καὶ τοὺς λογισμοὺς παρασχομένη καὶ ιταβαλοῦσα πᾶν ὅσον ἐντεῦθεν ὀφείλει, οὐ μόνον τὰ αὐῆς ὑποθήκην ἔχειν ὁ νόμος συγχωρεῖ τοῖς παισὶν, ἀλλὰ καὶ ἡν τοῦ γήμαντος οὐσίαν ὑπάγει ταῖς ὑποθήκαις, αὐτῇ τε παγορεύει τὴν τοῦ παιδὸς διαδοχὴν ἀνήβου τελευτῶντος, καὶ ἐξ ὑποκαταστάσεως ὁ πατὴρ αὐτὴν ἐλθεῖν πρὸς τὴν ιῦ παιδὸς εἴποι διαδοχήν. ἀλλὰ ταῦτα μὲν οἱ πρὸ ἡμῶν.[82]) μεῖς δὲ θαυμάζομεν, εἰ γυναῖκα οὕτως ἀσεβῆ καθεστῶσαν ς καὶ αὐτόθεν ὅρκων ἀμελῆσαι καὶ οὕτω πρὸς ἄωρον άμον ἐλθεῖν, τριῶν τῶν μεγίστων ἠμελημένων, θεοῦ τε αὶ τῆς τοῦ τελευτήσαντος μνήμης καὶ τῆς τῶν παίδων τοργῆς, οὕτως ὀλίγαις ὑπέβαλον ποιναῖς, καὶ τὴν μὲν πρὸ ιῦ πενθίμου γημαμένην χρόνου καὶ οὐδὲ πάντως μητέρα αίδων καθεστῶσαν τιμωροῦνται πικρῶς, ἀλλὰ κἂν εἰ παῖδας ὐκ ἔχοι διὰ μόνην τὴν σεμνότητα ταῦτα πράττοντες, υναῖκα δὲ οὕτως ἐκκεχυμένην ἐπιθυμίαις οὐ ταῖς αὐταῖς οῦν ὑπέβαλον ποιναῖς, ὁποίας ὑπομένουσιν αἱ πρὸ τῶν ενθίμων χρόνων εἰς ἑτέρου συνοικέσιον ἀποκλίνασαι. ὥστε

81) Ven. κατά. 82) l. 2 C. quando mulier 5, 35. l. 6 C. d SC. Tertull. 6, 56.

νομοθετοῦμεν, τὰς οὕτως ἐπιορκεῖν τοῦ λοιποῦ τολμώσας γυναῖκας πρὸς ταῖς ἤδη προειληφείσαις ποιναῖς καὶ ταύτας ὑφίστασθαι πάσας, ἃς ἔμπροσθεν εἴπομεν ἐπὶ τῶν πρὸ τοῦ πενθίμου χρόνου γαμουμένων γυναικῶν, τήν τε ἀτιμίαν καὶ τὰ ἄλλα πάντα ταύταις ἐπάγοντες, καὶ λύσιν αὐταῖς τῶν ποινῶν διδόντες τὴν αὐτὴν ἥνπερ κἀκείναις, τὸ δεῖσθαι βασιλέως καὶ τὴν ἡμίσειαν μοῖραν διδόναι τοῖς παισὶ τῶν οἰκείων οὐδὲ τῆς χρήσεως παρ' αὐταῖς μενούσης· καὶ ἁπλῶς ἴσην τίθεμεν διὰ τὴν τῶν γάμων ἀωρίαν τῇ πρὸ τοῦ πενθίμου χρόνου γημαμένῃ. εἰ δὲ καὶ τῶν φυσικῶν ἐπιτροπεύοι παίδων (καὶ γὰρ δὴ καὶ τοῦτο δεδώκαμεν αὐτῇ)[83], ἀλλ' οὖν εἰς ἀνδρὸς ἐλθοῦσα καὶ μὴ ταῦτα πράξασα ἅπερ ἔμπροσθεν εἴρηται, ταῖς αὐταῖς ὑποκείσθω ποιναῖς. πρόνοια δὲ ἔστω κατὰ μὲν τὰς ἐπαρχίας τοῖς τῶν ἐθνῶν ἡγουμένοις, ἐνταῦθα δὲ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς εὐδαίμονος ταύτης πόλεως ἅμα τῷ πραίτωρι ᾧ τούτου μέλει τοῦ μέρους, ὥστε βουλομένης εἰς γάμους ἐλθεῖν τῆς ἐπιτροπευούσης γυναικὸς καὶ προβληθῆναι τοῖς νέοις ἐπίτροπον καὶ τοὺς λογισμοὺς ὑποδέξασθαι καὶ ὅπερ ἡ μήτηρ ὀφείλει προφάσει τῆς διοικήσεως τοῦτο ἀποδοῦναι.

μα'. Ἀρέσκει δὲ ἡμῖν ἡ Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως διάταξις[84], βουλομένη τὸν πατέρα, εἰ κελευσθείη τῷ οἰκείῳ παιδὶ πρεσβεῖον ὑπὸ αἵρεσιν ἢ ἡμέραν δοῦναι, μὴ ἄλλως ἀπαιτεῖσθαι τὴν ὑπὲρ τῆς δόσεως τῶν πρεσβείων ἀσφάλειαν (ταύτην δὴ τὴν λεγατόρουμ σερβανδόρουμ καῦσα καλουμένην), πλὴν εἰ μὴ δευτέροις ὁ πατὴρ ὁμιλήσειε γάμοις· ἔστω γὰρ καὶ τοῦτο τοῖς δευτερογαμοῦσιν ἐπιτίμιον.

μβ'. Ἀλλὰ κἂν εἴ τις ἐν τοῖς εὐλαβεστάτοις τελῶν κληρικοῖς (τοῖς ὑπὲρ τὸν ἀναγνώστην ἢ ψάλτην φαμὲν) ὅλως ὁμιλήσειε γάμοις, τοῦτον ἐκ τῆς ἡμετέρας διατάξεως[85]

83) l. 3 C. quando mulier 5, 35. 84) l. 6 C. ad SC. Trebell. 6, 49. 85) Const. XII c. 5.

κπίπτειν τῆς ἱερωσύνης διεταξάμεθά τε καὶ βουλόμεθα. εἰ ιέντοιγε ἀναγνώστης ὢν καὶ γήμας εἶτα διά τινα ἀπαραίητον ἀνάγκην εἰς δευτέρους ἀφίκοιτο γάμους, οὐκ ἔτι πρὸς ὰ μείζω τῆς ἱερωσύνης ἀναβήσεται γέρα, ἀλλ' αὐτοῦ μενεῖ ταρὰ τῇ γυναικί, τὴν ὑπὲρ ἐκείνης προκρίνας σπουδὴν τῆς πὶ τὰ βελτίω προόδου. εἰ δὲ ἐν ἰδιώταις ὢν ἐπὶ χειροτοίαν ὑποδιακόνου ἢ διακόνου ἢ πρεσβυτέρου ἐλθεῖν βούοιτο, εἶτα φανείη γυναῖκα ἔχων μὴ ἐκ παρθενίας αὐτῷ υνοικήσασαν, ἀλλ' ἢ διεζευγμένην ἀνδρὸς ἢ ἄλλως οὐκ ἐξ ρχῆς εὐθὺς αὐτῷ νομίμως συνελθοῦσαν ἢ καὶ αὐτὸς πρὸς ευτέρους ἀφίκετο γάμους, οὐ τεύξεται τῆς ἱερωσύνης, ἀλλὰ ὶν εἰ λαθὼν εἰς τοῦτο ἔλθοι, πάντως αὐτῆς ἐκπεσεῖται.

μγ'. Τὸ δὲ ἐφεξῆς πρᾶγμά ἐστι παλαιὸν, καὶ πολλὰς ὶν δεξάμενον ἐπανορθώσεις οὐ παρ' ἑτέρων μόνον ἀλλ' δη καὶ ὑφ' ἡμῶν[86]), οὐ μὴν πρὸς τὴν εἰς ἄκρον ἑαυτοῦ αραγενόμενον ὀρθότητα, ἣν νῦν μεταδιώκοντες τὰ παρόντα ομοθετοῦμεν. ὁ γὰρ καλούμενος Iulios miscellας παλαιὸς[87]) όμος ἀρχαῖος τὸ τῆς παιδοποιΐας προβαλλόμενος σπούδαια ἐπέτρεπε ταῖς γυναιξὶν, εἰ καὶ ὁ ἀνὴρ κωλύοι καί τι ιὶ ὑπὲρ τούτου καταλιμπάνοι ὑπὲρ τοῦ μὴ πρὸς δεύτερον ρικέσθαι γάμον, ὅμως καὶ εἰς ἀνδρὸς φοιτᾶν, καὶ ὀμνύειν ς παίδων ἕνεκεν τοῦτο πράττοι, καὶ τὸ καταλελειμμένον αμβάνειν. καὶ ταύτην μὲν εἰς ἐνιαυτὸν ἐδίδου ταῖς γυναιξὶ ὴν ἄδειαν· τούτου δὲ παρελθόντος εἴπερ ἠβουλήθη λαβεῖν καταλελειμμένον, οὐκ ἄλλως ἦν ταῖς γυναιξὶ τοῦτο λαβεῖν, ὶν ἂν ἀσφάλειαν ἔκθοιντο ὡς ἐπὶ δεύτερον οὐκ ἐλεύσονι γάμον. ἀλλὰ ταύτην δὴ τὴν προσθήκην οὐκ αὐτὸς ὁ ιlioς Miscellας ἐξεῦρεν, ἀλλὰ Quintoς Mucioς Scaevolaς ονομοθετήσας[87a]) ἐτύγχανεν ἐπὶ πάντων δὴ τῶν ἠρτημένων

86) tit. C. de indicta viduitate 6, 40. 87) παλαιὸς v. ἀρχαῖος ferri vix potest. Heimb. (senior) ἀρχαῖον legi vult, ut l σπούδασμα pertineat. fortasse in παλαιὸς corruptela latet, Papiae legis vestigium sit. 87a) Hal. προσνομ.

εἰς τὰς τῶν πραγμάτων κωλύσεις τὰς τοιαύτας ἐπινοήσας ἀσφαλείας. ἡμεῖς τοίνυν ὁρῶντες τὰς πολλὰς δὴ γυναῖκας ἐπιθυμίᾳ γάμων, οὐ διὰ παιδοποιΐαν ἀλλὰ διὰ τὴν τῆς φύσεως ἀνάγκην, καὶ ὀμνυούσας[88]) καὶ γαμουμένας καὶ παραβαινούσας τὰς τῶν τελευτώντων γνώμας, ᾠήθημεν τὴν ἀρχὴν[89]) τέως τὸ θειότερον θεραπεῦσαι μέρος, καὶ τὴν ἐπιορκίαν αὐταῖς κωλῦσαι καὶ μὴ οὐ συγχωρῆσαι τοιούτους ὅρκους ὑπέχειν ἐφ' οἷς πάντως τὸ τῆς ἐπιορκίας πρόχειρον. καὶ γὰρ οὐδὲ ἐκεῖνο προσέκειτο τῷ νόμῳ τὸ δεῖν τὰς ἄπαιδας οὔσας γυναῖκας τοῦτον ὀμνύειν τὸν ὅρκον, ἀλλὰ καὶ παῖδας ἐχούσαις προὔκειτο τὰ τῶν ὅρκων, θεόν τε ὁμοῦ καὶ τὴν τοῦ κατοιχομένου λυποῦντα ψυχήν· καίτοιγε τὸ μὲν τῆς ἐπιορκίας πρόχειρον ἦν, τὸ δὲ τῆς παιδοποιΐας ἐν ταῖς τῆς τύχης ἀπέκειτο δώροις. ἐπειδὴ τοίνυν τοῦτο ἡμεῖς τεθεσπίκαμεν νόμῳ τὸν ὅρκον αὐτῶν ἀφελόντες καὶ τὴν τοιαύτην ἐπιτρέψαντες λῆψιν, ἐνενοήσαμεν ὡς θάτερον ἡμῖν τῶν πραγμάτων παραλέλειπται τὸ δεῖν καὶ τὴν τοῦ κατοιχομένου θεραπεῦσαι ψυχήν. διὸ δὴ τὸν παρόντα τίθεμεν νόμον· οὐ γὰρ βουλόμεθα τὰς τῶν τελευτώντων οὐδὲν ἄτοπον ἐχούσας βουλὰς διαπίπτειν. εἰ μὲν γὰρ ἐφάσκομεν, δεῖν τὴν γυναῖκα πάντως τοῦ ἀνδρὸς ἐπιτάξαντος μὴ γαμεῖν τοῦτο φυλάττειν, εἶχεν ἄν τι πικρὸν ἴσως ὁ νόμος· νῦν δὲ δευτέρου προσόντος τοῦ εἴπερ βουληθείη γαμεῖν μὴ λαβεῖν τὸ καταλελειμμένον, τῆς εἰς ἔσχατον ἀτοπίας ἐστὶ περιϊδεῖν τὴν γνώμην τοῦ τελευτήσαντος οὕτω κινδυνεύουσαν, ὥστε αὐτῇ δοῦναι παῤῥησίαν καὶ γαμεῖσθαι καὶ λαμβάνειν τὸ καταλελειμμένον καὶ διὰ πάντων λυπεῖν τὸν πρότερον συνοικήσαντα.

μδ'. Ὥστε θεσπίζομεν, εἴ τις κωλύσειε τὴν γαμετὴν πρὸς ἕτερον ἐλθεῖν συνοικέσιον ἢ καὶ ἡ γαμετὴ τὸν ἄνδρα

88) Ven. ὀμνύσας, quod tamen Iustiniano inusitatum est.
89) Scil. in l. 2 C. de ind. vid. 6, 40.

ταὐτὸν γάρ ἐστιν ἑκάτερον) καὶ ὑπὲρ τούτου τὶ καταλίποιεν, ς ἐκ δυοῖν αἵρεσιν ἔχειν τῶν συνοικούντων τὸν ἕτερον, πρὸς γάμον ἐλθεῖν καὶ ἀποτάξασθαι τῇ λήψει, ἢ εἴπερ ῦτο οὐ βούλοιτο, ἀλλὰ τιμᾷ τὸν τελευτήσαντα, πάντως τοσχέσθαι τῶν ἐφεξῆς γάμων. [§. 1.] ἀλλ' ἵνα μὴ τὸ ρᾶγμα μετέωρον ᾖ καὶ μετὰ χρόνους ἴσως μακροὺς ἐπανίοι άλιν ἡ εἴσπραξις, διὰ τοῦτο καλῶς ἡμῖν ἔδοξεν ἔχειν ὁρί-ιι τὸ πρᾶγμα, καὶ εἴσω μὲν ἐνιαυτοῦ μὴ εἶναι παντελῶς ταίτησιν τοῦ καταλελειμμένου, πλὴν εἰ μὴ τρόπος ἱερωσύνης ιγενόμενος θατέρῳ τῶν προσώπων εὐθὺς δοίη τὴν λῆψιν ς οὐκ ἔτι γάμων οὔσης ἐλπίδος. [§. 2.] εἰ μέντοι δια-ιαμεῖν συμβαίη τὸν ἐνιαυσιαῖον χρόνον, δίδομεν μὲν τῷ ροσώπῳ τούτῳ λαβεῖν τὸ καταλελειμμένον, οὐχ ἁπλῶς δὲ ὐδὲ οὕτως. ἀλλ' εἰ μὲν ἀκίνητον εἴη τὸ πρᾶγμα, μὴ ἄλλως ιῦτο λαμβάνειν, πλὴν εἰ μὴ διωμοσίαν ἔκθοιτο καὶ ὑπο-ήκην ὑπόθοιτο τὰ ἑαυτοῦ πράγματα (τοῦτο ὅπερ καὶ σιω-ηρῶς ἐκ τοῦδε τοῦ νόμου δίδομεν)[90]), ὡς εἰ πρὸς δεύτε-ον ἔλθοι γάμον, ἀποδίδωσι τὸ δεδομένον τοιοῦτον ὁποῖον αρείληφεν, ἀποδιδοὺς καὶ οὓς ἔλαβεν ἐν μέσῳ καρπούς. §. 3.] εἰ δὲ κινητὸν εἴη τὸ πρᾶγμα, εἰ μὲν εὐπόρως ἔχοι ὰ τῆς περιουσίας τῷ προσώπῳ τῷ βουλομένῳ λαβεῖν, δίδο-θαι τὸ καταλειφθὲν ἐπὶ τῇ αὐτῇ ἀσφαλείᾳ καὶ ταῖς αὐταῖς ποθήκαις. ἀλλ' εἰ μὲν ἕτερόν τι τῶν κινουμένων εἴη, τοι-ῦτον ἀποδίδοσθαι ὁποῖον εἴληφεν, ἢ τὸ τῆς ἐλαττώσεως ερωπεύειν μέρος[91]), [§. 4.] εἰ δὲ χρήματα εἴη, καὶ μετὰ όκων ἀποδιδόναι ὧν ἐκεῖθεν λαβεῖν ἰσχύσειεν, ὅρκῳ τοῦ ναδιδόντος τούτου κρινομένου· εἰ δὲ οὐκ ἐδάνεισε μέν, συνε-ρήσατο δὲ, τὸν ἀπὸ τρίτου ἑκατοστῆς ἀποδιδότω τόκον. §. 5.] εἰ μὴ σφόδρα δὲ εὐπόρως ἔχοι, καὶ ἐγγυητὴν τούτων ροσαπαιτεῖσθαι. εἰ δὲ οὐκ ἰσχύσειε τὸν ἐγγυώμενον δοῦναι,

90) Athan. interpretatur „εἰ καὶ σιωπηρῶς ἐκ τοῦδε τοῦ όμου ὑπόκεινται". Theod. „κἂν τὰ μάλιστα σιωπηρῶς ὑπό-ειναι". 91) Ven. μέσον.

τηνικαῦτα ἐπὶ διωμοσίᾳ καὶ ὑποθήκῃ κατὰ τὸ εἰρημένον τῶν ὄντων αὐτῷ πραγμάτων μέτρον[92]) λαμβανέτω μὲν τὸ καταλελειμμένον, [§. 6.] εὐθὺς δὲ ἅμα τῷ πρὸς δευτέρους γάμους ἐλθεῖν τοῦτο ὑπὸ τοῦ δόντος ἐκδικείσθω παρ' οἱῳδήποτε φανείη προσώπῳ, ὡς αὐτὸ τὴν ἀρχὴν οὐδὲ δοθῆναι δόξαν. ὅπερ ἐπὶ παντὸς τῆς ἀναδόσεως θέματος, εἴτε κινητὸν εἴτε ἀκίνητον εἴη τὸ μέλλον ἀναδίδοσθαι, κρατεῖν θεσπίζομεν. [§. 7.] εἰ δὲ χρυσίον εἴη τὸ καταλελειμμένον, ἀπόρως δὲ ἔχοι πρὸς ἐγγύην, καὶ οὐδὲ αὐτὸς ἀξιόχρεως εἴη τοῦτο καταπιστευθῆναι, μενεῖ μὲν παρ' ἐκείνῳ τῷ ἐξ οὗ καταλέλειπται, τὸν δὲ ἐκ τρίτης ἑκατοστῆς αὐτῷ τόκον τελέσει, ὃν μέχρι τότε καταβαλεῖ, ἕως ἢ δευτέροις ἐκεῖνος ὁμιλήσειε γάμοις (ὅτε καὶ τὰ τῆς ἀναδόσεως τῶν καταβεβλημένων τόκων λήψεται χώραν), ἢ γένοιτο φανερὸν οὐκ ἔτι δύνασθαι τοῦτον πρὸς γάμον ἐλθεῖν εἴτε κατὰ τρόπον ἱερωσύνης (τηνικαῦτα γὰρ αὐτῷ δώσει τὸ καταλειφθὲν) ἢ καὶ θανάτῳ· λήψονται γὰρ αὐτὸ πάντως οἱ τούτου κληρονόμοι, οὐδὲν οὐδὲ τῶν δεδομένων τόκων ἀναδιδόντες. [§. 8.] τὴν αὐτὴν δὲ εἰσάγομεν παρατήρησιν καὶ τὸν αὐτὸν λογισμόν, καὶ[93]) εἰ μὴ οἱ συνοικοῦντες ἀλλήλοις ὑπὸ τοιαύτην καταλίποιεν αἵρεσιν, ἀλλ' ἕτερός τις ἔξωθεν ἢ ἀνδρὶ ἢ γυναικὶ ὑπὸ τοιαύτην αἵρεσιν δοθῆναί τι βουληθείη, δηλαδὴ τῶν τυχηρῶν περιστάσεων κατὰ τὴν ἑαυτῶν φύσιν καὶ τοὺς ἐπ' αὐτοῖς[94]) νόμους ἐπὶ τῶν δόσεών τε καὶ ἀναδόσεων θεωρουμένων. ταῦτα τοίνυν ἐκ τῶν ἤδη γενομένων παρ' ἡμῶν προφάσει τοῦ Iulioυ Miscelloυ διατάξεων ἀμείβομεν· τὰ ἄλλα δὲ ἔστω κύρια κατὰ τοὺς ὅρους καὶ τὰ θέματα, καθάπερ ταῦτα ὑφηγησάμεθα. [§. 9.] αἱ δὲ εἰρημέναι παρ' ἡμῶν ἀσφάλειαι διδόσθωσαν, εἰ μὲν ἐνστάσεως εἴη μέρος ἢ

92) Verbum *μέτρον* Auth. non agnoscit, eoque facile carere possumus, quoniam omnia bona, non pars eorum mensurata, obligata sunt. 93) Hal. *κἂν*. 94) *αὐταῖς*? scil. *περιστάσεσιν*.

ιεσβεῖον[95]), τοῖς κληρονόμοις ἢ ὑποκαταστάτοις ἢ ἐκείνοις ρ' ὧν ταῦτα καταλέλειπται· εἰ μέντοι μόρτις καῦσα δωρεά, ίντως τοῖς κληρονόμοις· εἰ δὲ ἐξ ὁλοκλήρου κατὰ τοιαύτην ρεσιν γραφείη τὶς κληρονόμος, τοῖς ὑποκαταστάτοις εἴγε εν ἢ πάντως γοῦν τοῖς ἐξ ἀδιαθέτου πρὸς τὸν κλῆρον ιλουμένοις τοιαύτας ἀσφαλείας παρεχέτω, ἵνα πανταχόθεν νόμος ἔχῃ τὴν οἰκείαν τελειότητα· πλὴν εἰ μὴ πολλάκις διαθέμενος καὶ τοῦτο ἐπιτρέψειε, φήσας ἄδειαν ἔχειν τὸν καταλέλοιπεν ἢ τὴν ἔνστασιν τὴν μερικὴν ἢ τὴν ἐξ ὁλοιήρου ἢ τὸ πρεσβεῖον ἢ τὸ φιδεϊκόμμισσον ἢ τὴν μόρτις κῦσα δωρεὰν καὶ λαβεῖν τὸ καταλελειμμένον καὶ μηδεμίαν σφάλειαν διδόναι· τηνικαῦτα γὰρ ἀκολουθητέον τῇ τοῦ ιλευτήσαντος γνώμῃ. περισπούδαστον γὰρ ἡμῖν ἐστι τὰς ῶν τελευτώντων φυλάττειν μετὰ τοῦ νόμου βουλήσεις.

με'. Ἐπειδὴ δὲ μικρῷ πρόσθεν τὰ περὶ τῆς φυλακῆς ῶν πραγμάτων ἐλέγομεν, καὶ τὴν Λέοντος ἐπιστάμεθα τοῦ ῆς εὐσεβοῦς λήξεως διάταξιν ἐπὶ τῶν δευτέρων γάμων[96]), ἵπερ ἡ πρὸς τούτους ἐλθοῦσα γυνὴ μὴ δυνηθείη δοῦναι ὴν ἐξ ἐγγύης ἀσφάλειαν τὴν ὅτι τοῖς παισὶν ἀποκαθίστησι ὰ πράγματα, τὸ τρίτον μέρος τῆς ἑκατοστῆς λαμβάνειν, ἡμεῖς τὸ πρᾶγμα ἔτι κάλλιον ἐτάξαμεν τοῖς παρ' ἐκείνης[97]) ό γε ἐπὶ τούτῳ τεταγμένοις τὴν προσήκουσαν ἐπαγαγόντες ὑποδιαίρεσιν. [§. 1.] καὶ θεσπίζομεν (τοῦτο ὅπερ ἔμπροσθεν ἡμῖν ἐπί τινος εἴρηται διατάξεως)[98]), ἵνα εἴ τις ἐπιδοίη πράγματα κατὰ προγαμιαίαν δωρεάν, εἰ μὲν ἅπαντα ἀκίνητα καθεστήκοι, μένοι ἡ τούτων χρῆσις παρὰ τῇ μητρὶ πρὸς δευτέρους ἐλθούσῃ γάμους, καὶ αὐτὴ ταῦτα ἐκλέγοι

95) Hal. (quocum facit Iulian.) εἴτε φιδεϊκόμμισσον ἢ ηγάτον. 96) Adde λέγουσαν. indicatur l. 6 §. 6 C. de sec. nupt. 5, 9. 97) Ita Hal. (cum Auth.) Ven. ἐκείνοις. 98) Krügero videtur indicari l. 11 C. de sec. nupt. 5, 9, quae deperdita est. alii const. X c. 4 laudant quae iisdem plane verbis utitur.

καὶ μὴ παραιτοῖτο μηδὲ ἀπαιτοίη τοὺς παῖδας ὑπὲρ τῆς τούτων ἀποτιμήσεως τόκον, ἀλλ' ἐπιμελοῖτό τε αὐτῶν καθ' ὅσον ὁ νόμος δίδωσι τοὺς τῆς χρήσεως ὄντας κυρίους, φυλάττοι τε ταῦτα κατὰ τοὺς νόμους τοῖς παισὶ περιοῦσιν, ἢ εἰ πάντες τελευτήσαιεν, κατὰ τὸν ἡμέτερον νόμον τοῦ μὲν ἐξ ἀπαιδίας casu τῇ μητρὶ τοῦ δὲ λειπομένου τοῖς τῶν παίδων κληρονόμοις φυλαττομένου. [§. 2.] εἰ δὲ πᾶσα καθεστήκοι τυχὸν ἐν χρήμασιν ἢ ἄλλοις κινητοῖς πράγμασιν ἡ προγαμιαία δωρεὰ, τὸ τρίτον τοῦ τόκου[99]) μέρος λαμβάνουσαν τὴν μητέρα σὺν τῇ ἤδη νενομοθετημένῃ ἀσφαλείᾳ μὴ ἀπαιτεῖν παρὰ τῶν παίδων χρυσίον, πλὴν εἰ μὴ ἄφθονος ἡ τοῦ ἀνδρὸς εἴη περιουσία καὶ ἔχοι καὶ χρυσίον καὶ ἄργυρον καὶ ἐσθῆτα καὶ εἴ τι καταγεγραμμένον ἦν τῇ μητρί· τηνικαῦτα γὰρ τὴν ἐπιλογὴν τῇ μητρὶ δώσομεν, εἴγε[99a]) βούλεται τὰ πράγματα λαβεῖν καὶ δοῦναι τὴν ἐξ ἐγγύης ἀσφάλειαν, εἴτε καὶ τὸν εἰρημένον κομίζεσθαι τόκον ἀπὸ τρίτης φαμὲν ἑκατοστῆς κατά τε τοὺς ἔμπροσθεν νόμους κατά τε τὸν ἡμέτερον νόμον. [§. 3.] εἰ δέ γε ἀναμὶξ εἴη τὰ πράγματα, καὶ ἡ δωρεὰ τὸ μὲν ἐν χρήμασι τὸ δὲ ἐν ἀκινήτοις ἔχοι πράγμασι, τὰ μὲν ἀκίνητα πάντως μένειν παρὰ τῇ μητρὶ διὰ τὸ τὴν ἀποτροφὴν ἔχειν ἐκεῖθεν, ἐπὶ δὲ τοῖς κινητοῖς ταῦτα κρατεῖν, ἅπερ ἐνομοθετήσαμεν ἔμπροσθεν εἴπερ ἐτύγχανεν ἐν κινητοῖς πάντα τὰ τῆς προγαμιαίας δωρεᾶς καθεστῶτα· προνοούσης τῆς γαμετῆς, ὥστε μὴ ῥαθυμῆσαι ἢ ἀμελῆσαι τῶν ἀκινήτων μηδὲ ἐλάττω ταῦτα ποιῆσαι, ἀλλ' οἷά περ ἔλαβεν ἀποδοῦναι.

μϛ'. Ἐντεῦθεν ἡμᾶς ἕτερος καλεῖ λόγος ὁ περὶ τῆς τῶν παίδων διαδοχῆς, ἣν ἂν λάβοιεν αἱ δευτέροις ὁμιλεῖν

99) Hal. τὸ ἀπὸ τρίτου τῶν τόκων. Auth. videtur indicare lectionem: τοσοῦτον τῶν τόκων μέρος. Athan.: τὸν ἀπὸ τρίτου ἑκατοστῆς ἀσφαλιζέσθωσαν οἱ παῖδες παρέχειν αὐτῇ τόκον. et Theod.: τῶν δὲ κινητῶν τρίτον ἑκατοστῆς τόκον λαμβάνει. ergo supplendum: ἑκατοστιαίου. 99a) εἴτε?

ἐλλουσαι γάμοις. ἤδη μὲν οὖν καὶ περὶ τούτων γέγραπται όμος[100]) ἡμῖν πρὸς Ἑρμογένη τὸν τῆς ἐνδόξου μνήμης άγιστρον τῶν θείων ἡμῶν γενόμενον τάξεων ἀντιγεγραμένος κατὰ τὴν Βελισαρίου τοῦ ἐνδοξοτάτου προελθὼν ὑπαείαν τῇ[101]) πρὸ δεκαεπτὰ Καλανδῶν Ἀπριλλίων, καθ' ὃν θεσπίσαμεν, τὰς μητέρας ἐπὶ τὸν τοῦ παιδὸς τοῦ μὴ καταιπόντος παῖδας μετὰ τῶν αὐτοῦ τοῦ τελευτήσαντος ἀδελφῶν πραγμόνως καλεῖσθαι κλῆρον, καὶ τούτου μετὰ τῆς χρήσεως ιαὶ τὴν δεσποτείαν μετέχειν βεβαίως, εἴτε πρὸ τοῦ κλήρου ἴτε μετὰ τοῦτον δευτέροις ὡμίλησαν γάμοις, ἀνελόντες ἐξ κείνου τοὺς νόμους οἳ περὶ τούτων ἐναντίον τι διηγόρευον. ταύτην ἡμῶν τὴν νομοθεσίαν κυρίαν καὶ νῦν μένειν ἐπὶ μόναις ταῖς ἤδη πρὸς δεύτερον ἐλθούσαις γάμον θεσπίζομεν καί τινας τῶν οἰκείων διαδεξαμέναις παίδων, ἐν βεβαίῳ τε αὐταῖς φυλάττεσθαι καὶ κατὰ τὸν ἑξῆς χρόνον, εἴτε πρὸ τῶν γάμων εἴτε μετὰ τοὺς γάμους τὸν κλῆρον εἰς αὐτὰς τοῦ παιδὸς κατενεχθῆναι συνέβη. τὰ δὲ ἐν ταῖς μετὰ ταῦτα εἰς δευτέρου φοιτώσαις ἀνδρὸς[102]) οὕτως ἡμῖν ὁ παρὼν νόμος τυπούτω τε καὶ διαθεσμοθετείτω. οὐκοῦν ἀνάγκη, τὸν παῖδα τελευτῶντα εἴτε ἄῤῥενα εἴτε θήλειαν ἢ ἐπὶ διαθήκαις τελευτᾶν ἢ τούτων χωρίς· τέως οὖν τὰ ἐκ διαθηκῶν. εἰπόντες, οὕτως ἐπὶ τὴν ἐξ ἀδιαθέτου τάξιν ἀφιξόμεθα. [§. 1.] εἰ τοίνυν νομίμως ὁ παῖς διαθέμενος καταλείψειε τῇ μητρὶ τὴν οὐσίαν ἢ καὶ μοῖραν ταύτης τινὰ, ταύτην ἐκείνη λαμβανέτω διὰ τὴν γραφὴν (ἐπειδὴ πανταχοῦ φυλάττεσθαι τὰς τῶν τελευτώντων βουλόμεθα γνώμας), καὶ ἐχέτω τὸ καταλελειμμένον ἢ δεδομένον καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν. ὥσπερ γὰρ ἐξῆν καταλιμπάνειν τινὶ τῶν ἔξωθεν καὶ οὐδὲν τὸν κληρονόμον ὁ δεύτερος ἐκείνης ἔβλαπτε γάμος, οὕτω καὶ τῇ μητρὶ καταλιπὼν ἢ καταλιποῦσα εἴτε ἔνστασιν

100) Const. X. 101) Ven. τήν. 102) Ven. haec verba τὰ δὲ ἐν ταῖς — ἀνδρὸς omittit.

εἴτε πρεσβείων ὀρθῶς καταλιμπανέτω καὶ κατὰ δεσποτείαν καὶ κατὰ[103] χρῆσιν. εἴτε ἐκ τῶν ἔξωθεν αὐτῷ προσγενομένων εἴη πραγμάτων εἴτε καὶ ἐκ τῶν πατρῴων, οὐδὲν πρὸς τοῦτο τῶν ἀδελφῶν ἀντιλέγειν δυναμένων. [§. 2.] εἰ δὲ ἀδιάθετος ὁ παῖς τελευτήσειεν ἤδη πρὸς δευτέρους ἐλθούσης τῆς μητρὸς γάμους ἢ καὶ ὕστερον ἐρχομένης, καλείσθω μὲν καὶ αὐτὴ μετὰ τῶν τοῦ παιδὸς ἢ τῆς παιδὸς ἀδελφῶν (in capita δηλονότι κατὰ τὴν ἡμετέραν διάταξιν) ἐξ ἀδιαθέτου πρὸς τὴν ἐκείνου διαδοχήν. ἀλλ᾽ ὅσα μὲν ἐκ πατρῴας οὐσίας εἰς τὸν παῖδα περιῆλθον, τούτων μόνην ἐχέτω τὴν χρῆσιν εἰς δευτέρους ὅλως ἢ πρότερον ἢ ὕστερον ἀφικομένη γάμους· εἰς δὲ τὰ λοιπὰ πάντα πράγματα, ὁπόσα ἔξωθεν ἦν τῷ παιδὶ παρὰ τὴν τοῦ πατρὸς διαδοχήν, ἐρχέσθω κατὰ τὴν κλῆσιν τὴν ἡμετέραν, ἣν αὐτίκα ἐροῦμεν τινὸς ἐπανορθώσεως καὶ αὐτὴν δεομένην. καὶ ταῦτά φαμεν ἐπὶ τοῖς πράγμασι τοῖς ἔξω τῆς προγαμιαίας δωρεᾶς. τὰ γὰρ ἐπ᾽ ἐκείνοις νενομοθετημένα παρ᾽ ἡμῶν καὶ πρός γε παρὰ τῆς Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως διατάξεως ἀκέραια φυλάττομεν, ἐφ᾽ οἷς μόνη ἡ μήτηρ ἕξει τὴν χρῆσιν καὶ ἐπικαρπίαν. [§. 3.] ἀλλ᾽ ἐπὶ τοῖς ἄλλοις πράγμασι ταῦτα νομοθετοῦμεν καὶ τῷ ἑξῆς παραδίδομεν χρόνῳ, ὅσα μετὰ τὴν προγαμιαίαν δωρεάν ἐστιν ἐκ πατρὸς ἀφικόμενα τῷ παιδὶ ἢ ἐξ ἄλλων αἰτιῶν, ἐπί τε τῶν ἐκ διαθήκης ἐπί τε τῶν ἐξ ἀδιαθέτου κλήσεων· τοῦ κατὰ τῶν ἀχαρίστων παίδων λόγου πανταχόθεν καὶ ἐπὶ τούτοις τοῖς πράγμασι φυλαττομένου, ὅταν ἀληθεῖς αἰτίαι τῆς ἀχαριστίας δεικνύοιντο· τῶν ἄλλων ἁπάντων ὁπόσα περὶ διαδοχῆς εἴρηται γονέων ἐπὶ τοῖς παισὶν ἢ παίδων ἐπὶ τοῖς γονεῦσιν ἀκεραίων φυλαττομένων. [§. 4.] τὴν δὲ ἀχαριστίαν ἐνταῦθα σκοποῦμεν οὐ μόνον πρὸς τὴν μητέρα κατὰ τὸ ἔμπροσθεν ἡμῖν εἰρημένον, ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν ἀδελφὸν τὸν τελευτήσαντα.

103) Ven. et Bas. κατὰ omittunt.

μξ'. Ἐπειδη μέντοιγε ἴσμεν πολλὰς τοῖς ἀδελφοῖς πρὸς ἀλλήλους γινομένας φιλονεικίας, ἐκεῖνον μόνον ὡς ἀχάριστον περὶ τὸν ἀδελφὸν γενόμενον μετέχειν τούτου τοῦ κέρδους οὐ συγχωροῦμεν, ὃς ἂν ἢ θάνατον ἐπιβουλεύσειε τῷ ἀδελφῷ ἢ ἐγκληματικὴν ἐπενέγκοιτο κατ' αὐτοῦ γραφὴν ἢ τῆς οὐσίας αὐτῷ σπεύσειεν ἐπαγαγεῖν ἀφαίρεσιν· τὸ γὰρ ἐκείνου μέρος εἴς τε τοὺς λοιποὺς ἀδελφοὺς καὶ τὴν μητέρα ἐρχέσθω. καὶ οὗτος ὁ νόμος ἐπὶ ταῖς τῶν παίδων διαδοχαῖς αἷς αἱ μητέρες διαδέχονται τοὺς παῖδας κείσθω, τὴν παρ' ἡμῶν γενομένην ὑποδιαίρεσιν εἰσηγούμενος ταῖς εἰς τὸν ἑξῆς χρόνον δευτέρῳ συνοικεῖν μελλούσαις ἀνδρί. ταῖς γὰρ ἤδη[104]) πρὸς δεύτερον ἐλθούσαις συνοικέσιον καὶ τῆς εὐεργεσίας τοῦ μνημονευθέντος νόμου ἡμῶν τυχούσαις ἐξέστω τὰ πρὸς αὐτὰς ἐκ τῆς τῶν παίδων ἐλθόντα διαδοχῆς, εἴτε ἐκ διαθηκῶν εἴτε ἐξ ἀδιαθέτου, ἔχειν βεβαίως κατά τε δεσποτείαν καὶ χρῆσιν καὶ ἐπικαρπίαν, καὶ ἐκποιεῖν καὶ διατιθέναι καὶ παραπέμπειν καθ' ὃν ἐθέλοιεν τρόπον οὐδὲν αὐταῖς ἐμποδὼν κατά τινα χρόνον τοῦ παρόντος ἱσταμένου νόμου. [§. 1.] κἀκεῖνο δὲ κύριον τοῖς ἐκ τοῦ προτέρου γάμου μενέτω παισίν, ὅπερ ἐπὶ τῆς εἰρημένης ἡμῖν διατέτακται νομοθεσίας, ὥστε εἰ τὴν προγαμιαίαν δωρεάν, ἣν ἡ μήτηρ τελευτήσαντος αὐτῇ τοῦ συνοικοῦντος ἐκέρδανε, συμβέβηκεν εἰς τὸν τελευτήσαντα τῶν παίδων περιελθεῖν καὶ διὰ τοῦτο μέρος αὐτὴν τῆς ἐκείνου γενέσθαι κληρονομίας, τὴν μητέρα μηδὲ καθ' ὅσον κληρονομεῖ τοῦ παιδὸς τῆς δεσποτείας τῶν ταύτης δὴ τῆς πρὸ γάμου δωρεᾶς πραγμάτων ἀπολαύειν, μόνην δὲ ἔχειν τὴν τούτων ἐφ' ὅσον περίεστι χρῆσιν καὶ ἐπικαρπίαν. κρατείτω τοίνυν καὶ τοῦτο τοῖς ἐκ τῶν προτέρων γάμων κεχαρισμένοις παισίν, πλὴν εἰ μὴ πρὸ τοῦ ῥηθέντος νόμου δικαστικὴ ψῆφος ἢ διάλυσις μεταξὺ τῶν μερῶν γενομένη περὶ τούτων τὶ διωρίσατο. [§. 2.] ἐπειδὴ δὲ ἡ μήτηρ[104a])

104) Ven. δή. 104a) l. 7 C. ad SC. Tertull. 6, 56.

ἐξεκλείετο μὲν ὑπὸ παιδὸς ἄῤῥενος (τοῦτο ποιοῦντος τοῦ δόγματος ὃ Τερτυλλιάνειον καλοῦσι), θυγατράσι δὲ συναπεπέμπετο, ἡμεῖς οὐκ ἐπιζητοῦντες τὸ τῶν παίδων δίκαιον, ἀλλ' αὐτόθεν αὐτῇ λεγίτιμα δίκαια δόντες, ἐκαλέσαμεν αὐτὴν καὶ μετὰ τῶν ἀῤῥένων ἀδελφῶν τοῦ τελευτήσαντος κατὰ τοσοῦτον καθ' ὅσον ἀριθμὸν οἱ παῖδες εἰσίν, ὥστε καὶ αὐτὴν μοῖραν ἔχειν τοσαύτην ὅσην ἕκαστος τῶν ἀδελφῶν· εἰ δὲ καὶ ἀναμὶξ ἄῤῥενές τε καὶ θήλειαι καθεστήκοιεν, ταὐτὸ τοῦτο διατυπώσαντες. εἰ μέντοι μήτηρ καὶ θήλειαι μόναι καθεστήκοιεν, ἐκεῖσε τὸ δόγμα τὴν μὲν ἡμίσειαν μοῖραν ἐδίδου τῇ μητρί, τὴν δὲ λειπομένην ἡμίσειαν ἐδίδου ταῖς ἀδελφαῖς ὅσαι δήποτε καθεστήκοιεν. ὅπερ ἐπειδὴ μὴ πρότερον ἐπηνωρθώσαμεν, νῦν ἄγομεν ἐπὶ τὴν προσήκουσαν διόρθωσιν, καὶ ἐπὶ τούτου τοῦ θέματος καλοῦντες αὐτὴν πρὸς ἀναλογίαν τῶν παίδων, ὥστε ὅσον ἑκάστη τῶν θυγατέρων ἔχει, τοσοῦτον μόνον καὶ αὐτὴν κομίζεσθαι. καὶ ἐπὶ παντὸς θέματος εἰς τοῦτο φερομένου in virilem portionem (τοῦτο δὴ τὸ τοῦ νόμου) καὶ ἡ μήτηρ ἀφικνείσθω, εἴτε μόνοι καθεστήκοιεν ἄῤῥενες εἴτε μόναι θήλειαι εἴτε καὶ ἀναμὶξ ἑκατέρα γονή.

μη'. Ἐκεῖνο δὲ ἔτι προσθεῖναι τῷ νόμῳ δίκαιον ᾠήθημεν. εἰ γὰρ τελευτήσειεν ἢ ἀνὴρ ἢ γυνὴ παῖδας ἔχοντες ἔκ τε τῶν προτέρων ἔκ τε τῶν δευτέρων γάμων, οὓς μετὰ τόνδε ἡμῶν συναλλάξαιεν τὸν νόμον (ἐπὶ γὰρ δὴ τούτων τὰ παρόντα διατάττομεν), τὰ μὲν ὅσα ἐπὶ τοῖς κέρδεσι τοῖς ἐκ τῶν γάμων παραφυλάττεσθαι χρὴ ταῦτα ἐνομοθετήσαμεν, καὶ πρός γε διεκρίναμεν τὰς μοίρας, ἃς ἀνάγκη τοὺς γονέας τοῖς γνησίοις καὶ μὴ ἀχαρίστοις καταλιμπάνειν παισίν, αὐτοὺς δὲ δὴ τοὺς φύσαντας οὐ δίκαιον ἂν εἴη πρὸς τὴν δευτέραν ὅλως ἀποκλίναι γονήν, καὶ τὸ ἐκ τοῦ νόμου μόνον καταλιπόντας τοῖς προτέροις μέρος τἆλλα πάντα ἐπὶ τοὺς δευτέρους ἀγαγεῖν, ἀλλά καί τι καὶ τοῖς προτέροις προσθεῖναι. εἰ μὲν γάρ τινα ἐκ τῶν δευτέρων ἔχοιεν γάμων ἢ καὶ τῶν

πρώτων τυχὸν οὕτω περισπούδαστον οὕτως ἀγαπώμενον, ὥστε βούλεσθαι ὑπερφέρειν αὐτὸν τοὺς ἄλλους ἐν τῇ κτήσει[104b]), *δίδομεν ἄδειαν τοῦτο πράττειν, μὴ μὴν καθάπαξ τοὺς μὲν προτέρους παῖδας ἐλαττοῦν τοὺς δευτέρους δὲ αὔξειν, ἀλλὰ μηδὲ ἐν σφόδρα μεγάλῳ ποιεῖσθαι τὴν παραύξησιν, μηδὲ καθάπαξ ἐπιλελῆσθαι τῶν ἔμπροσθεν γάμων μηδὲ βεβαιοῦν*[105]) *τὰ τοῖς πρὸ ἡμῶν περὶ τῶν τοιούτων εἰρημένα, ἀλλὰ προνοεῖν μὲν καὶ τῶν δευτέρων προνοεῖν δὲ καὶ τῶν πρώτων, ἐνθυμουμένους ὅτι παῖδες ἄμφω καθεστᾶσι καὶ οὕτω ποιουμένους τὴν τῶν διαδοχῶν ἐν ταῖς διαθήκαις διαίρεσιν. εἰ γὰρ ἀδιαθέτων αὐτῶν τελευτώντων ὁ νόμος ἅπαντας ἐξ ἴσου καλεῖ, προσῆκόν ἐστιν αὐτοὺς μιμουμένους τὸν νόμον μὴ σφόδρα μεγάλαις αὐτοὺς συστέλλειν ταῖς ἐλαττώσεσιν αἰδουμένους τὸν νόμον· οὕτω γὰρ ἔσονται πατέρες ἀγαθοὶ καὶ τῆς ἡμετέρας ἄξιοι νομοθεσίας· καὶ δίκαιοι μὲν ἔσονται μόνον τὸν νόμον φυλάττοντες, εἰ δέ τι καὶ ὑπὲρ τὸν νόμον καταλίποιεν, ἔσονται δικαιοί τε ἅμα καὶ φιλάνθρωποι πατέρες. καὶ οὐ ταῦτά φαμεν μεταξὺ ἀχαρίστων τε καὶ τῶν εὐχαριστουμένων παίδων (τὰ γὰρ περὶ τῶν ἀχαρίστων ἤδη πολλάκις εἴρηται), ἀλλὰ περὶ τῶν μᾶλλον ἢ ἧττον ἀγαπωμένων, ὡς πολὺ τὸ διάφορον ἐστὶν ἀχαριστίας τε καὶ εὐχαριστίας καὶ τῆς οὐχ ὁμοίας τιμῆς. τοῦτο δὲ δὴ τὸ μέρος τὸ περὶ τῆς ἰσότητος τῶν παίδων τῶν ἐκ πρώτου καὶ δευτέρου συνοικεσίου γινομένων συμβουλεύοντες μᾶλλον ἢ νομοθετοῦντές φαμεν, ἐπείτοιγε ἅπαξ αὐξήσαντες τὴν ἐξ ἀδιαθέτου*[106]) *μοῖραν τὴν πάντως τοῖς παισὶ καταλειφθησομένην, καὶ ἄχρι μὲν τεσσάρων παίδων τετραούγκιον πάντως ὁρίσαντες, εἰ δὲ ὑπὲρ τοὺς τέσσαρας ἄχρι τοῦ ἡμίσεως τῆς οὐσίας πάσης μέρους, ἱκανὴν ἤδη δεδώκαμεν τοῖς παισὶ*

104b) *κλήσει?* 105) Firmatur haec lectio Authentico, si Heimbachium sequaris. quamquam vulgo ibi est: infirmare, unde in graeco fuisse *ἀβεβαιοῦν* putavit Agylaeus. 106) Hal. *ἐκ διαθήκης*. — Indicatur const. XVI.

παραμυθίαν, οὐκ ὀλίγῳ μέτρῳ τὴν παλαιὰν αὐτοῖς στενοχωρίαν λύσαντες. [§. 1.] ἔστω τοίνυν ὁ παρὼν νόμος τῷ μέλλοντι χρόνῳ νομοθετῶν καθὰ πολλάκις εἰπόντες ἔφθημεν, καὶ οὐδὲν τῶν ἔμπροσθεν προσαπτόμενος, ἀλλὰ συνειλεγμένος πανταχόθεν καὶ συνεσπειραμένος ὑπὸ μίαν συνέχειαν καὶ ἅπαντα σχεδὸν τὰ περὶ δευτέρων ἀπαγγέλλων γάμων, καὶ τὰ μὲν πρότερα τοῖς ἔμπροσθεν ἐπὶ τῆς ἑαυτῶν φυλάττων ἰσχύος, τὰ δὲ παρ' αὐτοῦ διαταττόμενα τοῖς ἐσομένοις δευτέροις εἰσηγούμενος γάμοις, καὶ νέαν τινὰ πανταχόθεν καὶ ἀπηκριβωμένην εἰσάγων τοῖς ζητοῦσιν ὠφέλειαν· πασῶν τῶν ἐπὶ τοῖς τοιούτοις κειμένων διατάξεων ἐπὶ τοῖς ἐσομένοις μετὰ τόνδε ἡμῶν τὸν νόμον γάμοις καὶ τοῖς ἐξ αὐτῶν συμβαίνουσι σχολαζουσῶν, ταύτης δὴ τῆς μιᾶς διατάξεως τῷ μέλλοντι χρόνῳ κατὰ τὸ παρ' ἡμῶν διωρισμένον ἐπὶ τοῖς περιεχομένοις αὐτῇ θέμασιν ἀντὶ πασῶν ἀρκούσης.

Ταῦτα τοίνυν ἡ σὴ ὑπεροχὴ πᾶσι τοῖς ἔθνεσι τοῖς ὑπὸ τὴν σὴν τελοῦσιν ἀρχὴν τῷ συνήθει τρόπῳ φανερὰ γενέσθαι προσταξάτω, ὥστε ἅπαντας γινώσκοντας ὡς μείζονα πόνον ὑποστάντες ἢ ὅσον ἐχρῆν τὸν βασιλικαῖς περιῤῥεόμενον φροντίσιν, ὅμως οὐδὲν ἔμπροσθεν τῆς αὐτῶν ἐποιησάμεθα σωτηρίας, ὡς μὴ πολλαχόθεν ἐρανίζεσθαι τὸ δίκαιον ἀλλ' ἅπαν ὁρῶντας εἰς ἓν ἠθροισμένον τὸ περὶ τούτου τῆς νομοθεσίας μέρος γινώσκειν, ὡς καὶ τὸ πρότερον τοῖς ἤδη τεθεῖσιν ἐφυλάξαμεν νόμιμον[107]), καὶ τῷ μέλλοντι χρόνῳ τὴν προσήκουσαν ἐπιτεθείκαμεν ἁρμονίαν.

Ἐγράφη τὸ ἰσότυπον Πατρικίῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς εὐδαίμονος ταύτης πόλεως. ἐγράφη τὸ ἰσότυπον Βασιλίδῃ τῷ ἐνδοξοτάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων ἀπὸ ἐπάρχων ὑπάτῳ[108]) καὶ πατρικίῳ. ἐγράφη τὸ ἰσότυπον Στρα-

107) Hal. νόμοις. 108) Hal. ἀπὸ ὑπάτων. forte ὑπατικῷ. Basilides nominatur in c. Haec quae necessario et c. Summa reipublicae, denique in subscriptione const. XCIX et in-

τηγίῳ τῷ ἐνδοξοτάτῳ κόμητι τῶν θείων largitionων ἀπὸ ὑπάτων καὶ πατρικίῳ.[109]) ἐγράφη τὸ ἰσότυπον Τριβουνιανῷ τῷ ἐνδοξοτάτῳ κοιαίστωρι τὸ δεύτερον καὶ ἀπὸ ὑπάτων. Legi.[110]) ἐγράφη τὸ ἰσότυπον Γερμανῷ τῷ ἐνδοξοτάτῳ στρατηγῷ τοῦ θείου πραισέντου ἀπὸ ὑπάτων καὶ πατρικίῳ. Legi. ἐγράφη τὸ ἰσότυπον Τζίττᾳ[111]) τῷ ἐνδοξοτάτῳ στρατηγῷ τοῦ θείου πραισέντου ἀπὸ ὑπάτων καὶ πατρικίῳ. Legi. ἐγράφη τὸ ἰσότυπον Μαξεντιανῷ τῷ ἐνδοξοτάτῳ στρατηγῷ τοῦ θείου πραισέντου καὶ ἀπὸ ὑπάτων. Legi. ἐγράφη τὸ ἰσότυπον Φλώρῳ τῷ ἐνδοξοτάτῳ κόμητι τῶν θείων πριβάτων καὶ ἀπὸ ὑπάτων. Legi. ἡ[112]) τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν γινώσκουσα ἐν τῷ δικαστηρίῳ τῷ σῷ φανερὰ καταστησάτω τοῖς τε συνηγόροις, τοῖς τε ἄλλοις ὧν ἄρχει[113]), ὥστε κατὰ ταῦτα[114]) τέμνεσθαι τὰς ὑποθέσεις. οὐ μὴν προθήσεις δημοσίᾳ τήνδε ἡμῶν τὴν θείαν διάταξιν, ἀρκούντων τῶν περὶ τούτου παρ' ἡμῶν γεγραμμένων πρὸς τοὺς ἐνδοξοτάτους ὑπάρχους τῶν ἱερῶν ἡμῶν πραιτωρίων.

Νόμος γραφεὶς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ. Dat. XV. Kal. April. CP. post Belisarii V. C. cons.

scriptione const. CVII. neque tamen his locis dignitas ὑπάτου vel ὑπατικοῦ vel ἀπὸ ὑπάτων commemoratur. 109) Deest hoc comma apud Hal. 110) Verbum Legi hic et in seqq. omittit Hal. 111) Hal. Τζίγᾳ. Zita in Cod. I, 29, 5. sed Procop. de bello Pers. I, 12. 15. 21 et II, 3 Σίττας, de aedif. c. 6 Τζίτας scribit. 112) Haec allocutio ad omnes pertinet dignitates hactenus nominatas, dum illa quae supra epilogi loco posita est, exemplari ad Ioannem PP. directo adiecta fuit. 113) ἄρχεις? 114) Verba ταῦτα — δημοσίᾳ apud Hal. desunt, item mox illa: τοὺς ἐνδ' ὑπ. τ. ἱ. ἡ. πρ. Νόμος γραφείς.

Nov. 136.

XLIX.

Basil. XXIII, 4. — Summas praestant Iulian. c. 118, Athan. XV, 3, Theod. Nov. 136, denique incertus epitomator in Ἀνεκδ. meis p. 221.

Περὶ ἀργυροπρατικῶν συναλλαγμάτων.

[Ὁ αὐτὸς βασιλεὺς Στρατηγίῳ κόμητι λαργιτιόνων.][1])

Οἱ ἐκ τοῦ συστήματος τῶν ἀργυροπρατῶν τῆς εὐδαίμονος ταύτης πόλεως ἱκέται γεγονότες τοῦ ἡμετέρου κράτους περὶ πολλῶν ἡμᾶς ᾔτησαν κεφαλαίων βοηθείας αἰτοῦντες τυχεῖν, οἷα καὶ αὐτοὶ πολλοῖς ἑαυτοὺς παρεχόμενοι χρησίμους, ἐξ ὧν ἀντιφωνήσεις καὶ δανείσματα ὑπέρχονται παντὸς κινδύνου μεστά. θείας γὰρ ἡμῶν οὔσης διατάξεως[2]) *τῆς βουλομένης κατὰ τάξιν γίνεσθαι τὰς ἀπαιτήσεις, καὶ πρῶτον μὲν τοὺς ὑπευθύνους εὐθύνεσθαι καὶ τὰ αὐτῶν πράγματα, ὕστερον δὲ ἐγγυητὰς καὶ μανδάτωρας καὶ ἀντιφωνητάς, ἐξηρῆσθαι δὲ ταύτης τῆς νομοθεσίας τὸ κατ᾽ αὐτοὺς σύστημα, καὶ πάσχειν τὰ πάντων δεινότατα, εἰ μέλλοιεν αὐτοὶ μὲν μὴ δύνασθαι χρῆσθαι τῇ τῆς διατάξεως βοηθείᾳ ἀλλ᾽ εὐθὺς ἀπαιτεῖσθαι, εἰ δὲ ἀντιφωνήσεις παρ᾽ ἑτέρων λάβοιεν, μὴ ποιεῖν αὐτοῖς τὸ ἱκανὸν τοὺς ἀντιφωνήσαντας ἢ τοὺς τούτων μανδάτωρας ἢ ἐγγυητάς, καὶ προσήκειν καὶ αὐτοῖς ἢ μετεῖναι τῶν κοινῶν νόμων ἢ μηδὲ αὐτοῖς ἀντικεῖσθαι τὴν ἡμετέραν διάταξιν.*

α΄. Θεσπίζομεν τοίνυν, ἡνίκα τινὲς τῶν ἀργύρου τραπέζης προεστώτων δανείσειάν τινι, καὶ ἢ ἀντιφώνησιν λάβοιεν ἢ ἐγγυητὰς ἢ μανδάτωρας, ἀντιτίθοιτο δὲ αὐτοῖς ἡ

1) Ven. et Hal. inscriptionem non habent: supplevi ex Athanasio. Strategius comes S. Largit. argentariis specialis iudex datus fuisse videtur, ut mox Tribonianus quaestor (c. LVIII) et postea Petrus comes S. L (c. CXXXVII). — Cod. Ven. post rubricam haec habet: *ὁμοίως βι. βασιλ. ιβ΄ τοῦ κώδ. τί. λα΄* (forte *λδ΄*) *διατ. α΄.* 2) Const. XI.

διάταξις καὶ ἡ ἐξ ἐκείνης εἰσαγομένη τάξις, τότε κρατεῖν καὶ ἐπ' αὐτῶν τὴν διάταξιν, εἰ μὴ σύμφωνον ἰδικὸν ποιήσοιντο, ὥστε ἄδειαν εἶναι τῷ δανείσαντι χωρεῖν καὶ κατὰ τοῦ πρωτοτύπου καὶ μανδάτωρος καὶ τοῦ ἐγγυητοῦ μὴ ἀναμένοντι τοὺς τῆς διατάξεως βαθμούς. διὰ γὰρ τὴν τῶν ἀργυροπρατῶν περὶ τὰ κοινὰ συμβόλαια σπουδὴν τὰ τοιαῦτα προσιέμεθα σύμφωνα, οὐ δοκοῦντα παρὰ τὸν νόμον εἶναι, διότι ἔξεστιν ἑκάστῳ τῶν δεδομένων αὐτῷ παρὰ τοῦ νόμου καταφρονεῖν. ἀλλ' εἴ τι γένοιτο τοιοῦτο σύμφωνον, ἐξέστω αὐτοῖς καὶ κατὰ τοῦ πρωτοτύπου καὶ μανδάτωρος καὶ κατὰ τοῦ ἐγγυητοῦ[3]) καὶ κατὰ τῶν ἄλλων προσώπων χωρεῖν· ὥστε εἰ μὲν μὴ γέγραπται σύμφωνον, πάντως κρατεῖν καὶ ἐπ' αὐτοῖς τὴν διάταξιν, εἰ δὲ γέγραπται τὸ σύμφωνον, εἶναι τὸ κανονίζον τὸ συνάλλαγμα κἀκεῖθεν τὰς εἰσπράξεις ἐπάγεσθαι.

β'. Δεύτερον αὐτοῖς κεφάλαιον εἶναι τὸ τῆς ἄλλης ἐξαιρέσεως, ἣν πρώην ἐποιήσαμεν[4]), ἡνίκα τὶς προεστὼς ἀργύρου τραπέζης στρατεύοιτο ἢ τοὺς οἰκείους παῖδας στρατεύσειεν, ὥστε μὴ δύνασθαι ἀποχρῆσθαι τοὺς στρατευομένους αὐτῶν παῖδας, ὡς μὴ ἐκ πατρῴων στρατευσαμένους χρημάτων ἢ[5]) ἑτέρωθεν αὐτοῖς πεπορισμένων ἀλλ' ἐκ τῶν δανεισάντων. καὶ ᾔτησαν καὶ αὐτοί, ἢ μηδὲ ἐπ' αὐτοῖς χώραν ἔχειν τὴν τοιαύτην πρόληψιν ἢ καὶ αὐτοῖς τὰ αὐτὰ ὑπάρξαι, ὥστε εἴ τις δανεισάμενος παρ' αὐτῶν στρατεύοιτο ἢ καὶ αὐτοῦ παῖδες, καὶ μὴ δυνηθείη ἑτέρωθεν λῦσαι τὸ ὄφλημα, καὶ ἐκ διαπράσεως τῆς αὐτοῦ ἢ τῆς τῶν παίδων στρατείας τὸ ἱκανὸν αὐτοῖς γίνεσθαι. ἡμεῖς τοίνυν οὔτε ἁπλῶς τὸν νόμον τεθείκαμεν

3) Bas. καὶ κατὰ πρώτου τοῦ μανδ. καὶ κατὰ τοῦ ἐγγ. Ven. καὶ κατὰ τοῦ πρώτου μανδάτωρος καὶ κατὰ τοῦ πρώτου ἐγγ. Theod. κατὰ τοῦ ἐγγυητοῦ πρῶτον. 4) l. 27 C. de pignor. 8, 13. 5) Bas. ἀλλ' οἰκείων ἢ. omnino legendum ἀλλ' οἰκείων ἑτέρωθεν — ἀλλ' οὐκ ἐκ τῶν δαν. non enim aliter ratio procedit, nisi verbum ἀποχρῆσθαι (quod anteriores interpretes fecerunt) insolita significatione accipere malueris.

ἀλλὰ μετὰ τῆς προσηκούσης παρατηρήσεως, οὔτε ἀνατρέπειν αὐτὸν ῥᾳδίως ὑπομένομεν, ἀλλὰ θεσπίζομεν, κρατούσης τῆς θείας διατάξεως καὶ τῆς προλήψεως ταύτης τῆς κατ' αὐτῶν φερομένης κατὰ τὴν θείαν διάταξιν οὐκ ἀνῃρημένης,[6]) διότι δοκοῦσι πολλοὶ συμβάλλοντες οὐκ ἐξ οἰκείων ἅπαντα πράττειν χρημάτων, ἔχειν καὶ αὐτοὺς τὴν αὐτὴν προνομίαν, ὥστε εἴ τις στρατεύοιτο ἢ οἱ αὐτοῦ παῖδες, τὴν μὲν αὐτοῦ στρατείαν ὑποκεῖσθαι πάντως εἴ γε τῶν πιπρασκομένων εἴη, ὁμοίως δὲ δὴ καὶ τὴν τῶν παίδων, πλὴν εἰ μὴ δειχθείη καὶ προφανέστατα παρ' αὐτῶν, ὡς ἢ ἐκ μητρῴας τῶν παίδων οὐσίας ἢ ἐκ βασιλικῆς φιλοτιμίας ἡ στρατεία περιγέγονεν αὐτοῖς. εἰ γὰρ οὐκ ἔχοιεν λύσιν ἑτέραν τοῦ ὀφλήματος, τηνικαῦτα ἐκ τῆς στρατείας τῶν παίδων τὸ ἱκανὸν γίνεσθαι τοῖς ἀργύρου προεστῶσι τραπέζης, ἐφ' ὧν δὴ τοῦτον τίθεμεν τὸν νόμον ἀντιτιθέντες τοῦτο τῇ παρὰ τῆς διατάξεως προλήψει. καὶ ὥσπερ ἐκείνη τὴν εἰρημένην πρόληψιν κατ' αὐτῶν ἐποιήσατο, οὕτω καὶ ἡμεῖς τὴν ἀντίθετον αὐτῆς θεραπείαν διδόντες μόνοις τοῖς τοῦ εἰρημένου συστήματος φιλοτιμούμεθα διὰ τὸ κοινὸν τῆς αὐτῶν λυσιτελείας, ἣν παρέχονται τοῖς συναλλάγμασι πολλοῖς ὁμιλοῦντες κινδύνοις ἵνα τὰς ἑτέρων θεραπεύσαιεν χρείας.

γ'. Κἀκεῖνο μέντοι οὐκ ἄπο τρόπου λέγειν ἔδοξαν, ὡς εἰ δανείσειάν τινι ἢ καὶ φθάσαντες ἐδάνεισαν εἰς ἀγορασίαν πραγμάτων τινῶν κινητῶν ἢ ἀκινήτων, καὶ ῥητὸν χρυσίον δοῖεν καὶ ἐκ τῶν δανεισθέντων χρημάτων κτηθείη τὸ πρᾶγμα, πάντων αὐτοὺς ἐπὶ τῷ αὐτῷ πράγματι κυριώτερα ἔχειν δίκαια, καὶ μὴ πειρᾶσθαι μηδεμιᾶς διαστροφῆς[7]), ἀλλ' εἴπερ ἀποδείξαιεν ὅλως ἐκ τῶν χρημάτων αὐτῶν τοῦτο[8]) κτηθὲν καὶ μὴ δύναιντο τὸ ἱκανὸν διὰ χρημάτων ποιῆσαι αὐτοῖς οἱ δανεισάμενοι, αὐτὸ τὸ πρᾶγμα τὸ ἐκ τῶν χρημάτων αὐτῶν ὠνηθὲν προσκυροῦσθαι αὐτοῖς, ὡσανεὶ ταῖς μὲν ἀλη-

6) Ven. ἀνῃρημένας. 7) Ven. τροφῆς. 8) Ven. τὸ.

θείαις παρ' αὐτῶν ἀγορασθὲν, ψιλῆς δὲ προσηγορίας ἐντεθείσης τῆς τοῦ ἐωνημένου. οὐδὲ γὰρ δίκαιόν ἐστι τοὺς τὰ οἰκεῖα χρήματα προϊεμένους μὴ καὶ πρώτην καὶ ἀναμφισβήτητον τάξιν ἐπὶ τοῖς ὠνηθεῖσι πράγμασιν ἔχειν, μόνον εἴπερ ὑποθήκης γένοιτο ἐν τοῖς ἐγγράφοις συναλλάγμασι μνήμη. τοῦτο γὰρ εἰ παραφυλάξαιεν, ἅπαν ἔχουσιν ὅσον ἡμᾶς ᾔτησαν, μᾶλλον δὲ ἔτι μεῖζον καὶ τῶν αἰτηθέντων, εἴ γε τιμιώτερα δίδομεν αὐτοῖς ἁπάντων δίκαια ἐπὶ τοῖς πράγμασι τοῖς δεικνυμένοις ἐκ τῶν χρημάτων αὐτῶν ἐωνῆσθαι. εἰ μέντοι ἄγραφον γέγονεν ἢ γένοιτο τὸ συνάλλαγμα, καὶ αὐτοὶ δοῖεν τὰ χρήματα ἢ εἴδη τινὰ (ὅπερ μάλιστα εἴωθεν ἐπὶ τῶν προεστώτων τραπέζης ἀργύρου γίνεσθαι, κόσμου πολλάκις ἢ ἀργύρου ἐπὶ τῶν τοιούτων διδομένου ἢ καὶ πιπρασκομένου) μὴ μέντοι τὸ τίμημα λάβοιεν, τηνικαῦτα ἐξεῖναι αὐτοῖς ὡς οἰκεῖα ταῦτα ἐκδικεῖν, κἂν ὑποθήκας οὐκ ἔχοιεν. οὐ γὰρ ἐκεῖνοι κτήσοιντο τὰ ἀλλότρια, χρυσίον μὲν οὐ καταβάλλοντες, τὰ παρ' ἑτέρων δὲ αὐτοῖς δεδομένα κατέχοντες μάτην, ἀλλ' εἴτε κληρονομοῖντο οἱ αὐτῶν κληρονόμοι ἢ ἀποδώσουσι τὰ ὑπὲρ αὐτῶν ἢ αὐτὰ τὰ δεδομένα, ἢ κἂν εἰ μὴ κληρονομηθεῖεν, ἐξέσται αὐτοῖς ταῦτα ἐκδικεῖν, μηδεμιᾶς ὑποθήκης κατ' αὐτῶν ἐπὶ τοῖς αὐτῶν πράγμασι παρ' ἄλλων προσγινομένοις[9]) κρατούσης.

δ'. Ἐπειδὴ δὲ νόμον ἐθέμεθα, μὴ περαιτέρω τοὺς ἀργύρου τραπέζης προεστῶτας διμοιραίου τόκου δανείζειν, ἐδίδαξαν δὲ, ὅτι καὶ ἀγράφως δανείζουσιν, ἀγνωμονοῦνται δὲ περὶ τὸν τόκον ὡς μὴ ἐγγράφου γενομένου τοῦ δανείσματος μηδὲ ἐπερωτήσεως παρεντεθείσης (τοῦτο δὴ τὸ δημῶδες τὸ μὴ προσήκειν ἀνεπερώτητον τρέχειν τόκον, καίτοι γε πολλῶν ὄντων θεμάτων ἐφ' ὧν καὶ ἀνεπερώτητοι τόκοι καὶ ἐκ συμφώνου μόνου τίκτονται, ἔστι δὲ ὅτε οὔτε ἐκ συμφώνων ἀλλ' αὐτομάτως εἰσαγόμενοι ὅμως ἀπαιτοῦνται), διὰ[10])

9) Ven. προσγινομένης. 10) Ven. καὶ διὰ.

τοῦτο θεσπίζομεν, μὴ μόνον τὸν ἐξ ἐπερωτήσεως αὐτοῖς δίδοσθαι τόκον, ἀλλὰ καὶ τὸν ἐξ ἀγράφου τοιοῦτον ὁποῖον ὁ νόμος αὐτοῖς δίδωσιν ἐπερωτᾶν, τουτέστι τὸν ἐκ διμοίρου τῆς ἑκατοστῆς. τοὺς γὰρ πᾶσι σχεδὸν τοῖς δεομένοις ἑτοίμους ὄντας βοηθεῖν οὐκ ἂν εἴη δίκαιον ὑπὸ τοιαύτης ἀδικεῖσθαι λεπτότητος.

ε'. Καὶ τοῦτο δὲ ἡμᾶς ἐδίδαξαν, ὥς τινες συναλλάττοντες πρὸς αὐτοὺς γραμματεῖα καὶ λογοθέσια ποιοῦνται, καὶ τὰ μὲν ἐπ' ἀγορᾶς τίθενται, τὰ δὲ αὐτοὶ συγγράφουσι τῇ οἰκείᾳ χειρὶ, τισὶ δὲ ὑπογράφουσιν ἑτέρων ταῦτα καταγραψάντων, καὶ ᾔτησαν, ὥστε εἴ τι τοιοῦτο γράψοιεν οἱ πρὸς αὐτοὺς συναλλάττοντες, ἐνέχεσθαι αὐτοὺς καὶ τὸ ἱκανὸν αὐτοῖς παρ' αὐτῶν γίνεσθαι, καὶ μὴ ἀποκεχρῆσθαι[11]) καὶ λέγειν, ὡς τὰ μὲν συμβόλαια ἢ τὰς ὁμολογίας ἢ τὰ λογοθέσια ἅπαντα συνέγραψαν τῇ αὐτῶν χειρὶ ἢ ἑτέρων γραψάντων τούτοις ὑπεσημήναντο, οὐ μὴν τὸ περιεχόμενον αὐτοῖς χρυσίον δέδοται, ὥστε ἐντεῦθεν ὑποθήκας ἔχειν καὶ τόκον κἂν εἰ μὴ γέγραπται διμοιραῖον λαμβάνειν. ἡμεῖς τοίνυν, ἐπειδὴ τὰ τοιαῦτα κοινὰ καθέστηκε καὶ πολλῆς τῆς ἐπισκέψεως δεόμενα, μετὰ τοῦ προσήκοντος ἀποκρινόμεθα πρὸς ταῦτα. εἰ μὲν γάρ τις συμβόλαιον ἀγοραῖον ποιήσειε ἢ[12]) ὅλον οἰκείᾳ γράψειε χειρὶ, ἢ καὶ ὑπογράψειεν ἐν τοῖς παρ' ἑτέρων γραφεῖσιν ἢ γραμματείοις ἢ λογοθεσίοις, ἐνέχεσθαι αὐτὸν καὶ κληρονόμους αὐτοῦ πᾶσι προσήκειν θεσπίζομεν τρόποις, δηλαδὴ ταῖς περσοναλίαις· οὐ γὰρ ἂν[13]) προχείρως δοίημεν ὑποθήκην τοῖς τοῦτο μὴ συμφωνήσασι, πλὴν εἰ μὴ δειχθείη ἐν τοῖς γράμμασιν ὅλως ὑπαρχόντων μνήμη γενομένη, ἢ[14]) ὑπόθοιντο τὰ ἑαυτῶν ἢ τοῦτο γοῦν τὸ ἁπλοῦν προσθεῖεν κινδύνῳ τῶν ὑπαρχόντων αὐτοῖς ἢ ὅλως τὶ φθέγξωνται ἢ γράψαιεν τοιοῦτον, ὁποῖον εἰς ὑποθήκης

11) Hal. ἀποχρῆσθαι. 12) Ven. καί. 13) Ven. ἄν omittit. 14) Legerim καὶ ἤ.

ἔννοιαν φέρει. τότε γὰρ καὶ τὴν ὑποθήκην αὐτοῖς παρέχομεν, ὡς μήτε τὴν καθόλου φύσιν τῶν νόμων τῶν ἡμετέρων συνταράξαι, μήτε αὐτοὺς ἀποστερῆσαι τῆς δυνατῆς βοηθείας. [§. 1.] τόκον δὲ εἰ μὲν ῥητὸν συμφωνήσαιεν, τὸν συμπεφωνημένον εἶναι. εἰ δὲ τοῦτο μόνον γέγραπται, ὡς ἐπὶ τόκῳ τὸ δάνεισμα συνέστη, μὴ δύνασθαι τοὺς συμβάλλοντας λέγειν, ὡς ἐπειδὴ οὐχ ὥρισται τόκος, διὰ τοῦτο ἄτοκόν ἐστι τὸ χρυσίον[15]), ἀλλὰ κατὰ πρόληψιν[16]) ὡς τοῦ διμοιραίου τόκου ῥητῶς ὀνομασθέντος οὕτως τὴν εἴσπραξιν γίνεσθαι. καὶ τοῦτο μὲν τοῦ λοιποῦ παραφυλάττεσθαι. ἐπὶ[17]) δὲ τοῖς ἤδη γενομένοις λογοθεσίοις, εἰ καὶ μὴ[18]) μνήμη γέγονε τόκου (ἐπειδὴ πρόδηλόν ἐστιν[19]) ἐπὶ παντὸς ἀργύρου τραπέζης προεστῶτος ἐπὶ τόκοις συμβάλλειν, καὶ αὐτὸς τόκους τελῶν οὐκ ἂν δύναιτο τόκου χωρὶς δαπάνην διδόναι), ἐξεῖναι τὸν τόκον αὐτοῖς τὸν διμοιραῖον ἀπαιτεῖν, τοῦ μέντοι λοιποῦ ταῦτα παρατηρουμένοις ἅπερ ὁ παρὼν θεῖος νόμος δίδωσιν αὐτοῖς.

ϛ'. Εἰς ἐκεῖνο μέντοι καὶ σφόδρα αὐτοῖς βοηθοῦμεν, ὥστε εἰ λογοθέσια προφέροιτο ἔχοντα ῥητῶς ἑκάστην αἰτίαν ἐγγεγραμμένην εἰς ἣν δέδοται τὸ χρυσίον, ὁ δὲ ὑπογράψειεν ἐν τοῖς αὐτοῖς λογοθεσίοις, εἰ καὶ ἑκάστην αὐτοῖς[19a]) οἰκείᾳ χειρὶ τὴν αἰτίαν οὐ γράψειεν, ἢ καὶ ὁμολογίαν τινὰ ὑπὲρ τούτου ποιήσοιτο εἴτε ἐν δανείσματος σχήματι εἴτε ἐν διαλύσεως εἴτε καὶ ἄλλως, μηκέτι δύνασθαι τὸν τοῦτο πράξαντα τῶν κατὰ μέρος αἰτιῶν ἀπαιτεῖν τὰς ἀποδείξεις, πλὴν εἰ μὴ κατὰ περιουσίαν ὅρκον ἐπαγαγεῖν βούλοιτο ἢ αὐτῷ ἢ κληρονόμοις τοῦ δανείσαντος. τοῦτο γὰρ μόνον αὐτῷ παρέχομεν, εἴσω μέντοι τῶν τῇ ἀναργυρίᾳ παρεχομένων χρόνων. εἰ γὰρ καὶ αὐτὸς φθάσοι παρελθεῖν ὁ χρόνος, οὐδὲ ὅρκῳ βαρύνομεν αὐτούς, τοῦτο ὅπερ καὶ ἐν τοῖς καθόλου νό-

15) Hal. τὸ χρέος. 16) Ven. πρόσλ. 17) Ven. ἐπεί. 18) Ven. negationem omittit. 19) Ven. ὡς ἐπί. 19a) ἐν αὐτοῖς?

μοις[20]) *ἐγράψαμεν. καίτοι γε οὐδὲ τοῦτο ἐχρῆν· τὸν γὰρ οἰκείᾳ χειρὶ γράψαντα ἢ καὶ δόντα λογοθέσιον, ποῦ δίκαιον ἦν οὕτως ἐκμελῆ καθεστάναι καὶ νομίζειν, ὡς τὰ μὴ δεδομένα γράφειν;*

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα τύπου ἥ τε σὴ ἐνδοξότης καὶ πᾶς ἕτερος τῆς ἡμετέρας πολιτείας ἄρχων ἀκέραια φυλάττειν εἰς τὸ διηνεκὲς σπευσάτω, ποινῆς librarum auri decem[21]) *ἐπικειμένης κατὰ τῶν ταῦτα παραβαινόντων ἢ παραβαίνεσθαι συγχωρούντων.* D. K. Apr. CP. post Bilisar. v. c. cons.[22])

20) l. 14 §. 3 C. de non num. pec. 4, 30. 21) Ven. addit *ἤτοι χρυσίου ι' λιτρῶν.* 22) De subscriptione huius constitutionis sic habe: Ven. (a quo Scr. plane recedit) D. K. April. CP. PP. Bilisar. v. c. cons. — Athan. *ἐγράφη καλάνδων ἀπρ. ὑπατείας βελισαρίου* — e Iuliani Codicibus unus (reliqui subscriptionem omittunt) Dt. K. april. ppo Basil. anno. (quod apud Theod. in fine legitur *διάταξις τοῦ μηνὸς μαρτίου μετὰ τὴν ὑπατείαν βασιλείου τὸ ις'*, fortasse indicat const. CXXXVII, quae sane in c. 7 §. 1 de iureiurando agit, et data est Kal. Mart. imperii anno XV p. c. Basilii.) si Athanasium sequaris, constitutio Belisario v. c. cons. (535) data est. in Veneto „PP" legendum videtur „post", ut proinde constitutio anno 536 vindicanda sit, quo anno Strategius comes S. L. in fine const. XLVIII occurrit. hunc annum si praetuleris forte emendandum erit XV Kal. Apr. utpote qua die tot aliae constitutiones datae sint.

Auth. 42. L. Nov. 39

Basil. XXVIII, 15, 1 cum schol. — Summas praestant Iulian. c. 37, Athan. IX, 3, Theod. Nov. 39, — cap. 2 *Αἱ ῥοπαὶ* 23, 1 et Ecl. ad Proch. mut. 8, 21.

Περὶ ἀποκαταστάσεως προικιμαίων καὶ προγαμιαίων πραγμάτων[1]) *καὶ περὶ τῆς τεκούσης τῷ ἑνδεκάτῳ μηνὶ μετὰ τὴν τοῦ ἀνδρὸς τελευτήν.*

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Τὸ ῥευστὸν καὶ πεποικιλμένον τῆς ἀνθρωπίνης φύσεως καὶ τῆς κατὰ μικρὸν δεόμενον[2]) *θεραπείας οὐκ ἂν ἄλλως εἰς τὸ καλῶς ἔχον ἐπανέλθοι, κἂν εἰ τὰς πρώτας τις αὐτοῦ κυβερνήσειεν ἀρχάς, εἰ μὴ καὶ τὸ κατὰ μέρος αὐτοῦ ἐπανιστάμενον διαλύων οὕτως αὐτὸ καθιστῴη πρὸς τὸ γαληνόν τε καὶ ἀτάραχον καὶ νόμῳ πρέπον. ὁποῖον δή τι καὶ νῦν ἐπελθὸν εἰς νόμου χρείαν ἡμᾶς κατέστησεν. ἴσμεν γάρ, ὡς καὶ πρῴην ἐστασιάζετο τὰ περὶ τῶν ἀποκαταστάσεων, καὶ εἰ συνέβη τινὰς ὑποθήκας ὑποθέσθαι τοὺς βαρυνομένους, πολλῆς τὸ πρᾶγμα ταραχῆς ἦν, εἴτε δέοι καὶ τὰ ἀποκαταστῆναι κελευσθέντα πράγματα κινδυνεύειν, εἴτε μόνα τὰ τοῦ βεβαρημένου τῇ ἀποκαταστάσει· καὶ πολλή τις ἦν καὶ περὶ αὐτὴν τὴν τῶν ῥημάτων διαφορὰν ζήτησις, εἴτε ὁ τελευτῶν διατάξοιτο*[3]) *τὰ περιττεύοντα πρὸς τῇ τελευτῇ τοῦ βεβαρημένου τῇ ἀποκαταστάσει πράγματα δεῖν ἀποκαταστῆναι, εἴτε καὶ ἁπλῶς ἀποκαταστῆναι τὸ καταλειφθὲν μετὰ τὴν παρακατάσχεσιν τοῦ νομίμου μέρους κελεύσειε· καὶ εἰσήγοντο καὶ*

1) Verba *προικ. καὶ προγ. πραγμ.* nonnulli temere putaverunt delenda esse. 2) Ven. *τοῖς κ. μ. δεόμενα.* 3) Hal. *διατάξαιτο τῶν εὑρισκομένων ἐν τῇ τελευτῇ τὰ περιττ.*

φιδικομμίσσου περσεκουτιόνες καὶ ἐξ ἀπορίας αἵ in missiones, καὶ οἱ πολλοί τε ἐκεῖνοι καὶ ποικίλοι καὶ κλυτοι σχεδὸν τῆς ῥηθείσης in rem missionis κύκλοι· ὡς[4]) ἡμεῖς πρῴην ταῦτα ἰώμενοι νόμον[5]) ἐγράψαμεν, κ παξ κωλύοντες[6]) τὰ ἀποκαταστάσει βεβαρημένα πράγ μὴ[7]) ἐκποιεῖσθαι ἢ ὑποτίθεσθαι, ἀλλὰ μετὰ τῆς οἱ ὁδεύειν τύχης, καὶ παρ' ᾧπερ ἂν γένοιτο μὴ μένειν ρῶς, ἀλλ' ἐπανιέναι πρὸς τὸν ᾧ δοθῆναι προσετάχθη. ὅ γε νόμος ἤδη που καὶ χρόνιός ἐστι καὶ ἐν τοῖς δικ ρίοις εὐδοκιμῶν διετέλεσεν, ἀλλ' ἔμελλεν ὅπερ εἰπ ἔφθημεν ὁ φέρειν ἅπαντα πεφυκὼς χρόνος δεικνῦναι τινος ἐξαιρέσεως ἀναγκαίας τῷ νόμῳ· προσῆλθον γὰρ ἄνδρες τε καὶ γυναῖκες ἐκ τούτων ἀδικούμενοι. τελευτ τος γὰρ ἀνδρὸς ἐπί τινος κινηθείσης ὑποθέσεως, ἡ μὲ μετὴ τήν τε φερνὴν εἰσέπραττε, τῆς τε δωρεᾶς τῆς πρὸ γάμων ἤτοι διὰ τὸν γάμον γενομένης τὸ μέρος ὅπερ ἀνδρὸς αὐτῇ θάνατος ἐδίδου· ὁ δὲ τοῦ τελευτήσαντος φὸς ἑτέρωθεν ἀντείχετο τῶν πραγμάτων, καὶ τὴν τοῦ τρὸς προὐτείνετο βουλὴν καὶ ἀφεῖλκε τῆς γυναικὸς τὰ π ματα, φάσκων τὸν μὲν ἀδελφὸν τὸν αὐτοῦ ταῦτα δαπαν ἑαυτὸν δὲ παρὰ τῇ γυναικὶ βλέπειν τὰ πατρῷα πράγ ἅπερ ὁ πατὴρ ἐξ ἀπαιδίας ἀποκατασταῆναι προσέταξεν καὶ ἀντιλήψεσθαι μέχρι παντὸς αὐτῶν καὶ οὐκ ἐνδι ἕως ἂν τὸ ἱκανὸν τῷ ἡμετέρῳ νόμῳ διὰ πάντων γέν ἀλλ' ὠδύρετο δικαίως ἡ γυνή, καὶ ἔφασκεν οὐ δί εἶναι, καθάπερ ἐπ' ἐξαπάτῃ κύριον μὲν τὸν ἄνδρα γεν τῆς προικὸς ἁπάσης καὶ εἴγε προτελευτᾶν τὴν γυναῖκα βαινε τὸ κέρδος ἔχειν κατὰ τὸ σύμφωνον, ἐπειδὴ δὲ ὁ ἐτελεύτησεν, ἑαυτὴν ἀγνοοῦσαν τὴν ἀποκατάστασιν ἀ

4) Pendet ab ἴσμεν. 5) l. 3 §. 2 C. comm. de le 6, 33. 6) Non opus, ut κελεύοντες emendes. κ idem pollet cum negatione ac sine negatione. 7 omittit Hal.

θαι[8]) κινδυνεύειν. ἀλλ' ἐνταῦθα μὲν δέδοται τῷ πράγματι
ίπος ὃν ἔχειν καλῶς ἐνομίσαμεν. αὖθις δὲ ἕτερος ἱκέτης
ιεφαίνετο, λέγων τὸν τῆς γυναικὸς πατέρα τὴν οὐσίαν
τοκαταστῆσαι[9]) τοῖς ἄλλοις αὐτοῦ παισὶν, ἐλαχίστην δὲ
ιῖραν μόνην παρ' αὐτῇ κελεῦσαι μένειν, καὶ μέγαν αὐτὸν
ρίστασθαι κίνδυνον, εἴγε ἡ μὲν αὐτοῦ περιουσία κινδυ-
ύοι περί τε τὴν τῆς προικὸς ἀποκατάστασιν περί τε τὸ
όκληρον τὸ ἐκ τῶν γαμικῶν συμβολαίων ἐπὶ τῇ πρὸ γά-
ιυ δωρεᾷ σύμφωνον, αὐτῷ δὲ οὐδενὸς ἐξείη τυχεῖν τούτων
ὰ τὴν ἐκ τῆς ἀποκαταστάσεως τῶν πραγμάτων ἀφαίρεσιν.
ῦτα ἡμᾶς εἰκότως ἐκίνησε, καὶ ἄμεινον ᾠήθημεν τὸν ἡμέ-
ρον ἐπανορθῶσαι νόμον, ἢ τοὺς ὑπηκόους περιορᾶν κιν-
ινεύοντας, καὶ μάλιστα ἐν γάμοις, ὧν οὐδέν ἐστιν ἀν-
ιώποις χρησιμώτερον οἷα καὶ μόνων ποιεῖν ἀνθρώπους
ιναμένων.

α'. Διά τοι τοῦτο τὸν παρόντα τίθεμεν νόμον, τὰ μὲν
λλα πάντα τῆς πρῴην παρ' ἡμῶν τεθειμένης διατάξεως
ύρια μένειν βουλόμενοι, τουτὶ δὲ καινίζοντες μόνον, ἵνα εἴ
ς τὸ λοιπὸν ἀποκατάστασιν ποιοῖτο τῶν ἑαυτοῦ πραγμά-
ων, πρῶτον μὲν φυλάττοι τῷ παιδὶ τὸ νόμιμον μέρος, οὐ
ι τέταρτον (τοῦτο γὰρ ἐπηνωρθώσαμεν[10]) πενίαν αὐτοῦ
ολλὴν καταγνόντες)[11]) ἀλλὰ τὸ τρίτον πάντως ἢ τὸ ἥμισυ
ατὰ τὸν τῶν παίδων ἀριθμὸν, ἔπειτα καὶ[12]) τὸ λειπό-
ενον τῆς οὐσίας μέρος, ἐν ᾧ μὴ ἀρκοίη τὸ νόμιμον μέρος
ρὸς προικὸς ἢ προγαμιαίας δωρεᾶς ἐπίδοσιν εὐσχημόνως
αὶ πρὸς τὴν τῶν προσώπων ποιότητα συμμετρουμένης[13]),

8) Ven. ἀποτελέσθαι. Hal. ἀπολέσαι. fortasse rectius,
ıum et Auth. ita videatur legisse. 9) Ven. ὑποκαταστ.
)) Const. XLII. 11) Hal. καταργοῦντες. 12) Ven. εἰς
ι. Auth.: ex reliqua substantiae parte. Iulian.: ex aliisrebus
ıae fideicommisso suppositae sunt. Theodorus: ἐκ τῶν ἀπο-
ιταστατέων πραγμάτων. 13) Athan.: πρὸς τὴν τῶν πραγ-
ίτων ποιότητα καὶ τὸ οἰκεῖον ἀξίωμα. unde Heimbach πραγ-
ίτων pro προσώπων legendum censuit: sed προσώπων tuentur

ἐξῃρῆσθαι καὶ αὐτὸ τῆς ἀποκαταστάσεως καθ' ὅσον θέμενον τῷ νομίμῳ μέρει τὴν προῖκα ἢ τὴν πρὸ ποιεῖ δωρεάν. θεσπίζομεν γὰρ κατὰ τοῦτον τὸν ἐξῃρῆσθαι παντοίως τῆς ἀποκαταστάσεως τὰ γαμικὰ λαια καὶ τὰς ἐπὶ τούτοις ἐκποιήσεις ἢ ὑποθήκας, βεβαρημένον εἴη τὸ πρόσωπον ἢ τὸ τοῦ ἀνδρὸς ἢ γυναικὸς ἀποκαταστάσει τοιαύτῃ, ἐξέστω καὶ οὕτω καλουμένην προγαμιαίαν ἢ διὰ γάμον δωρεὰν ἐπι μηδὲν τό γε ἐπὶ τοῖς πράγμασιν ἐκείνοις τῆς ἀποκ σεως δρώσης· εἴτε γυνὴ τῇ ἀποκαταστάσει βαρύνοι ἐμποδὼν γίνεσθαι πρὸς τὴν τῆς προικὸς ἐπίδοσιν· κοινῇ πᾶσι συμφέροντα τῶν ἰδίᾳ τισὶ λυσιτελούντων θεμεν. καὶ ἔστω τοῦτο ταῖς γαμικαῖς ἐπιδόσεσι κ ἐντεῦθεν ἀπαιτήσεσι προνόμιον. εἰ γὰρ καὶ οἱ πρ ἐκ τῶν γενικῶν ὑποθηκῶν πολλὰ κατὰ πρόληψιν καίτοιγε οὐχ οὕτως ἡμῖν ἀναγκαῖα καθεστῶτα, π ἡμεῖς ἐκ μείζονός τε καὶ καλλίονος γνώμης τὴν τῶν γ κερδῶν ἐξαίρεσιν ποιησόμεθα; [§. 1.] ταῦτα δὲ πο μέλλοντι χαριζόμεθα χρόνῳ καὶ ταῖς ὕστερον ἐσομένα καταστάσεσιν ἢ τόνδε γενέσθαι τὸν νόμον. οὐδὲ γὰρ γενέσθαι συγχωροῦμεν τὸ βλάβος, ἵνα εἴ τις γυνὴ ἔχουσα προῖκα εἶτα τὸν νόμον μαθοῦσα τὸν ἡμέτερο τις ἀνὴρ μετρίαν ποιησάμενος προγαμιαίαν δωρεὰ περιγραφὴν τοῦ νόμου βουληθείη αὔξησιν ἢ τῆς πρ τῆς προγαμιαίας δωρεᾶς ποιήσασθαι, τὸ [14]) ἕλκειν πι βουλὴν τῶν ἀποκαταστάσεων. καὶ ταύτην γὰρ ανα τὴν περιγραφὴν, οὐδὲν ὄφελος ἔχειν διδόντες τοῖς π νοις τὰς ἐπαυξήσεις ὅσον πρὸς τὴν ἐπὶ ταῖς ἀποκ σεσι βλάβην, καθαρὸν τῷ μέλλοντι χρόνῳ τὸν ἡ

Auth. et Iulianus, qui heredis et fideicommissarii r habendam esse statuit. 14) Hal. τῷ. videtur aliqu disse, nisi supra ἵνα deleveris.

ροῦντες νόμον. ἓν μὲν οὖν τοῦτο κεφάλαιον ἔσται τῷ ·ρόντι νόμῳ,

β΄. δεύτερον δὲ ἐκεῖνο τὸ περὶ τῶν γυναικῶν τῶν τὰ τοὺς προτέρους γάμους πρὸς δεύτερον ἐπαχθεισῶν νοικέσιον καὶ πρὶν τὸν ἐνιαυτὸν ἐξήκειν, ὃν δὴ πένθιμον νόμοι καλοῦσιν, ἃς ἐτιμωροῦντο διατάξεις τρεῖς τῶν πρὸ ῶν αὐτοκρατόρων, καὶ ἡμεῖς ἔναγχος τὸν περὶ τούτου[15]) άψαντες νόμον μετά τινων ἐπανορθώσεων καὶ τὰ περὶ τῶν νομοθετηθέντα ἐν βραχείᾳ τινὶ μοίρᾳ τῆς ἡμῶν αὐ-ν νομοθεσίας προσηκάμεθα. ἀλλ' ἀναιδέστατόν τι νῦν ήντησεν, ὅπερ ἐπὶ τοῖς ἡμετέροις συμβῆναι χρόνοις οὐκ ουλόμεθα, ὥστε ἡμῖν εἰκότως ἔδοξεν ἐπανορθώσεως ἄξιον θεστάναι. γυνὴ γὰρ εἰς ἀνδρὸς ἐλθοῦσα τοῦτον ἀπέβαλεν, ἔοικε καὶ ἔτι περιόντος αὐτοῦ τὸ μὴ σωφρονεῖν ἐννο-σα. οὔπω γὰρ ἐξήκοντος τοῦ ἔτους κατὰ τὸν ἑνδέκατον]να περαιούμενον ἔτεκεν, ὥστε οὐκ εἶναι δυνατὸν εἰπεῖν, ; ἐκ τοῦ τελευτήσαντος γένοιτο τὸ βρέφος· οὐ γὰρ ἂν εἰς σοῦτον ἡ κύησις ἐξετάθη χρόνον. καὶ ἐπειδὴ καὶ τοῦτο ἐστι τῶν ἐπιτιμίων τῶν τοὺς ἀώρους γάμους πραττόντων τὴν γαμετὴν ἐκπίπτειν εὐθὺς τῆς προγαμιαίας δωρεᾶς ῆς παρὰ τοῦ ἀνδρὸς ἐπιδεδομένης, ὥστε καὶ αὐτίκα ταύ-ην ἀπολλύναι καὶ μηδὲ τὴν χρῆσιν ἔχειν, εἰκότως οἱ παῖ-ες οἱ τῷ θαυμαστῷ τῆς μητρὸς τοκετῷ περιυβρισμένοι τὴν οῦν προγαμιαίαν τοῦ πατρὸς ἠξίουν λαβεῖν δωρεὰν, καὶ ἡ κερδαίνειν ὀφείλειν τὴν γυναῖκα παρὰ τοῦ ἀνδρὸς ὃν ὕτω θᾶττον ἠτίμασεν. ἡ δὲ (ἀλλὰ πῶς εἴπωμεν τὰ παρ' ὑτῆς ἐρυθριῶμεν) οὐκ ἀξίαν ἔλεγεν ἑαυτὴν εἶναι τῆς ἐκ-τώσεως, διότι τὸν νόμον ἠπίστατο περὶ νομίμων διαλεγό-ενον γάμων, ἑαυτῇ δὲ γάμον οὐ γενέσθαι παρὰ τὸν πρό-ερον, ἀλλὰ τὸν τοκετὸν τοῦτον εἶναι φυσικῆς ἐπιθυμίας άρεργον. ἀλλ' ὅτι μὲν αὕτη καὶ μυρίοις ἑτέροις ὑπόκειται

15) Const. XLVIII.

γάμον πραξάσας, διότι τυχὸν ὑπώπτευσε μή τις π
ὑποψία πονηρὰ πρὸς τὸν δεύτερον γήμαντα, διόπ
θᾶττον εἰς τὸν γάμον ἔσπευσε, πῶς οὐκ ἐνταῦθα, ὅ
πρᾶγμα μὴ καθ' ὑποψίαν ἐστὶ μόνην ἀλλ' αὐτόθεν
ἀκριβὴς καὶ ἀπαραλόγιστος ἐδόθη τῷ πλημμελήματι
των οὗτος ἀσεβέστατος τοκετὸς, ἀνεύθυνον[16]) αὐτὴν
λείψομεν; [§. 1.] ὥστε θεσπίζομεν, εἴ τι τοιοῦτο σ
καὶ πρὸ τοῦ πενθίμου χρόνου τέκοι γυνὴ πρὸς τῷ
τοῦ ἔτους, ὥστε ἀναμφισβήτητον εἶναι τὸ μὴ τὴν γο
τοῦ προτέρου καθεστάναι συνοικεσίου, παντοίως αὐτ
ρεσθαι[17]) τῆς προγαμιαίας δωρεᾶς καὶ κατὰ δεσποτει
κατὰ[18]) χρῆσιν, ὑποκειμένην καὶ τοῖς ἄλλοις ἅπασι
τιμίοις, ὡς ἂν εἰ δευτέροις ἔτυχε πρὸ τοῦ πενθίμου
νομίμοις ὁμιλήσασα γάμοις. μὴ γάρ ποτε πλεῖον
σωφροσύνης ἀσέλγεια, ἀλλ' ὑποκείσθω μὲν καὶ αὖ
αὐταῖς ποιναῖς, κινδυνευέτω δὲ καὶ περὶ τὴν ἐλπίδα τῆς
stuprου γραφῆς[19]), ὅπως ἂν μηδὲ γάμων ἀώρων ἐπι
μηδὲ τοὺς νομίμους γάμους μείζονι κακῷ σοφίζοιτο.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦ
θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ γινώσκουσ

Νόμος ἐγράφη Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.[20]) Dat. XV. Kal. Maii CP. post Belisarii V. C. cons.[21])

Auth. 42. LI. **Nov. 40.**

Apud Hal. desideratur. — Summas praestant Iulian. c. 11, Athan. II, 7, Theod. Nov. 40.

Περὶ τοῦ τὴν ἐκκλησίαν τῆς ἁγίας Ἀναστάσεως ἐκποιεῖν οἰκήματα κατὰ τὴν αὐτὴν κείμενα πόλιν.

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ὁσιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ Ἱεροσολύμων.

Ἤδη μὲν τὰ περὶ τῆς κωλύσεως τῶν ἐκκλησιαστικῶν ἐκποιήσεων νόμῳ κοινῷ[1]) *διηγόρευται παρ' ἡμῶν, ὃν δὴ καὶ κρατεῖν καὶ κύριον ἐφ' ἅπασιν εἶναι βουλόμεθα. ἐπειδὴ δὲ τοῦ συμφέροντος ἁπάσαις ἐκκλησίαις προνοεῖν προσήκει, διαφερόντως δὲ τῆς ἁγίας Ἀναστάσεως καὶ τοῦ τόπου καθ' ὃν ὁ τοῦ κόσμου δημιουργὸς ἠξίωσεν ἐν ἀνθρωπίνῃ καταστῆναι γενέσει, διὰ τοῦτο ᾠήθημεν τὸν παρόντα γράψαι νόμον, οὐκ ἐπ' ἀνατροπῇ τῶν ἤδη παρ' ἡμῶν νενομοθετημένων, ἀλλ' ἐπί τινι προσηκούσῃ τε καὶ ἀναγκαίᾳ τοῖς πράγμασιν ὠφελείᾳ. πᾶσι γάρ ἐστιν ἀνθρώποις φανερὸν τὸ τὴν ἁγιωτάτην Ἀνάστασιν τοὺς ἐκ πάσης τῆς οἰκουμένης ἐκεῖσε συῤῥέοντας (ὧν τὸ πλῆθος ἄπειρον εἰπεῖν) καὶ ὑποδέχεσθαι*

20) *Νόμος κτλ.* Hal. omittit. 21) Ath. *ἐγράφη πρὸ ιε' καλ. ἀπριλλίων ὑπατείας βελισαρίου.* Theod. *ἐξεφωνήθη μηνὶ μαρτίῳ μετὰ τὴν ὑπατείαν βελισαρίου.* et post cons. Belisarii hanc constitutionem datam esse vel hoc ostendit, quod in ea constitutiones XLII et XLVIII eodem anno, illa Kal. Mart. haec XV Kal. April., datae laudantur. Auth. XII (?) Kal. Mai.

1) Const. XV.

καὶ τρέφειν, καὶ ποιεῖσθαι δαπάνας ἀμέτρους τε καὶ πάσας ἐλπίδας τοῖς ἐκεῖσε ἀθροιζομένοις ἀρκούσας, τὴν θαυματουργίαν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ τοῦ πλῆθος ἀμύθητον ἐξ ὀλίγων ἐκθ(τος ἄρτων καθ' ἡμέραν δεχομένην· ὥστε αὐτῇ καὶ δεῖν πλειόνων καὶ προφάσεων εὐσεβῶν, καθ' ἃς δυνατὴ καθεστάναι πλήθει βοηθεῖν τοσούτῳ. [§. 1.] μεν τοίνυν, ὡς κατὰ τὸ παρὸν Εὐσέβιος ὁ θεοφιλέ πρεσβύτερος καὶ κειμηλιάρχης τῆς κατὰ τὴν βασιλίδα την πόλιν ἁγιωτάτης ἐκκλησίας παραγενόμενος ἐν τ θείσῃ τῶν Ἱεροσολυμιτῶν πόλει, καὶ τὸν σεμνὸν αὐτ(θεοφιλῆ καὶ νῦν ἐνδεικνύμενος τρόπον δι' οὗ πολλα δικαίαις αὐξήσεσι τὴν τῆς ἁγιωτάτης ἐκκλησίας τ πρόσοδον, ἴσχυσε τριακοσίων ὀγδοήκοντα χρυσίου ὠνήσασθαι πρόσοδον τριάκοντα (μικρῷ πλεῖον ἢ ἔλ χρυσίου λιτρῶν, τὰ μὲν τῶν χρημάτων ἀθροίσας εὐ τὰ δὲ καὶ δανείσασθαι παρασκευάσας τοὺς θεοφιλεσ οἰκονόμους τῆς εἰρημένης ἁγίας Ἀναστάσεως. ἐδίδ(ἡμᾶς, ὡς οἱ δανεισταὶ τὰ οἰκεῖα λαβεῖν ἐπιζητοῦσι, κ ἕτερον εὗρε παράδοξον πόρον. πολλῶν γὰρ συῤῥεόντ(ἐπιφοιτώντων τῇ ῥηθείσῃ τῶν Ἱεροσολυμιτῶν πόλει τῶν ἀνειμένων τῷ θεῷ τόπων, ἐπιθυμοῦσιν ὠνή(οἰκήσεις ἐκκλησιαστικὰς χρυσίου πολλοῦ, ὅπως ἂν ἐξείη τῆς κατὰ τὸν εἰρημένον τόπον ἀπολαύειν οἰκ μὴ δύνασθαι δὲ ταῦτα πρᾶξαι τοὺς προεστῶτας τῆς Ἀναστάσεως δέει τοῦ νόμου τοῦ παρ' ἡμῶν ἐπὶ τα κλησιαστικαῖς ἐκποιήσεσι τεθέντος, καίτοιγε τοσαύτης τῆς ὠφελείας, ὥστε εἰς ἐνιαυτοὺς πεντήκοντα βού τινας τὰ στεγονόμια[3]) ταῦτα ὠνήσασθαι. κἀντεῦθεν τ

2) Ven. κατὰ, quod ex Auth. emendavi, quum prop quentia καθ' ἡμέραν δεχομένην emendatione omnino esset. 3) Osenbrüggen notat: „Vitium hic latere su sunt editores, nam στεγονόμιον non est οἴκημα sed idem

: καὶ οὐδὲ εἰπεῖν ὅσου τοῦ διαλλάττοντος γινομένου, εἴπερ μὲν κτῆσις τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ προσγέγονεν τῆς προσόνυ περίπου τῶν τριάκοντα τοῦ χρυσοῦ λιτρῶν (καὶ ταῦτα αυμασίας καθεστώσης) μόλις ἐπὶ τρισκαίδεκα ἔτεσιν, ἡ δὲ ὂν οἰκημάτων πρᾶσις ἐπὶ πεντήκοντα ἐνιαυτοῖς γενήσεται, ιὶ μάλιστα τοῦ πράγματος ἐν οἰκήμασιν ἱσταμένου, ἅπερ ιχηραῖς ἁπάσαις ὑπόκειται περιστάσεσιν, εὐθὺς συναπολλύινα ταύταις καὶ ἴχνος οὐδ' ὁτιοῦν περισώζειν ῥᾳδίως ινάμενα, εἴπερ ἔκ τινος (ἀπείη δὲ τοῦτο καὶ τοῦ λόγου) ριστάσεως κατενεχθείη ἢ ἄλλως ἀναλωθείη,

α'. ταῦτα ἡμᾶς ἀφικέσθαι πρὸς τὸν παρόντα νόμον ιρεσκεύασεν, ὃν ἀνατίθεμεν τῷ δεσπότῃ θεῷ καὶ τῇ τῶν ισῶν ἐκκλησιῶν ἁγιωτάτῃ Ἀναστάσει· δι' οὗ θεσπίζομεν μὲν ἄλλα πάντα ....[4]) ἐπὶ τῆς ἁγιωτάτης Ἀναστάσεως ιοφάσει χωρίων ἐκκλησιαστικῶν (οὐδὲ γὰρ αὐτῇ παντελῶς ίεμεν πρᾶσιν οὐδεμίαν ποιεῖσθαι χωρίων), ἐπὶ μέντοι τῶν ιημάτων χαλῶμέν τι τῆς ἀκριβείας τοῦ νόμου. εἰ γὰρ ἐπ' ρελείᾳ τῶν ἁγιωτάτων ἐκκλησιῶν τοῦτον ἐγράψαμεν, ὁρῶν δὲ τηλικαύτην ἐν τῷ πράγματι τὴν ὠφέλειαν οὖσαν, ῶς οὐκ ἂν διὰ τοῦ παρόντος νόμου τοῦτο αὐτοῖς ἐφήσοιν πᾶσαν διδόντες καὶ τοῖς πιπράσκουσιν ἄδειαν καὶ τοῖς νουμένοις ἀσφάλειαν; καὶ μάλιστα ἐπειδὴ σύνισμεν τῷ ιόνῳ θᾶττον ἄξοντι πάλιν τὰ οἰκήματα πρὸς αὐτήν, οἷα ὢν ταῦτα ὠνουμένων ὥσπερ διὰ τὴν περὶ τὸ θεῖον σπουὴν ἐώνηται ταῦτα, οὕτω καὶ ἐπειδὰν τελευτῷεν αὐτῇ ταῦτα παλιμπανόντων. ἐξέστω τοίνυν αὐτῇ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ιήσασθαι τὴν τῶν οἰκημάτων πρᾶσιν, μηδὲν εὐλαβουμένη ν νόμον τὸν ἐν γένει περὶ τούτων κείμενον, διότι νόμῳ

οἴκιον i. e. pensio aedium, confer autem cap. 1 §. 1, ubi iperator quae solvunt qui in quinquaginta annos emunt dificia dicit τὰ τιμήματα ἀθροιζόμενα ἐκ τῶν ἐνοικίων etc.".

Excidisse quaedam ostendit Auth. forte supplendum: ῦ περὶ τῶν ἐκκλησιαστικῶν ἐκποιήσεων νόμου κρατεῖν καί.

φιδεικομμίσσου περιεσκοπηκότες καὶ ἐξ ἀπορίας αἱ in rem missiones, καὶ οἱ πολλοί τε ἐκεῖνοι καὶ ποικίλοι καὶ ἀνέκλιτοι σχεδὸν τῆς ῥηθείσης in rem missionis κύκλοι· καὶ ὡς[4]) ἡμεῖς πρῴην ταῦτα ἰώμενοι νόμον[5]) ἐγράψαμεν, καθάπαξ κωλύοντες[6]) τὰ ἀποκαταστάσει βεβαρημένα πράγματα μὴ[7]) ἐκποιεῖσθαι ἢ ὑποτίθεσθαι, ἀλλὰ μετὰ τῆς οἰκείας ὁδεύειν τύχης, καὶ παρ' ᾧπερ ἂν γένοιτο μὴ μένειν ἰσχυρῶς, ἀλλ' ἐπανιέναι πρὸς τὸν ᾧ δοθῆναι προσετάχθη. καὶ ὅ γε νόμος ἤδη που καὶ χρόνιός ἐστι καὶ ἐν τοῖς δικαστηρίοις εὐδοκιμῶν διετέλεσεν, ἀλλ' ἔμελλεν ὅπερ εἰπόντες ἔφθημεν ὁ φέρειν ἅπαντα πεφυκὼς χρόνος δεικνῦναι δεῖν τινος ἐξαιρέσεως ἀναγκαίας τῷ νόμῳ· προσῆλθον γὰρ ἡμῖν ἄνδρες τε καὶ γυναῖκες ἐκ τούτων ἀδικούμενοι. τελευτήσαντος γὰρ ἀνδρὸς ἐπί τινος κινηθείσης ὑποθέσεως, ἡ μὲν γαμετὴ τήν τε φερνὴν εἰσέπραττε, τῆς τε δωρεᾶς τῆς πρὸ τῶν γάμων ἤτοι διὰ τὸν γάμον γενομένης τὸ μέρος ὅπερ ὁ τοῦ ἀνδρὸς αὐτῇ θάνατος ἐδίδου· ὁ δὲ τοῦ τελευτήσαντος ἀδελφὸς ἑτέρωθεν ἀντείχετο τῶν πραγμάτων, καὶ τὴν τοῦ πατρὸς προὐτείνετο βουλὴν καὶ ἀφεῖλκε τῆς γυναικὸς τὰ πράγματα, φάσκων τὸν μὲν ἀδελφὸν τὸν αὐτοῦ ταῦτα δαπανῆσαι, ἑαυτὸν δὲ παρὰ τῇ γυναικὶ βλέπειν τὰ πατρῷα πράγματα ἅπερ ὁ πατὴρ ἐξ ἀπαιδίας ἀποκαταστῆναι προσέταξεν αὐτῷ, καὶ ἀντιλήψεσθαι μέχρι παντὸς αὐτῶν καὶ οὐκ ἐνδώσειν ἕως ἂν τὸ ἱκανὸν τῷ ἡμετέρῳ νόμῳ διὰ πάντων γένοιτο. ἀλλ' ὠδύρετο δικαίως ἡ γυνή, καὶ ἔφασκεν οὐ δίκαιον εἶναι, καθάπερ ἐπ' ἐξαπάτῃ κύριον μὲν τὸν ἄνδρα γενέσθαι τῆς προικὸς ἁπάσης καὶ εἴγε προτελευτᾶν τὴν γυναῖκα συνέβαινε τὸ κέρδος ἔχειν κατὰ τὸ σύμφωνον, ἐπειδὴ δὲ ὁ ἀνὴρ ἐτελεύτησεν, ἑαυτὴν ἀγνοοῦσαν τὴν ἀποκατάστασιν ἀπολέ-

4) Pendet ab ἴσμεν. 5) l. 3 §. 2 C. comm. de legatis 6, 38. 6) Non opus, ut κελεύοντες emendes. κωλύω idem pollet cum negatione ac sine negatione. 7) μὴ omittit Hal.

ϑαι[8]) κινδυνεύειν. ἀλλ' ἐνταῦϑα μὲν δέδοται τῷ πράγματι ύπος ὃν ἔχειν καλῶς ἐνομίσαμεν. αὖϑις δὲ ἕτερος ἱκέτης ἐνεφαίνετο, λέγων τὸν τῆς γυναικὸς πατέρα τὴν οὐσίαν ἀποκαταστῆσαι[9]) τοῖς ἄλλοις αὐτοῦ παισὶν, ἐλαχίστην δὲ μοῖραν μόνην παρ' αὐτῇ κελεῦσαι μένειν, καὶ μέγαν αὐτὸν περιΐστασϑαι κίνδυνον, εἴγε ἡ μὲν αὐτοῦ περιουσία κινδυνεύοι περί τε τὴν τῆς προικὸς ἀποκατάστασιν περί τε τὸ ὁλόκληρον τὸ ἐκ τῶν γαμικῶν συμβολαίων ἐπὶ τῇ πρὸ γάμου δωρεᾷ σύμφωνον, αὐτῷ δὲ οὐδενὸς ἐξείη τυχεῖν τούτων διὰ τὴν ἐκ τῆς ἀποκαταστάσεως τῶν πραγμάτων ἀφαίρεσιν. ταῦτα ἡμᾶς εἰκότως ἐκίνησε, καὶ ἄμεινον ᾠήϑημεν τὸν ἡμέτερον ἐπανορϑῶσαι νόμον, ἢ τοὺς ὑπηκόους περιορᾶν κινδυνεύοντας, καὶ μάλιστα ἐν γάμοις, ὧν οὐδέν ἐστιν ἀνϑρώποις χρησιμώτερον οἷα καὶ μόνων ποιεῖν ἀνϑρώπους δυναμένων.

α'. Διά τοι τοῦτο τὸν παρόντα τίϑεμεν νόμον, τὰ μὲν ἄλλα πάντα τῆς πρῴην παρ' ἡμῶν τεϑειμένης διατάξεως κύρια μένειν βουλόμενοι, τουτὶ δὲ καινίζοντες μόνον, ἵνα εἴ τις τὸ λοιπὸν ἀποκατάστασιν ποιοῖτο τῶν ἑαυτοῦ πραγμάτων, πρῶτον μὲν φυλάττοι τῷ παιδὶ τὸ νόμιμον μέρος, οὐ τὸ τέταρτον (τοῦτο γὰρ ἐπηνωρϑώσαμεν[10]) πενίαν αὐτοῦ πολλὴν καταγνόντες)[11]) ἀλλὰ τὸ τρίτον πάντως ἢ τὸ ἥμισυ κατὰ τὸν τῶν παίδων ἀριϑμὸν, ἔπειτα καὶ[12]) τὸ λειπόμενον τῆς οὐσίας μέρος, ἐν ᾧ μὴ ἀρκοίη τὸ νόμιμον μέρος πρὸς προικὸς ἢ προγαμιαίας δωρεᾶς ἐπίδοσιν εὐσχημόνως καὶ πρὸς τὴν τῶν προσώπων ποιότητα συμμετρουμένης[13]),

8) Ven. ἀποτελέσϑαι. Hal. ἀπολέσαι. fortasse rectius, quum et Auth. ita videatur legisse. 9) Ven. ὑποκαταστ. 10) Const. XLII. 11) Hal. καταργοῦντες. 12) Ven. εἰς τό. Auth.: ex reliqua substantiae parte. Iulian.: ex aliisrebus quae fideicommisso suppositae sunt. Theodorus: ἐκ τῶν ἀποκαταστατέων πραγμάτων. 13) Athan.: πρὸς τὴν τῶν πραγμάτων ποιότητα καὶ τὸ οἰκεῖον ἀξίωμα. unde Heimbach πραγμάτων pro προσώπων legendum censuit: sed προσώπων tuentur

ἐξῃρῆσθαι καὶ αὐτὸ τῆς ἀποκαταστάσεως καθ' ὅσον προστιθέμενον τῷ νομίμῳ μέρει τὴν προῖκα ἢ τὴν πρὸ γάμου ποιεῖ δωρεάν. θεσπίζομεν γὰρ κατὰ τοῦτον τὸν τρόπον ἐξῃρῆσθαι παντοίως τῆς ἀποκαταστάσεως τὰ γαμικὰ συμβόλαια καὶ τὰς ἐπὶ τούτοις ἐκποιήσεις ἢ ὑποθήκας, κἂν εἰ βεβαρημένον εἴη τὸ πρόσωπον ἢ τὸ τοῦ ἀνδρὸς ἢ τὸ τῆς γυναικὸς ἀποκαταστάσει τοιαύτῃ, ἐξέστω καὶ οὕτως τὴν καλουμένην προγαμιαίαν ἢ διὰ γάμον δωρεὰν ἐπιδιδόναι μηδὲν τό γε ἐπὶ τοῖς πράγμασιν ἐκείνοις τῆς ἀποκαταστάσεως δρώσης· εἴτε γυνὴ τῇ ἀποκαταστάσει βαρύνοιτο, μὴ ἐμποδὼν γίνεσθαι πρὸς τὴν τῆς προικὸς ἐπίδοσιν· τὰ γὰρ κοινῇ πᾶσι συμφέροντα τῶν ἰδίᾳ τισὶ λυσιτελούντων προέθεμεν. καὶ ἔστω τοῦτο ταῖς γαμικαῖς ἐπιδόσεσι καὶ ταῖς ἐντεῦθεν ἀπαιτήσεσι προνόμιον. εἰ γὰρ καὶ οἱ πρὸ ἡμῶν ἐκ τῶν γενικῶν ὑποθηκῶν πολλὰ κατὰ πρόληψιν ἐξεῖλον καίτοιγε οὐχ οὕτως ἡμῖν ἀναγκαῖα καθεστῶτα, πῶς οὐχ ἡμεῖς ἐκ μείζονός τε καὶ καλλίονος γνώμης τὴν τῶν γαμικῶν κερδῶν ἐξαίρεσιν ποιησόμεθα; [§. 1.] ταῦτα δὲ πάντα τῷ μέλλοντι χαριζόμεθα χρόνῳ καὶ ταῖς ὕστερον ἐσομέναις ἀποκαταστάσεσιν ἢ τόνδε γενέσθαι τὸν νόμον. οὐδὲ γὰρ ἐκεῖνο γενέσθαι συγχωροῦμεν τὸ βλάβος, ἵνα εἴ τις γυνὴ ὀλίγην ἔχουσα προῖκα εἶτα τὸν νόμον μαθοῦσα τὸν ἡμέτερον, ἢ εἴ τις ἀνὴρ μετρίαν ποιησάμενος προγαμιαίαν δωρεὰν πρὸς περιγραφὴν τοῦ νόμου βουληθείη αὔξησιν ἢ τῆς προικὸς ἢ τῆς προγαμιαίας δωρεᾶς ποιήσασθαι, τὸ[14]) ἕλκειν πρὸς ἐπιβουλὴν τῶν ἀποκαταστάσεων. καὶ ταύτην γὰρ ἀναιροῦμεν τὴν περιγραφὴν, οὐδὲν ὄφελος ἔχειν διδόντες τοῖς ποιουμένοις τὰς ἐπαυξήσεις ὅσον πρὸς τὴν ἐπὶ ταῖς ἀποκαταστάσεσι βλάβην, καθαρὸν τῷ μέλλοντι χρόνῳ τὸν ἡμέτερον

Auth. et Iulianus, qui heredis et fideicommissarii rationem habendam esse statuit. 14) Hal. τῷ. videtur aliquid excidisse, nisi supra ἵνα deleveris.

ηροῦντες νόμον. ἓν μὲν οὖν τοῦτο κεφάλαιον ἔσται τῷ :αρόντι νόμῳ,

β'. δεύτερον δὲ ἐκεῖνο τὸ περὶ τῶν γυναικῶν τῶν ιετὰ τοὺς προτέρους γάμους πρὸς δεύτερον ἐπαχθεισῶν ῖυνοικέσιον καὶ πρὶν τὸν ἐνιαυτὸν ἐξήκειν, ὃν δὴ πένθιμον οἱ νόμοι καλοῦσιν, ἃς ἐτιμωροῦντο διατάξεις τρεῖς τῶν πρὸ ἡμῶν αὐτοκρατόρων, καὶ ἡμεῖς ἔναγχος τὸν περὶ τούτου[15]) γράψαντες νόμον μετά τινων ἐπανορθώσεων καὶ τὰ περὶ αὐτῶν νομοθετηθέντα ἐν βραχείᾳ τινὶ μοίρᾳ τῆς ἡμῶν αὐτῶν νομοθεσίας προσηκάμεθα. ἀλλ' ἀναιδέστατόν τι νῦν ἀπήντησεν, ὅπερ ἐπὶ τοῖς ἡμετέροις συμβῆναι χρόνοις οὐκ ἠβουλόμεθα, ὥστε ἡμῖν εἰκότως ἔδοξεν ἐπανορθώσεως ἄξιον καθεστάναι. γυνὴ γὰρ εἰς ἀνδρὸς ἐλθοῦσα τοῦτον ἀπέβαλεν, ὡς ἔοικε καὶ ἔτι περιόντος αὐτοῦ τὸ μὴ σωφρονεῖν ἐννοοῦσα. οὔπω γὰρ ἐξήκοντος τοῦ ἔτους κατὰ τὸν ἐνδέκατον μῆνα περαιούμενον ἔτεκεν, ὥστε οὐκ εἶναι δυνατὸν εἰπεῖν, ὡς ἐκ τοῦ τελευτήσαντος γένοιτο τὸ βρέφος· οὐ γὰρ ἂν εἰς τοσοῦτον ἡ κύησις ἐξετάθη χρόνον. καὶ ἐπειδὴ καὶ τοῦτο ἕν ἐστι τῶν ἐπιτιμίων τῶν τοὺς ἀώρους γάμους πραττόντων τὸ τὴν γαμετὴν ἐκπίπτειν εὐθὺς τῆς προγαμιαίας δωρεᾶς τῆς παρὰ τοῦ ἀνδρὸς ἐπιδεδομένης, ὥστε καὶ αὐτίκα ταύτην ἀπολλύναι καὶ μηδὲ τὴν χρῆσιν ἔχειν, εἰκότως οἱ παῖδες οἱ τῷ θαυμαστῷ τῆς μητρὸς τοκετῷ περιυβρισμένοι τὴν γοῦν προγαμιαίαν τοῦ πατρὸς ἠξίουν λαβεῖν δωρεάν, καὶ μὴ κερδαίνειν ὀφείλειν τὴν γυναῖκα παρὰ τοῦ ἀνδρὸς ὃν οὕτω θᾶττον ἠτίμασεν. ἡ δὲ (ἀλλὰ πῶς εἴπωμεν τὰ παρ' αὐτῆς ἐρυθριῶμεν) οὐκ ἀξίαν ἔλεγεν ἑαυτὴν εἶναι τῆς ἐκπτώσεως, διότι τὸν νόμον ἠπίστατο περὶ νομίμων διαλεγόμενον γάμων, ἑαυτῇ δὲ γάμον οὐ γενέσθαι παρὰ τὸν πρότερον, ἀλλὰ τὸν τοκετὸν τοῦτον εἶναι φυσικῆς ἐπιθυμίας πάρεργον. ἀλλ' ὅτι μὲν αὕτη καὶ μυρίοις ἑτέροις ὑπόκειται

15) Const. XLVIII.

σωφρονισμοῖς ἐξαμαρτοῦσα stuprov τῶν ἀνωμολογημένων ἐστί, καὶ τῶν γε ποινῶν ἐκείνων αὐτὴν οὐκ ἀφίεμεν, τέως δὲ (φειδόμεθα γὰρ τῶν τοῦ τελευτήσαντος παίδων) ἐπάγομεν ἔκπτωσιν αὐτῇ τῆς πρὸ τῶν γάμων δωρεᾶς καὶ ἐπὶ τούτου τοῦ θέματος, ἣν ἐπὶ τῶν νομίμοις προσιουσῶν εἴσω τοῦ πενθίμου χρόνου γάμοις ἔταξεν ὁ νόμος. εἰ γὰρ ἐκείνας ὁ νόμος ἀτιμωρήτους οὐ καταλέλοιπε καίτοιγε νόμιμον γάμον πραξάσας, διότι τυχὸν ὑπώπτευσε μή τις προϋπῆν ὑποψία πονηρὰ πρὸς τὸν δεύτερον γήμαντα, διόπερ καὶ θᾶττον εἰς τὸν γάμον ἔσπευσε, πῶς οὐκ ἐνταῦθα, ὅπου τὸ πρᾶγμα μὴ καθ' ὑποψίαν ἐστὶ μόνην ἀλλ' αὐτόθεν ἔλεγχος ἀκριβὴς καὶ ἀπαραλόγιστος ἐδόθη τῷ πλημμελήματι ὁ πάντων οὗτος ἀσεβέστατος τοκετὸς, ἀνεύθυνον[16]) αὐτὴν καταλείψομεν; [§. 1.] ὥστε θεσπίζομεν, εἴ τι τοιοῦτο συμβαίη καὶ πρὸ τοῦ πενθίμου χρόνου τέκοι γυνὴ πρὸς τῷ πέρατι τοῦ ἔτους, ὥστε ἀναμφισβήτητον εἶναι τὸ μὴ τὴν γονὴν ἐκ τοῦ προτέρου καθεστάναι συνοικεσίου, παντοίως αὐτὴν στέρεσθαι[17]) τῆς προγαμιαίας δωρεᾶς καὶ κατὰ δεσποτείαν καὶ κατὰ[18]) χρῆσιν, ὑποκειμένην καὶ τοῖς ἄλλοις ἅπασιν ἐπιτιμίοις, ὡς ἂν εἰ δευτέροις ἔτυχε πρὸ τοῦ πενθίμου χρόνου νομίμοις ὁμιλήσασα γάμοις. μὴ γάρ ποτε πλεῖον ἐχέτω σωφροσύνης ἀσέλγεια, ἀλλ' ὑποκείσθω μὲν καὶ αὕτη ταῖς αὐταῖς ποιναῖς, κινδυνευέτω δὲ καὶ περὶ τὴν ἐλπίδα τῆς ἀπὸ τοῦ stuprov γραφῆς[19]), ὅπως ἂν μηδὲ γάμων ἀώρων ἐπιθυμοίη μηδὲ τοὺς νομίμους γάμους μείζονι κακῷ σοφίζοιτο.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ γινώσκουσα κατὰ τὸ σύνηθες διὰ προγραμμάτων οἰκείων φανερὰ πᾶσι καταστησάτω.

16) Legendum cum Auth. ὑπεύθυνον, nisi τὸν ὑπαγορεύοντα hanc legem negationis quae praecedit (πῶς οὐκ) oblitum esse existimaveris. 17) Hal. στερεῖσθαι. 18) Ven. omittit. 19) I. e. inscriptionis s. accusationis.

Νόμος ἐγράφη Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.[20] Dat. XV. Kal. Maii CP. post Belisarii V. C. cons.[21]

Auth. 42. LI. Nov. 40.

Apud Hal. desideratur. — Summas praestant Iulian. c. 11, Athan. II, 7, Theod. Nov. 40.

Περὶ τοῦ τὴν ἐκκλησίαν τῆς ἁγίας Ἀναστάσεως ἐκποιεῖν οἰκήματα κατὰ τὴν αὐτὴν κείμενα πόλιν.

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ὁσιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ Ἱεροσολύμων.

Ἤδη μὲν τὰ περὶ τῆς κωλύσεως τῶν ἐκκλησιαστικῶν ἐκποιήσεων νόμῳ κοινῷ[1]*) διηγόρευται παρ' ἡμῶν, ὃν δὴ καὶ κρατεῖν καὶ κύριον ἐφ' ἅπασιν εἶναι βουλόμεθα. ἐπειδὴ δὲ τοῦ συμφέροντος ἁπάσαις ἐκκλησίαις προνοεῖν προσήκει, διαφερόντως δὲ τῆς ἁγίας Ἀναστάσεως καὶ τοῦ τόπου καθ' ὃν ὁ τοῦ κόσμου δημιουργὸς ἠξίωσεν ἐν ἀνθρωπίνῃ καταστῆναι γενέσει, διὰ τοῦτο ᾠήθημεν τὸν παρόντα γράψαι νόμον, οὐκ ἐπ' ἀνατροπῇ τῶν ἤδη παρ' ἡμῶν νενομοθετημένων, ἀλλ' ἐπί τινι προσηκούσῃ τε καὶ ἀναγκαίᾳ τοῖς πράγμασιν ὠφελείᾳ. πᾶσι γάρ ἐστιν ἀνθρώποις φανερὸν τὸ τὴν ἁγιωτάτην Ἀνάστασιν τοὺς ἐκ πάσης τῆς οἰκουμένης ἐκεῖσε συῤῥέοντας (ὧν τὸ πλῆθος ἄπειρον εἰπεῖν) καὶ ὑποδέχεσθαι*

20) *Νόμος κτλ.* Hal. omittit. 21) Ath. *ἐγράφη πρὸ ιε' καλ. ἀπριλλίων ὑπατείας βελισαρίου.* Theod. *ἐξεφωνήθη μηνὶ μαρτίῳ μετὰ τὴν ὑπατείαν βελισαρίου.* et post cons. Belisarii hanc constitutionem datam esse vel hoc ostendit, quod in ea constitutiones XLII et XLVIII eodem anno, illa Kal. Mart. haec XV Kal. April., datae laudantur. Auth. XII (?) Kal. Mai.

1) Const. XV.

[illegible] τῶν ἀνειμένων τῷ θεῷ τόπων. ἐπιθυμοῦσιν ὠνήσασθαι οἰκήσεις ἐκκλησιαστικὰς χρυσίου πολλοῦ. ὅπως ἂν αὐτοῖς ἐξείη τῆς κατὰ τὸν εἰρημένον τρόπον ἀπολαύειν οἰκήσεως· μὴ δύνασθαι δὲ ταῦτα πρᾶξαι τοὺς προεστῶτας τῆς ἁγίας Ἀναστάσεως δέει τοῦ νόμου τοῦ παρ' ἡμῶν ἐπὶ ταῖς ἐκκλησιαστικαῖς ἐκποιήσεσι τεθέντος, καίτοιγε τοσαύτης οὔσης τῆς ὠφελείας, ὥστε εἰς ἐνιαυτοὺς πεντήκοντα βούλεσθαί τινας τὰ στεγονόμια[3]) ταῦτα ὠνήσασθαι. κἀντεῦθεν πολλοῦ

2) Ven. *κατὰ*, quod ex Auth. emendavi, quum propter sequentia *καθ' ἡμέραν δεχομένην* emendatione omnino opus esset. 3) Osenbrüggen notat: „Vitium hic latere suspicati sunt editores, nam *στεγονόμιον* non est *οἴκημα* sed idem quod

τε καὶ οὐδὲ εἰπεῖν ὅσου τοῦ διαλλάττοντος γινομένου, εἴπερ ἡ μὲν κτῆσις τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ προσγέγονεν τῆς προσόδου περίπου τῶν τριάκοντα τοῦ χρυσοῦ λιτρῶν (καὶ ταῦτα θαυμασίας καθεστώσης) μόλις ἐπὶ τρισκαίδεκα ἔτεσιν, ἡ δὲ τῶν οἰκημάτων πρᾶσις ἐπὶ πεντήκοντα ἐνιαυτοῖς γενήσεται, καὶ μάλιστα τοῦ πράγματος ἐν οἰκήμασιν ἱσταμένου, ἅπερ τυχηραῖς ἁπάσαις ὑπόκειται περιστάσεσιν, εὐθὺς συναπολλύμενα ταύταις καὶ ἴχνος οὐδ' ὁτιοῦν περισώζειν ῥᾳδίως δυνάμενα, εἴπερ ἔκ τινος (ἀπείη δὲ τοῦτο καὶ τοῦ λόγου) περιστάσεως κατενεχθείη ἢ ἄλλως ἀναλωθείη,

α΄. ταῦτα ἡμᾶς ἀφικέσθαι πρὸς τὸν παρόντα νόμον παρεσκεύασεν, ὃν ἀνατίθεμεν τῷ δεσπότῃ θεῷ καὶ τῇ τῶν πασῶν ἐκκλησιῶν ἁγιωτάτῃ Ἀναστάσει· δι' οὗ θεσπίζομεν τὰ μὲν ἄλλα πάντα ....[4]) ἐπὶ τῆς ἁγιωτάτης Ἀναστάσεως προφάσει χωρίων ἐκκλησιαστικῶν (οὐδὲ γὰρ αὐτῇ παντελῶς ἐφίεμεν πρᾶσιν οὐδεμίαν ποιεῖσθαι χωρίων), ἐπὶ μέντοι τῶν οἰκημάτων χαλῶμέν τι τῆς ἀκριβείας τοῦ νόμου. εἰ γὰρ ἐπ' ὠφελείᾳ τῶν ἁγιωτάτων ἐκκλησιῶν τοῦτον ἐγράψαμεν, ὁρῶμεν δὲ τηλικαύτην ἐν τῷ πράγματι τὴν ὠφέλειαν οὖσαν, πῶς οὐκ ἂν διὰ τοῦ παρόντος νόμου τοῦτο αὐτοῖς ἐφήσομεν πᾶσαν διδόντες καὶ τοῖς πιπράσκουσιν ἄδειαν καὶ τοῖς ὠνουμένοις ἀσφάλειαν; καὶ μάλιστα ἐπειδὴ σύνισμεν τῷ χρόνῳ θᾶττον ἄξοντι πάλιν τὰ οἰκήματα πρὸς αὐτὴν, οἷα τῶν ταῦτα ὠνουμένων ὥσπερ διὰ τὴν περὶ τὸ θεῖον σπουδὴν ἐώνηται ταῦτα, οὕτω καὶ ἐπειδὰν τελευτῷεν αὐτῇ ταῦτα καταλιμπανόντων. ἐξέστω τοίνυν αὐτῇ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ποιήσασθαι τὴν τῶν οἰκημάτων πρᾶσιν, μηδὲν εὐλαβουμένῃ τὸν νόμον τὸν ἐν γένει περὶ τούτων κείμενον, διότι νόμῳ

ἐνοίκιον i. e. pensio aedium, confer autem cap. 1 §. 1, ubi Imperator quae solvunt qui in quinquaginta annos emunt aedificia dicit τὰ τιμήματα ἀθροιζόμενα ἐκ τῶν ἐνοικίων etc.".
4) Excidisse quaedam ostendit Auth. forte supplendum: τοῦ περὶ τῶν ἐκκλησιαστικῶν ἐκποιήσεων νόμου κρατεῖν καὶ.

τῇ παλαιότητι ταῦτα εἰς μανίαν [illegible] ..ι τοῦτο μὲν specta-
ἕξει δὲ ὑπακούοντας αὐτῇ καὶ [illegible] ηὐξήσαμεν τὰς σιτήσεις
ἡμῶν παραγγέλματα (καὶ γὰρ [illegible] ..λα πάντα ἐφιλοτιμησάμεθα,
λαβεῖν), οὐδενός τε ἀμελεῖν [illegible] . καὶ τὰς μὲν ταῖς τῶν ἀνθυ-
περ γὰρ τὸν ἐν Πόντῳ [illegible] .., τὰς δὲ τῶν καλουμένων κομή-
αὐτὸν τοῖς αὐτοῖς [illegible] ν καὶ μοδερατόρων ἄλλας, καὶ ἀεὶ
ἔσται καὶ αὐτὸς [illegible] ..λαμπρὸν τῇ καθ' ἡμᾶς πολιτείᾳ νέον
ἐκκλήτων καὶ [illegible] ..ις νοῦν δὲ ἡμῖν ἦλθε καὶ ἡ Καισαρέων[1])
οὐδὲ μέχρι [illegible] Παλαιστίνης ἡγουμένη τῆς πρώτης, ἣν ἐχρῆν
βουλόμεθα [illegible] ἄλλων μείζονος ἀπολαῦσαι τιμῆς, διότι καὶ
παρ[illegible] ..νπατος αὐτὴν εἶχε καὶ ἐφεστήκει τῇ αὐτῇ[2]) τοι-
γε [illegible] ἀρχῇ, καὶ ἐκ σεμνοτέρας εἰς ἐλάττω μετέβαλε, μιᾶς
α [illegible] ἔμπροσθεν τῆς ὅλης οὔσης Παλαιστίνης, εἰς τρεῖς
[illegible] διαιρεθείσης μοίρας, καὶ οὔτε τῆς ἀνθυπατείας αὐτῆς[4])
[illegible] ..ούσης, ἀλλ' εἰς ἀρχὴν ταύτην δὴ τὴν ὀρδιναρίαν καλου-
μένην κατενεχθείσης. καίτοι γε ἀρχαία τε ἐστὶ καὶ ἀεὶ σεμνή,
ἡνίκα τε αὐτὴν Στράτων ἱδρύσατο πρῶτος, ὃς[5]) ἐξ Ἑλλά-
δος ἀναστὰς γέγονεν αὐτῆς οἰκιστής, ἡνίκα τε Οὐεσπασια-
νὸς ὁ τῆς θείας μνήμης, ὁ τῶν αὐτοκρατόρων εὐδοκιμώτατος,
ὁ Τίτου πατὴρ τοῦ τῆς εὐσεβοῦς μνήμης (ὅπερ αὐτῷ καὶ
μόνον ἤρκει πρὸς ἅπασαν εὐδοξίαν) εἰς τὴν τῶν Καισάρων
αὐτὴν ὠνόμασε προσηγορίαν πρότερον Στράτωνος πύργον
καλουμένην, ταύτην αὐτῇ χαρισάμενος τὴν τιμήν, διότι κατ'
αὐτὴν ἐπὶ ταῖς Ἰουδαϊκαῖς νίκαις εἰς αὐτοκράτορας ἀνεγράφη.

emendatione omnino indiget; data enim est post const. XXXI, quae quidem XVII Kal. Augusti Belisario cons. data sit; et sicuti Auth. ita etiam Athanasius constitutionem nostram post consulatum Belisarii datam affirmant. (apud Theod. est μετὰ τὴν ὑπατείαν ἀπίονος, quod ex subscriptione praecedentis Novellae errore repetitum est.) quod ad diem attinet, non mense Maio sed Iunio datam auctor est Athanasius, et Auth. IV Id. Iun. legit. forte XV K. Iun.

1) Hal. Καισάρεια. 2) Hal. τῇ αὐτῇ omittit. equidem τῇ delendum esse crediderim. 3) Hal. et Ven. μέντοι, quod ferri non poterat. 4) αὐτῇ? 5) Ven. ὁ.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ ἰδικοῦ νόμου καὶ αὐτοῦ τοῖς τῶν νόμων ἐγγραφησομένου βιβλίοις ἡ σὴ μακαριότης γινώσκουσα φανερὸν αὐτὸν τοῖς αὐτόθι πᾶσι καταστησάτω. δειξάτω τε τὴν ἡμετέραν προαίρεσιν, ἣν ἐπὶ τῇ ἁγιωτάτῃ καὶ δικαίως παρὰ παντὸς τοῦ τῶν ἀνθρώπων γένους προσκυνουμένῃ Ἀναστάσει τὸ ἡμέτερον ἔχει κράτος καὶ τῷ δεσπότῃ προσάγει θεῷ, τῷ τοσούτων ἡμᾶς καὶ τηλικούτων ἀγαθῶν παρὰ τοὺς ἄλλους ἅπαντας τοὺς πρὸ ἡμῶν βεβασιλευκότας ἐφ' ἑκάστης ἀξιώσαντί τε καὶ ἀξιοῦντι.

Ἰδικὸς νόμος γραφεὶς Πέτρῳ[6]) *τῷ ὁσιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ τῆς Ἱεροσολυμιτῶν πόλεως.* Dat. XV. K. Iun. CP. post Bilisarii V. C. cons.



LII.

Nov. 41.

LEX UT BONUS etc.

Idem Imperator Bono quaestori exercitus.

Recte nobis.[1])

I. Summa Iuliani c. 38.

CLXVI. De quaestoribus id est praefectis insularum.

Haec constitutio quendam virum magnificum Bonum nomine quaestorem exercitui fecit. nam et more antiquo duplex erat quaestorum magistratus, et unus quidem circa latus principis erat, alter autem quaestor exercitui praeerat. disposuit autem praesens constitutio etiam annonas quaestoris et

6) Theophanes non Petrum sed Ioannem hoc tempore archiepiscopum Hierosolymorum fuisse auctor est. Vide not. 35 ad const. XII.

1) Textus huius Constitutionis non extat. rubricam, inscriptionem et verba initialia Athanasius et scholium, quod infra ad c. LXVII exhibebitur, praestant.

consiliarii eius, apparitionem quoque ei dedit ad imitationem quandam praefecti praetorio, id est scriniarios et ab actis et praecones et commentarienses et lampadarios et omnem deinceps ordinem; sed et annonas militum tam comitatensium quam limitatensium disposuit quomodo distribui debeant. subiecit autem ei et quinque provincias id est Scythiam et Mysiam et Cariam et omnes Cycladas insulas et Cyprum totam. causarum quoque auditorium habere ei concessit, ut non obiiciatur ei fori praescriptio. subiunxit autem et notitiam impensarum. et est promulgata haec constitutio Kal. Iunias indictione quinta decima[2]) P. C. Belisarii.

II. Summa Athanasii IV, 12.

ιβ΄. Λὲξ οὖτ Βόνους καὶ τὰ ἑξῆς.

Ὁ αὐτὸς βασιλεὺς πρὸς Βόνον κοιαίστωρα exercitu.

Recte nobis.

Περὶ τῆς ἀρχῆς τῶν νήσων φησὶν ἡ διάταξις, ὑποβάλλουσα τῇ τοιαύτῃ ἀρχῇ Κύπρον, Ῥόδον καὶ τὰς Κυκλάδας νήσους, Καρίαν, Μυσίαν, Σκυθίαν, τὸν τούτων ἡγούμενον Ἰουστινιανὸν κοιαίστωρα exercitu *προσαγορεύουσα, καὶ τῶν στρατιωτικῶν ἡγεῖσθαι τῶν αὐτῶν ἐπαρχιῶν κελεύουσα, καὶ τὰς ἐκ τούτων πεμπομένας ἐκκλήτους ἐξετάζειν αὐτὸν διατυποῦσα, καὶ πρόσγε τὴν ἴσην τάξιν αὐτῷ τῶν ἐπάρχων τῶν πραιτωρίων ἀπονέμουσα. ἐγράφη πρὸ ιε΄ καλανδῶν ἰουνίου μετὰ τὴν ὑπατείαν Βελισαρίου.*

2) Non quadrat, quippe mensis Iunius anni 536 in ind. XIV incidit. proinde scribendum: indictione quarta decima, nisi altius corruptela lateat. ante const. LXVI anno 537 datam indictionis nota subscriptionibus rarissime adiicitur; unde suspicari est, in verbis „indictione XV" latere emendationem *τοῦ* Kal. Iunias, ut legendum sit (cum Athanasio) XV Kal. Iunias.

III. Summa Theodori.

Νεαρὰ μα'.

Περὶ τῆς ἐπαρχότητος τῶν ε' ἐπαρχιῶν.

Ἴσμεν πρώην θείαν πεποιημένοι.[3])

Ἡ Κύπρος καὶ ἡ Ῥόδος ἤγουν αἱ Κυκλάδες νῆσοι πᾶσαι, ὁμοίως δὲ καὶ ἡ Καρία καὶ ἡ Μυσία καὶ Σκυθία ἰδικὴν ἐχέτωσαν διοίκησιν ὑπὸ τὸν Ἰουστινιανὸν οὖσαι κοιέστωρα exercitov, ἔχοντα τάξιν ἐπάρχου, καθεζόμενον ἐν Ὀδύσσῳ καὶ ἄρχοντα τῶν ἐν ταῖς εἰρημέναις ἐπαρχίαις στρατιωτῶν.

Ὁ ἔπαρχος τῶν νήσων τὰς ἐγκλήτους αὐτῶν δεχέσθω. ὁμοίως φησὶν ἡ ν' νεαρά. ἐξεφωνήθη μηνὶ ἰουνίῳ μετὰ τὴν ὑπατείαν Βελισαρίου.

Auth. 32. LIII. Nov. 102.

Basil. VI, 15, 1—3. — Summas praestant Iulian. c. 95, Athan. IV, 19, Theod Nov. 102.

Περὶ τοῦ μοδεράτορος Ἀραβίας.[1])

Ο αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Πολλὰς[2]) *μὲν καὶ ἑτέρας ἀρχὰς ἐπαρχιῶν ἤδη πρὸς τὸ κρεῖττον μετεστήσαμεν, χθαμαλάς τε καὶ εὐτελεῖς ἐμπρο-*

3) Haec sunt verba initialia const. LXVII, quam in Collectione 168 Novellarum bis positam fuisse — sub numeris 41 et 50 — Bienerus iudicavit. quam sententiam licet repetitio verborum initialium eorundem apud Theodorum videatur confirmare, dubitationem tamen movet, quod summa Theodori Nov. 41 aperte legem Ut Bonus ob oculos habet, summa autem Nov. 50 constitutioni LXVII respondet. fortasse etiam Cod. Venetus legem Ut Bonus indicare voluit, dum ad inscriptionem Nov. 40 in margine notat *λείπει διάταξις*.

1) Ven. constanter *ἀῤῥαβ.* scribit. 2) Theodorus auctor est hanc constitutionem incipere a verbis *Ἐπειδὴ δὲ ἡμᾶς.* scilicet in exemplari, quo usus est, tota illa periodus *Πολλὰς*

ὄντες τύχας καὶ πρὸς μηδὲν ἐμποδίους τῶν δεόντων, ἐπειδὴ δὲ ἡμεῖς αὐτοὺς εἰς μεῖζον μετεστησάμεθα τάξιν ἐῤῥωμενεστέρους τῷ πάντα γενομένους, καὶ οὕτως ἀντιλαβομένους τῶν πραγμάτων ὡς ἅπαντα ἐπὶ τὸ κρεῖττον μεταβεβλῆσθαι. ἀνθύπατοι γοῦν ἡμῖν καὶ πραίτωρες καὶ μοδεράτορες καὶ ἡ τῶν παλαιῶν τούτων ὀνομάτων σειρὰ ἐξηφόρηται, καὶ ηὔξηται καὶ τὰ τῶν στρατηγῶν αὐτοῖς καὶ ἐξουσία δέδοται πᾶσα, καὶ πρὸ πάντων ἀπηγόρευται τὸ τοὺς ὑπηκόους λυμαίνεσθαι καὶ χερσὶ ποικίλαις κατ' αὐτῶν χρῆσθαι· ὅρκοις τε τὸ πρᾶγμα κατησφαλισάμεθα τοῖς πάντων φοβερωτάτοις, καὶ οὐκ ἄλλως αὐτοῖς παραδίδομεν τὰς ἀρχὰς εἰ μὴ τοὺς ὅρκους ὑποστάντες οὕτω τῶν συμβόλων ἀξιωθεῖεν τῆς ἀρχῆς. εἴδομεν οὖν καὶ ἐπὶ τὴν Ἀράβων χώραν. καὶ τὴν αἰτίαν ἀναζητοῦντες δι' ἣν καὶ τὸ δημόσιον ἀπορεῖ καίτοι γε τῆς χώρας εὐθαλεστάτης οὔσης. καὶ πλῆθος ἡμᾶς τῶν προσιόντων περιίσταται καὶ ὀδύρονται πάντες οἱ μὲν κλοπὰς οἱ δὲ ἀδικίας οἱ δὲ ἄλλας προσαγγέλλοντες ζημίας. τὴν πρόφασιν καὶ τὴν αἰτίαν τῆς κακίας εὕρομεν ἐκ τῆς περὶ τὴν ἀρχὴν ἀσθενείας γινομένην. ἣν γὰρ οὕτως εὐτελὴς ὁ τὴν πολιτικὴν ἔχων[3] ἀρχήν, ὥστε καταδεδουλῶσθαι τῷ τῶν ὅπλων ἡγουμένῳ. καὶ ἐπὶ ταῖς ἐκείνου βουλαῖς κεῖσθαι τὴν σωτηρίαν αὐτοῦ ἢ μηδ' ὅλως εἶναι τὴν ἀρχὴν ταύτην. τοιγαροῦν καὶ ὁ χρόνος ἤδη συχνὸς ἐξ οὗ καὶ ἐκλέλοιπε, καὶ τὰ τῆς πολιτικῆς ἀρχῆς ἡ στρατιωτικὴ πράττει μηδὲ ἑαυτῇ μηδὲ ἐκείνῃ παντελῶς ἀρκοῦσα· ἠσχόληται γὰρ οὐχ ὅπως ἄν τι τοὺς ὑπηκόους ὠφελήσειεν, ἀλλ' ὅπως ἂν ἑκατέρωθεν ἐκκερδάνοι.

α'. Ταῦτα ἡμᾶς πρὸς τὴν παροῦσαν ἀνέστησε βουλήν, καὶ τῷ παρόντι νόμῳ χρώμενοι μετατίθεμεν τὴν ἀρχὴν ἐπὶ κάλλιον σχῆμα. καὶ φιλοτιμούμεθα καὶ αὐτῇ τὴν τοῦ

— δεόντων defuisse videtur. 3) Sic lego cum Hal. et Auth. Ven.: ὁ τὴν πολιτείαν κεκτημένος.

μοδεράτορος[4]) προσηγορίαν (τοῦτο ὅπερ καὶ ἐν Πόντῳ πεποιήκαμεν)[5]), καὶ τὸ τῶν spectabilium[6]) αὐτῇ δίκαιον δίδομεν ἀρχῶν, ὥστε κατὰ μηδὲν ἐλάττονα τῆς δουκικῆς καθεστάναι, ἀλλ' ἀντέχεσθαι μὲν καὶ τῶν δημοσίων εἰσπράξεων σὺν σφοδρότητι πάσῃ, ἀντέχεσθαι δὲ καὶ τῆς τῶν ἰδιωτῶν ὠφελείας, καὶ μὴ συγχωρεῖν μήτε τῷ περιβλέπτῳ δουκὶ μήτε τῷ φυλάρχῳ[7]) μήτε τινὶ τῶν δυνατῶν οἴκων, ἀλλὰ μήτε τῷ θείῳ πατριμονίῳ ἢ τοῖς θείοις ἡμῶν πριβάτοις ἢ αὐτῷ τῷ θείῳ ἡμῶν οἴκῳ τὴν οἱανοῦν ἐπαγαγεῖν τοῖς ἡμετέροις ὑποτελέσι ζημίαν, μηδὲ κατακλίνεσθαι ῥᾳδίως μηδὲ τρέμειν, ἀλλ' ἀνδρείως τῶν ὑπηκόων ἐξηγεῖσθαι[8]), καὶ πρὸ πάντων μὲν καθαρὰς φυλάττειν θεῷ τε καὶ ἡμῖν καὶ τῷ νόμῳ τὰς χεῖρας (ὑπὸ γὰρ τοῖς αὐτοῖς ὅρκοις ὑφ' οὓς τὰς ἄλλας ἀρχὰς καὶ ταύτην εἶναι βουλόμεθα), ἔπειτα κομίζεσθαι μετὰ τῶν συμβόλων καὶ τὰ βασιλικὰ παραγγέλματα, ἅπερ οἱ μὲν πρὸ ἡμῶν νομοθέται καὶ τὸ παλαιὸν τῆς πολιτείας ἠπίστατο[9]) σχῆμα, ἡμεῖς δὲ καὶ ἐκλελοιπότα πάλιν ἀνεκτησάμεθα καὶ εἰς πολιτείαν κατηγάγομεν, ὥστε καὶ τούτοις ἐντυγχάνειν ἀεὶ καὶ τὰς ἡμετέρας φυλάττειν κελεύσεις. εἰ γὰρ δὴ τούτοις κατακολουθήσειεν, οὐκ ἔστιν ὅπως μὴ πάντα καλῶς ἀπαντήσειεν αὐτῇ καὶ μετὰ τῶν νόμων πρὸς εὐκολίαν καὶ δικαίαν ῥᾳστώνην ἀφίκοιντο.

β'. Πρῶτον μὲν οὖν αὐτῇ σπούδασμα γένηται (καθάπερ εἰπόντες ἔφθημεν) ἡ τῶν δημοσίων εἴσπραξις, τοῖς μὲν εὐγνώμοσι φιλάνθρωπός τε καὶ πατρικὴ γινομένη, τοῖς δὲ ἀγνωμονεστέροις σφοδρά τε καὶ ἀνένδοτος. ἔπειτα ἐπιμελήσεται καὶ τοῦ δημοτικοῦ καὶ τῆς εὐταξίας τῆς αὐτοῦ, καὶ τοῦ μὴ θορύβοις καὶ στάσεσιν ἐκδεδόσθαι μήτε Βοστρύνους[10]) μήτε τοὺς ἄλλους, μήτε τὰ πρὸς τέρψιν ἀνειμένα

4) Ven. et Bas. glossema addunt ἤτοι ἁρμοστοῦ. 5) Const. XXXI. 6) Ven. inter lin.: περιβλέπτων. 7) Iulian.: „i. e. Saracenorum ducem". 8) Hal. ἡγεῖσθαι. 9) Hal. Bas. ἠπίσταντο. 10) Hal. Scr. Βοστρινούς.

τῇ παλαιότητι πάντα εἰς τάξιν τε καὶ φόρους τρέπειν. ἕξει δὲ ὑπακούοντας αὐτῇ καὶ[11] στρατιώτας κατὰ τὰ θεῖα ἡμῶν παραγγέλματα· καὶ γὰρ δὴ καὶ τοῦτο ἐκεῖθεν ἔστι λαβεῖν, οὐδενός τε ἀμοιρῆσαι παντελῶς τῶν δεόντων. καθάπερ γὰρ τὸν ἐν Πόντῳ πεποιήκαμεν μοδεράτορα, οὕτω καὶ αὐτὸν ταῖς αὐταῖς τῆς ἀρχῆς ταύτης ἐμβιβάζομεν ἴχνεσι, καὶ ἔσται καὶ αὐτὸς spectabilis. ὁμοίως δὲ καὶ τὰ περὶ τῶν ἐκκλήτων καὶ τὰ περὶ τῶν ἄλλων αὐτῷ διασαφηθήσεται. καὶ οὐδὲ μέχρι τῆς παραμυθίας τῆς ἔμπροσθεν στησόμεθα μόνης. βουλόμεθα γὰρ αὐτὸν προφάσει σιτήσεων καὶ τῆς ἄλλης παραμυθίας κομίζεσθαι quindecim[12]) χρυσίου λίτρας, τὸν δέ γε πάρεδρον αὐτοῦ τῆς ἀρχῆς duas λίτρας[13]), καὶ τήν γε αὐτοῦ τάξιν duas[14]) χρυσίου λίτρας. εἰ δὲ καὶ ἐκ τῶν βασιλικῶν παραγγελμάτων (καθάπερ εἰπόντες ἔφθημεν) ἤδη τοῖς στρατιώταις ἐφέστηκεν, ἀλλ' οὖν ἔσται φροντὶς ἡμῖν τῶν καταλόγων τῶν ἱδρυμένων ἐκεῖσέ τινα τῷ ταύτην ἔχοντι τὴν ἀρχὴν ὑποκλῖναι, ἐφ' ᾧτε αὐτοῦ ὑπακούειν μόνον καὶ ταῖς αὐτοῦ διατυπώσεσιν εἴκειν τε καὶ πείθεσθαι. οὐκ ἐπικοινωνήσει δὲ παντελῶς ὁ περίβλεπτος δοὺξ οὔτε οἷς ἂν ῥητῶς αὐτῷ δοίημεν στρατιώταις, οὔτε ἰδιώτῃ οὐδενὶ, οὐδὲ ταῖς ἐκείνων δίκαις ὅταν ἔχοιεν πρὸς ἀλλήλους, οὔτε εἰ τῶν ἰδιωτῶν τις ὁ ἐναγόμενος εἴη, οὐδὲ τὴν οἱανοῦν ἕξει μετουσίαν πρὸς ἰδιωτικὰς αἰτίας, ἐπεὶ πολὺ τὸ μέσον ἐστὶ στρατιωτικῆς τε φροντίδος καὶ πολιτικῆς διοικήσεως, καὶ δεῖ διακεκρίσθαι[15]) ταῦτα, καθάπερ οἱ πατέρες ἡμῖν τῆς πολιτείας ἔταξάν τε καὶ κατεστήσαντο. εἰδότος τοῦ περιβλέπτου δουκὸς, ὡς εἰ ἐμβαλεῖν ἑαυτὸν θαῤῥήσειε πράγμασι πολιτικοῖς, οὐδὲ τῶν στρατιωτικῶν ἀντιλήψεται, ἀλλὰ κἀκείνων ἀφαιρεθεὶς ἰδιώτης ἔσται καὶ ὑπὸ τὴν ἀρχὴν ταύτην γενήσεται.

11) Hal. et Bas. τοὺς στρατ. 12) Ven. inter lineas πέντε καὶ δέκα. 13) Ven. supra lineam β'. 14) Hal. θ'. 15) Ita Bas. Ven. καὶ διακεκρίσθω.

γ'. Ταῦτα καὶ[16]) ἡμῖν νενομοθετήσθω καὶ ἐπὶ τῆς ατὰ τὴν Ἀράβων χώραν ἀρχῆς· πεπείσμεθα γὰρ καὶ βουήσει θεοῦ, ὅτι τὸ πρᾶγμα ἐπιδώσει πρὸς τὸ κάλλιον. εἰ ὰρ καὶ οὐκ ἐφεισάμεθα χρημάτων, ἀλλ' ηὐξήσαμεν αὐτῷ ὰς σιτήσεις, ἀλλ' οὖν ἴσμεν ὡς καὶ ὁ ταύτην ἔχων τὴν ἀρχὴν σπεύσει τοιοῦτος φανῆναι περὶ τὰς ἀληθεῖς τῶν δημοσίων φόρων εἰσπράξεις, ὡς μὴ ζημίαν ἐντεῦθεν, ἀλλὰ δίκαιον κέρδος τῷ δημοσίῳ προσαγαγεῖν. ἐκεῖνο μέντοι γίνεσθαί τε καὶ κρατεῖν βουλόμεθα, τὸ τὰς σιτήσεις τοῦ περιβλέπτου δουκὸς ἐκεῖθεν αὐτὸν κομίζεσθαι, ὁπόθεν[17]) ἂν ὁ τῆς ἐπαρχίας ἡγούμενος ἐκτάξειε, πρόδηλον ὄν, ὡς οὐ μετὰ τοσαύτης ἀδρανείας προσέξει τοῖς πράγμασιν ὡς μηδὲ τὰς οἰκείας σιτήσεις ἀπαιτεῖν ἰσχῦσαι· εἰδὼς[18]) ὡς εἰ παρὰ ταῦτά τι πράξειε, ποινὴν quinque[19]) χρυσίου λίτρας ζημιωθήσεται. Dat. VI. K. Iun. Constantinop. post Cons. Belisarii V. C.[20])

Auth. 33. LIV. Nov. 103.

Basil. VI, 17. — Summas praestant Iulian. c. 96, Athan. IV, 20, Theod. Nov. 103.

Περὶ τοῦ ἀνθυπάτου Παλαιστίνης.

Ἐγράφη Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἤδη μὲν καὶ ἄλλας ἐθνῶν ἡγεμονίας μείζους κατεστήσαμεν, χθαμαλάς τε πρότερον οὔσας καὶ πράττειν οὐδ' ὁτι-

16) Καὶ — καὶ omnino abundat: saltem prius illud καὶ secundum Bas. et Auth. delendum est. 17) Ita Hal. quocum facit Auth. Iulian. Athan. et Theod. Ven. ὁπόσον. Bas. ὁπόσας. 18) Scil. ὁ δούξ. Iulianus tamen ad moderatorem pertinere vult. Vide tamen c. LV c. 3. 19) Hal. et Bas. ιε'. ita quoque Ven. supra lineam. 20) Ven. subscriptionem habet hanc: Dat. VI K. Iun. CP. DN. Bilisario V. C. Cons. quod

τῇ παλαιότητι ταῦτα εἰς μανίαν τε … ω μὲν specta-
ἕξει δὲ ὑπακούοντας αὐτῇ καὶ[11]) … μεν τὰς σιτήσεις
ἡμῶν παραγγέλματα (καὶ γὰρ … ἐφιλοτιμησάμεθα,
λαβεῖν), οὐδενός τε ἀμελήσει … μὲν ταῖς τῶν ἀνθυ-
περ γὰρ τὸν ἐν Πόντῳ πετ … ὸν καλουμένων κομή-
αὐτὸν τοῖς αὐτοῖς τῆς ἀρχ … κτόρων ἄλλας, καὶ ἀεὶ
ἔσται καὶ αὐτὸς specta … ιθ' ἡμᾶς πολιτείᾳ νέον
ἐκκλήτων καὶ τὰ περ … ἦλθε καὶ ἡ Καισαρέων[1])
οὐδὲ μέχρι τῆς παρ … μένη τῆς πρώτης, ἣν ἐχρῆν
βουλόμεθα γὰρ … ωνος ἀπολαῦσαι τιμῆς, διότι καὶ
παραμυθίας κτ … στὴν εἶχε καὶ ἐφεστήκει τῇ αὐτῇ[2]) τοι-
γε πάρεδρον … καὶ ἐκ σεμνοτέρας εἰς ἐλάττω μετέβαλε, μιᾶς
αὐτοῦ τάξ … ροσθεν τῆς ὅλης οὔσης Παλαιστίνης, εἰς τρεῖς
σιλικῶν … ῃς μοίρας, καὶ οὔτε τῆς ἀνθυπατείας αὐτῆς[4])
τοῖς … ἀλλ' εἰς ἀρχὴν ταύτην δὴ τὴν ὀρδιναρίαν καλου-
τῶν … κατενεχθείσης. καίτοι γε ἀρχαία τε ἐστὶ καὶ ἀεὶ σεμνή,
τ' … τε αὐτὴν Στράτων ἱδρύσατο πρῶτος, ὅς[5]) ἐξ Ἑλλά-
… ἀναστὰς γέγονεν αὐτῆς οἰκιστής, ἡνίκα τε Οὐεσπασια-
… ὁ τῆς θείας μνήμης, ὁ τῶν αὐτοκρατόρων εὐδοκιμώτατος,
… Τίτου πατὴρ τοῦ τῆς εὐσεβοῦς μνήμης (ὅπερ αὐτῷ καὶ
μόνον ἤρκει πρὸς ἅπασαν εὐδοξίαν) εἰς τὴν τῶν Καισάρων
αὐτὴν ὠνόμασε προσηγορίαν πρότερον Στράτωνος πύργον
καλουμένην, ταύτην αὐτῇ χαρισάμενος τὴν τιμήν, διότι κατ'
αὐτὴν ἐπὶ ταῖς Ἰουδαϊκαῖς νίκαις εἰς αὐτοκράτορας ἀνεγράφη.

emendatione omnino indiget; data enim est post const. XXXI, quae quidem XVII Kal. Augusti Belisario cons. data sit; et sicuti Auth. ita etiam Athanasius constitutionem nostram post consulatum Belisarii datam affirmant. (apud Theod. est *μετὰ τὴν ὑπατείαν ἀπίονος*, quod ex subscriptione praecedentis Novellae errore repetitum est.) quod ad diem attinet, non mense Maio sed Iunio datam auctor est Athanasius, et Auth. IV Id. Iun. legit. forte XV K. Iun.

1) Hal. *Καισάρεια*. 2) Hal. *τῇ αὐτῇ* omittit. equidem *τῇ* delendum esse crediderim. 3) Hal. et Ven. *μέντοι*, quod ferri non poterat. 4) *αὐτῇ*? 5) Ven. *ὁ*.

ρῶμεν δὲ αὐτὴν χώρας ἄρχουσαν μεγάλης τε καὶ
καὶ αἴσθησιν ὅτι μάλιστα πλείστην τῇ καθ'
ιένην πολιτείᾳ φόρων τε μεγέθει καὶ εὐγνωμο-
ῃ, καὶ παρεχομένην πόλεις σεμνάς, καὶ πολί-
ἀγαθοὺς καὶ λόγων μεστοὺς καὶ ἐν ἱερεῦ-
καὶ τὸ δὴ πάντων μέγιστον, ὅτι δὴ κατ'
δημιουργός, ὁ δεσπότης ἡμῶν Ἰησοῦς
λόγος καὶ τοῦ παντὸς ἀνθρώπων σω-
γῆς ὤφθη καὶ ἠξίωσεν οἰκειώσασθαι τὰ

α. Ταύτην τοίνυν πῶς οὐκ ἂν τιμήσαιμεν; καὶ ἐπανάξομεν αὐτὴν πρὸς τὸ τῆς ἀνθυπατείας αὐτῆς[5a]) σχῆμα, καὶ δώσομεν τῷ τὴν ἀρχὴν ἔχοντι ταύτην ἀνθυπάτῳ τε εἶναι καὶ καλεῖσθαι, ὅπερ πράττομεν διὰ τοῦδε τοῦ θείου πραγματικοῦ τύπου· καλεῖσθαι δὲ αὐτὸν καὶ ἰδικὸν βουλόμεθα Καισαρεῦσι νόμον. ἀνθύπατόν τε ἀποτελοῦμεν[6]) τὸν τὴν ἀρχὴν ἔχοντα, καὶ δίδομεν αὐτῷ τὸ τοῖς περιβλέπτοις ἐγγράφεσθαι, καὶ ἔχειν ἅπαντα ὁπόσα ἴδια τῆς τοιαύτης ἐστὶν ἀρχῆς, ἀκούειν τε τῶν ἐφεσίμων δικῶν ἄχρι decem librarum auri[7]) ἐξ ἑκατέρας Παλαιστίνης εἰς αὐτὸν φερομένων, ἰσχυράν τε τῷ παντὶ καθεστάναι, ὥστε καὶ τὰς ἡμετέρας προστάξεις δύνασθαι κάλλιον καὶ ἐῤῥωμενέστερον ἐκτελεῖν. χρήσεται δὲ καὶ τῇ σεμνῇ καὶ ἀρχαίᾳ τηβέννῳ[8]) (φαμὲν δὲ τῇ περιπορφύρῳ στολῇ) ἐν ταῖς ἱερομηνίαις αὐτὴν περιτιθέμενος, καὶ ἐγκαλλωπιζέσθω τοσαύτῃ περιτεθεὶς[9]) τιμῇ. καὶ πόλεων[10]) ἐξαρχέτω, στρατιωτῶν τε τοσούτων[11]), καὶ πᾶν εἴ τι συμφέρον ἐστὶ καὶ τῷ δημοσίῳ καὶ τοῖς ἡμετέροις

5a) αὖθις? 6) Hal. et Ven. ἀποκαλοῦμεν. sed Auth. efficimus. Bas. ἀποστελοῦμεν. 7) Vide quae notavimus const. XL not. 5. 8) Hal. τῇ βενέτῳ. similiter Theod. Ath. lectionem τηβέννῳ firmat. 9) Ita Hal. Ven. et Bas. περιτιθείς. 10) Emendavit Osenbrüggen ex Auth. Hal. πολλῶν. Ven. et Bas. πολέμων. 11) Deest aliquid, v. c. ὅσους αὐτῷ ἀφορίσομεν s. παρέξομεν, ut est infra cap. 3.

οὖν τῶν ἐῤῥωμενεστέρων δυναμένας, καὶ τοῦτο μὲν spectabilias *κατεστήσαμεν, τοῦτο δὲ αὐταῖς ηὐξήσαμεν τὰς σιτήσεις παρέδροις τε καὶ τάξει, καὶ τὰ ἄλλα πάντα ἐφιλοτιμησάμεθα, ἐφέσεών τε ἀκούειν δεδώκαμεν. καὶ τὰς μὲν ταῖς τῶν ἀνθυπάτων ἐπεκοσμήσαμεν τιμαῖς, τὰς δὲ τῶν καλουμένων κομήτων καὶ ἑτέρας πραιτώρων καὶ μοδερατόρων ἄλλας, καὶ ἀεί τι προσεξευρίσκοντες λαμπρὸν τῇ καθ' ἡμᾶς πολιτείᾳ νέον δεδώκαμεν ἄνθος. εἰς νοῦν δὲ ἡμῖν ἦλθε καὶ ἡ Καισαρέων*[1]) *μητρόπολις ἡ Παλαιστίνης ἡγουμένη τῆς πρώτης, ἣν ἐχρῆν καὶ πρὸ τῶν ἄλλων μείζονος ἀπολαῦσαι τιμῆς, διότι καὶ πρῴην ἀνθύπατος αὐτὴν εἶχε καὶ ἐφεστήκει τῇ αὐτῇ*[2]) *τοιαύτη τὶς ἀρχὴ, καὶ ἐκ σεμνοτέρας εἰς ἐλάττω μετέβαλε, μιᾶς μὲν τὸ*[3]) *ἔμπροσθεν τῆς ὅλης οὔσης Παλαιστίνης, εἰς τρεῖς δὲ διαιρεθείσης μοίρας, καὶ οὔτε τῆς ἀνθυπατείας αὐτῆς*[4]) *μεινάσης, ἀλλ' εἰς ἀρχὴν ταύτην δὴ τὴν ὀρδιναρίαν καλουμένην κατενεχθείσης. καίτοι γε ἀρχαία τε ἐστὶ καὶ ἀεὶ σεμνὴ, ἡνίκα τε αὐτὴν Στράτων ἱδρύσατο πρῶτος, ὃς*[5]) *ἐξ Ἑλλάδος ἀναστὰς γέγονεν αὐτῆς οἰκιστὴς, ἡνίκα τε Οὐεσπασιανὸς ὁ τῆς θείας μνήμης, ὁ τῶν αὐτοκρατόρων εὐδοκιμώτατος, ὁ Τίτου πατὴρ τοῦ τῆς εὐσεβοῦς μνήμης (ὅπερ αὐτῷ καὶ μόνον ἤρκει πρὸς ἅπασαν εὐδοξίαν) εἰς τὴν τῶν Καισάρων αὐτὴν ὠνόμασε προσηγορίαν πρότερον Στράτωνος πύργον καλουμένην, ταύτην αὐτῇ χαρισάμενος τὴν τιμὴν, διότι κατ' αὐτὴν ἐπὶ ταῖς Ἰουδαϊκαῖς νίκαις εἰς αὐτοκράτορας ἀνεγράφη.*

emendatione omnino indiget; data enim est post const. XXXI, quae quidem XVII Kal. Augusti Belisario cons. data sit; et sicuti Auth. ita etiam Athanasius constitutionem nostram post consulatum Belisarii datam affirmant. (apud Theod. est *μετὰ τὴν ὑπατείαν ἀπίονος*, quod ex subscriptione praecedentis Novellae errore repetitum est.) quod ad diem attinet, non mense Maio sed Iunio datam auctor est Athanasius, et Auth. IV Id. Iun. legit. forte XV K. Iun.

1) Hal. *Καισάρεια*. 2) Hal. *τῇ αὐτῇ* omittit. equidem *τῇ* delendum esse crediderim. 3) Hal. et Ven. *μέντοι*, quod ferri non poterat. 4) *αὐτῇ*? 5) Ven. *ὁ*.

[§. 1.] ὁρῶμεν δὲ αὐτὴν χώρας ἄρχουσαν μεγάλης τε καὶ θαυμαστῆς, καὶ αἴσθησιν ὅτι μάλιστα πλείστην τῇ καθ' ἡμᾶς παρεχομένην πολιτείᾳ φόρων τε μεγέθει καὶ εὐγνωμοσύνης ὑπερβολῇ, καὶ παρεχομένην πόλεις σεμνὰς, καὶ πολίτας ἐκτρέφουσαν ἀγαθοὺς καὶ λόγων μεστοὺς καὶ ἐν ἱερεῦσιν εὐδοκιμοῦντας, καὶ τὸ δὴ πάντων μέγιστον, ὅτι δὴ κατ' αὐτὴν ὁ τοῦ παντὸς δημιουργὸς, ὁ δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τοῦ θεοῦ λόγος καὶ τοῦ παντὸς ἀνθρώπων σωτηρία γένους, ἐπὶ γῆς ὤφθη καὶ ἠξίωσεν οἰκειώσασθαι τὰ ἡμέτερα.

α'. Ταύτην τοίνυν πῶς οὐκ ἂν τιμήσαιμεν; καὶ ἐπανάξομεν αὐτὴν πρὸς τὸ τῆς ἀνθυπατείας αὐτῆς[5a]) σχῆμα, καὶ δώσομεν τῷ τὴν ἀρχὴν ἔχοντι ταύτην ἀνθυπάτῳ τε εἶναι καὶ καλεῖσθαι, ὅπερ πράττομεν διὰ τοῦδε τοῦ θείου πραγματικοῦ τύπου· καλεῖσθαι δὲ αὐτὸν καὶ ἰδικὸν βουλόμεθα Καισαρεῦσι νόμον. ἀνθύπατόν τε ἀποτελοῦμεν[6]) τὸν τὴν ἀρχὴν ἔχοντα, καὶ δίδομεν αὐτῷ τὸ τοῖς περιβλέπτοις ἐγγράφεσθαι, καὶ ἔχειν ἅπαντα ὁπόσα ἴδια τῆς τοιαύτης ἐστὶν ἀρχῆς, ἀκούειν τε τῶν ἐφεσίμων δικῶν ἄχρι decem librarum auri[7]) ἐξ ἑκατέρας Παλαιστίνης εἰς αὐτὸν φερομένων, ἰσχυράν τε τῷ παντὶ καθεστάναι, ὥστε καὶ τὰς ἡμετέρας προστάξεις δύνασθαι κάλλιον καὶ ἐῤῥωμενέστερον ἐκτελεῖν. χρήσεται δὲ καὶ τῇ σεμνῇ καὶ ἀρχαίᾳ τηβέννῳ[8]) (φαμὲν δὲ τῇ περιπορφύρῳ στολῇ) ἐν ταῖς ἱερομηνίαις αὐτὴν περιτιθέμενος, καὶ ἐγκαλλωπιζέσθω τοσαύτῃ περιτεθεὶς[9]) τιμῇ. καὶ πόλεων[10]) ἐξαρχέτω, στρατιωτῶν τε τοσούτων[11]), καὶ πᾶν εἴ τι συμφέρον ἐστὶ καὶ τῷ δημοσίῳ καὶ τοῖς ἡμετέροις

5a) αὖθις? 6) Hal. et Ven. ἀποκαλοῦμεν. sed Auth. efficimus. Bas. ἀποστελοῦμεν. 7) Vide quae notavimus const. XL not. 5. 8) Hal. τῇ βενέτῳ. similiter Theod. Ath. lectionem τηβέννῳ firmat. 9) Ita Hal. Ven. et Bas. περιτιθείς. 10) Emendavit Osenbrüggen ex Auth. Hal. πολλῶν. Ven. et Bas. πολέμων. 11) Deest aliquid, v. c. ὅσους αὐτῷ ἀφορίσομεν s. παρέξομεν, ut est infra cap. 3.

ὑποτελέσι πραττέτω. κατὰ σιτήσεων δὲ πρόφασιν viginti duas libras auri *αὐτῷ δίδομεν, ὥστε εἰς ἑαυτόν τε καὶ τὸν αὐτοῦ πάρεδρον καὶ τὴν πειθομένην αὐτῷ τάξιν ταῦτα διελεῖν καθ' ὃν ἂν αὐτὸς βουληθείη τρόπον, καὶ ταῦτα εἰς ἡμᾶς μηνῦσαι ὥστε ἐκ θείου πραγματικοῦ τύπου καὶ τὴν ἐπὶ τούτοις διαίρεσιν ἡμᾶς ἐπικυρῶσαι (οὐδὲ γὰρ ὑπομένομεν αὐτόν τε καὶ τὸν πάρεδρον ἔτι τὴν παλαιὰν εὐτέλειαν τῶν σιτήσεων ὁρῶντες κομιζομένους, οὐδὲ τὴν αὐτοῦ τάξιν παντελῶς ἀβοήθητον οὖσαν, καίτοι γε ἐπὶ τοσαύταις εἰσφοραῖς κάμνουσάν τε καὶ κινδυνεύουσαν), ὥστε αὐτὴν εὐνοϊκῶς τε ὑπουργεῖν αὐτῷ καὶ τοὺς δημοσίους εἰσπράττειν φόρους καὶ ἀπέχεσθαι λημμάτων ἀδίκων.*

β'. Ἐπικοινωνήσει δὲ οὐδ' ὁτιοῦν ταῖς πολιτικαῖς αἰτίαις καὶ ταῖς τῶν δημοσίων φόρων εἰσπράξεσιν ὁ κατὰ καιρὸν περίβλεπτος τῶν τόπων δοὺξ, ἀλλ' αὐτὸς πᾶσαν ἰδιωτικήν τε καὶ δημοσίαν κατὰ τὸ ῥηθὲν αἰτίαν διακρινεῖ. καὶ μάλιστα πάντων προνοήσει τῆς τε ἀνελλιποῦς τῶν δημοσίων εἰσκομιδῆς, καὶ τοῦ καθαραῖς χρῆσθαι ταῖς χερσὶ (τοῦτο ὅπερ καὶ Στέφανος ὁ περίβλεπτος ὁ νῦν πρῶτος ἐπ' αὐτῆς γενόμενος ἤδη τε φυλάξας ηὐδοκίμησεν, καὶ αὖθις ὅτι τοῦτο πράξει διὰ τῶν ἤδη φθασάντων πεπείσμεθα), μάλιστα δὲ πάντων φροντιεῖ τῆς τῶν πόλεων εὐταξίας καὶ τοῦ μηδένα εἶναι ταῖς πόλεσι δημοτικὸν θόρυβον· καὶ γὰρ δὴ καὶ τοῦτο αὐτοῦ[12]*) τῆς ἀρχῆς ἴδιον, ὃς δὴ παραλαβὼν στασιάζουσαν τὴν χώραν ἔκ τε προφάσεων ἑτέρων καὶ μάλιστα ἐκ τοῦ διαφόρου τῶν θρησκευμάτων, εἰρηνικήν τε ἀπέδειξε καὶ πάσης ἀπήλλαξε ταραχῆς. ὃ δὴ καὶ αὖθις αὐτῷ ποιεῖν ἐπιτρέπομεν, καὶ εἴ ποτε τοιοῦτό τι γένοιτο, κατὰ τὴν δευτέραν τε ἐπιφοιτᾶν Παλαιστίνην καὶ καθιστᾶν τὸ ταράττον, καὶ μὴ συγχωρεῖν μηδ' ὁτιοῦν πράττεσθαι κατ' ἐκείνην δύσκολον, καὶ μάλιστα δὴ κατ' ἐκείνην, ἐπειδήπερ ὁρῶμεν*

12) Scil. *Στεφάνου.*

ιολλοὺς ἐκεῖσε φυομένους θορύβους καὶ οὐ μικρὰ τούτων ̓ποτελέσματα καθεστῶτα.

γ΄. Εἰ δὲ δεηθείη καὶ στρατιωτῶν τῶν ἐγκαθημένων ἡ χώρα, καὶ τούτους αὐτῷ παρέξομεν ἐξ οὗπερ ἂν ἡμεῖς ̓υνίδοιμεν[13]) γενναιοτάτου στρατιωτικοῦ καταλόγου, πρός τε ἡν τῶν πόλεων εὐκοσμίαν καὶ εὐταξίαν τῶν τοὺς ἀγροὺς ιἰκούντων, πρός τε τὴν τῶν δημοσίων εἴσπραξιν. τοῦ θείου ιραγματικοῦ τύπου τοῦ ἐπὶ τούτοις αὐτῷ δεδομένου πρώην :υρίου καὶ νῦν μένοντος, ὃς οὐ βούλεται οὐδὲ τὸν περί ̓λεπτον δοῦκα οὐδὲ τὸν ἐνδοξότατον στρατηγὸν ἄδειαν ἔχειν ̓φέλκειν τοὺς προσεδρεύοντας αὐτῷ στρατιώτας, ἵνα μή τις ̓ντεῦθεν γένηται ταῖς πόλεσι ταραχή, τοῦτο ὅπερ οὐκ ἂν ιοτε πραχθήσεται διοικοῦντος μὲν αὐτοῦ τὴν πολιτικὴν ̓ρχήν, προνοοῦντος δὲ καὶ τῆς τῶν δημοσίων[14]) ὑποτελῶν ̓ταξίας, τήν τε ἐκ τῶν στρατιωτῶν ἔχοντος συμμαχίαν, καὶ ὸ ἀκοσμοῦν ἔν τε αὐτοῖς τοῖς στρατιώταις ἔν τε τοῖς ἄλλοις ̓ι' ἐκείνων παιδεύοντος. [§. 1.] ἔσονται δὲ διακεκριμένοι οῖς ὅλοις ὅ τε περίβλεπτος τῶν τόπων δοὺξ καὶ ὁ τὴν ἀν-θύπατον ἔχων ἀρχήν. καὶ ὁ μὲν ἡγήσεται στρατιωτῶν τε :αὶ λιμιτανέων καὶ φοιδεράτων καὶ εἴ τι κατὰ τὴν χώραν ιπλιτικὸν ὅλως ἐστὶ πλὴν τῶν ἀφωρισμένων τῷ ἀνθυπάτῳ ̓τρατιωτῶν, ὁ δὲ τὴν ὑπὲρ τῶν πολιτικῶν προσώπων τε :αὶ πραγμάτων καὶ προσεδρευόντων αὐτῷ στρατιωτῶν ἕξει ιρόνοιάν τε καὶ φυλακήν. δημοσίων μέντοι φόρων ἕνεκεν ̓ στάσεως δημοτικῆς οὐδεὶς ἐξαιρεθήσεται παντελῶς τῆς τοῦ ιεριβλέπτου ἀνθυπάτου δικαιοδοσίας, ἀλλὰ πάντων ἄρξει, ιᾶσιν ἐπιτάξει, καὶ οὐδεὶς ἀντιστήσεται ταῖς διατυπώσεσι ταῖς ιὐτοῦ οὐδὲ ἕξει πρόφασιν οὐδεμίαν ἢ τὸ δημόσιον ἀποστε-ιεῖν ἢ τοὺς πολίτας[15]) ἀδικεῖν δημοσίας στάσεως ἐξάρχων, ιὐδὲ χρήσεται οὔτε ζώνης οὔτε ἀξίας οὔτε ἱερωσύνης οὔτε

13) Ven. συνείδομεν. 14) δημ. in Auth. rectius deest. nisi ̓orte plura exciderint, veluti τῆς τῶν δημοσίων [εἰσπράξεως καὶ :ῆς τῶν] ὑποτ., aut legendum sit δημοτικῶν. 15) Ven. παῖδας.

ἑτέρας τινὸς αἰτίας προνομίῳ, ἀλλ' ἑαυτὸν ἐξαρπάσει μόνον τῶν εὐθυνῶν τῷ ἀνεύθυνος εἶναι. [§. 2.] ταῦτα τοίνυν δίδομεν καὶ ταύτῃ καθάπερ εἰπόντες ἔφθημεν τῇ ἀρχῇ, καὶ φυλάττειν διηνεκῶς διὰ τοῦδε τοῦ θείου πραγματικοῦ βουλόμεθα νόμου. καὶ τὴν σὴν δὲ ὑπεροχὴν φυλάττειν αὐτὴν διηνεκῶς θεσπίζομεν, καὶ κατὰ τοῦτον ἐγγράφεσθαι τὸν τρόπον ταῖς μερικαῖς διατυπώσεσι τῶν θρόνων τῶν σῶν, καὶ γινώσκειν ἅπαντας εἰς τὸν ἐφεξῆς χρόνον Παλαιστίνους, ὅτι πάλιν αὐτοῖς τὸ τῆς ἀνθυπατείας ἀποδίδοται δίκαιον, καὶ ὁ τῆς πρώτης Παλαιστίνης ἐξάρχων ἀνθύπατός ἐστιν αὐτοῖς ὡς πρότερον, καὶ τῆς ἔμπροσθεν ἀπηλλαγμένος ὀφρύος νῦν ἐπὶ μείζονος ἔσται τιμῆς ὀφειλομένης τῇ πόλει.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ καὶ ἰδικοῦ δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ λόγῳ[16]) καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. Kal. Iun.[17]) CP. DN. Iustinian. PP. Aug. post Belisarii V. C. cons.[18])

Ed. 4.

LV.

Περὶ τῆς ἀρχῆς Φοινίκης Λιβανησίας.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ β' ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἀμίσθους μὲν χρῆναι γίνεσθαι τὰς ἀρχὰς ἤδη νόμος ἡμέτερος[1]) λέγει, ὃν δὴ καὶ κύριον εἶναι διὰ πάντων τίθεμεν.

α'. Ἐπειδὴ δὲ πάντα περισκοπούμενοι πρός τε τὴν τῶν ὑποτελῶν εὐγνωμοσύνην πρός τε τὴν τῶν τόπων φυλακὴν τὰς ἀρχὰς τὰς μὲν συνήψαμεν, τὰς δὲ διείλομεν, τὰς

16) Verba καὶ λόγῳ Hal. omittit. 17) Ath. et Theod. μηνὶ ἰουλίῳ, ut et Auth. forte XV K. Iun. 18) Ven. Bilis. v. c. cons. sed Ath. Theod. μετὰ τὴν ὑπατείαν βελισαρίου, ut et Auth.

1) Const. XVI.

δὲ εἰς ἄλλο καὶ ἄλλο μετεστήσαμεν σχῆμα, τινὰς ἐξ αὐτῶν ὑψηλοτέρας τε ἅμα ποιήσαντες καὶ ὀνόμασι μείζοσι τῶν νῦν ὄντων κατακοσμήσαντες, καὶ πραίτωράς τε καὶ ἀνθυπάτους καὶ μοδεράτωρας καὶ κόμητας παρὰ τὸ πάλαι κεκρατηκὸς εἰς τὴν πολιτείαν εἰσαγαγόντες καὶ πάντα ἐπ' ὠφελείᾳ ταύτης πράξαντες[2]), διὰ τοῦτο ᾠήθημεν χρῆναι καὶ τὴν ἀρχὴν τῆς πρὸς τῷ Λιβάνῳ Φοινίκης ἐκ τῶν ἡγεμονικῶν εἰς σπεκταβιλίαν ἐνεγκεῖν, καὶ τὸ τοῦ μοδεράτωρος αὐτῇ δοῦναι σχῆμα, καὶ σιτήσεις αὐτῇ ἄχρι δέκα λιτρῶν ἀφορίσαι χρυσίου, αὐτοῦ μὲν μηδὲν τῷ δημοσίῳ παρέχειν ὀφείλοντος προφάσει τῆς τοιαύτης προσαγωγῆς[3]), τοῦ δὲ τὸ Φοινίκης σκρινίον τρακτεύοντος δέκα μόνας χρυσίου λίτρας ἐτησίας διδόντος ἀπὸ τοῦ κανόνος τῆς αὐτῆς ἐπαρχίας τῷ κατὰ καιρὸν λαμπροτάτῳ πριμικηρίῳ τῶν περιβλέπτων τριβούνων[4]) νοταρίων ὑπὲρ τῆς πρῴην αὐτῷ δεδομένης δωρεᾶς, ὅπερ καὶ βενεφίκιον ὀνομάζεται, καὶ ταύταις δὴ καὶ μόναις ἀρκεῖσθαι αὐτόν. τοῦ μοδεράτωρος καθαροῦ δόσεως πάσης φυλαττομένου, καὶ ἔχοντος μὲν καὶ τὴν τῶν ἄλλων στρατιωτῶν ὑπουργίαν, καθ' ὅσον αὐτῷ δίδωσιν ἡ θεία ἡμῶν διάταξις.

β'. Πλὴν ἀλλ' ἐξαίρετον αὐτῷ δίδομεν τὸν ἀριθμὸν τῶν ἀνδρειοτάτων τερτιοδελμάτων, ὅς[5]) ἐπὶ τῆς Φοινίκων χώρας ἐστὶν, ὥστε αὐτοῦ κατακούειν, ἕπεσθαί τε αὐτῷ καὶ ταῖς αὐτοῦ πείθεσθαι κελεύσεσιν, ὁπόσαι προΐοιεν ἐπί τε ταῖς τῶν δημοσίων εἰσπράξεσι, ἐπί τε ταῖς τῶν δημοσίων καταστάσεσιν[6]), ἐπί τε ταῖς τῶν πόλεων ἀπαθείαις. ταῦτα τοίνυν ἅπαντα θεσπίζομεν τὴν σὴν ὑπεροχὴν ἐπισταμένην, διότι καὶ σύμβολα παρ' ἡμῶν γίνεσθαι προσετάχθη πρὸς τὸν τῆς ἀρχῆς ταύτης ἡγούμενον, τὰς decem libras auri τὰς ὑπὲρ σιτήσεων ἐκ τῶν τῆς ἐπαρχίας φόρων ἐκτάττειν,

2) Const. XXIV—XXVI. XXXI. XXXII. XLIV. XLV. LIII. LIV. 3) Legerim προαγωγῆς. 4) Imo legendum τῷ κ. κ. περιβλέπτῳ πριμ. τῶν λαμπροτάτων τριβ. νοτ. 5) Ven. ὡς. 6) Const. XVI c. 12 „ἐπὶ ταῖς ἐνστάσεσι ταῖς δημοσίαις".

οὐδὲν ἐλαττουμένων τῶν διατετυπωμένων δίδοσθαι ἔτους ἑκάστου τῷ περιβλέπτῳ πριμικηρίῳ τῶν λαμπροτάτων τριβούνων νοταρίων παρὰ τοῦ τοῖς δημοσίοις ἐφεστῶτος λογισμοῖς, ἀλλ' οὐδὲ πλείονός τινος γινομένης προσθήκης αὐτῷ. [§. α'.] καὶ ἔχειν δὲ αὐτὸν προτέραν μὲν σπουδὴν τὴν περὶ τὸ δημόσιον εὔνοιαν, δευτέραν δὲ τὴν περὶ τῆς εὐταξίας τῶν πόλεων, καὶ τρίτην τὴν πρὸς τοὺς ἰδιώτας δικαιοσύνην, πάντων ὡς εἴρηται τῶν γεγραμμένων παρ' ἡμῶν ἐν τῇ θείᾳ ἡμῶν διατάξει προφάσει τῆς καταστάσεως τῶν μοδερατόρων καὶ τῶν λοιπῶν ἀρχόντων καὶ ἐπ' αὐτῷ χώραν λαμβανόντων. [§. β'.] εἰ μέντοιγε ὁ ῥηθεὶς ἀριθμὸς τῶν καθωσιωμένων τερτιοδελμάτων κατὰ κέλευσιν ἡμετέραν εἰς ἑτέρους μετασταίη τόπους, φροντιοῦμεν ἡμεῖς ἕτερον αὐτῷ ἀντικαταστῆσαι, ὥστε μηδὲν αὐτῷ παντελῶς ἐλλείπειν τῆς νενομισμένης τε καὶ ἀρκούσης βοηθείας. τοῦ περιβλέπτου δουκὸς πρὸς τὸν εἰρημένον λόχον οὐδεμίαν ἔχοντος μετουσίαν· οὐδὲ γὰρ ἐπικοινωνῆσαι αὐτὸν βουλόμεθα οὐδὲ τοῖς ῥητῶς δεδομένοις στρατιώταις τῷ περιβλέπτῳ μοδεράτωρι, οὐδὲ ἰδιωτῶν οὐδενί, οὐδὲ ταῖς ἐκείνων δίκαις ὅταν ἔχοιεν πρὸς ἀλλήλους οὔτε εἰ τῶν ἰδιωτῶν τις ἐνάγοιτο πρὸς οὓς οὐδεμίαν δεδώκαμεν αὐτῷ μετουσίαν, ἐπεὶ πολὺ τὸ μέσον ἐστὶ στρατιωτικῆς τε φροντίδος καὶ πολιτικῆς διοικήσεως, καὶ δεῖ διακεκρίσθαι ταῦτα, καθάπερ οἱ πατέρες τῆς πολιτείας ἡμῖν ἔταξάν τε καὶ κατεστήσαντο. εἰδότων τῶν περιβλέπτων δουκῶν, ὡς εἴπερ ἐμβαλεῖν ἑαυτοὺς θαῤῥήσαιεν πράγμασι πολιτικοῖς, οὐδὲ τῶν στρατιωτικῶν ἀντιλήψονται καὶ ὑπὸ τὴν ἀρχὴν ταύτην τετάξονται. βουλόμεθα γὰρ κατὰ μηδὲν ἐλάττονα τὴν ἀρχὴν ταύτην τῆς τοῦ δουκὸς ἀρχῆς καθεστάναι, ἀλλ ἀντέχεσθαι μὲν ὡς εἴρηται τῆς τῶν δημοσίων εἰσπράξεως σὺν σφοδρότητι πάσῃ, ἀντέχεσθαι δὲ καὶ τῆς τῶν ἰδιωτῶν ἀπαθείας, καὶ μὴ συγχωρεῖν μηδὲ τοῖς περιβλέπτοις δουξὶ μηδὲ τοῖς λαμπροτάτοις φυλάρχοις μηδέ τινι τῶν δυνατῶν οἴκων, ἀλλὰ μήτε τῷ θείῳ ἡμῶν πατριμονίῳ ἢ τοῖς θείοις

ἡμῶν πριβάτοις ἢ τῷ θείῳ ἡμῶν οἴκῳ τὴν οἱανοῦν ἐπαγαγεῖν τοῖς ἡμετέροις ὑποτελέσι ζημίαν, οὐδὲ κατακλίνεσθαι οὐδὲ τρέμειν, ἀλλ' ἀνδρικῶς τῶν ὑπηκόων ἡγεῖσθαι, καὶ πάντα πράττειν ὁπόσα ἐπὶ τοῖς ἄλλοις μοδεράτωρσι νενόμισται, καὶ οὕτω τὰ περὶ τῶν ὅλων αὐτῷ διοικεῖσθαι.

γ'. Ἐκεῖνο μέντοι γίνεσθαί τε καὶ κρατεῖν βουλόμεθα τὸ τὰς σιτήσεις τῶν περιβλέπτων δουκῶν ἐκεῖθεν αὐτοὺς κομίζεσθαι, ὁπόθεν ἂν ὁ περίβλεπτος τῆς ἐπαρχίας μοδεράτωρ ἐκτάξειε· πρόδηλον ὂν ὡς οὐ μετὰ τοσαύτης ἀδρανείας προσέξουσι τοῖς πράγμασιν ὡς μηδὲ τὰς οἰκείας σιτήσεις[7]) ἰσχύειν ἀπαιτῆσαι, εἰδότες, ὡς εἰ παρὰ ταῦτά τι πράξειαν, κοινὴν viginti librarum auri καταθήσουσι.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω.[8])

Auth. 43. **LVI.** Nov. 42.

Versio antiqua ab Authentico diversa exhibetur in actis concilii quinti Constantinopolitani (cf. Mansi Concilior. coll. to. VII p. 1149—1156) indeque post Contium editionibus Novellarum inserta est. Inscriptio ibi est: In nomine domini Iesu Christi dei nostri Imp. Caesar Flavius Iustinianus Alemannicus Gothicus Francicus Germanicus Anticus Alanicus Vandalicus Africanus pius felix gloriosus victoriosus triumphalis semper Augustus Mennae sanctissimo et beatissimo archiepiscopo et universali patriarchae. — Summas praestant Iulian. c. 10, Athan. I, 5, Theod. Nov. 42 (quem sequuntur Basil. I, 1, 54) et Nomoc. XIV titt. X, 10. XII, 3.

Περὶ τῆς καθαιρέσεως Ἀνθίμου καὶ Σεβήρου καὶ Πέτρου καὶ Ζοορᾶ[1]) καὶ τῶν λοιπῶν.

Ὁ αὐτὸς βασιλεὺς Μηνᾷ[2]) τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ πατριάρχῃ.

Πρᾶγμα οὐκ ἄηθες τῇ βασιλείᾳ καὶ ἡμεῖς πράττοντες ἐπὶ τὸν παρόντα ἐληλύθαμεν νόμον. ὁσάκις γὰρ ἡ τῶν

7) Ven. αἰτήσεις. 8) Subscriptio deest in Cod. Bienero auctore haec constitutio annis 535—537 assignanda est. equidem mox post const. LIV vel etiam eodem die datam esse crediderim.
1) Alii Σευῆρος et Ζωορᾶς scribunt. 2) Athan. (ed. Heimb.)

ἱερέων ψῆφός τινας τῶν οὐκ ἀξίων τῆς ἱερωσύνης τῶν ἱερατικῶν κατεβίβασε θρόνων (ὁποῖον δὴ Νεστόριόν τε καὶ Εὐτυχέα, Ἄρειόν τε καὶ Μακεδόνιον καὶ Εὐνόμιον, καὶ ἄλλους δή τινας εἰς κακίαν οὐκ ἐλάττους ἐκείνων), τοσαυτάκις καὶ ἡ βασιλεία σύμψηφος γέγονε τῇ τῶν ἱερέων αὐθεντίᾳ, ὥστε τὰ θειότερά τε καὶ ἀνθρώπινα συνδραμόντα μίαν συμφωνίαν ταῖς ὀρθαῖς ποιήσασθαι ψήφοις. ὁποῖον[3]*) δή τι καὶ ἔναγχος γενόμενον περὶ Ἄνθιμον ἴσμεν, ἀπελαθέντα μὲν τοῦ τῆς βασιλίδος ταύτης πόλεως θρόνου παρὰ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης, προέδρου γεγονότος τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ἁγιωτάτης ἐκκλησίας, οἷα τῷ κατὰ μηδένα τρόπον αὐτῷ προσήκοντι παρὰ πάντας τοὺς εὐαγεῖς κανόνας ἐπεισπηδήσαντα θρόνῳ, κοινῇ δὲ ψήφῳ τοῦ τε αὐτοῦ τῆς ἁγίας μνήμης ἀνδρὸς πρότερον καὶ μὴν καὶ τῆς ἐνταῦθα γενομένης ἱερᾶς συνόδου καταδεδικασμένον τε καὶ καθῃρημένον, διότι τῶν ὀρθῶν ἀπεφοίτα δογμάτων, καὶ οἷς πρότερον πολλαχόθεν ἐφαίνετο στέργων ταῦτα ὕστερον διαφόροις ἀπέφευγε περινοίαις, προσποιούμενος μὲν ταῖς τέτταρσιν ἁγίαις συνόδοις ἀκολουθεῖν (τῇ τε τῶν τριακοσίων δέκα καὶ ὀκτὼ*[4]*) πατέρων τῶν ἐν Νικαίᾳ, τῇ τε τῶν πεντήκοντα καὶ ἑκατὸν τῶν ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει, τῇ τε τῶν ἐν Ἐφέσῳ τὸ πρῶτον συναχθέντων διακοσίων, τῇ τε τῶν θεοφιλεστάτων πατέρων τῶν ἐν Χαλκηδόνι ἑξακοσίων τριάκοντα) οὐ μὴν τοῖς τούτων δόγμασι κατακολουθῶν, οὔτε τὴν ἡμετέραν φιλανθρωπίαν καὶ τὴν συγκατάβασιν ἣν διὰ τὴν αὐτοῦ σωτηρίαν ἔσχομεν προσδέξασθαι βουληθείς, οὐδὲ ἀποκηρύξαι καὶ αὐτὸς*[5]*) τῶν ἀσεβῶν δογμάτων ἀρχηγοὺς τοὺς ὑπὸ τῶν προτέρων ἁγίων ἐκβεβλημένους συνόδων, ἀλλ' οἰόμενος χρῆναι κατὰ ταὐτὸν καὶ ἐν ἴσῳ τούς τε καταδεδικασμένους*[6]*) τούς τε καταδικάσαντας*

inscribit *Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων*. 3) Ita Mansi et Auth. — Hal. et Ven. *Ὅμοιον*. 4) Hal. inserit *ἁγίων*. 5) Hal. *αὐτούς*, forte *αὐτὸς τούς*. 6) Verba *τούς τε καταδεδικ.* in Ven. desunt.

ἄγειν. ἅπαξ γὰρ ταῖς ἀλλοτρίαις τῆς ἁγιωτάτης ἐκκλησίαις ἐννοίαις κατανδραποδισθεὶς καὶ τῶν ὀρθῶν ἠλλοτριωμένος δογμάτων εἰκότως ἐπανελθεῖν εἰς τὴν αὐτῶν οὐκ ἴσχυσεν ὀρθότητα, καὶ ταῦτα παρ' ἡμῶν καὶ προτραπεὶς καὶ ὁδηγηθεὶς πάσῃ χρησαμένων σπουδῇ πρὸς τὴν σωτηρίαν τὴν αὐτοῦ.

α'. Διὰ ταῦτα τοίνυν ἅπαντα τὴν γενομένην ἐπ' αὐτῷ τῆς καθαιρέσεως ψῆφον παρὰ τῆς ἁγίας συνόδου προφάσει τῆς τε οὐ θεμιτῆς οὐδὲ ὑπὸ τῶν ἁγίων κανόνων μαρτυρουμένης τῶν τῆς βασιλίδος ταύτης πόλεως ἱερατικῶν θρόνων ἁρπαγῆς καὶ τῆς ἀπὸ τῶν ὀρθῶν τε καὶ ἀληθῶν δογμάτων ἐκτροπῆς κυρίαν ἡ ἡμετέρα τίθεται βασιλεία καὶ ἐπὶ τούτοις τὸν παρόντα γράφει νόμον. ἀπαγορεύομεν δὲ αὐτῷ καὶ τῆς κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν καὶ τῆς περιοικίδος αὐτῆς διατριβῆς καὶ πάσης ἑτέρας τῶν ἐπισήμων πόλεων, θεσπίζοντες ἐφησυχάσαι καὶ τούτοις στέργειν οἷς ἑαυτὸν ἀξίως ὑπέθηκεν, καὶ μήτε τισὶν ἐπικοινωνεῖν μήτε ἐμβιβάζειν αὐτοὺς εἰς τὴν τῶν ἀπηγορευμένων δογμάτων ἀπώλειαν. [§. 1.] οὐ μὴν οὐδὲ τὴν δικαίως ἐξενεχθεῖσαν κατὰ Σεβήρου ψῆφον, τὴν ἐκ πάντων ὡς εἰπεῖν τῶν ἀρχιερατικῶν τε καὶ πατριαρχικῶν μετὰ τῆς μοναχικῆς συναινέσεως προελθοῦσαν θρόνων, τὴν τὸν ἀναθεματισμὸν ἐπάγουσαν αὐτῷ, βασιλικῆς ἔξω καταλιμπάνομεν ἐπικυρώσεως· ὃς πρότερον παρὰ τοὺς ἱεροὺς θεσμοὺς καταλαβὼν τὸν θρόνον τῆς Θεουπολιτῶν ἁγιωτάτης ἐκκλησίας, οὕτω συνετάραξεν ἅπαντα, οὕτω μεταπεποίηκε ταραχῆς[7]), ὡς κοινόν τινα καὶ ἀκήρυκτον ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐμβαλεῖν πρὸς ἀλλήλας πόλεμον. καὶ τοῦτο καὶ τοῖς πρὸ ἡμῶν σκήπτροις πρὸς αὐτὸν γέγραπται[8]), ποικίλαις μὲν δογμάτων καὶ ἀπηλλοτριωμέναις τῆς ὀρθότητος περινοίαις τε καὶ βλασφημίαις χρησάμενον, ἅπαντα δὲ συνταράξαντα καὶ μόνων τῶν τῆς ἐκα-

7) Hal. συνταράξας. Legerim μεστὰ πεποίηκε. 8) Ven. γεγράφθαι.

τέρου τῶν αἱρεσιαρχῶν πλάνης βδελυρῶν τε καὶ ἀνοσίων δογμάτων ἀντεχόμενον (Νεστορίου τε φαμὲν καὶ Εὐτυχοῦς, καὶ τῶν ἑκατέρου τούτων καθηγεμόνων ἐξ ἐναντίας μὲν εἶναί πως δοκούντων ἀλλήλοις, πρὸς ἓν δὲ τέλος τῆς ἀσεβείας ἐπειγομένων), καὶ τοὺς ἐκείνων χαρακτηριστικοὺς ἐντυπωσάμενον[9]) λόγους. δυοῖν γὰρ ὄντων ἐναντίων ἀλλήλοις δογμάτων, ὧν ἑκάτερον ὁμοίως εἰς ψυχικὴν[10]) ἀπώλειαν ἄγει (τοῦ τε Νεστορίου τοῦ τε Εὐτυχοῦς καθάπερ εἰπόντες ἔφθημεν), ἅπερ ἐκ τῶν Ἀρειανικῶν τε καὶ Ἀπολλιναρίου συνέστη μιασμάτων, αὐτός τι παράδοξον παθὼν ὁμοίως εἰς ἑκάτερον ἐμπέπτωκε, καὶ πὴ μὲν τοῦτο πὴ δὲ ἐκεῖνο πρεσβεύων κοινὸν ἔδοξε δοχεῖον ἑαυτόν τε καὶ τοὺς ἑαυτοῦ λόγους τῶν τηλικούτων πλημμελημάτων καταστῆσαι. [§. 2.] ἔστω τοίνυν καὶ αὐτὸς ὑπὸ τὸν εἰρημένον ἀναθεματισμόν, ὃν ἅπαν τὸ πατριαρχικόν τε καὶ ἱερατικὸν καὶ μοναχικὸν τῆς ἡμετέρας πολιτείας ὡς εἰπεῖν σχῆμα δικαίως ἐπήγαγεν αὐτῷ, τῆς μὲν Θεουπολιτῶν ἐκβεβλημένος, διότι περ αὐτὸν ὁ κατ' ἐκείνων[11]) ἀπεσείσατο θρόνος οἷα μηδὲ τὴν ἀρχὴν ὀρθῶς αὐτοῦ[12]) ἐπειλημμένον, ἀλλ' ἔτι ζῶντός τε καὶ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἀνακηρυττομένου τοῦ πρὸ αὐτοῦ τὴν ἱερωσύνην ἐσχηκότος, παρὰ δὲ τοῦ μετ' αὐτὸν τῆς ἱερωσύνης ἐκπεπτωκότα[13]), οὐ πάντα δὲ μέχρι τούτου μόνον, ἀλλ' ἤδη καὶ ὑπὸ κοινὸν ἀναθεματισμὸν τῆς ὀρθοδόξου καὶ καθολικῆς ἐκκλησίας γενόμενον, καὶ πολλῶν ἡμῖν βιβλίων βλασφήμων τε καὶ ἀπηγορευμένων ἐμπλήσαντα τὸ πολίτευμα. ὥστε καὶ ἀπαγορεύομεν ἅπασι τῶν αὐτοῦ τι κεκτῆσθαι βιβλίων, καὶ ὥσπερ οὐκ ἔξεστι τὰ Νεστορίου γράφειν ἢ κεκτῆσθαι βιβλία[14]) διότι τοῖς πρὸ ἡμῶν αὐτοκράτορσιν ἐν

9) Hal. ἐκτυπ. Auth.: *in se designantem*, quasi fuerit ἐν ἑαυτῷ τυπ. Mansi: in unum formavisse, quasi legatur εἰς ἓν τυπωσ. 10) Malim cum Auth. legere ψυχῆς. Hal. ψυχήν. 11) Ven. ἐκεῖνον. forte ἐκείνην, quod Mansi et Auth. legere suadent. 12) Ven. αὐτῆς. 13) Ven. ἐκπεπτωκότος. 14) Verba καὶ ὥσπερ — βιβλία desunt in Cod. Ven.

ῖς ἑαυτῶν διατάξεσιν ἔδοξε τοῖς παρὰ Πορφυρίου κατὰ μετιανῶν εἰρημένοις ὅμοια καθεστάναι, οὕτω μήτε τὰ βήρῳ ῥηθέντα τε καὶ γραφέντα μενέτω παρά τινι Χριανῷ, ἀλλ' ἔστω βέβηλα καὶ ἀλλότρια τῆς καθολικῆς ἐκησίας, πυρί τε φλεγέσθω παρὰ τῶν κεκτημένων, εἰ μὴ ύλονται κινδυνεύειν οἱ ταῦτα ἔχοντες. γραφέσθω τε παρὰ δενὸς τὸ λοιπὸν μηδὲ τῶν εἰς κάλλος μηδὲ τῶν εἰς τάχος αφόντων, μηδὲ ἄλλου τῶν πάντων τινὸς, εἰδότος ὡς ἀποπὴ χειρὸς ἔσται τοῖς τὰ ἐκείνου γράφουσιν ἡ ποινή· δὲ γὰρ βουλόμεθα καὶ τῷ λειπομένῳ χρόνῳ τὴν ἐξ ἐκείν ἐπισύρεσθαι βλασφημίαν. [§. 3.] ὁμοίως δὲ δὴ καὶ ῦτον[15]) παντοίως ἀπαγορεύομεν τῆς τε βασιλίδος ἐπιβαίιν πόλεως ἢ περιοικίδος αὐτῆς ἄλλης τε τῶν ἐπισημοτέρων νὸς, ἀλλ' ἐν ἐρημίᾳ τινὶ καὶ ἡσυχίᾳ καθῆσθαι, καὶ μὴ διαθείρειν ἑτέρους μηδὲ εἰς βλασφημίαν αὐτοὺς προάγειν, μηδὲ ι τι καινὸν ἐξευρίσκειν κατὰ τῶν ἀληθινῶν δογμάτων, δι' οὗ ίλιν ἡμῖν συνταράξαι τὰς ἁγιωτάτας ἐκκλησίας σπεύσειεν.

β'. Οὐ μὴν οὐδὲ Πέτρον τὸν Ἀπαμείας γενόμενον ίσκοπον, καὶ ἅμα μὲν καθῃρημένον ἅμα δὲ ἐπὶ τοῖς αὐῖς ἐφ' οἷς Σεβῆρος ὑπὸ τὸν εἰρημένον ἀναθεματισμὸν νόμενον, ἡ βασιλεία προσίεται, ἀλλ' ἔστω κύρια καὶ τὰ τ' αὐτοῦ ψηφισθέντα, καὶ ὑπὸ τὸν κοινὸν ἀχθεὶς ἀναματισμὸν ὑπ' αὐτὸν τετάχθω, τῆς τῶν ἁγιωτάτων ἀρχιεων προελθούσης ἐπ' αὐτῷ ψήφου κυρίας διαμενούσης. κ ἐφίεμεν δὲ οὐδὲ ἐκείνῳ ταύτην οἰκεῖν τὴν βασιλίδα λιν ἢ τὴν αὐτῆς περιοικίδα ἢ[16]) τινα τῶν σεμνοτέρων λεων, ἀλλ' ὧν ἠκολούθησε τῇ πλάνῃ τούτων μιμείσθω ὶ τὴν δίαιταν, ἀπῳκισμένος ὅτι πορρωτάτω καὶ καταύπτων ἑαυτὸν, ὡς τοῖς γε τοιούτοις τὸ κρύπτεσθαι μᾶλν τοῦ φαίνεσθαι λυσιτελέστερον· ἀφανεῖς μὲν γὰρ ὄντες υτοὺς καταβλάψουσι μόνους, δημοσιεύοντες δὲ τὰ ἑαυτῶν

15) Ven. τοῦτο. 16) ἢ deest in Ven.

δόγματα πολλοῖς τῶν ἀφελεστέρων ἀφορμὴν ἀπωλείας παρέχουσιν, ὅπερ κατ' οὐδένα γίνεσθαι τρόπον ἐν τῇ χριστιανικῇ τοῦ θεοῦ ποίμνῃ καὶ τῷ ὀρθοδόξῳ λαῷ δίκαιόν ἐστιν οὐδὲ παρὰ τῆς βασιλείας συγχωρούμενον.

γ'. Ἐπειδὴ δὲ καὶ Ζωορᾶν ἠξίωσαν ὅλως ὑπὸ ἀναθεματισμὸν οἱ σεβασμιώτατοι καὶ τὰ δίκαια κρίνοντες ἐπίσκοποι ποιήσασθαί τινα μικρὰν παρενθήκην τῶν τοιούτων ὄντα κακῶν, καὶ ἐν οἷς ἠτίμασται τὸ γοῦν ὅλως τυχεῖν τινος εὐπορήσαντα μνήμης, ἔστω καὶ Ζωορᾶς τῆς πονηρᾶς ταύτης μερίδος (Ἀνθίμου τε καὶ Σεβήρου καὶ Πέτρου φαμὲν) παρενθήκη τὶς εὐτελὴς καὶ ἐν τοῖς ἀναθεματισμένοις καὶ αὐτὸς τετάχθω τῆς ἱερατικῆς αὐτὸν κατενεγκούσης ψήφου, ἣν κυρίαν καὶ αὐτὴν ἐφ' ἑαυτῆς οὖσαν κυριωτέραν ἔτι μᾶλλον ἡ βασιλεία ποιεῖ, καὶ τοῦτον συνεξελαύνουσα τῆς βασιλίδος ταύτης πόλεως καὶ τῆς ταύτης περιοικίδος καὶ τὴν ἐπὶ τῶν πόλεων οἴκησιν αὐτῷ παντοίως ἀπαγορεύουσα, ὥστε μετ' ἐκείνων μόνων οἰκεῖν τε καὶ βουλεύεσθαι τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων, ὅμοια μὲν βλασφημούντων ὁμοίως δὲ περιωρισμένων. εἰ δέ τι καὶ ἕτερον τῇ τῶν ἁγιωτάτων ἐπισκόπων περιέχεται ψήφῳ τῇ τοὺς προειρημένους καθαιρούσῃ τε καὶ ἀναθεματιζούσῃ, κύριον δὴ καὶ τοῦτο τίθεμεν καὶ τοῖς βασιλικοῖς ἡμῶν αὐτὸ νόμοις ἐπικυροῦμεν, ὡς ἂν εἰ παρὰ τῆς βασιλείας αὐτῆς προελθὸν ἐτύγχανεν. εἰ δέ τις αὐτῶν ἁλοίη τὸ λοιπὸν πράττων τὶ παρὰ τὰ διατεταγμένα, ἴστω καὶ τοῖς πολιτικοῖς ὑποπεσούμενος νόμοις, οἳ τοὺς τὰς ἐλάττους τῶν κοινῶν ἐκκλίνοντας εἰς μείζους ἐμβάλλουσι τὰς ἀγανακτήσεις. [§. 1.] ἀπαγορεύομεν δὲ καὶ παντὶ τῷ τὴν καθολικὴν ἐκκλησίαν τοῦ θεοῦ διασπᾶν ἐπιχειροῦντι, εἴτε κατὰ τὴν Νεστορίου τοῦ φρενοβλαβοῦς ὑφήγησιν εἴτε κατὰ τὴν ἀνόητον Εὐτυχοῦς παράδοσιν εἴτε κατὰ τὴν Σεβήρου βλασφημίαν τοῦ τὰ αὐτὰ ἐκείνοις νοσήσαντος[17]) εἴτε τῶν

17) Hal. et Mansi νοήσαντος.

ἐκείνοις ἀκολουθούντων, ταῖς ἁγιωτάταις ἐκκλησίαις ταραχὰς ἐμβάλλειν καὶ φθέγγεσθαί τι περὶ πίστεως, ἀλλὰ θεσπίζομεν ἕκαστον τῶν τοιούτων τὴν ἡσυχίαν ἄγειν, καὶ μήτε συγκαλεῖν εἰς ταὐτό[18]) τινας μήτε προσιόντας δέχεσθαι ἢ παραβαπτίζειν θαῤῥεῖν ἢ τὴν ἱερὰν κοινωνίαν ῥυπαίνειν καὶ ταύτης μεταδιδόναι τισὶν ἢ τὰς ἀπηγορευμένας διδασκαλίας ὑφηγεῖσθαι, ἢ ἐπὶ ταύτης τῆς βασιλίδος ἡμῶν πόλεως ἢ ἐφ' ἑτέρας, ἀλλ' ὑφορᾶσθαι πάντα κίνδυνον εἴ τι τοιοῦτο πράξαιεν. [§. 2.] ἀπαγορεύομεν δὲ καὶ πᾶσι τούτους ὑποδέχεσθαι. ἀπελαύνειν μὲν οὖν θεσπίζομεν αὐτοὺς τῶν ὑπ' αὐτῶν ταραττομένων πόλεων, εἰδότας τὰς ποινὰς τὰς ταῖς θείαις ἡμῶν ἤδη περιεχομένας διατάξεσιν, αἵπερ καὶ τὰς οἰκίας αὐτὰς ἐν αἷς τοιοῦτό τι πράττεται καὶ τὰ χωρία ἐξ ὧν τὰς τροφὰς χορηγοῦνται ταῖς ἁγιωτάταις ἐκκλησίαις προσκυροῦσι, τῶν μὲν κεκτημένων ἀφαιρούμεναι διότι βλάβης αἴτια τοῖς ἁπλουστέροις γίνεται, ὑπὸ δὲ τὰς ἁγιωτάτας καὶ ὀρθοδόξους ἐκκλησίας ταῦτα δικαίως ἄγουσαι. [§. 3.] ταῦτα ὑπὲρ τῆς κοινῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν νομοθετοῦμεν, ταῦτα ψηφιζόμεθα τοῖς τῶν ἁγίων πατέρων κατακολουθοῦντες δόγμασιν, ὅπως ἂν τὸ ἱερατικὸν ἅπαν ἀτάραχον ἡμῖν τοῦ λοιποῦ διαμένοι. οὗπερ ἐν εἰρήνῃ φυλαττομένου καὶ τὸ λοιπὸν ἡμῖν εὐθυνήσει πολίτευμα τὴν ἄνωθεν ἔχον εἰρήνην, ἣν ἅπασιν ὁ μέγας θεὸς καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τῆς τριάδος εἷς, ὁ μονογενὴς τοῦ θεοῦ λόγος, κηρύττει τε καὶ χορηγεῖ τοῖς γνησίως αὐτὸν καὶ ἀληθῶς δοξάζειν τε καὶ προσκυνεῖν ἠξιωμένοις.

Ἡ τοίνυν σὴ μακαριότης τὰ ὀρθῶς ἡμῖν παραστάντα φυλαττέτω τε καὶ εἰς ἔργον ἀγέτω, καταπέμπουσα αὐτὰ διὰ θεοφιλῶν αὐτῆς γραμμάτων πᾶσι τοῖς ὑπ' αὐτὴν τεταγμένοις ὁσιωτάτοις μητροπολίταις· ὧν ἑκάστῳ γενήσεται φροντὶς ταῖς ὑπ' αὐτοὺς τεταγμέναις ἁγιωτάταις ἐκκλησίαις ταῦτα ποιῆσαι

18) Mansi cum Auth. εἰς ἑαυτόν.

φανερά, ὥστε μηδένα τῶν πάντων διαλαθεῖν τά τε τῇ ἀρχιερωσύνῃ δόξαντα τά τε ὑπὸ τῆς βασιλείας κεκυρωμένα. Dat. VIII. Id. Aug. Constant. post Belisarii V. C. cons.[19])

Nov. 154.

LVII.

Summas habent Athan. XI, 6, Theod. Nov. 154.

Περὶ τῶν ἐν Ὀσροηνῇ ἀθεμίτως συναλλαττόντων.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Φλώρῳ κόμητι τῶν θείων πριβάτων.

Παράδοξός τις ἦλθεν εἰς ἡμᾶς λόγος, ὡς οἱ κατὰ τὴν μέσην τῶν ποταμῶν καὶ τὴν Ὀσροηνὴν ἐπαρχίαν τολμῶσι γάμοις ἀθεμίτοις ὁμιλεῖν, καὶ τοὺς ῥωμαϊκοὺς παραβαίνουσι νόμους καὶ τὰς ἐν αὐτοῖς ἠπειλημένας ποινὰς τάς τε παλαιὰς καὶ νέας[1]), τοῖς μὲν ἐκ γειτόνων προσέχοντες, εἰς ἀθεμίτους δὲ καὶ κεκωλυμένους ἐμπίπτοντες γάμους. ἡμεῖς τοίνυν τούτων μὲν οὐδὲν παντελῶς ἐπιστεύσαμεν· οὐ γὰρ ἡγούμεθα ἀνθρώπους μέρος ὄντας τῆς ἡμετέρας πολιτείας τοιοῦτό τι πράττειν θαῤῥεῖν, καὶ τὴν γονὴν τὴν ἑαυτῶν καταισχύνειν καὶ τὰ ὀνόματα συγχέειν.

α΄. Ὥστε καὶ ἐξερευνᾶν ταῦτα ἠβουλόμεθα, καὶ εἴ τι τοιοῦτον ὅλως πέπρακται, τοὺς ἁμαρτάνοντας πρὸς ἐσχάτην

19) Auth. sequor. Ven. subscriptionem habet: Dat. XVII ιδ. Aug. Constantinupo. post CP. Imp. Bilis. V. C. Cons. — Athanasius, qui quidem Ioanni P. P. constitutionem inscribit, subscriptionem habet: ἐγράφη πρώτῃ (l. πρὸ ιη΄) καλ. ἀπριλίων μετὰ τὴν ὑπατείαν βελισαρίου. ad Mennam patriarcham constitutio post aliquod tempus missa esse videtur, eique tum subscriptum, ut est in Auth. quam subscriptionem utpote inscriptioni respondentem recepimus eo lubentius, quod etiam a Iuliano firmatur. (Theod.: ἐξεφωνήθη μηνὶ αὐγούστῳ τῆς ὑπατείας βελισαρίου.)

1) Hal. τάς τε νέας.

ἄγειν τιμωρίαν. ἀλλ' ἐπειδὴ καὶ χρόνος ἐστὶ μακρὸς καὶ οὐδὲ πιστεύομεν τοιοῦτό τι γεγενῆσθαι πλημμέλημα, εἰ ἄρα καὶ τοιοῦτό τι συμβέβηκε, τὸ μὲν παρῳχηκὸς ὅπως δή ποτε ἂν ἔχοι συγχωροῦμεν τοῖς τὴν Ὀσροηνὴν καὶ τὴν μέσην τῶν ποταμῶν τὰς ἐπαρχίας κατοικοῦσι προφάσει τῶν ἐν αὐταῖς γενομένων διαφόρως[2]) ἐφόδων, καὶ μάλιστα ἀγροικικοῦ πλήθους ὡς ἐπὶ τὸ πλεῖστον ὄντος τοῦ ταῦτα ἐξαμαρτεῖν λεγομένου, καὶ ἐπὶ τοῦ νῦν σχήματος ἐῶμεν εἶναι, οὐδὲν πολυπραγμονοῦντες τῶν ἄχρι τῆς νεαρᾶς ἡμῶν θείας διατάξεως[3]) περὶ τούτου ὡς εἰκὸς πλημμεληθέντων, ἀλλὰ θεσπίζοντες, πᾶσαν κωλυθῆναι περὶ τούτου ζήτησιν τοιαύτην κατὰ προσώπων ἢ πραγμάτων διαφερόντων τοῖς ἐν ταῖς αὐταῖς ἐπαρχίαις οἰκοῦσι. μετὰ δὲ τὸν ἡμέτερον νόμον τὸν ἔναγχος περὶ τούτου τεθέντα εἴ τις ἐτόλμησεν ἢ καὶ τολμήσειεν τοιοῦτό τι πρᾶξαι, βουλόμεθα τοῦτον ὑπὸ ποινὰς ἐσχάτας καταστῆναι, εἰδότα ὡς οὐ μέχρι χρηματικῶν στησόμεθα ποινῶν, ἀλλ' αὐτόν τε καὶ γυναῖκα καὶ παῖδας ἐξ ἀθεμίτων γενομένους γάμων μετὰ τὴν ἡμετέραν ὡς εἴρηται θείαν διάταξιν μετελευσόμεθα, καὶ τὸν εἰς κεφαλὴν κίνδυνον καὶ τὴν εἰς περιουσίαν αὐτοῖς ποινὴν ἐπιστήσομεν, οὐδενὸς φειδόμενοι, οὔτε εἰ μείζονος οὔτε εἰ ἐλάττονος εἴη καταστάσεως ἢ τύχης ἢ ἱερωσύνης (τοῦτο γὰρ ἔτι μᾶλλόν ἐστι δυσκολώτερον), ἀλλὰ πᾶσιν ὁμοίως ἐπεξιόντες τὴν νενομισμένην καὶ τοῖς ῥωμαϊκοῖς πρέπουσαν νόμοις φυλάξομεν εὐταξίαν, οὐ μέρος μόνον τῆς οὐσίας ἀφαιρούμενοι, ἀλλὰ καὶ τὴν οὐσίαν ὅλην καὶ μέρος τοῦ σώματος, καὶ εἴπερ καὶ δυσκολώτερα[4]) εὕρωμεν τὴν ἀθεμιτογαμίαν καὶ αὐτὴν ἴσως τὴν ψυχήν, οὐδενὸς ἀποφυγεῖν δυναμένου ἐκ τοῦ[5]) τοῖς πέλας ἐν τοῖς πλημμελήμασιν ἀκολουθεῖν. χρὴ γὰρ τὰ ὀρθά τε καὶ προσήκοντα φρονεῖν καὶ τοὺς ἄλλους ἀνιστᾶν εἰς τὸν τοιοῦτον

2) Hal. διαφόρων. 3) Const. XXII. 4) Hal. δυσκολωτέραν. 5) Hal. εἰς τὸ τὰς ποινὰς τοῖς πλ.

ζῆλον, ἀλλ' οὐκ αὐτοὺς πράττειν παράνομα καὶ εἰς τὴν πρὸς ἀλλήλους καταφεύγειν μίμησιν. ταῦτα τοίνυν φυλάττεσθαι βουλόμεθα ἐπὶ τῶν εἰρημένων ἐπαρχιῶν, τῶν τε πολιτικῶν τῶν τε στρατιωτικῶν ἀρχόντων τοῦτο φυλαττόντων καὶ τὰς ποινὰς ἐπιτίθεσθαι τοῖς ἁμαρτάνουσι παρασκευαζόντων. τοῦτο δὲ αὐτὸ τοῖς τῆς χώρας[6]) κατὰ πρόσταξιν σὴν διὰ προγραμμάτων παρὰ τῶν οἰκείων ἀρχόντων γενέσθαι βουλόμεθα φανερόν, εἰ μὴ βούλονται καὶ αὐτοὶ ταῖς ἐσχάταις ὑποβληθῆναι ποιναῖς καὶ ταῖς ἐκπτώσεσι τῶν ἀρχῶν καὶ τῶν οὐσιῶν εὔ τινος τούτων ἀμελήσειαν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα πραγματικοῦ τύπου ἡ σὴ ἐνδοξότης ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat.[7])

Nov. 139.

LVIII.

In Veneto loco Novellae 139 exhibetur particula Novellae 134 (nobis est c. CLXVIII c. 8). — Summam praestat solus Theod. Nov. 139.

Συγχώρησις ποινῆς περὶ τῶν ἀθεμίτων γάμων.

Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν Αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανὸς Φλώρῳ.

Ἀνήγαγεν ἡμῖν ἡ σὴ ἐνδοξότης τοὺς ἀπὸ Συνδύος κώμης καὶ τοὺς Ἑβραίους τῆς τῶν Τυρίων γάμους ἀθεμίτους συμβάλλοντας ὑπὸ τὴν θείαν ἡμῶν γενέσθαι διάταξιν[1]),

6) Hal. ἐπὶ τῆς. 7) Haec constitutio posterior quidem est constitutioni XXII datae XV Kal. Iun. anni 535, recentior autem const. LVIII, si prooemium spectes. const. autem LVIII anno 536 vindicanda esse videtur, quippe Florus comes rerum privatarum, cui similiter inscripta est, anno quidem 536 in fine const. XLVIII memoratur, post hoc tempus autem nusquam occurrit.

1) Scil. const. XXII.

καὶ οὐδὲ τὴν τετάρτην μοῖραν τῆς αὐτῶν διδόναι περιουσίας κατὰ τὰ περὶ τούτου προστεταγμένα, ἤδη δὲ καί τινας ἐξ αὐτῶν τρίτης ἡλικίας καθεστάναι καὶ παίδων εἶναι πατέρας καὶ διὰ τοῦτο μετὰ δακρύων ἱκετεῦσαι μὴ ἂν ἀναγκασθῆναι νῦν ἀποπέμψαι τὰς γαμετὰς, ἀλλὰ καὶ ἔχειν αὐτὰς καὶ τοὺς ἐξ αὐτῶν γεννωμένους ἢ γενησομένους παῖδας διαδόχους αὐτῶν καθεστάναι, καὶ μηδεμίαν αὐτοὺς ἐντεῦθεν εὐλαβεῖσθαι ποινήν.

α'. Θεσπίζομεν τοίνυν ὑπὲρ τῆς τοιαύτης συγχωρήσεως αὐτοὺς δοῦναι ἀνὰ δέκα λίτρας χρυσίου διὰ τὰς ἔμπροσθεν εἰρημένας αἰτίας, αὐτοῖς δὲ καὶ μόνον συγχωρεῖσθαι καὶ τὴν μείζονα ποινὴν, ἔχειν τε αὐτοὺς καὶ τὰς συνοικούσας καὶ τοὺς ἐκεῖθεν τεχθέντας τε καὶ τεχθησομένους ὡς εἰκὸς αὐτοῖς καὶ διαδόχους· οὐκ εἰς παράδειγμα ἑτέρων τοῦτο παρ' ἡμῶν θεσπισθὲν[2]), ἀλλ' εἰδότος ἑτέρου παντὸς, ὡς εἴ τι τοιοῦτον αἰτήσειε, πρὸς τῷ μηδενὸς τυγχάνειν τῶν αἰτουμένων τήν τε οὐσίαν ἀποβαλεῖ καὶ πρός γε τὰς εἰς τὸ σῶμα ποινὰς ὑποστὰς ἐξορίᾳ οἰκήσει διηνεκεῖ. οὐδεὶς δὲ παρενοχλήσει τοὺς παρ' ἡμῶν ἀξιωθέντας εἰδικῆς φιλοτιμίας, οὔτε γυναῖκας αὐτῶν ἢ παῖδας ὄντας ἢ ἐσομένους ἢ περιουσίας, οὔτε ἐκ ψήφου τῆς[3]) δικαστικῆς οὔτε καθ' ἕτερον οἱονδήποτε τρόπον.

Ἡ τοίνυν σὴ ἐνδοξότης τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου ἡμῶν δηλούμενα πραγματικοῦ τύπου, δύναμιν ἔχοντος καὶ εἰδικῆς ἡμῶν φιλοτιμίας, ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω.[4])

2) Malim τούτου — θεσπισθέντος. 3) τινός? 4) Vide quae dicta sunt const. LVII not. 7.

Edict. 9.

LIX.

Summam ex Epitome aliqua Novellarum haustam praestitit Cod. Bodl. 3399, unde eam edidi in Ἀνεκδ. p. 224.

Περὶ ἀργυροπρατικῶν συναλλαγμάτων.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Τριβουνιανῷ ἐπάρχῳ πόλεως.[1])

Τὸ κοινὸν τοῦ συστήματος τῶν ἀργυροπρατῶν τῶν ἐπὶ ταύτης τῆς μεγάλης πόλεως ὄντων ἱκέτευσε τὸ ἡμέτερον κράτος, πρὸς τοῖς ἄλλοις ἅπασιν οἷς αὐτοῖς πεφιλοτιμήμεθα καὶ νῦν καθ' ἕτερον αὐτοῖς βοηθῆσαι τρόπον. ἐδίδαξαν γάρ τινας ἐποφλήσαντας ἢ καὶ ἐποφείλοντας καὶ ἀπαιτουμένους χρυσίον ἢ πράγματα, καὶ οὐκ ἔχοντας ὅθεν τοῦτο διαλύσειαν αἰτεῖν αὐτοὺς καθαρὰς ἀντιφωνήσεις ὑπὲρ αὐτῶν ὑπεισιέναι, καὶ ποτὲ μὲν αὐτὸ τοῦτο ἐν ὁμολογίαις συγγράφειν, ποτὲ δὲ διὰ τὴν ἐκ τοῦ συμβάλλοντος πίστιν καὶ ἀγράφως αὐτοῖς ἐντέλλεσθαι τοῦτο ποιεῖν, ἑαυτοὺς δὲ ταῖς ἐκείνων αἰτήσεσιν ἐνδιδόντας ὁρίζειν χρόνον ῥητὸν πρὸς τοὺς ἐνοχλοῦντας αὐτοῖς ὥστε εἴσω τούτου πάντως τὸν ἀντιφωνητὴν καταθεῖναι τὸ ὄφλημα, ἑαυτοὺς[2]) δὲ ἐκείνοις ἀντιφωνεῖν, εἶτα τῆς προθεσμίας ἐνστάσης ἀπραγμόνως ποιεῖν τὸ ἱκανὸν τοῖς τὰς ἀντιφωνήσεις δεχομένοις, ἀναλαμβανόντων τῶν ὑπευθύνων ἴσως καὶ τὰς δανειακὰς συγγραφὰς καὶ τὰς ὁμολογίας τὰς αὐτῶν ἢ καὶ διαλύσεις λαμβανόντων

1) Illud ἐπάρχῳ πόλεως non quadrat. Praef. urbi argentariis ordinarius iudex est: Tribonianum, si P. U. fuisset, argentariis specialem iudicem dari (ut factum est c. 7) non erat opus. itaque aut excidit aliquid, veluti κοιαίστωρι. τὸ ἰσότυπον τῷ ἐπάρχῳ πόλεως, aut simpliciter legendum κοιαίστωρι, pro quo facit etiam Epitome supra laudata §. ultima. 2) Ven. ἑαυτὸν.

ς τὸ ἀσφαλὲς διὰ τῆς ἀντιφωνήσεως πεποιηκότων. πολλοὺς ὶ καὶ ἐπιτυχεῖν τινος βουληθέντας ἢ καὶ βουλομένους πράγατος ἐντείλασθαι αὐτοῖς ὑπὲρ αὐτῶν ἀντιφωνῆσαι χρημάτων ·νῶν ἢ πραγμάτων δόσεις, καὶ τοῖς μὲν κατορθοῦσθαι τὸ κουδαζόμενον, αὐτοὺς δὲ ἀμελητὶ κατατιθέναι τὸ χρυσίον ἢ ὶ πράγματα, καὶ ἁπλῶς οὕτω γίνεσθαι τὰς ἀντιφωνήσεις, ὐκ ἐντελλομένων αὐτῶν, μὴ[3]) ἄλλως τὸ χρυσίον ἢ τὰ πράγατα καταβάλλειν, πρὶν ἂν ὁ τὴν ἀντιφώνησιν λαμβάνων κόδειξιν τῶν χρημάτων ἢ τῶν πραγμάτων ποιήσοιτο ἢ πάθοιτο ταῦτα εἰληφέναι· καὶ αὐτοὺς μὲν παρέχειν τὸ ρυσίον ἢ τὰ πράγματα, ὕστερον δὲ ἀμφισβητήσεις ἔχειν ιείνων ἀποδείξεις ζητούντων τοῦ τὸ χρυσίον ἢ τὰ πράγατα δεδόσθαι, πρᾶγμα παντοίως ἀμήχανον καὶ φοβερὸν ποῖς ὑπάρχον ὁμοίως μὲν τὸ παρῳχηκὸς, ὁμοίως δὲ τὸ ιιζόμενον, ὅπερ[4]) τῶν ἀδυνάτων ἐστί (τίς γὰρ ἂν τῶν τὸ υσίον ἢ πράγματα ἀντιφωνηθέντων ἢ ἀντιφωνουμένων μὴ ὶ τῷ[5]) ποιήσασθαι τῶν διδομένων ἀπόδειξιν ἢ κατάθεσιν ὑπομνήμασιν, ὡς ταῦτα εἴη λαβὼν, ἕλοιτο ἂν πρὸς τοῦτο θεῖν;) πολλάκις δὲ αὐτοὺς ταλαιπωρουμένους καὶ ἐκχωρεῖν ἑροις τὰς ἀγωγὰς, καὶ ἀντιτίθεσθαι ταῦτα οὐκ αὐτοῖς νοις ἐνάγουσιν, ἀλλὰ καὶ τοῖς τὰς ἀγωγὰς ἐκχωρηθεῖσιν ἐκχωρουμένοις. καὶ ᾔτησαν ταύτης ἀπαλλαγῆναι τῆς σκολίας, καὶ εἴπερ ὅλως καθαρὰ γέγονεν ἢ γενήσεται ἡ τολὴ, ὥστε τὸ χρυσίον ἢ τὰ πράγματα ῥητῆς εἴσω προθεσμίας καταβάλλειν αἱρέσεως οὐδεμιᾶς προκειμένης, ἅμα τῷ ιρελθεῖν τὴν προθεσμίαν ἔνοχον τὸν ἐντειλάμενον καθεστάναι τῇ τοῦ χρέους ἐκτίσει αὐτοῖς τε καὶ τοῖς παρ' αὐτῶν χωρηθεῖσιν ἢ καὶ ἐκχωρουμένοις, μὴ μόνον εἰ τοῦτο ἐγγράφως ἐντειλάμενοι τύχοιεν, ἀλλὰ καὶ εἰ ἀγράφως ἅπαν τὸ ιᾶγμα πραχθείη.

α'. Ἡμεῖς τοίνυν βοηθῆσαι τῷ πράγματι βουλόμενοι

3) Ven. καὶ μή. 4) Malim ὅτιπερ. 5) Ven. τό.

(μετὰ μέντοι πάσης ἰσότητος καὶ δικαιοσύνης, καὶ ὥστε τοῦ λοιποῦ πᾶσι τρόποις ἀσφαλῶς προϊέναι ταῦτα) θεσπίζομεν, μὴ ἄλλως αὐτοὺς αἱρεῖσθαι τὰς ἀντιφωνήσεις ὑπεισιέναι, πρὶν ἂν ἔγγραφος αὐτοῖς περὶ τούτων γένηται ἐντολὴ, ἅπαν τὸ πρᾶγμα ὅπως ποτὲ πραχθῆναι δέοι σαφῶς διορίζουσα, μηδὲ ἐκ τῶν καλῶν τούτων πίστεων εἰς ὄλεθρον προφανῆ καθαρῶς ἐμπίπτειν· εἰ δέ γε κατά τινα τρόπον ἔγγραφον μὲν μὴ γένοιτο, χρόνος δὲ ὁρισθείη, καὶ σιωπήσειεν ἐφ' ἅπαντα τὸν χρόνον ἐκεῖνος ὑπὲρ οὗ τὰ τῆς ἀντιφωνήσεως γένοιτο καὶ μὴ μέμψοιτο, διαδράμοι δὲ καὶ ὁ χρόνος, εἶτα μηδὲ μετὰ ἄλλην δίμηνον αὐτὸ τοῦτο ἐν μέμψει[6]) ποιήσεται, πάντως τὸν ἐντειλάμενον καταβαλεῖν τῷ ἀντιφωνήσαντι τὸ χρέος ὅπερ ἂν ἀποδειχθείη κατὰ γνώμην αὐτοῦ παρά τινος τῶν ἀργύρου τραπέζης προεστώτων ἀντιπεφωνημένον, καὶ μὴ δύνασθαι μηδὲ αὐτοῖς μηδὲ τοῖς αὐτῶν κληρονόμοις ἢ τοῖς παρ' αὐτῶν ἐκχωρηθεῖσιν ἢ ἐκχωρουμένοις τὸν τοιοῦτον ἀντιτίθεσθαι λόγον, ἀλλ' ἐκεῖνο κρατεῖν ὅπερ ἂν ἡ τῶν ἐντολῶν δείξειε πίστις, εἰ μὲν ἐν γράμμασιν αὗται προέλθοιεν τοῦ δικάζοντος τοῖς γράμμασιν ἀκολουθοῦντος, εἰ δὲ ἄγραφον εἴη τὸ σύμφωνον ταῖς ἐπὶ τούτῳ διδομέναις κατὰ τὸν νόμον ἀποδείξεσιν ἑπομένου. τούτων κρατούντων ἐπί τε τῶν ἤδη γενομένων κατὰ τοῦτον τὸν τρόπον, ἐπί τε τῶν ἐσομένων ἀντιφωνήσεων.

β'. Εἰ δὲ καί τις αὐτοῖς ὑπεσχέθη ἢ ὑποσχεθείη θεραπεία διὰ γραμμάτων ἢ καὶ γραμμάτων χωρὶς, ἀπόδειξις δὲ αὐτάρκης καὶ νόμιμος δοθείη ἢ διὰ τῆς τῶν γραμμάτων ἀναγνώσεως ἢ διὰ τῆς ἐκ τῶν μαρτύρων πίστεως, καὶ ταύτην ἔχειν τὴν οἰκείαν ἰσχὺν βουλόμεθα, καὶ ἀπαιτεῖσθαι τὸ συμπεφωνημένον, παντελῶς μηδενὸς ἀντικειμένου νόμου, ὡς ἐχρῆν προῖκα ταῦτα, ἀλλὰ μὴ ἐπὶ δόσει τινὶ [πραχθῆναι][7]), διὰ τὸ τὸν πάντα βίον αὐτῶν ἐκ τούτου συνίστασθαι, καὶ

6) Ven. μέψει. 7) πραχθῆναι addo ex Epit. cit. §. 1

ιους αὐτοὺς τελεῖν καὶ στεγονόμια διδόναι, καὶ τῆς κοινῆς ɜιτελείας προβεβλῆσθαι, οὐχ ἵνα ζημιοῖντο οὐδὲ ἵνα παν- 'ως ἄτροφοι μείνοιεν, ἀλλ' ἵνα ταύτην ἔχοιεν τῶν οἰκείων νων παραμυθίαν. [§. 1.] εἰ μέντοιγε λογισμοὺς ἢ ἀντι- γγράφους ἢ αὐτογράφους πεποίηνται ἢ ποιήσοιντο ἢ τοὶ πρός τινας τῶν αὐτοῖς συμβαλόντων ἢ ἐκεῖνοι πρὸς τούς, ἐν οἷς ἡ εἰσκομιδὴ τῶν χρημάτων καὶ δαπάνη κατα- ιραπται, καὶ γράμματα φέροι αὐτοῦ τοῦ τῆς τραπέζης οεστηκότος, τοῦ[8]) γε ὑπογραφέως αὐτοῦ (οὓς ἀρμαρίτας[9]) λοῦσι) καὶ αὖθις τῶν συμβαλλόντων πρὸς αὐτούς, ἢ διὰ ντὸς ὑπὸ τῆς τοῦ συμβάλλοντος[10]) χειρὸς γεγραμμένους ἢ ογραφὴν ἔχοντας[11]), μὴ δύνασθαι τοὺς συμβάλλοντας τὴν ν εἰσκομιδὴν τῶν χρημάτων, ἣν οἱ ἀργυροπρᾶται κατα- ἀφουσιν ἐν τοῖς ἀντισυγγράφοις ἢ αὐτογράφοις βρεβίοις, ιεσθαι κἀντεῦθεν αὐτοὺς ἀπαιτεῖν, πρὸς δὲ τὴν τῆς ἐξόδου ταγραφὴν ἀντιλέγειν ὡς οὐ γενομένην, μηδὲ αὖθις τοὺς γυροτραπέζης προεστῶτας τὴν μὲν δαπάνην ἀπαιτεῖν, τὴν εἰσκομιδὴν μὴ δέχεσθαι. [§. 2.] ἀλλ' εἴπερ ἐκ τῶν ἑκα- ιωθεν προκομιζομένων ἀντισυγγράφων λογοθεσίων ἢ αὐτο- ἀφων μαρτυρηθείη ἥ τε τῆς εἰσκομιδῆς ἥ τε τῆς δαπάνης ν γραμμάτων πίστις, πάντως ἑκάτερον εἶναι πιστόν, καὶ τὸ μὲν κατ' αὐτῶν κρατεῖν τὸ δὲ ὑπὲρ αὐτῶν ἄκυρον αι, ἀλλὰ ἀπαιτεῖσθαι ὅσα τὰ λογοθέσια δείξειε, πλὴν εἰ θάτερον ἢ ἑκάτερον μέρος πλάνην ψήφου ἢ περὶ τόκον ἀβην ὑπομεμενηκέναι δείξειεν. εἰ γάρ τι τοιοῦτον προ- νῶς δειχθείη, τῆς κατὰ νόμον διορθώσεως τοῦτο ἀξιοῦ- αι θεσπίζομεν, ὥστε ἕκαστον τοῦ δικαίου καὶ τῆς ἰσότητος ολαύειν.

γ'. Καὶ τοῦτο δὲ ἐδίδαξαν, ὥς τινες ἐξ αὐτῶν ὁμο- νίας παρὰ πλειόνων κομισάμενοι, καὶ ταύτας ἀλληλεγγύως

8) Legerim τοῦ τε. 9) Ven. σαμαρείτας, inepte. veram tionem suppeditavit Epit. cit. 10) Cod. συμβάλοντος. ı Scilicet haec verba ad λογισμοὺς referenda sunt.

ἢ κατὰ μανδάτον[12]), εἶτα τὸ πλεῖστον τοῦ χρέους εἰληφότες καὶ ὀλίγου τινὸς ὄντος τοῦ ὑπολελειμμένου ἐπὶ τῷ τοῦ χρέους ἐλλείμματι ἔξωθεν παρ' ἑνὸς αὐτῶν ἢ δύο λαβόντες ὁμολογίας, ὡς εἴσω ῥητοῦ χρόνου ταῦτα καταθήσουσι, διαλύσεις τυχὸν ἢ ὁμολογίας ἔθεντο πρὸς ἅπαντας, συμβέβηκε δὲ ἢ τὸν ἕνα ἢ καὶ πλείονας τῶν πεποιηκότων τὴν τῆς λειπάδος ὁμολογίαν τελευτῆσαι καὶ τοὺς κληρονόμους αὐτῶν μὴ αἱρεῖσθαι τὸ παρ' αὐτοῦ ἢ αὐτῶν διομολογηθὲν χρυσίον δοῦναι. θεσπίζομεν οὖν, εἰ ταῦτα οὕτως ἔχει, τὸ ταῖς ὁμολογίαις περιεχόμενον χρυσίον καὶ παρὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων διομολογηθὲν ἐν γράμμασι τοὺς αὐτῶν εἰσπράττεσθαι κληρονόμους μετὰ τοῦ συμπεφωνημένου τόκου.

δ'. Εἰ δέ τινες ἐδανείσαντο ἢ δανείσαιντο παρ' αὐτῶν ἐνέχυρα δόντες, εἶτα ἐν ταῖς δανειακαῖς συγγραφαῖς ἐπέτρεψαν ἢ ἐπιτρέψαιεν ἐκ[13]) διαπράσεως τῶν ἐνεχύρων πίασει αὐτῶν γινομένης τὸ τούτων τίμημα εἰς τὸ χρέος λογίζεσθαι, οἱ δὲ τοῦτο πράξαιεν, μὴ πολυπραγμονεῖσθαι αὐτοὺς μηδὲ πράγματα ὑπὲρ τούτων ἔχειν, ἀλλ' ὀμνύντας ὁπόσης τιμῆς τὰ ἐνέχυρα πεπράκασι πιστεύεσθαι, καὶ ἀρκεῖν τοῦτο αὐτοῖς πρὸς πᾶσαν ἀγνωμοσύνης ἀναίρεσιν. εἰ δέ τις ἀγράφως δανειζόμενος ἐνέχυρα δοίη, ἢ σφραγίσας αὐτὰ ἢ καὶ σφραγίδων χωρὶς, ἀνάγκην ἔχειν τὸν δανεισάμενον ἢ λαμβάνειν τὰ ἐνέχυρα ἐπιγινώσκοντα τὰς σφραγῖδας ἢ καὶ αὐτὰ μὴ ῥαδιουργηθέντα[14]), καὶ ἀποπληροῦν τό τε κεφάλαιον τόν τε συμφωνηθέντα τόκον, ἢ εἴπερ οὐκ ἔχει χρυσίον ὁ ὀφειλέτης, εἰς τὴν ἀξίαν διατίμησιν ταῦτα καταλιμπάνειν καὶ τὸ ὑπόλοιπον πληροῦν, οὐ δυνάμενον λέγειν, ὡς δεῖ αὐτὸν ἀρκεσθῆναι τοῖς ἐνεχύροις κἂν εἰ ἐλάττονος εἶεν ποσότητος, ἀλλ'

12) Epit. ἀλληλεγγύους ἢ μανδάτορας. 13) Ita lego auctoritate Epitomae cit. §. 4. nisi forte αὐτοῖς legendum sit. Ven. ἐπιτρέψαι ἐν τοῖς ἐκ. 14) Epit. αὐτὰ ἀῤῥαδιούργητα [ἢ] τὰς σφραγίδας ἐπιγ.

τρόπου παντὸς πληροῦν πᾶν τὸ χρέος, ὅσον ἂν μετὰ τοῦ
ιμφωνηθέντος λογισθείη τόκου. εἰ δὲ καὶ ὁρισθείη χρόνος
ὶ τῷ δανείσματι, ἐνεχύρων ἅπαξ δεδομένων ἢ ἐσφραγι-
ένων ἢ ἀσφραγίστων, εἴσω δὲ τοῦ χρόνου μὴ γένηται τὸ
ανὸν, ἄλλος δὲ τοσοῦτος παρέλθῃ χρόνος, ἐξεῖναι αὐτοὺς,
ριβοῦς διατιμήσεως γινομένης, παρόντων καὶ ταβουλαρίων
ὶ τῶν θείων προκειμένων λογίων καὶ διατιμητῶν παρα-
μβανομένων, διατιμᾶσθαι ταῦτα καὶ ἑαυτοῖς λογίζεσθαι,
ε ἐξαρκεῖ εἰς τὸ χρέος εἴτε καὶ εἰς μέρος τοῦ χρέους.

ε΄. Καὶ τοῦτο μέντοι ἰάσασθαι ᾔτουν, ὥστε διὰ τὸ τὸν
ον αὐτοῖς ἐν τῷ δανείζειν καὶ δανείζεσθαι καθεστάναι, καὶ
τιφανεῖν ὑπὲρ ἑτέρων καὶ τόκους τελεῖν, μὴ ἀντικεῖσθαι αὐ-
ῖς τὴν ἡμετέραν διάταξιν [15]) ἐν τοῖς δανείσμασιν, ἣν ἐγράψα-
ν μηδενὶ συγχωροῦντες ὑπὲρ τὸ διπλάσιον κομίζεσθαί τι, εἴπερ
σαύτην καταβάλοι ποσότητα, ὅσην τό τε ἀρχαῖον [16]) οἵ τε
κοι πληροῦσιν. ἡμεῖς τοίνυν τὴν μὲν διάταξιν εἰς τὸ ἑξῆς
ραβαθῆναι παντελῶς οὐ βουλόμεθα, τὸ δὲ παρελθὸν, ὅπερ
κέτι δέχεται παντελῶς ἐπιβουλὴν οὐδεμίαν, τοῦτο αὐτοῖς
ραπεύοντες θεσπίζομεν, ἐπὶ τῶν ταῖς ἀληθείαις ἀργυρο-
ατικῶν συναλλαγμάτων τῶν μέχρι τήμερον [16a]) πραχθέντων
ειαν αὐτοῖς εἶναι, καὶ εἰ τύχοιεν τόκοι ὑπὲρ τὸ διπλάσιον
ὶ τούτοις τοῖς χρέεσι δεδομένοι, εἰσπράττειν αὐτοὺς τὰ
ειλόμενα μετὰ τοῦ ὡρισμένου τόκου, οὐκ ἀναγκαζομένων
ολογίζεσθαι οὔτε εἰς τόκον οὔτε εἰς ἀρχαῖον ὄφλημα τὰ
η ὑπὲρ τὸ κεφάλαιον καταβεβλημένα, καὶ μὴ ἀντικεῖσθαι
τοῖς ἐπὶ τούτῳ καὶ μόνῳ τὴν ἡμετέραν διάταξιν τὴν τοῦ
πλασίονος, ἀλλὰ κατὰ τὴν φύσιν τῶν συμβολαίων ταῦτα
τοὺς ἀπαιτεῖν, ἀλλ' οὐδὲ αὐτῶν ἀποχρῆσθαι δυναμένων
ὸς τοὺς ἤδη συμβεβληκότας αὐτοῖς τῇ παρ' ἡμῶν τεθείσῃ
ντάξει, οὐδὲ δυναμένων λογίζεσθαι τοὺς ἤδη καταβεβλημέ-

15) l. 27 C. de usuris 4, 32. Const. II. XX. 16) Supple
λημα. 16a) σήμερον?

νους τόκους ἢ εἰς τὸ διπλοῦν τοῦ τόκου ἢ εἰς τὸ ἀρχαῖον ὄφλημα.

ς'. Ἐπειδὴ δὲ συνεχωρήσαμεν χωρὶς ἐνόπλου στρατείας τοῖς ἀργύρου τραπέζης προεστῶσιν ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως τὰς ἄλλας πάσας μετιέναι στρατείας, εἶτα[17]) ἐκεῖνοι δανείσματα πράξαντες ἢ καὶ πράττοντες τόκον ἐπηρώτησαν τὸν ἐκ διμοίρου μέρους ὁποῖον τοῖς ἀργυροπράταις ἐφήκαμεν, οἱ[18]) δὲ ἀγνώμονες ταῦτα πάντα[19]) ἀντιτιθέασιν αὐτοῖς τὰς στρατείας, λέγοντες προσήκειν αὐτοὺς οὐ τὸν ἀργυροπράταις ἀλλὰ τὸν στρατευομένοις πρέποντα τόκον κομίζεσθαι, ταύτην αὐτῶν τὴν ἄλογον καὶ ἀγνωμονεστάτην ἀντίθεσιν παντελῶς σχολάζειν θεσπίζομεν, καὶ τὰ συμπεφωνημένα ἢ καὶ συμφωνούμενα κρατεῖν. [§. 1.] ἀλλ' οὐδὲ ἡμῖν ἀρέσκει περὶ τῶν ἀργυροπρατικῶν συναλλαγμάτων αἰτεῖν τινας ἢ παντελῶς μὴ διδόναι κεφάλαια ἢ τόκους, ἢ τὸ ἔτι τούτων χεῖρον λόγῳ, ὥστε νομίμων τόκων δεδομένων εἰς τὸ ἀρχαῖον[20]) λογίζεσθαι. καὶ τοῦτο γὰρ ἐπὶ τῶν συναλλαγμάτων τῶν πρὸς ἀργυροπράτας γενομένων ἢ γινομένων κρατεῖν βουλόμεθα.

ζ'. Ἓν δὲ δὴ καὶ τοῦτο τῶν αἰτουμένων ἐστὶ παρ' αὐτῶν, ὅτιπερ πολλάκις τινὲς τῶν ὑπευθύνων αὐτοῖς καθεστώτων, εἶτα ἑτέρους ἔχοντες ὑπευθύνους, οὐχ ἑαυτοὺς ἐκεῖθεν πληροῦσιν, ἀλλὰ παρασκευάζουσι ταῖς αὐτῶν γαμεταῖς προφάσει προικὸς ἢ παραφέρνων ἢ χρεῶν δῆθεν ἄλλων τοῦτο καταβάλλειν καὶ διαλύσεις παρ' αὐτῶν ἤγουν ἀποδείξεις κομίζεσθαι, ἐκείνων δὲ εἰς ἐλάττωσιν ἐλθόντων ἢ ἐρχομένων, ἢ καὶ τελευτησάντων ἢ καὶ μετὰ ταῦτα τελευτώντων, εἶτα αὐτῶν βουλομένων τὸ χρέος[20a]) ἀπολαμβάνειν τοῦτο, τῶν γαμετῶν ἐκεῖνα μὲν λεληθότως κομισαμένων ἢ

17) Legerim εἰ τὰ ἐκείνων. 18) Ven. εἰ. 19) In his corruptela latere videtur. Agylaeus verba πάντα et τὰς στρατείας delenda esse censuit. quid si legamus ἀγνωμονοῦντες? 20) Vide not. 16. — Tota haec periodus paulo obscurior est. 20a) Exciderunt nonnulla, velut τὸ χρ. ἀπαιτεῖν οὐκ ἀπολ.

καὶ μετὰ ταῦτα κομιζομένων, ὁλόκληρα δὲ ἀντιτιθεισῶν αὐτοῖς τὰ ὀφλήματα, ὥστε ἐντεῦθεν αὐτοῖς διαπίπτειν τὰ τῆς ἐλπίδος· καὶ ᾔτησαν, εἴ τι τοιοῦτον γέγονεν ἢ μετὰ ταῦτα ὡς εἰκὸς γενήσεται, ἀνάγκην ἔχειν τοὺς τὰς διαλύσεις παρὰ τῶν γυναικῶν κομιζομένους ἢ τὰς ἀπαλλαγὰς ἢ εἴ τι συμβόλαιον γέγονεν ἢ γενήσεται ὅλως, τοῦτο προκομίζειν, καὶ κληρονόμων αὐτῶν[21]) εἰς ἔλεγχον τῶν γενομένων, ὥστε μὴ τὰς μὲν γαμετὰς καὶ μὴ ὀφειλομένας λαβεῖν καὶ αὐτοὺς δὲ καὶ ὀφειλομένους ἀποστερηθῆναι. θεσπίζομεν, εἴ τι τοιοῦτο γέγονεν ἢ γενήσεται, ἀνάγκην μὲν ἔχειν αὐτοὺς προκομίζειν τὰ συμβόλαια, βλάβης μέντοι πάσης χωρὶς καὶ οὐ δυναμένων αὐτῶν ἐκ τῆς προκομιδῆς οὐδεμίαν ὑπομένειν ζημίαν (μεμνήμεθα γὰρ τῆς ἡμετέρας διατάξεως[22]), ἥπερ τὰς ἠναγκασμένας τῶν δικαιωμάτων προκομιδὰς ἀβλαβεῖς βούλεται γίνεσθαι τοῖς προκομίζουσιν), ἀλλ' ἐκείνους μὲν τὰ συμβόλαια προκομίζειν καὶ αὖθις ἀντιλαμβάνειν, εἰ δέ τινα ἐντεῦθεν ὄνησιν ἔχειν δυνηθεῖεν οἱ τὴν προκομιδὴν ἀναγκάσαντες γενέσθαι πρὸς τὰς γυναῖκας, ταύτην παρ' αὐτῶν κατὰ τὸν νόμον εὑρίσκειν, οὐδὲν παντελῶς τῶν προκομισάντων βλαβῆναι[23]) διὰ τὴν προκομιδὴν συγχωρουμένων. [§. 1.] εἰ δὲ ἀντισυγγράφους ἔθεντο πρός τινας ὁμολογίας ἢ διαλύσεις ἢ καὶ οἱασοῦν συνθήκας ἢ καὶ μετὰ ταῦτα ποιήσαιεν, καὶ αἱ παρ' αὐτοῖς κείμεναι κατὰ διαφόρους τρόπους ἀπώλοντο, ἀναγκάζεσθαι τοὺς ἔχοντας τὰ ἀντισύγγραφα προκομίζειν, ἢ ὅρκον παρέχειν ὡς οὐδὲν τοιοῦτον ἔχουσιν οὔτε προκομίσαι δυνατοὶ καθεστήκασιν· εἰ γὰρ τοῦτον τὸν ὅρκον ἐν ὑπομνήμασι παράσχοιεν, αὐτοὺς οὐ χρὴ περαιτέρω πολυπραγμονεῖσθαι. οὐδεὶς δὲ ὑπερβήσεται τὸ μέτρον τῆς ἡμετέρας διατάξεως[24]) προφάσει σπορτούλων ἢ δικαστικῶν δαπα-

21) Haec omnino corrupta sunt. forte αὐτοῖς καὶ κληρονόμοις αὐτῶν. in Epitome nimirum sic est: εἴτε ἐντεῦθεν ὁ ἀργυροπράτης ὀφείληται ἢ οἱ κληρονόμοι αὐτοῦ. 22) l. 22 C. de fide instrum. 4, 21. 23) Ven. λαβῆναι. 24) l. 5 C. de

νημάτων, τὴν ποινὴν εὐλαβούμενος τὴν ἐπικειμένην τοῖς τα τοιαῦτα πράττουσιν.

η΄. Ἐπεὶ δὲ ἀρχόμενοι τῶν δεήσεων ἤτησαν, ὥστε καὶ τὴν σὴν ὑπεροχὴν προνοεῖν αὐτῶν καὶ ἀκροᾶσθαι τῶν ὑποθέσεων τῶν ἐπαγομένων αὐτοῖς, καὶ εἴ τινας ἐνόχους ἔχουσιν ἢ ἕτεροι πρὸς[25]) αὐτούς, τούτων ἀκούειν κατὰ τὸ τοῦ ἰδικοῦ δικαστοῦ σχῆμα, διὰ τὴν περὶ τοὺς νόμους ἀκρίβειαν καὶ τὴν τοῦ δικαίου τήρησιν καὶ τὸ τρόπους ἐξευρίσκειν ῥᾳδίως δι' ὧν ἔξεστι καὶ τὰ σφόδρα δοκοῦντα δύσκολά τε καὶ ἑτέροις οὐκ ἐφικτὰ διαλύειν, θεσπίζομεν, κατὰ τὰ παρ' ἡμῶν θεσπισθέντα καὶ ἀκροᾶσθαι αὐτῶν κατὰ τὸ τοῦ ἰδικοῦ δικαστοῦ σχῆμα ἐναγόντων τε καὶ ἐναγομένων, καὶ τὰ παρῳχηκότα διαθεῖναι κατὰ τόνδε τὸν νόμον καὶ καθάπερ ἂν ὀρθῶς ἔχειν συνίδοις καὶ τοῦ μέλλοντος προνοεῖν, ὥστε νενομισμένην τινὰ καὶ πρέπουσαν βοήθειαν παρ' ἡμῶν[26]) αὐτοῖς ἐπιδοθῆναι· δεῖ γὰρ τοὺς ἐνόχους γινομένους ὑπὲρ ἁπάντων καὶ χρησίμους ἑκάστῳ φαίνεσθαι σπεύδοντας καὶ ἐξαιρέτου τινὸς ἀπολαῦσαι βοηθείας. πάντων δηλαδὴ τῶν τε νῦν τῶν[27]) τε πρῴην πεπορισμένων αὐτοῖς ἢ ἐξ ἡμετέρων νόμων ἢ ἐκ θείων πραγματικῶν τύπων ἀκεραίων φυλαττομένων, καὶ χώραν ἐχόντων ἐπί τε τῶν προγεγενημένων φάκτων, ἐπί τε τῶν μετὰ ταῦτα γενησομένων.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα νόμου ἥ τε σὴ ἐνδοξότης καὶ πᾶς δικαστὴς ἕτερος τῆς ἡμετέρας πολιτείας βέβαια φυλαξάτω.[28])

sportulis 3, 2. 25) Scilicet πρὸς αὐτοὺς ἐπάγουσιν. Agylaeus praepositionem πρὸς delendam esse censuit. 26) Agylaeus ὑμῶν coniecit. 27) Ven. τῶν τε ναυτῶν. 28) Subscriptio deest. videtur autem constitutio recentior esse const. XLIX K. April. anno 536 datae, utpote quae ostendat argentariorum causas tum temporis ad comitem sacrarum largitionum pertinuisse. equidem eidem anno 536 exeunti vindicaverim, quippe quae laudibus extollat Tribonianum, quem mox minus gratum fuisse scimus: nisi forte ad anteriora tempora referenda sit.

Auth. 44. LX. Nov. 43.

Summas habent Iulian. c. 13, Athan. II, 11, Theod. Nov. 43.

Περὶ τῶν ἐργαστηρίων Κωνσταντινουπόλεως ὥστε μόνα χίλια ἑκατὸν ἐργαστήρια τῆς μεγάλης ἐκκλησίας ἐξσκουσεύειν καὶ τὰ λοιπὰ πάντα τὰς κατὰ συνήθειαν λειτουργίας τελεῖν οἵας ἂν εἶεν δεσποτείας.

Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανὸς Ἀλαμανικὸς Γοτθικὸς Φραγγικὸς Γερμανικὸς Ἀντικὸς[1]) *Ἀλανικὸς Οὐανδαλικὸς Ἀφρικὸς εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος Λογγίνῳ ἐπάρχῳ τῆς πόλεως.*

Ἐπειδὴ μέλει τῷ ἡμετέρῳ κράτει τῶν ἡμετέρων ὑπηκόων καὶ ζώντων καὶ τελευτώντων τοῦ μηδὲ τὰς ταφὰς αὐτοῖς βαρείας εἶναι μηδὲ ἐπιζημίους τοῖς ἐκ τῆς τοῦ τελευτήσαντος οἰκίας, διὰ τοῦτο καὶ τὰ περὶ τῆς ταφῆς αὐτῶν τὸν προσήκοντα διατεθείκαμεν τρόπον. καὶ ἐπειδὴ τοῦτο μὲν Κωνσταντῖνος[2]) *ὁ τῆς θείας μνήμης, ὁ τῆς μεγάλης ἡμῶν ταύτης πόλεως οἰκιστής, τοῦτο δὲ Ἀναστάσιος*[3]) *ὁ τῆς εὐσεβοῦς λήξεως τὸν τῶν καλουμένων λεκτικαρίων ἤτοι δεκανῶν ἀριθμὸν περιέστησαν εἰς ἓν μέτρον, χιλίους ἑκατὸν εἶναι δεκανοὺς ἤτοι ἐργαστήρια τοσαῦτα διορίσαντες, ἐφ' ᾧ τε ἐν μηδενὶ χρόνῳ ταῦτα δέχεσθαι προσθήκην, διὰ τὸ καὶ ὑποκεῖσθαι τῇ διατυπώσει τοῦ τῆς θείας μνήμης Ἀναστασίου τὸ μέτρον τῶν ἐξ ἑκάστου συστήματος εἶναι προσηκόντων λεκτικαρίων, ἡμεῖς μὲν ταῦτα βέβαια μένειν βουλόμεθα· προσελθόντες δὲ οἱ τῶν συστημάτων τῆς εὐδαίμονος ταύτης*

1) Hal. *Λαζικός*. 2) Cf. l. 4 C. de SS. ecclesiis 1, 2. 3) l. 18 C. cit.

ἡμῶν καὶ βασιλίδος πόλεως (ὧν διαφερόντως ἡμῖν μέλει) τὸ ἡμέτερον ἐδίδασκον κράτος, μεγάλην καὶ οὐ φορητὴν ὑφίστασθαι τὴν ταραχήν. τὴν μὲν γὰρ ἁγιωτάτην μεγάλην ἐκκλησίαν τὰ χίλια ἑκατὸν ἐργαστήρια καρποῦσθαι τέλους παντὸς ἐλεύθερα, ἅπερ καὶ σφόδρα ἑκόντας ἑαυτοὺς διδόναι διότι περὶ τὴν κοινὴν ἁπάντων ἀνθρώπων ὁσίαν τὸ πρᾶγμα πρόεισιν, οὐ μὴν καὶ τὰ λοιπὰ φέρειν ἄχθη δύνασθαι. πολλῶν γὰρ ἐργαστηρίων ὄντων κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν ἐμπορίας τε καὶ πραγματείας διαφόρου, οὐ ταῦτα εἶναι μόνα (τὰ χίλιά φαμεν ἑκατὸν ἐργαστήρια) τὰ τῆς εἰρημένης ἐξαιρούμενα λειτουργίας, ἀλλὰ πολλὰς μὲν ἁγιωτάτας ἐκκλησίας, πολλοὺς δὲ εὐαγεῖς ξενῶνας καὶ μοναστήρια καὶ ἑτέρους εὐαγεῖς οἴκους, καί τινας πρότερον αἱρετικοὺς ὄντας εἶτα μεταστάντας εἰς τὴν ὀρθόδοξον πίστιν, πολλὰς δὲ βασιλικὰς οἰκίας, καὶ πρός γε καὶ ἀρχόντων καὶ συγκλητικῶν καὶ ἰλλουστρίων καὶ κουβικουλαρίων ἐξαιρεῖσθαι τῶν τελῶν, καὶ τοὺς τούτων δεσπότας ἑαυτοῖς ἐντεῦθεν κατασκευάζειν πρόσοδον καὶ τὸ κοινὸν ἀδικεῖν τοῦ τῆς ἐξαιρέσεως πλήθους εἰς στενὸν τὸ πρᾶγμα συγκλείοντος, ὥστε ἐλαχίστους εἶναι τοὺς λειτουργοῦντας ἤτοι τοὺς βαρουμένους τῇ λειτουργίᾳ, καὶ τὸ πρότερον τέλος πολλάκις τριπλάσιον καὶ τετραπλάσιον ἤδη δὲ καὶ δεκαπλάσιον γενέσθαι, καίτοιγε Ἀναστασίου τοῦ τῆς θείας λήξεως ἐν τῷ παρ' αὐτοῦ διορισθέντι τύπῳ μηδενὶ παντελῶς ἑτέρῳ δόντος ἀτέλειαν παρὰ τὰ χίλια ἑκατὸν ἐργαστήρια τὰ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ προφάσει τῆς τῶν τελευτώντων ὁσίας δεδομένα. διὰ τοῦτο καὶ ἡμεῖς ᾠήθημεν ἐπιτρέψαι τοῖς ἡμετέροις ἄρχουσι καὶ πρός γε αὐτῷ τῷ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς εὐδαίμονος ταύτης πόλεως εἰς ἓν συνελθεῖν, καὶ τὸ πρᾶγμα ἐξετάσαι καὶ εἰς ἡμᾶς ἀγαγεῖν τὰ αὐτοῖς δόξαντα, καὶ τῷ παρόντι χρήσασθαι πρὸς τὴν σὴν ὑπεροχὴν νόμῳ βεβαιοῦντες τὰ Ἀναστασίῳ τῷ τῆς εὐσεβοῦς λήξεως περὶ τούτου παραστάντα.

α'. *Καὶ θεσπίζομεν, τὰ μὲν* mille centum[4]) *ἐργαστήρια πᾶσι τρόποις ἀμείωτα καὶ πάσης δόσεως καθαρὰ φυλάττεσθαι τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ προφάσει τῶν δεκανῶν ἤτοι λεκτικαρίων καὶ τῆς τῶν τελευτώντων ὁσίας ἀφωρισμένα, οὐδενὸς ἑτέρου παρ' αὐτὴν δεκανὸν ἀπαιτεῖν δυναμένου ἀπὸ αἱρετικῶν ἢ ἄλλης ἁγιωτάτης ἐκκλησίας, ἀλλὰ τὸ ἔναγχος παρ' ἡμῶν διατεταγμένον*[5]) *κρατεῖν, ὥστε ὀκτακόσια μὲν ἐργαστήρια τελεῖν τὰ σώματα, τριακόσια δὲ ἐν ἀποχειρισμῷ καθεστάναι· τὸ γὰρ ἐντεῦθεν συνιὸν ἤδη θεῖος ἡμῶν πραγματικὸς διετύπωσε νόμος εἰς ὃ προσῆκόν ἐστι προχωρεῖν· ἀντεισάγεσθαι δὲ ἀεὶ τὸ διαπῖπτον· καὶ ὅ γε τρόπος, καθ' ὃν ἔσται τὰ τῆς ἀντεισαγωγῆς, ὑπὸ τῶν Ἀναστασίου τοῦ τῆς εὐσεβοῦς μνήμης διατετύπωται κελεύσεων. ταῦτα μὲν οὖν ἀτελῆ μένειν καὶ πάσης ἐξῃρημένα λειτουργίας θεσπίζομεν, οὐδὲ*[6]) *αὐτῶν τῶν ἐργαστηρίων οὐδὲ τῶν προστατῶν τῶν συστημάτων τῶν παρεχομένων αὐτὰ τὴν οἱανοῦν ὑπομενόντων ζημίαν ἤ τι τέλος ἐπιγινωσκόντων.* [§. 1.] *τὰ μέντοιγε λοιπὰ πάντα ἐργαστήρια τῆς εὐδαίμονος ταύτης πόλεως τῶν δεκατεσσάρων κλιμάτων, εἴτε ἁγιωτάτης ἐκκλησίας εἶεν εἴτε ξενώνων εἴτε μοναστηρίων εἴτε ὀρφανοτροφείων εἴτε βρεφοτροφείων εἴτε πτωχείων εἴτε ἄλλης οἱασοῦν δεσποτείας εἴτε τῶν βασιλικῶν οἴκων εἴτε ἀρχόντων τινῶν μεγάλας ἢ μέσας ἢ ἐλάττους ἀρχὰς ἐχόντων*[7]) *εἴτε τῶν ἐνδοξοτάτων συγκλητικῶν ἢ τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων ἢ τῶν περιβλέπτων κουβικουλαρίων εἴτε τινῶν ταῖς στρατείαις ἐγκαταλεγομένων, ταῦτα ἅπαντα τελεῖν τὰ ἐπικείμενα αὐτοῖς δημόσια τέλη, καὶ τὰ ἄλλα πάντα ποιεῖν τε καὶ πληροῦν κατὰ τὸ προσῆκον ἑκάστῳ τοῦ οἰκείου αὐτοῦ συστήματος, καὶ καταβάλλεσθαι διὰ πάντων τῷ δημοσίῳ διὰ τῶν προστατῶν τοῦ συστήματος, οὐδενὸς προνομίῳ ταύτης ἕνεκα τῆς αἰτίας ἐπερείδεσθαι δυνα-*

4) Ven. supra lineam *χίλια ἑκατόν*. 5) Haec sacra pragmatica forma non extat. 6) Ven. *οὔτε*. 7) Ven. verba *τινῶν — ἐχόντων* omittit.

μένου ἢ τοιαύτῃ τινὶ κεχρῆσθαι παραιτήσει. οὐδὲ γὰρ ὑπομένομεν τὸ ἑτέρων ἄχθος εἰς ἑτέρους φέρεσθαι οὐδὲ οὕτως ἀπηνῆ κεῖσθαι διατύπωσιν, ὥστε καθ' ἑκάστην αὔξεσθαι τὰ τέλη, καὶ καθάπερ ἐδιδάχθημεν τὰ τετραπλάσια καὶ πενταπλάσια καὶ δήπου καὶ δεκαπλάσια δίδοσθαι, διότι καὶ περισπούδαστόν ἐστι τῷ ἡμετέρῳ κράτει μηδενὶ κοινῷ τέλει μηδένα βαρύνεσθαι· καινὸν δὲ ἂν εἴη οὐ τὸ νῦν πρῶτον ἐπιτεθειμένον μόνον[8]), ἀλλὰ καὶ τὸ τὴν πρώτην συμμετρίαν ὑπερβαῖνον· ἀλλὰ πάντα ὑπὸ τὴν αὐτὴν ἔστω κατάστασίν τε καὶ τύχην, καὶ τὸ[9]) κοινὸν εἶναι κατὰ πάντων τὸν τοιοῦτον θεῖον ἡμῶν πραγματικὸν τύπον (ὃν δὴ καὶ νόμον καλεῖν ἔξεστιν), ὥστε πᾶσι τὸ ἄλυπον πεφιλοτιμῆσθαι. οὐ γὰρ ἄν τις περὶ τοῦτο δυσχεράνοι, μηδένα εἶναι τὸν ἐξαιρούμενον βλέπων πλὴν δὴ τοῦ τῆς ὁσίας τῶν τελευτώντων λόγου τοῦ περὶ τῶν χιλίων ἑκατὸν ἐγραστηρίων, ὃς δὴ κοινότατός τε ἐστι καὶ ἅπασιν ὁμοίως ἐφηπλωμένος ἀνθρώποις. [§. 2.] εἰ δέ τις ἐπιχειρήσειε παραιτήσει τινὶ χρήσασθαι καὶ ἑαυτὸν ἐλαφρύνειν τῆς συντελείας, καὶ ἢ μὴ συγχωρεῖν τοὺς ἐνοίκους ἀπαιτεῖσθαι τοὺς αὐτοῦ ἢ προστασίαν βούλεσθαι νέμειν ἢ στρατιωτικὴν ἢ πολιτικὴν ἢ ἐκκλησιαστικὴν ἢ τὴν οἱανοῦν ἑτέραν, ἐκπιπτέτω καθάπαξ τῆς τοῦ ἐργαστηρίου δεσποτείας, καὶ ἔστω τοῦτο δημόσιον αὐτῷ τῷ συστήματι προσκυρούμενον. οὕτω γὰρ εὐλαβηθήσονται καὶ τῶν κεκωλυμένων οὐ προσάψονται· ἀλλὰ τῷ κατὰ μικρὸν καὶ ἐφ' ἅπαντας ἡπλῶσθαι τὰ τέλη βραχὺ μὲν ἔσται τὸ παρ' ἑκάστου διδόμενον, μέτριον δὲ καὶ κοῦφον καὶ φορητὸν καὶ ῥᾷον συνεισφερόμενον ὅσῳ παρὰ πλειόνων συλλεγέν. τί γὰρ ἀτοπώτερον ἂν εἴη, ἄνδρας ἐκ τῶν οἰκείων ἐργαζομένους χειρῶν καὶ ἀποτρέφοντας γαμετάς τε καὶ παῖδας καὶ τὴν ἄλλην τοῦ βίου διοίκησιν ἐντεῦθεν ἔχειν ἐπειγομένους,

8) μόνον deest in Ven. 9) Hal. τὸ omittit. Forte τῷ κοινὸν εἶναι κτλ.

ν μείζοσι τέλεσι, καὶ ὅσῳ πλείω τὰ τῶν ἐλαφρυνο- γίνεσθαι[10]), τοσούτῳ μείζω τὰ ἐκεῖθεν ἀποτελεῖσθαι καὶ εἴη τὶ βάρος ἀόριστον, πέρας οὐδ' ὁτιοῦν ἔχειν νον. [§. 3.] ταῦτα πάντα κωλύοντες τόνδε τὸν θεῖον πραγματικὸν τύπον, τήν τε τῆς ἐκπτώσεως ἀπειλοῦν- νὴν ἅπασιν ὁμοίως ἐφεξῆς τοῖς ὑπηκόοις, εἰ κωλύ- οὺς ἑκάστου συστήματος προστάντας τὰ νενομισμένα υθεν τεταγμένα τέλη λαμβάνειν ἢ πειρᾶσθαι τὰ τέλη εἰς στεγονόμια, ἀλλ' ἕκαστος ἀπολαυέτω μὲν τῆς εγονομίων εἰσφορᾶς, συγχωρείτω δὲ τὰ ἐργαστήρια νεῖν τὰ συνήθη τε καὶ νενομισμένα. ὥσπερ γὰρ ἑαυτοῦ προνοεῖται, οὕτω καὶ ἡμᾶς ἀνάγκη τοῦ νῦς τε καὶ συμφέροντος τῆς μεγάλης ταύτης καὶ βα- ἀντιλαμβάνεσθαι πόλεως· οὐ γὰρ ἂν ἄλλως τὰ λυσιτελοῦντα προβαίη μὴ τῆς τοιαύτης βαρύτητος ττομένων τῶν μέχρι νῦν αὐτὴν φέρειν ἠναγκα-

' τοίνυν σὴ ἐνδοξότης τὰ παραστάντα ἡμῖν καὶ διὰ οῦ θείου πραγματικοῦ τύπου δηλούμενα ἀπαράθραυ- λάξει καὶ οἱ μετὰ σὲ τὴν ἀρχὴν παραληψόμενοι καὶ ομένη σοὶ τάξις νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον. VI. Kal. Iun.[11]) CP. post. Bilisarii V. C. cons. I.[12])

Hal. in notis γίνεται. 11) Auth. et Iul. „K. Iun." Athan. καλ. ἰουλίου. 12) Ath. μετὰ τὴν ὑπατείαν ίου τὸ β', et Iulian. „post cons. Vilisari iterum." μετὰ τὴν ὑπατείαν βελισαρίου, ut in Auth.)

Nov. 44. **LXI.** Auth. 45.

Bas. XXII, 2, 1. — Summas praestant Iulian. c. 40, Athan. XIV, 1, Theod. Nov. 44 et Bas. XXII, 2, 1 schol. Ἀθανασίου.

Περὶ τῶν συμβολαιογράφων καὶ περὶ τοῦ τὰ πρωτόκολλα αὐτοὺς ἐᾶν ἐν τοῖς χάρταις.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Δίκης μικρῷ πρόσθεν ἠκροασάμεθα τῷ παρόντι νόμῳ παρασχομένης τὴν πρόφασιν. ἐκ γὰρ προσώπου γυναικός τινος ἐφέρετο συμβόλαιον, γράμματα μὲν αὐτῆς οὐκ ἔχον (ἦν γὰρ τούτων ἀνεπιστήμων), τελεσθὲν δὲ ὑπὸ συμβολαιογράφου, καὶ παρά τε ταβουλαρίου τὴν ὑπογραφὴν ἔχον τὴν αὐτῆς καὶ μαρτύρων ἐπιδεικνῦον παρουσίαν. εἶτα ἐπειδή τις ἀμφισβήτησις περὶ αὐτοῦ γέγονε, τῆς γυναικὸς λεγούσης οὐ ταῦτα εἶναι τὰ παρ' αὐτῆς ἐπιταχθέντα ἅπερ ὁ χάρτης ἔλεγεν, ὁ τῆς δίκης ἀκροώμενος ἐπεζήτει παρὰ τοῦ συμβολαιογράφου μαθεῖν τὴν τοῦ πράγματος ἀλήθειαν, καὶ δὴ τὸν συμβολαιογράφον ἤγαγεν. ὁ δὲ τὰ μὲν γράμματα ἐπιγινώσκειν ἔφη τῆς πληρώσεως τοῦ συμβολαίου, μὴ μὴν εἰδέναι τὶ τῶν παρακολουθησάντων· οὐδὲ γὰρ αὐτὸς τὴν ἀρχὴν ἐπιταγῆναι παντελῶς, ἀλλ' ἐπιτρέψαι τινὶ τῶν αὐτοῦ τοῦτο πρᾶξαι, οὔτε ὕστερον παραγενέσθαι τῇ πληρώσει, ἀλλ' αὖθις ἑτέρῳ τοῦτο ἐπιτετραφέναι. καὶ ὁ μὲν παραγενόμενος τῇ πληρώσει ἦλθεν[1]) οὐδὲν οὐδὲ αὐτὸς φήσας εἰδέναι (καὶ γὰρ οὐδὲ ὁ γραφεὺς ἦν τοῦ συμβολαίου), ἀλλὰ μόνον ἐδίδαξεν ὅτι παρόντος αὐτοῦ τοῦτο ἀπολέλυται. οὐδὲ μὴν ὁ τὴν ἀρχὴν ἐπιταχθεὶς εὑρέθη, ὥστε εἰ μὴ διὰ τῶν μαρτύ-

1) Ven. *παρῆλθεν*, sed omissis quae praecedunt, *ἀλλ' — πληρώσει.*

ων ὁ δικάζων ἴσχυσεν ἐπιστῆναι τῷ πράγματι, καθαρῶς κινδύνευεν τὸ[2]) διαπεσεῖν πανταχόθεν τὴν τοῦ πράγματος γνῶσιν. ἐκεῖνο μὲν οὖν τῆς προσηκούσης ἔτυχεν ἐξετάσεώς τε καὶ κρίσεως.

α'. Ἡμεῖς δὲ ᾠήθημεν χρῆναι τῷ παντὶ βοηθῆσαι καὶ κοινὸν ἐφ' ἅπασι ποιήσασθαι νόμον, ὥστε τοὺς προεστῶτας τῆς ἐργασίας συμβολαιογράφους αὐτοὺς δι' ἑαυτῶν ἐκ τρόπου παντὸς ἐπιτάττεσθαι τὸ συμβόλαιον, ἡνίκα τε ἀπολύοιτο παραγίνεσθαι, καὶ μὴ ἄλλως ἐπιτιθέναι χάρτῃ τὴν πλήρωσιν πλὴν εἰ μὴ ταῦτα πραχθείη, ὥστε ἔχειν αὐτοὺς εἰδέναι τὴν ὑπόθεσιν, ἐρωτωμένους τε ὑπὸ τῶν δικαζόντων δύνασθαι τὰ παρηκολουθηκότα γινώσκειν τε καὶ ἀποκρίνεσθαι[3]), καὶ μάλιστα ὅταν γραμμάτων εἰσὶν ἀνεπιστήμονες οἱ ταῦτα ἐπιτάττοντες, οἷς ῥᾳδία καθέστηκε καὶ ἀνεξέλεγκτος ἡ τῶν ταῖς ἀληθείαις παρηκολουθηκότων ἄρνησις. [§. 1.] ἵνα τοίνυν πάντα ταῦτα κωλύσωμεν διὰ τοῦτο τὸν παρόντα γράφομεν νόμον, καὶ ταῦτα παραφυλάττεσθαι πάντως βουλόμεθα παρὰ τῶν συμβολαιογράφων, εἴτε ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως εἴτε ἐν ἐπαρχίαις εἶεν, γινωσκόντων ὡς εἰ παρὰ ταῦτά τι πράξαιεν, ἐκπεσοῦνται πάντως τῶν καλουμένων στατιόνων, καὶ ὁ παρ' αὐτῶν σταλεὶς ἐφ' ᾧ τε ἐπιταγῆναι τὸ συμβόλαιον καὶ παραγενόμενος αὐτὸς κύριος τῆς ἐπὶ τῆς στατίονος αὐθεντίας ἔσται, καὶ μεταβληθήσεται τὸ πρᾶγμα, καὶ ὁ μὲν τὸ λοιπὸν ταύτην ἐφέξει τὴν τάξιν ἐν τῇ στατίονι ὁποίαν ὁ κατ' αὐτὴν πρωτεύων εἶχεν, ὁ δὲ γε ἐκπεσεῖται ταύτης ἢ εἷς ἔσται τῶν ὑπογραφόντων[4]) ἐκείνῳ. ἐπειδὴ γὰρ ὁ μὲν ἀπηξίωσε τοῦτο πράττειν ὅπερ ἦν ἐφειμένον αὐτῷ, ὁ δὲ κατὰ τὴν ἐκείνου γνώμην τοῦτο ἔπραξε, διὰ τοῦτο καὶ ἡμεῖς ταύτην ἐπάγομεν αὐτοῖς τὴν ποινήν, ἵνα δέει τούτου γίνωνται περὶ τὰ συμβόλαια δίκαιοί τε καὶ ἀσφαλέστεροι, καὶ μὴ

2) Hal. et Bas. ἐκινδυνεύετο. 3) Ven. ἀποκρίνασθαι. 4) Ven. ὑπογραφέντων. Auth. postulat lectionem ὑπηρετούντων vel ὑπουργούντων.

διὰ τὴν ἑαυτῶν ἄνεσίν τε καὶ τρυφὴν τοὺς ἀλλοτρίους διαφθείρωσι βίους. [§. 2.] εἰ δὲ οὐκ ἄξιος τυχὸν εἴη τοῦ τὴν ἐξουσίαν τῆς στατίονος παραλαβεῖν ὁ τὸ συμβόλαιον παρὰ τὰ ὑφ' ἡμῶν διατεταγμένα μετὰ τὸν παρόντα νόμον ἐπιταττόμενος, ὁ μὲν συμβολαιογράφος ἐκπιπτέτω τρόποις ἅπασι τούτου, ἕτερος δὲ ἀντ' αὐτοῦ προβαλλέσθω· οὐδὲν ζημιουμένου παντελῶς ἐντεῦθεν τοῦ τῆς στατίονος κυρίου, εἴ τις εἴη τῶν ἔξωθεν ἀλλὰ μὴ συμβολαιογράφος αὐτὸς, οὐδὲ ἐκπίπτοντος τῶν ἐκεῖθεν πόρων, ἀλλ' αὐτοῦ μόνου τοῦ τὰ τοιαῦτα κομψευσαμένου καὶ ἀπαξιώσαντος τὴν ἑαυτοῦ πληροῦν ἐργασίαν τῆς προστασίας ἐκπίπτοντος, πάντων μέντοι τῶν ἄλλων τῶν ἐπὶ τῇ στατίονι δικαίων ἀκεραίων τοῖς κυρίοις αὐτῆς παρὰ τοὺς τὰ τοιαῦτα πταίσαντας συμβολαιογράφους φυλαττομένων. [§. 3.] καὶ μὴ πλαττέτωσαν οἱ συμβολαιογράφοι προφάσεις, εἰς νόσους τυχὸν ἀναχωροῦντες ἢ εἰς ἀσχολίας τοιαύτας· ἔξεστι γὰρ αὐτοῖς, εἴ τι τοιοῦτον εἴη, μεταπέμψασθαι τοὺς ἐπιτάττοντας καὶ δι' ἑαυτῶν τὸ πρᾶγμα πληρῶσαι· ἄλλως τε ταῦτα δὴ τὰ συμβαίνοντα σπανίως οὐκ ἂν ἐμποδὼν σταίη τοῖς καθόλου, διότι μηδὲν ἐν ἀνθρώποις οὕτως ἐστὶν ἀναμφισβήτητον, ὡς μὴ δύνασθαι κἂν εἴ τι τῶν σφόδρα εἴη δικαιοτάτων ὅμως δέξασθαί τινα μεμεριμνημένην ἀμφισβήτησιν. ἀλλὰ μηδὲ τοὺς πόρους αὐτοῖς ἐλάττους γίνεσθαι κατὰ τοῦτο διὰ τὴν τῶν ἐπιταττόντων συνέχειαν προφασιζέσθωσαν, κάλλιον ὂν[5]) ὀλίγα πράττειν ἀσφαλῶς ἢ πολλοῖς ἐπεμβαίνειν ἐπικινδύνως. [§. 4.] ἵνα δὲ ὅμως μὴ σφόδρα αὐτοῖς ἀπηνὴς ὁ νόμος εἶναι δόξειεν, ἡμεῖς ἐστοχασμένοι τῆς ἀνθρωπίνης φύσεως συμμέτρους αὐτῇ καὶ τοὺς νόμους τοὺς ἡμετέρους τίθεμεν. διὰ γὰρ τὰς τοιαύτας αὐτῶν ἴσως ἀμφισβητήσεις δίδομεν αὐτοῖς ἄδειαν ἑκάστῳ ἕνα ἐπὶ τούτῳ προβάλλεσθαι ἐν ὑπομνήμασι παρὰ τῷ λαμπροτάτῳ μαγίστρῳ τῶν κήνσων τῆς εὐδαίμονος

5) ὂν in Ven. deest.

αύτης πόλεως κατὰ τὸ σύνηθες πραττομένοις, καὶ ἄδειαν ὑτῷ διδόναι ἐπιτάττεσθαι παρὰ τῶν συμβαλλόντων ἐν τῇ ατ' αὐτὸν στατίονι τὰ συμβόλαια καὶ ἀπολυομένων αὐτῶν αραγίνεσθαι, καὶ μηδενὶ παντελῶς ἑτέρῳ τῶν ἐπὶ τῆς στατίονος ὄντων ἄδειαν εἶναι ἢ ἐπιτάττεσθαι τὴν ἀρχὴν ἢ πολυομένοις παραγίνεσθαι, πλὴν ἢ ἀπὸ[6]) τοῦ συμβολαιοράφου τοῦ τὴν αὐθεντίαν ἔχοντος ἢ τοῦ παρ' αὐτοῦ ἐπὶ ούτῳ προβληθέντος. εἰ δέ τι παρὰ ταῦτα γένοιτο καὶ ἕτερος πιταχθείη, τηνικαῦτα ὑποπιπτέτω τῇ ποινῇ ὁ συμβολαιοράφος ὁ τὴν αὐθεντίαν ἔχων τῇ παρ' ἡμῶν ἔμπροσθεν ιωρισμένῃ, αὐτῶν μέντοι τῶν συμβολαίων διὰ τὸ χρήσιμον ῶν συμβαλλόντων οὐκ ἀκυρουμένων. ἴσμεν δὲ, ὡς δέει τοῦ όμου τὸ λοιπὸν αὐτοί τε φυλάξουσι τὰ παρ' ἡμῶν θεσπιθέντα, τὰ συμβόλαιά τε ἐν ἀσφαλεῖ κείσεται.

β'. Ἐκεῖνο μέντοι τῷ παρόντι προστίθεμεν νόμῳ, ὥστε οὺς συμβολαιογράφους μὴ εἰς ἕτερον χάρτην καθαρὸν γράειν συμβόλαιον, πλὴν εἰ μὴ εἰς ἐκεῖνον, ὃς προκείμενον τὸ αλούμενον πρωτόκολλον ἔχοι, φέρον τὴν τοῦ κατὰ καιρὸν νδοξοτάτου κόμητος τῶν θείων ἡμῶν λαργιτίονων προσηορίαν, καὶ τὸν χρόνον καθ' ὃν ὁ χάρτης γέγονε, καὶ ὁπόσα πὶ τῶν τοιούτων προγράφεται, καὶ τοῦτο τὸ πρωτόκολλον ὴ ἀποτέμνειν, ἀλλ' ἐγκείμενον ἐᾶν. ἴσμεν γὰρ πολλὰς παραοιήσεις ἐκ τῶν τοιούτων χαρτῶν ἐλεγχθείσας πρότερόν τε αὶ νῦν, ὥστε κἂν εἴ τις εἴη χάρτης (καὶ γὰρ δὴ καὶ τοῦτο ἴδομεν) ἔχων τὸ πρωτόκολλον οὐχ οὕτω καταγεγραμμένον, λλ' ἄλλην τινὰ γραφὴν ἔχον, μηδὲ ἐκεῖνον προσιέσθωσαν ις κίβδηλόν τε καὶ πρὸς τὰ τοιαῦτα οὐκ ἐπιτήδειον, ἀλλὰ ιόνῳ τῷ τοιούτῳ χάρτῃ ὁποῖον ἔμπροσθεν εἰρήκαμεν τὰ υμβόλαια ἐγγραφέτωσαν. ταῦτα δὲ τὰ περὶ τῆς ποιότητος ῶν χαρτῶν ἡμῖν διωρισμένα καὶ τῆς ἀποτομῆς τῶν καλουιένων πρωτοκόλλων κρατεῖν ἐπὶ τῆς εὐδαίμονος ταύτης πό-

6) Mihi ἀπὸ delendum esse videtur, nisi αὐτοῦ legere maueris.

λεως μόνον βουλόμεθα, ἔνθα πολὺ μὲν τὸ τῶν συναλλαγμάτων πλῆθός ἐστι, πολλὴ δὲ ἡ τῶν χαρτῶν ἀφθονία, καὶ πάρεστι τῷ νενομισμένῳ τρόπῳ τοῖς πράγμασι χρῆσθαι καὶ μὴ διδόναι πρόφασίν τισι παραποίησιν ἁμαρτάνειν, ἧς ἑαυτοὺς ὑπευθύνους ὄντας ἀποδείξουσιν εἴ τι παρὰ ταῦτα πρᾶξαι θαῤῥήσαιεν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. XV Kal.[7] Septemb. CP. post Bilisarii V. C. cons. anno secundo.[8]

Nov. 45. **LXII.** Auth. 52

Summas habent Iulian. c. 41, Athan. VIII, 2, Theod. Nov. 45.

Περὶ τοῦ μὴ ἐλευθερωθῆναι βουλευτικῆς τύχης Ἰουδαίους τε καὶ Σαμαρείτας ἢ αἱρετικοὺς προφάσει τῆς αὐτῶν θρησκείας, ἀλλὰ τοῖς μὲν βουλευτικαῖς λειτουργήμασιν ὑποκεῖσθαι, τῶν δὲ προνομίων αὐτῶν μὴ ἀπολαύειν. δύνασθαι δὲ αὐτοὺς κατὰ ὀρθοδόξων ὡς ὑποκειμένων βουλευτικῇ τύχῃ μαρτυρεῖν, οἷα δὴ καὶ ὑπὲρ ὀρθοδόξου πολιτείας[1]) καλῶς μαρτυραῦντας.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.[2])

Ῥῆμά τι πρὸς ἡμᾶς ἔναγχος ἡ σὴ μεμήνυκεν ὑπεροχή, τινὰς ἐν τοῖς βουλευταῖς εἶναι Ἰουδαίους τυχὸν ἢ Σαμα-

7) Sic lego. Ven. XVI Kal. Auth. XVIIII Kal. Ath. πρὸ ιη' καλ.
8) Ath. Theod. Auth. omittunt „anno II". verba „anno II" quae ex Ven. et Codice Iuliani Berolinensi damus omnino praeferenda sunt utpote facilius incuria librariorum omissa quam temere addita; pro anno II facit etiam ordo, quo constitutiones LXI—LXX in Collect. 168 Novv. in Auth. et apud Iulian. dispositae sunt. nec ulla dubitatio est eas constitutiones omnes anno II post cons. Belisarii i. e. anno 537 vindicandas esse; quibus autem diebus datae sint, magis incertum est.

1) Ven. τῆς πολ. 2) Ven. addit ὁμοίως βι. ν' τί. δ' διγ.

ρείτας ἢ Μοντανιστὰς ἢ ἄλλως καταπτύστους ἀνθρώπους, οὓς οὔπω καὶ νῦν ἡ ὀρθὴ καὶ ἀμώμητος ἡμῶν κατέλαμψε πίστις, ἀλλ' ἐν σκότει κάθηνται ταῖς ψυχαῖς τῶν ἀληθῶν οὐκ αἰσθόμενοι μυστηρίων, καὶ ἐπειδήπερ αἱρετικοὺς μισοῦμεν, οἴονται κατὰ ταύτην τὴν πρόφασιν ἐλεύθεροι βουλευτικῶν εἶναι λειτουργημάτων· καὶ ὡς προσήκει τὰ περὶ τούτων διακριθῆναι.[3]) ἡμεῖς τοίνυν ἐθαυμάσαμεν, εἴπερ ἡ σύνεσίς τε καὶ ὀξύτης ἡ σὴ τοὺς τοιούτους αὐτῶν ὑπέμεινε λόγους, ἀλλὰ μὴ παραχρῆμα τοὺς τὰ τοιαῦτα λέγοντας διέσπασεν. εἰ γὰρ ἄνθρωποί τινές εἰσιν, οἵπερ οἴονται διὰ τῆς εἰς ἔσχατον ἀτοπίας ἐκείνων ἀξιοῦσθαι τῶν γερῶν, ἅπερ μόνοις τοῖς μεγίστοις ἀξιώμασιν ἐφυλάξαμεν, τίς οὐκ ἂν αὐτῶν μισήσειε τὴν ἀθλιότητά τε καὶ ἄνοιαν[4]); ὥστε βουλευέτωσαν ἡμῖν οἱ τοιοῦτοι πάντες καὶ μάλα οἰμώζοντες, καὶ ταῖς βουλευτικαῖς ὑποκείσθωσαν λειτουργίαις, ὥσπερ καὶ ταῖς ταξεωτικαῖς καθὰ πρώην νενομοθέτηται, καὶ μηδεμία θρησκεία τῆς τοιαύτης αὐτοὺς ἐξαιρείτω τύχης (τοῦτο γὰρ οὐδὲ τῶν παλαιῶν τινι νόμων οὐδὲ τῶν νέων εἴρηται), ἀνάξιοι μέντοι βουλευτικῆς ἁπάσης ἔστωσαν τιμῆς. καὶ ἐπειδήπερ οἱ νόμοι πολλὰ διδόασι τοῖς βουλευταῖς προνόμια, περί τε τὸ μὴ τύπτεσθαι περί τε τὸ μὴ παρίστασθαι μήτε εἰς ἑτέραν ἄγεσθαι χώραν[5]) καὶ ἕτερα μυρία, τούτων ἀπολαυέτωσαν μηδενὸς, ἀλλ' εἴ τι μὲν γέγραπται περὶ βουλευτῶν οὐ χαριζόμενον αὐτοῖς προνόμιον, τοῦτο καὶ ἐπ' αὐτοῖς κρατείτω, καὶ πληρούτωσαν σωματικάς τε καὶ χρηματικὰς λειτουργίας καὶ μηδεὶς τούτων αὐτοὺς ἐξαρπαζέτω νόμος· τιμῆς δὲ ἀπολαυέτωσαν μηδεμιᾶς, ἀλλ' ἔστωσαν ἐν ἀτιμίᾳ τὴν τύχην[6]) ἐν οἵᾳ καὶ τὴν ψυχὴν ἠβουλήθησαν εἶναι. οὕτω τοίνυν αὐτοῖς τὸ περὶ τούτου διάθες.[7])

γ' ἐν τέλει. 3) Auth. videtur legisse διακλιθῆναι. probat Osenbrüggen, sed temere; verba καὶ ὡς προσήκει κτλ. a μεμήνυκεν pendent. 4) l. 7 C. de haereticis 1, 5. 5) Vide const. III. 6) Auth. τῆς τύχης legere suadet. 7) Hal. Scr. διαθέσθω.

α'. Κἀκεῖνο μέντοιγε προσήγγειλας ἡμῖν ἄξιον ζητήσεώς σοι γενόμενον. ἐπειδὴ γὰρ τοὺς αἱρετικοὺς μαρτυρεῖν εἴρξαμεν[8]) ἐφ' ὧν ὀρθόδοξοι πρὸς ἀλλήλους δικάζονται, διδόντες αὐτοῖς κατὰ τὴν ἡμετέραν διάταξιν, εἰ μὲν ἐν ἀλλήλοις φύροιντό τε ἐκεῖνοι καὶ δικάζοιντο καὶ ἑκάτερος αἱρετικὸς εἴη, ὅ τε ἐνάγων ὅ τε ἐναγόμενος, δύνασθαι μαρτυρεῖν, ἀξίων ἀλλήλοις ὄντων καὶ τῶν δικαζομένων καὶ τῶν μαρτυρούντων· εἰ δὲ αὖθις αἱρετικός τε εἴη καὶ ὀρθόδοξος, κατὰ μὲν αἱρετικῶν καὶ σφόδρα δύνασθαι μαρτυρεῖν ὑπὲρ ὀρθοδόξων, κατὰ δὲ ὀρθοδόξων οὐκ ἔτι· ὀρθοδόξων δὲ ὄντων τῶν δικαζομένων, μηδεμίαν εἶναι παντελῶς πάροδον αὐτοῖς εἰς μαρτυρίαν· ἐδίδαξας τοίνυν ἡμᾶς, ὥς τινες ὀρθόδοξοι καθεστῶτες ἀρνοῦνται βουλευτικῆς εἶναι τύχης, καὶ ἀνάγκη παρελθεῖν εἰς μαρτυρίαν τοὺς ἐκ τοῦ γένους συνημμένους αὐτοῖς ἢ καὶ ἄλλως πῶς ἐπισταμένους αὐτῶν τὴν τύχην, καὶ ἐπειδήπερ ὁ νόμος εἴργει τὰς ἐπ' ὀρθοδόξοις μαρτυρίας τῶν αἱρετικῶν, διὰ τοῦτο τοὺς δικαστὰς ὀκνεῖν ταύτας προσίεσθαι. καίτοιγε μάταιον δεδοίκασι δέος οἱ τὰς τοιαύτας παραιτούμενοι δέχεσθαι μαρτυρίας. πρῶτον μὲν γὰρ ὑπὲρ ὀρθοδόξων γίνονται (τοῦτο δὲ οἱ νόμοι πράττειν τοὺς αἱρετικοὺς οὐ κωλύουσιν), ἔπειτα εἰ τοὺς ὄντας βουλευτὰς εἶτα πρὸς τὴν τύχην ἀνανεύοντας ἕλκει τὶς εἰς βουλὴν καὶ τοὺς αἱρετικοὺς εἰς μαρτυρίαν καλεῖ, πῶς οὐ τοῦτο ὑπὲρ τῆς ἡμετέρας πράττει πολιτείας; ὥστε εἶναι τὴν μὲν πολιτείαν τὴν δικαζομένην ὀρθοδοξοῦσαν, καὶ μάλιστα ἐξ οὗπερ ἡμᾶς αὐτῆς δέδωκεν ὁ θεὸς βασιλεύειν, τοὺς δὲ ὑπὲρ τούτου μαρτυροῦντας ὑπὲρ ὀρθοδόξων ποιεῖσθαι μαρτυρίαν. τὸ γὰρ πολίτευμα τὸ ἡμέτερον ὀρθόν τέ ἐστι καὶ ἤδη μεστὸν τῆς ὀρθοδόξου πίστεως, πάσης αἱρέσεως ἄλλης εἰκότως μεμισημένης.

Καὶ[9]) τοῦτο τοίνυν ἡ σὴ ὑπεροχὴ παραφυλαττέτω,

8) l. 21 C. de haeret. 1, 5. Ven. ἀφ' ὧν. 9) Epilogum Hal. non habet.

τόν τε ἡμέτερον γινώσκουσα νόμον[10]) καὶ τὸ τῇ πολιτείᾳ συμφέρον μνηστεύουσα[11]), καὶ ἐπισταμένη διὰ πάντων ὡς ἐκεῖνα ἡμῖν καὶ πράττειν καὶ νομοθετεῖν διεσπούδασται ὁπόσα τὴν ἡμετέραν ὠφελεῖ πολιτείαν. Dat. XV. Kal. Sept. CP. post Bilisarii V. C. cons. ann. II.[12])

Auth. 46. LXIII. Nov. 46.

Collect. 87 capitul. c. 13. — Summas praestant Iulian. c. 14, Athan. II, 8, Theod. Nov. 46.

Περὶ τῆς τῶν ἐκκλησιαστικῶν ἀκινήτων πραγμάτων ἐκποιήσεως καὶ καταβολῆς δίχα τῶν ἐν Κωνσταντινουπόλει.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Καὶ τὸ περὶ τοὺς νόμους σπούδασμα καὶ τἆλλα πάντα ἡμῖν διὰ τοῦτο καθ' ἑκάστην ἐκπονεῖται, ἵνα τὸ συμφέρον τοῖς ἡμετέροις ὑπηκόοις ἐξευρίσκοιμεν, τὸ μὲν ἐκκεχυμένον καὶ ἄμετρον παύοντες, τὸ δὲ ἄριστόν τε καὶ μεμετρημένον ἀντεισφέροντες. καὶ πολλὰ[1]) ἐξεπίτηδες διὰ τὴν ἔμπροσθεν ἀμετρίαν καὶ πέρα τοῦ μετρίου τὸν νόμον περιεσφίγξαμεν, ἵνα τὸ πρόσθεν ἐπιῤῥέον στείλαντες, οὕτω τὴν ἰσότητα τὸ λοιπὸν εἰσαγάγωμεν. ἔναγχος τοίνυν ἐγράψαμεν νόμον[2]) ταῖς ἁγιωτάταις ἐκκλησίαις ἁπάσαις, μοναστηρίοις τε καὶ λοιποῖς εὐαγέσιν οἴκοις, μηδεμίαν αὐτοῖς εἶναι πραγμάτων ἀκινήτων

10) Auth. legit νοῦν. fortasse rectius. 11) Auth. μνημονεύουσα videtur legisse. 12) Verba: anno II addo ex Athanasio, ubi sic est: Ἐγράφη καλ. σεπτεμβρ. μετὰ τὴν ὑπατείαν βελισαρίου τὸ δεύτερον. etiam Auth. et Iul. Kal. Sept. habent. sed lectio Veneta XV Kal. Sept. praestare videtur. Auth. „imp. Iust. PP. Aug. anno XI" addit.

1) πολλάκις? 2) Const. XV.

ἐκποιήσεως ἄδειαν. ἑωρῶμεν γὰρ τὸ πρᾶγμα ἐκκεχυμένον, καὶ κατὰ μικρὸν εἰς ἑτέρους τὰς ἐκκλησιαστικὰς μεταβαινούσας κτήσεις, οὐδὲ τιμημάτων ἀξίων καταβαλλομένων οὐδὲ χρείας ἀπαραιτήτου κατεπειγούσης ἐκποιουμένων[3]), ἀλλὰ καὶ κατὰ τῶν ἤδη τεθειμένων νόμων μυρίας περιγραφὰς γινομένας· ὥστε τὴν πρώτην ἀνελόντες ὁδὸν πᾶσιν ὁμοίως ἄβατον τὴν κατ' αὐτῶν ἐποιησάμεθα περιγραφήν. ἀλλ' ἐντεῦθεν κατὰ τὸ πλεῖστον μὲν αἱ τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῶν ἄλλων εὐαγῶν οἴκων ὠφέληνται κτήσεις, οὐδενὸς ταύτας ἐλαττοῦν θαῤῥοῦντος, ἀπήντησε δὲ ὅμως τὶ καὶ δύσκολον, δανείσματα γὰρ ἢ πόῤῥωθεν συστάντα ἢ καὶ ὕστερον ἔκ τινος ἀνάγκης καὶ μάλιστα κατὰ δημοσίας προφάσεις αὐτοῖς ἐπισυμβάντα εἰς ἐκποιήσεως ἀνάγκην τοὺς ἱεροὺς ἀναγαγεῖν οἴκους. κινητῆς γὰρ οὐχ ὑπούσης περιουσίας αὐτάρκους, ἐκινδύνευον εἰς ἐσχάτην ἐλθεῖν ἀνάγκην οἱ τούτων προεστῶτες, οὔτε ἀποδόσθαι δυνάμενοι οὔτε ὅθεν τὰ ὀφλήματα λύσαιεν ἰσχύοντες. ἀλλὰ τὸ μὲν ἀντὶ τῶν[4]) ὀφλημάτων δύνασθαι ἀντὶ καταβολῆς τοῖς δανεισταῖς διδόναι κτήσεις ἐκκλησιαστικὰς (μετὰ μέντοι τῆς προσηκούσης ἀκριβείας καὶ παρατηρήσεως γινομένης τῆς καταβολῆς) ἤδη πολλάκις ἐπετρέψαμεν, ὡς οὐδὲ σαφῶς τοῦτο τῷ ἡμετέρῳ πρότερον ἀνελόντες νόμῳ· εἰ δὲ οὐκ ἰδιωτικός τίς ἐστι δανειστής, ἀλλ' ἐπίκειται τὸ δημόσιον καὶ ἀπαιτοίη τὰ ὀφλήματα, ἔστι δὲ ἀπορία χρημάτων, λαβεῖν δὲ ἀκίνητον κτῆσιν οὐ δυνατὸν τὸν δημόσιον, ἐνταῦθα χαλάσαι τὶ τῆς ἀκριβείας τοῦ νόμου προσήκειν ἡγησάμεθα, καὶ εἴ τις ἀνάγκη τοιαύτη γένοιτο, καὶ ἐκποίησιν ἐφεῖναι συνείδομεν.

α'. Θεσπίζομεν τοίνυν, εἴπερ τῶν ἁγιωτάτων τὶς ἐκκλησιῶν ἢ τῶν λοιπῶν σεβασμίων οἴκων δημοσίους ὀφείλοι φόρους καὶ ὅθεν ποιήσοιτο τὴν τούτων ἀπόδοσιν οὐκ ἔχοι,

3) *αὐτῶν ἐκπ?* 4) Authentico lectio *ἐπὶ τοιούτων* ob oculos fuisse videtur. malim *ἐπὶ ἰδιωτικῶν* legere.

ινιέναι πάντας εἰς ταὐτὸν τούς τε ἐκ τοῦ κλήρου τόν τε ;οφιλέστατον ἐπίσκοπον αὐτῆς τε τῆς πόλεως καὶ πρός γε ν τῆς μητροπόλεως, καὶ τῶν θείων προκειμένων λογίων πρᾶγμα ἐξετάζεσθαι, καὶ εἰ μὴ φανείη μηδὲ εἷς πόρος ποιήσεως χωρὶς δυνάμενος λῦσαι τὸ δημόσιον ὄφλημα, νικαῦτα ἄδειαν αὐτοῖς εἶναι, ψήφου τοιαύτης προϊούσης ιὶ δεκρέτου γινομένου παρὰ τῷ τῆς ἐπαρχίας ἄρχοντι, καὶ ήσεων ἀκινήτων ἅπτεσθαι καὶ ταύτας ἐκποιεῖν εἰς λύσιν ῦ ὀφλήματος· τῶν μὲν ὠνουμένων ἐπὶ τὸ δημόσιον καταιλλόντων καὶ τὰς ἀποδείξεις ἐκεῖθεν λαμβανόντων καὶ τεισιόντων τὸ δημόσιον ὄφλημα[5]), καὶ τὴν ἀσφάλειαν ἐκεῖεν ἐχόντων καὶ οὐδὲν δεδιότων τὸν ἔμπροσθεν τεθέντα μον παρ' ἡμῶν, τῶν δὲ τὴν πρᾶσιν ποιουμένων ἀνευθύων τό γε πρὸς τὸν νόμον καθεστώτων, τῶν τε δημοσίων τοδείξεων ἐμφανῶν ἐν ὑπομνήμασι γινομένων καὶ καταθεμένων τῶν πεποιηκότων αὐτάς, ἵνα καὶ παρὰ ταῖς ἁγιωταις ἐκκλησίαις σώζοιτο περιφανὴς ἀπόδειξις τοῦ καὶ τοὺς ημοσίους καταβεβλῆσθαι φόρους καὶ τοῦ πάντα κατὰ τὸν ιέτερον πεπράχθαι νόμον· οὐ δυναμένων τινῶν πλάττειν ημόσιον ὄφλημα καὶ οὕτως ἐπὶ τὰς ἐκποιήσεις τῶν ἀκινήιν χωρεῖν. διὰ τοῦτο γὰρ καὶ τὴν τοῦ δεκρέτου ποίησιν ιετρέψαμεν, ἵνα καὶ τὸ δημόσιον ὄφλημα μαρτυρῆται καὶ πόσων κάτεισι χρόνων καὶ ὅπως οὐκ ἐκ χρημάτων ἐλύθη λλ' εἰς ἀνάγκην ἐκποιήσεως ἦλθεν, ὅπως ἂν τὰ τῆς ἀληείας πανταχόθεν μαρτυροῖτο, πάντων ἐπὶ τῶν θείων εὐαγλίων πραττομένων. εἰδότων τῶν τε ἐπισκόπων τῶν τε κληκῶν καὶ πρός γε τῶν ἄλλων ἁπάντων, ὡς θεὸς ἐπόψεται ι γινόμενα παρ' αὐτῶν, καὶ εἴ τι πράξαιεν κατὰ δόλον ἢ ἐρδος ἢ μηχανήν, τοῦτο ἐν ταῖς ἑαυτῶν ἀπολήψονται ψυχῖς ζῶντές τε καὶ τελευτῶντες.

5) Iulian.: „et fiscale debitum subeat et in locum fisci ıccedat".

β'. Εἰ μὲν οὖν ἰδιώτης τὶς ὀφειλόμενος εἴη, δύνασθαι κατα τὸ pro soluto[6]) σχῆμα λαμβάνειν ἀκινήτους κτήσεις, κἀνταῦθα δεκρέτου γινομένου καὶ πρὸς τὸ μέτρον τῶν ταῖς ἀληθείαις ὀφειλομένων προσκυρουμένων αὐτοῖς τῶν κτήσεων. εἰ δὲ ὄφλημα δημόσιον εἴη, δυναμένων αὐτῶν εἰς ἐκποίησιν ἀκινήτων χωρεῖν κατὰ τὴν ἔμπροσθεν παρατήρησιν, ὥστε μηδὲν ἐλλεῖψαι μηδὲ τῆς ἀκριβείας μηδὲ τῆς κοινῆς λυσιτελείας.

γ'. Τούτων δὲ ἁπάντων τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν τῆς εὐδαίμονος ταύτης πόλεως καὶ τὴν αὐτῆς περιοικίδα καὶ τοὺς εὐκτηρίους οἴκους ὧν αὐτὴ τὴν φροντίδα ἀναδέδεκται πᾶσιν ἐξαιροῦμεν τρόποις, τῶν ἤδη περὶ τούτου νενομοθετημένων παρ' ἡμῶν ἐπὶ τῆς οἰκείας μενόντων ἰσχύος. εἰ δὲ καί τινα μοναστήρια ὑπ' αὐτὴν τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν εἴη, οὐδὲ ταῦτα ὑπὸ τὸν παρόντα ποιούμεθα νόμον, ταῖς ἔξω χώραις αὐτὸν ἐφιστάντες μόνον, ἐν αἷς πολλή τίς ἐστιν ἀπορία χρημάτων, καθ' ἣν αἱ ἁγιώταται ἐκκλησίαι λῦσαι διὰ χρημάτων τὰ ὀφλήματα οὐκ ἂν δυνηθεῖεν.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν γινώσκουσα κατὰ τοῦτο προϊέναι τὰς ἐπὶ τοῖς ἱεροῖς πράγμασιν ἐκποιήσεις παραφυλαττέτω. Dat. XV.[7]) Kal. Sept. CP. post Bilisarii V. C. cons. [ann. II].[8])

6) Ven. inter lineas ἤτοι κατὰ διάλυσιν. 7) Athanas. πρὸ ιδ' καλ. σεπτ. Auth. XVIII Kal. 8) Addo „anno II", ex Auth. licet nec Ven. nec Ath. nec. Theod. hanc temporis notam agnoscant. Cf. const. LXI not. ult.

.uth. 47. LXIV. Nov. 48.

asil. XLI, 6, 1 cum schol. — Summas habent Iulian. c. 43, Athan. IX, 4, Theod. Nov. 48, et incertus epitomator (cf. Ἀνέκδ. mea p. 213.).

Ιερὶ ὅρκου δοθέντος παρὰ τοῦ τελευτῶντος ἕνεκεν τοῦ μέτρου τῆς ἑαυτοῦ περιουσίας.

) αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἀεὶ τοῦτον ἕνα πεποιήμεθα σκοπὸν τὸ τὰς διατυπώεις τῶν τελευτώντων εἶναι βεβαίας, εἰ μὴ μάχωνται νόμῳ αὶ φανερῶς ἐναντιοῖντο τοῖς ἐκείνῳ δοκοῦσιν. ἴσμεν τοίνυν αὶ ἐν τοῖς πράγμασι κινηθὲν καὶ προσηγγελμένον ἡμῖν, ς διαθέμενός τις σὺν ὅρκοις τὴν ἑαυτοῦ περιουσίαν ἅπαν εἶπε καὶ ὅτι ταύτην μόνην καταλιμπάνει τοῖς αὐτοῦ ληρονόμοις, τινὲς δὲ ὕστερον αὐτῶν τῶν κληρονόμων πρὸς ῦτα ἀνανεύουσιν, οὐ δίκαια ποιοῦντες, ὅτι τῆς μὲν οὐσίας ῆς ἐκείνου κληρονομοῦσι κἂν τούτῳ πείθονται τοῖς ὑπ' ὑτοῦ διατεταγμένοις, ἃ δὲ ἂν εἴποι μεθ' ὅρκου ταῦτα οὐκ :ι κύρια μένειν οὐδὲ φυλάττειν αὐτὰ κατὰ τὸν προσήκοντα όπον βούλονται· καίτοιγε τοῖς ἡμετέροις δοκεῖ νόμοις ἓν ως εἶναι πρόσωπον τὸ τοῦ κληρονόμου καὶ τὸ τοῦ εἰς ὐτὸν παραπέμποντος τὸν κλῆρον, ὥστε οὐκ ἄν τις αὐτὸν υτῷ φήσειε διαμάχεσθαι, καὶ ὅπερ εἶπε καὶ ἐπώμοσε κύριον ναι, τοῦτο μὴ βούλεσθαι κρατεῖν, ἀλλὰ πρὸς τοὺς οἰκείους ιαμάχεσθαι λόγους.

α'. Θεσπίζομεν τοίνυν, εἴ τις ἀπογραφὴν πεποιηκὼς ῖτε ἰδιόχειρον εἴτε δι' ἑτέρων μὲν γραφεῖσαν παρ' αὐτοῦ ὲ ὑποσημειωθεῖσαν, ἢ ἐν ταῖς αὐτοῦ διαθήκαις τὸ τῆς ὐσίας τῆς αὐτοῦ μέτρον ποιήσει φανερὸν, τῶν κληρονόμων ἴως τῶν μὲν ἀπόντων τῶν δὲ παρόντων ἢ καὶ πάντων αρόντων, μὴ ἐξεῖναι τοῖς κληρονόμοις πρὸς ταῦτα ἀνανεύειν ηδὲ λέγειν ὡς τῶν κληρονόμων τὶς ἀπέκρυψε πράγματα

ἔξω τῶν ῥηθέντων παρὰ τοῦ τελευτῶντος. ἀλλ' εἴπερ ὅρκον ὁ τελευτῶν ὑπόσχοι ἢ διομόσοιτο κατὰ τὰς ἑαυτοῦ διαθήκας, ὡς οὐδέν ἐστιν ἕτερον αὐτῷ παρὰ ταῦτα, τοῦτο[1]) στέργειν τοὺς κληρονόμους, εἴτε παῖδες εἴτε καὶ ἐξωτικοὶ εἶεν, καὶ μὴ πολυπραγμονεῖν μηδὲ συκοφαντεῖν τοὺς ἑαυτῶν συγκληρονόμους, μηδὲ ἐντεῦθεν οἰκέτας τε ζητεῖν καὶ εἰς βάσανον ἄγειν καὶ ἕτερα τοιαῦτα ἐξερευνᾶν καὶ πολυπραγμονεῖν, ἅπερ μόνης ἐστὶ φιλονεικίας ἑτέρου δὲ παντελῶς οὐδενός, ὡς τῆς οὐσίας δοκούσης τοσαύτης εἶναι ὅσην ὁ διαθέμενος ὤμοσε, καὶ ταύτην μόνην εἰς τοὺς κληρονόμους διαιρεθῆναι βουληθέντος.[2]) [§. 1.] ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς κληρονόμους οἵπερ ταὐτό που δοκοῦσι τοῖς τελευτῶσιν εἶναι κρατεῖν βουλόμεθα, οὐ μὴν τοῦτο κύριον εἶναι καὶ πρὸς δανειστάς, διότι τοῖς ἡμετέροις εἴρηται νόμοις, ὁπόσα·ἄν τις ὑπὲρ ἑαυτοῦ φήσειεν ἢ γράψειε, ταῦτα μηδὲν αὐτὸν ὠφελεῖν μηδὲ τοῖς δανεισταῖς προκρίνειν. ἀλλ' ἐκείνοις ἄδεια ἔστω πάντα ἀνερευνᾶν ὃν βούλονται τρόπον, τοὺς κληρονόμους δὲ ἐμμένειν τοῖς παρὰ τοῦ διατιθεμένου ῥηθεῖσι. καὶ ἔστω γε ποινὴ τοῦ πράγματος ἐν τοῖς κληρονόμοις τὸ τὸν ἐναντιούμενον τούτοις μὴ δύνασθαι τῶν καταλελειμμένων αὐτῷ παντελῶς ἀπολαύειν, ἀνάγκης ὑπούσης[3]) ἢ πείθεσθαι πᾶσιν ἢ πάντα διαπτύειν, καὶ μὴ τὰ μὲν αἱρεῖσθαι τοῖς δὲ διαμάχεσθαι, ἀλλὰ τὴν τοῦ τελευτῶντος βουλὴν ὑπὸ τῶν αὐτοῦ διαδόχων οὕτω φυλάττεσθαι ὡς κατὰ μηδὲν ἐναντιοῦσθαι ταύτῃ θαῤῥεῖν. τούτων κρατούντων ἐπί τε τοῦ ἑξῆς χρόνου παντός, ἐπί τε πάσης ὑποθέσεως οὔπω κεκινημένης ἐν δικαστηρίῳ οὐδὲ δικαστικῇ ψήφῳ ἢ φιλικῇ συμβάσει διαλελυμένης.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου γινώσκουσα κατὰ τὸ

1) Ven. τούτῳ. 2) Scil. τοῦ διαθεμένου. Auth. videtur legisse ὁ διαθ. ὤμοσε ταύτην — βουληθείς. 3) Ven. ἐπιούσης.

συνήθες διὰ προγραμμάτων οἰκείων φανερὰ πᾶσι καταστησάτω. Dat. XV. Kal. Sept.[4]) CP. post Bilisarii V. C. cons. ann. II.[5])

Auth. 58. **LXV.** Nov. 49.

Prooem. §. 1. 2 et c. 1 habetur in Bas. IX, 2, 4; c. 2 in Bas. XXII, 3, 1; c. 3 in Bas. VII, 14, 21. — Summas praestant Iulian. c. 44, Athan. VII, 3, Theod. Nov. 49.

Περὶ τῶν εἰσιόντων τὴν ἔκκλητον ῥέων καὶ περὶ ἰδιοχείρων προκομιζομένων ὑπὸ τοῦ ἐναγομένου καὶ περὶ τοῦ ὅρκου τῆς ὑπερθέσεως[1]), ὥστε καὶ συνάπτεσθαι αὐτὸν τῷ τῆς calumniας *ἵνα ἅπαξ μόνον ὑπὲρ πάσης ἀποδείξεως ὀμνύοιτο.*

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Τὸ ῥευστὸν δὴ τοῦτο καὶ ἀνθρώπινον καὶ μένειν ἐπὶ ταὐτοῦ μηδεπώποτε δυνάμενον, ἀλλὰ γινόμενον μὲν ἀεὶ μένον δὲ οὐδέποτε, καὶ ταῖς νομοθεσίαις εἰσάγει τινὰ ταραχήν, καὶ τὸ δόξαν ἔχειν ὀρθῶς καὶ ἐν βεβαίῳ κεῖσθαι δοκοῦν καὶ τῇ τῶν ἀκριβῶν κατασφαλισθὲν παρατηρήσει πολλάκις ἐκίνησεν ἡ τῶν ἐπισυμβάντων ποικιλία πραγμάτων. Ἴσμεν γάρ, ὡς πρῴην ἐπηνωρθώσαμεν[2]) τὸ κακῶς καὶ δολερῶς περὶ τὰς ἐφέσεις γινόμενον, ὅτι μόνῳ τῷ τὴν ὑπόθεσιν εἰσαγαγεῖν εἰς δικαστήριον οἱ ἐφέντες[3]) ἀρκούμενοι, καὶ τὴν τοῦ προσώπου ποιησάμενοι στάσιν ἢ κατὰ μίαν μοῖραν ἢ

4) Ath. ἐξεφωνήθη καλ. σεπτ. 5) „Anno secundo" addo ex Auth. et Iul. ubi est „iterum". Ath. et Theod. cum Ven. μετὰ τὴν ὑπατείαν βελισαρίου. sed locus, quo in Coll. 168 Novv. et in Auth. collocata est, hanc constitutionem ad a. 537 pertinere demonstrat. Vide const. LXI not. ult.

1) Ven. ὑποθέσεως. 2) l. 5 §. 4. C. de temporib. appell. 7, 63. 3) Hal. ἐφέται.

καὶ κατὰ διάγνωσιν (ἀδιάφορον γὰρ δὴ τοῦτο), κατελίμπανον τὴν ὑπόθεσιν, καὶ τῷ γε νενικηκότι παντοίως ἦν ἀδιεξόδευτα τὰ τῆς νίκης[4]), μὴ δυναμένῳ μηδὲ τῶν κεκριμένων ἀπολαῦσαι διὰ τὴν ἔφεσιν, μηδὲ τὴν ἔφεσιν ἐξετασθῆναι παρασκευάσαι διὰ τὴν ἀπουσίαν τοῦ ἐφέντος. [§. 1.] ταῦτα ἡμεῖς πρῴην νομοθετήσαντες ἐπηνωρθώσαμεν, ἐνιαυτὸν μὲν τάξαντες τῷ τὴν ἔφεσιν ἐπιδόντι, εἴτε αὐτῷ καθ' αὑτὸν εἰσελθόντι εἴτε καὶ συστάδην, ἐφ' ᾧ τε εἴσω τούτου τὴν δίκην ἀγωνίσασθαι καὶ τυχεῖν τῶν δικαίων καὶ μὴ καταλιπεῖν αὐτὴν ἀπρονόητον, εἶτα διὰ φιλανθρωπίαν, εἰ παρὰ τὴν αἰτίαν τοῦ δικάζοντος τὰ τῆς ἐφέσεως ἐπισχεθῇ ἢ κατ' ἄλλην τινὰ πρόφασιν ἀπαραίτητον, καὶ ἕτερον προσθέντες ἐνιαυτὸν, μεθ' ὃν εἰ μὴ τὴν δίκην πληρώσειαν, κυρίαν μένειν τῷ νενικηκότι τὴν ψῆφον ἐθεσπίσαμεν.[5]) ταῦτα μὲν οὖν ἐδέδοκτό τε ἡμῖν καὶ ἐν κοινῷ γέγραπται νόμῳ, καὶ κρατεῖν τε τὸν νόμον τοῦτον βουλόμεθα καὶ τὴν ἐκείνου παρατήρησιν. [§. 2.] ἀλλὰ πολλοὶ προσῆλθον ἡμῖν φάσκοντες, αὐτοὶ μὲν προσαγγεῖλαι τοῖς ἐφέταις καὶ βουληθῆναι τὴν δίκην ἐξετασθῆναι, οὐ μὴν αὐτῶν τῶν δικαστῶν τυχεῖν ἀνεχομένων διά τινας ἴσως ἀπαραιτήτους ἀσχολίας· οἱ δὲ καὶ ἀνέμων ἀμετρίαν ᾐτιάσαντο καὶ ὅτι πλεῖν οὐκ ἐξῆν ἐκ τῆς χώρας ἐναντίων ἀπελαυνόντων πνευμάτων, πεζεύειν δὲ οὐκ ἴσχυον διὰ τὴν τῶν ὄντων ἀπορίαν, ἢ ὅτι νησιῶται τυχὸν ὄντες ἄλλως εἰ μὴ θαλαττεύοντες ἐλθεῖν οὐκ ἠδύναντο, καὶ διὰ τοῦτο οὐκ ἴσχυσαν ἀγωνίσασθαι μέχρι πέρατος τὴν ὑπόθεσιν οὐδὲ κατὰ τὸ δεύτερον ἔτος· καί τινες χειμώνων ἀωρίαν, ἄλλοι νόσους ἀπαραιτήτους· ἅπερ ἅπαντα ἐξ αὐτῶν ἴσμεν τῶν πραγμάτων ἡμῖν προσαγγελθέντα. ὥστε ἡμᾶς ταῦτα δικαίως ἐτάραττε καὶ τὸν νόμον ὑπερβῆναι μὴ βουλομένους καὶ τοῖς κατά τινα τοιαύτην τυχηρὰν περίστασιν ἀδικουμένοις δοῦναι βοήθειαν τὴν δυνατὴν ἐπιθυμοῦν-

4) Hal. δίκης. 5) Cf. τὰς ῥοπάς 25, 17.

ς. τί οὖν πράττειν ἐχρῆν, εἰ μὴ πρὸς νόμον ἕτερον ἰδεῖν εἰκότα τῷ πράγματι βοηθοῦντα;

α'. Ἡ μὲν οὖν παρατήρησις ἡ λοιπὴ τοῦ ῥηθέντος ιῖν νόμου καθάπερ εἰπόντες ἔφθημεν φυλαττέσθω διὰ ιντὸς, εἰ δὲ ταῖς ἀληθείαις ἀπαραίτητόν τι γένηται, καὶ τὴν ἐφέσιμον δίκην ἀγωνιζόμενος μὴ προσεδρεύοι, καὶ[6] ἴτοι τὴν εἴσοδον κατὰ κυρίαν ποιησάμενος οὐκ ἀπαντή-ιε, κινδυνεύει δὲ ὁ τῆς διετίας ἐξήκειν καιρὸς, τηνικαῦτα ἱ νενικηκότι κυροῦσθαι τὴν ψῆφον τοῦτο ὅπερ ὁ πρότερος ιῶν λέγει νόμος, ἀλλὰ μετά τινος ὑποδιαιρέσεως, ἣν ἐν ἱ παρόντι προστίθεμεν. ἐπειδὴ γὰρ τοῖς νενικηκόσιν ἐβοηθή-μεν τὴν ἀμετρίαν τοῦ χρόνου στήσαντες[7]) τοῖς ἔφεσιν ν δοῦσι[8]) καὶ κατὰ κυρίαν εἰσελθοῦσιν οὐ μὴν ἔτι τὴν ωνίαν ὑπελθεῖν βουλομένοις ἢ καὶ ἐν μέσοις τοῖς ἀγῶσιν τολείπουσιν αὐτὴν, διὰ[9]) τοῦτο σμικρῷ τινὶ τοὺς νενικη-τας ἐλαττοῦντες στοχασαίμεθα ἂν καλῶς τοῦ προσήκοντος. υλόμεθα γὰρ τὸν κρατήσαντα τῆς δίκης, εἰ βούλοιτο ταῖς ηθείαις κυρωθῆναι τὴν ψῆφον, οὐκ ἐξ ἐπιδρομῆς οὐδὲ χρόνου τινὸς ἀλλ' ἐξ αὐτῆς τῆς τῶν πραγμάτων ἀληθείας, ὶ ἀπολιμπανομένου τοῦ τὴν ἔφεσιν ἐπιδιδόντος εἰσελθεῖν, ὶ αὐτὸ τοῦτο μέμψασθαι καὶ ζητῆσαι τὸν ἀπολιμπανόμενον, ὶ εἴτε εὑρεῖν αὐτὸν ἰσχύσειεν εἴτε ἐκεῖνος οὐ φανείη, τὰ υτοῦ δίκαια φέρειν εἰς μέσον, δηλαδὴ τῆς διετίας ἐνιστα-νης ἔτι, πρὸς τῷ πέρατι μέντοι, ὥστε ἕνα τυχὸν ὑπολιμ-ίνεσθαι τῷ πράγματι μῆνα· καὶ εἰ μὲν εὐδοκιμῶν φανείη, ρίαν εἶναι τὴν ψῆφον, εἰ δὲ ἐλαττοῖτο περὶ τοὺς ἀγῶνας, ὶ τοῦ τὴν ἔφεσιν ἐπιδόντος καὶ κατὰ κυρίαν εἰσεληλυθότος ἱ προσεδρεύοντος τὸ πρᾶγμα τὴν ἐκ τοῦ δικαίου δέχεσθαι

6) Ven. Hal. Bas. καὶ omittunt. fortasse καὶ pro καίτοι ribendum. 7) Ven. αἰτήσαντες. 8) In Ecl. lib. I—X ιsil. legitur τοῖς ἔφεσιν μὲν ἐπιδοῦσι. non male. 9) Ven. t et Hal. et Bas.) καὶ διά. malui Auth. sequi; nam καὶ ane abundat.

ψῆφον. ἐκείνου μόνου προστιθεμένου τοῦ κἂν εἰ κρατήσει τῆς δίκης ὁ καὶ πρότερον νενικηκὼς κἂν εἰ περὶ αὐτὴν ἐλαττωθείη, τὰς δαπάνας αὐτῷ πάντως τῶν μετὰ τὴν ἔφεσιν εἰσόδων τὸν ἀπολελειμμένον δοῦναι· εἴτε γὰρ κρατήσειε τῆς δίκης, προφάσει τῆς δαπάνης κατ' αὐτὸ τοῦτο καθ' ὅτι νενίκηκεν ὀρθῶς δίκαιος ἂν εἴη καὶ τὴν δαπάνην λαβεῖν, εἴτε καὶ ἐλαττωθείη, διότι περ ὅλως ἐκεῖνος ἀπελείφθη καὶ γέγονεν αὐτῷ καὶ ἀπολελειμμένῳ νικῆσαι, τὰς μὲν δαπάνας κατατιθέτω, τῆς ψήφου δὲ ἀπολαύσας χάριν ἴστω τῷ θεῷ καὶ τῷ παρόντι νόμῳ οὕτω τὸ δίκαιον αὐτῷ φυλάξαντι καὶ μόνῃ ζημιώσαντι τῇ δαπάνῃ, ἥπερ[10]) οὐχ ὁ νόμος, αὐτὸς δὲ ἑαυτὸν ἀπὼν ἐζημίωσεν. εἰ μέντοι μηδέτερος ἀπαντήσειε, μήτε ὁ νενικηκὼς μήτε ὁ νενικημένος, ὅς γε καὶ κατὰ κυρίαν εἰσελθὼν εἶτα ἀπελείφθη, ἡ ψῆφος τοῦ νενικηκότος μενέτω κυρία, πάντων τῶν λοιπῶν τῶν ἐπὶ ταῖς ἐφέσεσι γεγραμμένων νόμων κυρίων ὄντων, τῶν τε ἐπὶ ταῖς προθεσμίαις τῶν τε ἄλλων. τοῦτον γὰρ δὴ τὸν νόμον φαμὲν ἐπὶ τοῖς μετὰ τὴν εἴσοδον τὴν ἐπὶ τῇ κυρίᾳ γενομένην ἀπολελειμμένοις τίθεμεν, οὐδὲν τῶν ἄλλων νόμων ἢ χρόνων τῶν ἐφετικῶν οὔτε ἀναιροῦντες οὔτε ἀμείβοντες, κυρίους μὲν οὖν[10a]) αὐτοὺς καὶ διὰ τοῦδε τιθέντες τοῦ νόμου. [§. 1.] κἀκεῖνο μέντοι προσδιορίσασθαι καλόν, ὥστε εἰ μὲν οἱ νενικηκότες ἔφθασαν ἤδη ψήφου τυχεῖν κυρίας ἀποφαινούσης αὐτοῖς τὰς νίκας, τούτων αὐτοὺς ἀπολαύειν (οὐδὲν γὰρ τῶν ἤδη πεπερασμένων κινοῦμεν)· εἰ δὲ ἔτι μέχρι νῦν ἤρτηνται τῆς διετίας ἐνισταμένης καὶ μήπω παραδραμούσης, οὔπω δὲ τῆς ψήφου κεκυρωμένης, καὶ αὗται[10b]) τῆς αὐτῆς τυγχανέτωσαν ἐξετάσεως, καὶ οὕτως ἀπολαυέτωσαν οἱ νικήσαντες τῶν ψήφων, εἴπερ ταύτας ὀρθῶς ἔχειν ἀποδείξαιεν.

β'. Κἀκεῖνο δὲ ἡγούμεθα τῷδε χρῆναι προστεθῆναι

10) Ita Bas. in Cod. Coislin. cum Auth. Ven. et Hal. εἴπερ.
10a) μᾶλλον? 10b) Scil. αἱ ψῆφοι. forte τοιαύτης.

τῷ νόμῳ. ἐπειδὴ γὰρ ἤδη γεγράφαμεν νόμον[11]) βουλόμενον ἐξ ἰδιοχείρων μηδεμίαν γίνεσθαι σύγκρισιν[12]), ἀλλὰ ἐκ μόνων τῶν ἀγοραίων, ὁρῶμεν δὲ τὴν τῶν πραγμάτων πεῖραν δεομένην προσηκούσης ἐπανορθώσεως ἐν τῷ νόμῳ καὶ τοῦτο ἐξ αὐτῆς τῆς τῶν δικαζομένων εὕρομεν πείρας, ἐπανορθῶσαι αὐτὸν κατὰ τοῦτο βουλόμεθα τὸ σχῆμα· πολλάκις γὰρ προκομίσας τὶς ἰδιόχειρον συμβόλαιον, καὶ ἐξ αὐτοῦ ποιούμενος ἢ τὴν ἐναγωγὴν ἢ τὴν τῶν οἰκείων δικαίων ἀπόδειξιν, ἐπειδὴ τῆς αὐτῆς χειρὸς τὸ ἐναντίον μέρος προεκόμισε γράμματα, εἶτα νόμιμον σύστασιν ἐκεῖθεν ἠβουλήθη γίνεσθαι ἐξ ὧν αὐτὸς ὁ ἀντιτεταγμένος αὐτῷ προκεκόμικεν, ὁ δὲ ἀπεκέχρητο τῷ νόμῳ τῷ δεῖν ἐξ ἀγοραίων συμβολαίων γενέσθαι τὰς συγκρίσεις, ἀλλ' οὐ τῶν αὐτογράφων. [§. 1.] θεσπίζομεν τοίνυν, εἴποτε τοιοῦτό τι συμβαίη καί τις βουληθείη πρὸς αὐτὰ τὰ παρὰ τοῦ ἀντιδίκου προκομισθέντα γράμματα γενέσθαι τὴν ἐξέτασιν, μὴ διαβάλλεσθαι τοῦτο ὡς οὐκ ὀρθῶς γενόμενον. ᾧ γὰρ ἂν αὐτὸς πιστεύοι καὶ ὃ προκεκόμικε καὶ ἐξ οὗ τὰ οἰκεῖα ἐπιῤῥώννυσι δίκαια, τοῦτο οὐκ ἂν διαβάλλοι, οὐδὲ κωλύσειε τὴν σύγκρισιν τῶν γραμμάτων γενέσθαι πρὸς αὐτὸ κἂν εἰ τύχοι καθεστὼς ἰδιόχειρον. οὐ γὰρ ἂν αὐτὸς ἑαυτῷ πολεμοίη καὶ ἅπερ ἰσχυρίζεται ταῦτα διαβάλλοι. [§. 2.] εἰ δὲ καὶ ἐκ δημοσίων ἀρχείων προκομισθείη χάρτης, οἷον ἀπόδειξις τῆς τραπέζης τῶν ἐνδοξοτάτων ὑπάρχων (ἴσμεν γὰρ δὴ καὶ τοῦτο ζητηθὲν), καὶ τὸ ἐκ τῶν δημοσίων προκομιζόμενον καὶ δημοσίαν ἔχον μαρτυρίαν καὶ τοῦτο δεκτὸν εἶναι πρὸς τὰς συγκρίσεις τίθεμεν· πανταχοῦ γὰρ τὸ τῆς παραποιήσεως μισοῦντες πλημμέλημα καὶ τὸν ὅρκον

11) l. 20 C. de fide instrum. 4, 21. 12) Hal. et Bas. addunt: εἰ μὴ ἄρα τριῶν μαρτύρων ὑπογραφὰς ἔχουσι τὰ χειρόγραφα καὶ αὐτοὶ οἱ μάρτυρες συνομολογήσουσιν ὅτι ὑπέγραψαν ἢ ἀρνούμενοι περὶ τῆς ἰδίας χειρὸς ἀπὸ συγκρίσεως τῶν ἰδίων γραμμάτων ἐλεγχθῶσιν. videntur haec addita esse ex (Theodori?) summa l. 20 C. cit. Cf. Basil. II p. 517 sq. schol. τοῦ Νικαέως.

διδόναι τοὺς ἀντεξετάζοντας τὰ γράμματα νενομοθετήκαμεν καὶ τὴν ἐξ ἀγοραίων μόνων συμβολαίων παράθεσιν εἰσηγησάμεθα. ὥστε κρατείτω διὰ πάντων ὁ νόμος ἐκεῖνος, τῆς παρούσης ὑποδιαιρέσεως ἐπιτιθεμένης αὐτῷ, τοῦ μέντοι ὅρκου τῶν συγκρινόντων ἐκ τρόπου παντὸς διδομένου.

γ΄. Ἐπειδὴ δὲ ἡμεῖς ὑπὲρ εὐλαβείας τῶν δικαζομένων ἠβουλήθημεν εὐθὺς ἐν προοιμίοις τῆς δίκης ὀμνύναι τοὺς μὲν διώκοντας ὡς οὐ συκοφαντοῦντες ἐπάγουσι τὰς δίκας, τοὺς δὲ φεύγοντας ὡς οἴονται[13]) τὴν ἀπολογίαν μετὰ τοῦ προσήκοντος ποιεῖσθαι ἀλλ' οὐχ ἕνεκεν φιλονεικίας, καὶ τοῦτον κοινὸν ἐθέμεθα τὸν νόμον[14]) κατὰ παντὸς προσώπου, παντάπασιν οὐδενὶ τοῦτο συγχωρήσαντες, κἀκεῖνο μέντοιγε προστεθείκαμεν[15]), ὥστε εἴ τις ἀποδείξεις ἀπαιτοίη τινὰ τῶν οἰκείων λόγων ἢ γραμμάτων, ὀμνύναι πρότερον αὐτὸν ὡς οὐκ ἀναβολῆς ἕνεκα τοῦτο πράττει (πολλοὶ γὰρ μόνης ὕβρεως ἕνεκεν καὶ μάλιστα ἐπὶ τῶν σεμνοτέρων γυναικῶν, εἴτε γραμμάτων ἀπόδειξις ἀντιτεθείη εἴτε ἑτέρας οἱασοῦν αἰτίας, εὐθὺς ἐπὶ τὸν ὅρκον τοῦτον τρέχουσιν, ὥστε ἐπὶ μιᾶς ὑποθέσεως πολλάκις ὅρκους δίδοσθαι)· [§. 1.] θεσπίζομεν οὖν ταύτην ἀναιροῦντες τὴν ὕβριν καὶ οὐ βουλόμενοι πολλάκις ἐπὶ τῆς αὐτῆς ὑποθέσεως ὅρκους παρέχεσθαι, ὥστε ἑκάτερον μέρος, ἡνίκα τὸ μὲν τὸν περὶ τῆς καλουμνίας ὅρκον ὀμνύει τὸ δὲ τὸν περὶ τοῦ δικαίαν νομίζειν τὴν ἀντίῤῥησιν εἶναι τῆς δίκης, προστιθέναι ὡς ἐν ἁπάσῃ τῇ δίκῃ, εἴποτε ζητήσειεν ἀποδείξεις τὸν ἀντίδικον τὸν αὑτοῦ, οὐ κατὰ πρόφασιν ὑπερθέσεως τοῦτο ποιεῖ, ἀλλὰ ταῖς ἀληθείαις ἀναγκαίαν αὑτῷ τὴν παρὰ τοῦ οἰκείου ἀντιδίκου δοθησομένην νομίζων ἀπόδειξιν· καὶ εἰ τοῦτον ὀμόσειε τὸν ὅρκον, μηκέτι παντελῶς, κἂν εἰ πολλάκις ἐπιζητήσειεν ἀποδείξεις, παρὰ θατέρου μέρους ἀπαιτεῖσθαι τὸν ὅρκον, ἀλλὰ δίδοσθαι τὰς

13) Ven. οἰόντε. 14) l. 2 C. de iureiur. 2, 58. 15) Malim προτεθείκαμεν. nam respicit ad l. 1 C. eod.

ἀποδείξεις καὶ μὴ πολλάκις ἀναγκάζεσθαί τινας ὅρκους ὑπέχειν γενικῶς ἅπαξ τοῦ τοιούτου ὅρκου διδομένου.[16])

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ ἅπασι ποιησάτω φανερὰ ἐδίκτων παρ' αὐτῆς καταπεμπομένων, ὥστε πάντας γινώσκειν τὰ παρ' ἡμῶν νενομοθετημένα. Dat. XV. K.[17]) Septemb. CP. post cons. Bilisarii V. C. anno II.

Auth. 48. LXVI. Nov. 47.

Basil. XXII, 2, 2 cum schol. — Summas praestant Iulian. c. 42, Athan. XIV, 2, Theod. Nov. 47.

Περὶ τοῦ προτάττεσθαι τὸ τοῦ βασιλέως ὄνομα ἐν τοῖς συμβολαίοις καὶ ὑπομνήμασι καὶ ὥστε διὰ τῶν ῥωμαϊκῶν γραμμάτων σημαινομένους τοὺς χρόνους σαφέστερον γράφεσθαι.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἐκεῖνο πάντων εἶναι σεμνότατον καὶ συμβόλαιον καὶ ὑπόμνημα καὶ εἴ τί περ ὅλως εἰς χρόνου μνήμην ἀνθρώποις ἐξηύρηται νομιστέον, ὅπερ καὶ αὐτῇ κοσμεῖται τῇ τῆς βασιλείας μνήμῃ. ὕπατοι μὲν γὰρ καὶ ἐπινεμήσεις καὶ εἴ τί περ δεῖγμα[1]) τῶν χρόνων ὅλως ἐστὶ παρ' ἡμῖν, ἐστὶ μὲν ἴσως καὶ αὐτὰ δηλωτικὰ τούτων ὧν βούλεταί τις, οὐ μὴν ἡμεῖς τι τούτων ἀναιροῦμεν, ἀλλὰ μείζονα προσθήκην αὐτοῖς ἐπιτίθεμεν, ἵνα ἐκ μειζόνων τε καὶ τελεωτέρων αὐτοῖς ὁ τῶν χρόνων δηλοῦται δρόμος. εἰ γάρ τις ἀπίδοι πρὸς τὰ παλαιότατα πάντων καὶ ἀρχαῖα τοῦ πολιτεύματος, Αἰνείας ἡμῖν ὁ

16) Ven. addit ἕως ὧδε τὸ βασιλικόν. 17) Ath. (cum Auth.) πρὸ ι' καλ.

1) Hal. εἴ τι παράδειγμα.

Τρὼς ὁ βασιλεὺς τῆς πολιτείας ἐξάρχει, Αἰνειάδαι τε ἡμεῖς ἐξ ἐκείνου καλούμεθα· εἴτε τὶς καὶ εἰς τὰς δευτέρας ἀρχὰς θεωρήσειε τὰς ἐξ οὗ καθαρῶς τὸ ῥωμαϊκὸν ὄνομα παρ' ἀνθρώποις ἐξέλαμψε, βασιλεῖς αὐτὰς κατεστήσαντο Ῥωμύλος τε καὶ Νουμᾶς, ὁ μὲν τὴν πόλιν οἰκοδομήσας ὁ δὲ αὐτὴν νόμοις τάξας τε καὶ κατακοσμήσας· εἴτε καὶ τὰ τρίτα προοίμια λάβοι τὶς τῆς βασιλείας, τὸν Καίσαρα τὸν μέγαν καὶ Αὔγουστον τὸν σεβαστὸν, καὶ οὕτω τὴν πολιτείαν ἡμῖν ἐξευρήσει τὴν νῦν δὴ ταύτην κρατοῦσαν (εἴη δὲ ἀθάνατος) ἐξ ἐκείνων προϊοῦσαν. ἐστὶν οὖν ἄτοπον ἐν τοῖς συμβολαίοις καὶ τοῖς ἐν δικαστηρίοις πραττομένοις καὶ ἁπλῶς ἐν ἅπασιν, ἐν οἷς μνήμη τὶς γένηται χρόνου, μὴ τὴν βασιλείαν ἡγεῖσθαι τούτων.

α'. Ὅθεν θεσπίζομεν, τούς τε ὅσοι τοῖς πραττομένοις ὑπηρετοῦνται εἴτε ἐν δικαστηρίοις εἴτε ἔνθα ἂν συνίστανται[2]) πράξεις, τούς τε συμβολαιογράφους καὶ τοὺς ὅλως καθ' οἱονδήποτε σχῆμα συμβόλαια γράφοντας εἴτε ἐπὶ ταύτης τῆς μεγάλης πόλεως εἴτε ἐν τοῖς ἄλλοις ἔθνεσιν ὧν ἡμῖν ἐξάρχειν δέδωκεν ὁ θεὸς, οὕτω πως ἄρχεσθαι τῶν συμβολαίων· βασιλείας τοῦδε τοῦ θειοτάτου Αὐγούστου καὶ αὐτοκράτορος ἔτους τοσοῦδε, καὶ μετ' ἐκεῖνα ἐπιφέρειν τὴν τοῦ ὑπάτου προσηγορίαν τοῦ κατ' ἐκεῖνο τὸ ἔτος ὄντος, καὶ τρίτον τὴν[3]) ἐπινέμησιν,· παρεπομένου τοῦ μηνὸς καὶ τῆς ἡμέρας. οὕτω γὰρ ἂν διὰ πάντων ὁ χρόνος τηροῖτο, καὶ ἥ τε τῆς βασιλείας μνήμη ἥ τε τῆς ὑπατείας τάξις ἥ τε λοιπὴ παρατήρησις ἐγκειμένη τοῖς συμβολαίοις ἀνόθευτα ταῦτα κατὰ πολὺ καταστήσει. [§. 1.] εἰ δὲ καί τις παρὰ τοῖς τὴν ἑῴαν οἰκοῦσιν ἢ ἄλλοις ἀνθρώποις φυλάττεται παρατήρησις ἐπὶ τοῖς τῶν πόλεων χρόνοις, οὐδὲ ταύτῃ βασκαίνομεν, ἀλλὰ προστάχθω μὲν ἡ βασιλεία, ἑπέσθω δὲ ὡς εἴρηται ὅ τε ὕπατος ἥ τε ἐπινέμησις ὅ τε μὴν ἥ τε ἡμέρα, καθ' ἣν πράττεται

2) Ven. συνίστασθαι. 3) Ven. articulum τὴν omittit.

καὶ γράφεται τὰ γινόμενα, τηνικαῦτα δὲ ἐπαγέσθω καὶ τὸ τῆς πόλεως πᾶσι τρόποις ἔτος.[4]) ἡμεῖς γὰρ ἀφαιροῦμεν μὲν τῶν ἔμπροσθεν οὐδὲ ἕν, βασιλικῇ δὲ προσθήκῃ τὸ πρᾶγμα αὔξομεν. καὶ ἀρχέσθω εὐθὺς ἀπὸ τῆς ἡγεμόνι θεῷ προϊούσης πρώτης ἐπινεμήσεως, οὕτω πως αὐτῶν γραφόντων· βασιλείας Ἰουστινιανοῦ τοῦ θειοτάτου Αὐγούστου καὶ αὐτοκράτορος ἔτους ἑνδεκάτου, μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ λαμπροτάτου ἔτους δευτέρου τῇ πρὸ τοσῶνδε.[5]) οὕτω τε ἐν ἅπασιν ὀνομαζέσθω τὰ τῆς βασιλείας ἔτη, τῆς τε ἡμετέρας ἐφ' ὅσον ἂν αὐτὴν ὁ θεὸς μηκύνοι τῆς τε τῶν ἐφεξῆς αὐτοκρατόρων, πρόδηλον ὄν, ὡς νῦν μὲν ἔτους ἑνδεκάτου τῆς ἡμετέρας γράψουσι βασιλείας, ἀρχομένου δὲ τοῦ ἀπριλλίου μηνὸς κατὰ τὴν πρώτην ἡμέραν, καθ' ἣν ἡμᾶς ὁ θεὸς τοῖς Ῥωμαίων ἐπέστησε πράγμασι, δωδέκατον ἔτος γράψουσι, καὶ ἐφεξῆς οὕτως, ἕως ἡμῖν ὁ θεὸς τὴν βασιλείαν ἐκτείνοι, ἵνα ἡμῖν καὶ τοῦτο τὸ πρᾶγμα πρὸς τοῖς νόμοις καὶ τῇ τούτων ποιήσει μένοι διηνεκῶς ἀθάνατον, τῆς μνήμης τῆς βασιλείας παντὶ συμπαραγινομένης πράγματί τε καὶ χρόνῳ.

β'. Κἀκεῖνο μέντοι προστίθεμεν, ὥστε ἐπειδὴ οἱ τὸν χρόνον ἐν τοῖς δικαστηρίοις ἀποσημαίνοντες μετὰ τῶν ἀσαφῶν ἐκείνων καὶ ἀρχαίων γραμμάτων δηλοῦσιν αὐτόν, παραφυλάττειν ἐν παντὶ δικαστηρίῳ τὸ μετ' ἐκεῖνα τὰ γράμματα τὰ τῆς ἀρχαιότητος ἕτερα ὑποτίθεσθαι, ταῦτα δὴ τὰ κοινὰ καὶ ἅπασι σαφῆ καὶ ἀναγινώσκεσθαι παρὰ πάντων ῥᾳδίως δυνάμενα καὶ δηλοῦντα τὸν τῶν πραττομένων χρόνον, ἵνα μὴ περινοστῶσιν ἀναζητοῦντες τὸν χρόνον, εἶτα πλανώμενοι μένωσιν ἕως ἀνθρώπῳ τινὶ περιτύχοιεν τὰ γράμματα ἐκεῖνα

4) Hal. ἔθος. Ath.: τὸ ἔτος τῆς πόλεως καὶ ὅσα ἄλλα συνείθισται. Theod.: τὸ τῆς πόλεως ἔτος ἢ ἄλλο ἔθος. Iulian: „si forte tempora quoque civitatum . . . scribi solitum est, ea consueto more scribantur“. unde forsan addendum ἢ ἄλλο ἔθος.
5) τῇ πρὸ νόννων δ'?

ταῖς ἀληθείαις γινώσκοντι· ἀλλ' εἰ μὲν τὰ ἐφεξῆς καὶ μετὰ τὴν προγραφὴν τῶν ἀσαφῶν γραμμάτων τῆς ἑλλάδος εἴη φωνῆς, γράμμασιν ἑλληνικοῖς ὑποτίθεσθαι τὸν χρόνον, εἰ δὲ ῥωμαϊκή τις ἡ τοῦ παντὸς χάρτου καθέστηκε τάξις, ῥωμαϊκοῖς μὲν ὑπογραφέσθω γράμμασιν ὁ χρόνος, ὑποκειμένοις τοῖς ἀσαφέσιν ἐκείνοις στοιχείοις, σαφεστέραν μέντοι τάξιν ἕξουσι γραμμάτων, καὶ ἣν ἔξεστι πᾶσιν ἀναγινώσκειν τοῖς ὅλως συλλαβῶν ῥωμαϊκῶν οὐκ ἀνεπιστήμοσιν.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἔν τε ταύτῃ τῇ μεγάλῃ πόλει ἔν τε ταῖς ἐπαρχίαις ἁπάσαις ὧν ἄρχει φανερὰ καταστησάτω, ὥστε μηδένα τολμᾶν ἑτέρως ἀριθμεῖν τὸν χρόνον ἢ τἄλλα πράττειν, ἀλλ' οὕτω καθάπερ ἔμπροσθεν διωρίσαμεν.
Dat. Kal. Sept. Imp. Dn. Iustin. PP. Aug. ann. XI. post Bilisarii V. C. cons. anno II.[6])

6) Ven.: Dat. PROIδ Kal. Sept. Imp. DN. Iustin. PP. Aug. ann. post Bilisarii v. c. cons. haec minus recte habere vel ex ipso cap. 1 apparet. scribendum enim omnino (ut et Auth. Ath. Theod. volunt): anno XI post Belis. v. c. cons. anno II. sed nec illud PROIδ legi potest pridie, licet Athanas. habeat *πρὸ α' καλ.* et Theod. *πρὸ μιᾶς καλ.* nam ind. I, quam Auth. et Ath. apponunt quaeque cap. 1 iam *προϊοῦσα* vocatur, Kalendis demum Septembris initium sumsit: et coniectura quam not. 5 proposui probabilior redditur si Kal. Sept. constitutio data est. itaque istud PROIδ ab Ath. et Theod. male intellectum legerim *Proposita.*

Auth. 49. LXVII. Nov. 50.

Venetus hanc Novellam numero 41 habet, eandemque numero 50 repetit; Hal. et Scr. tanquam Nov. 41 Collectionis 160 Novv. ediderunt. Scr. ad Nov. 50 notat: *Αὕτη ἡ διάτ. ἐστὶν ἡ ἄνω τεθεῖσα ἧς ἡ ἀρχὴ Ἴσμεν πρῴην*, ideoque eam repetere noluit. Rubrica Nov. 50 in Ven. verba *πρὸς Βόνον κοι.* exerc. omittit. — Basil. IX, 2, 3. — Summae: Ath. VII, 4 et Theod. Nov. 50.

Ἡ διάταξις πρὸς Βόνον κοιαίστωρα exercitu *τάττει τὰς ἐκκλήτους ἀπὸ τῶν πέντε ἐπαρχιῶν, Καρίας καὶ Κύπρου καὶ τῶν Κυκλάδων νήσων καὶ Μυσίας καὶ Σκυθίας, παρὰ τίνι δεῖ ταύτας ἐξετάζεσθαι.*

Ὁ αὐτὸς βασιλεὺς Βόνῳ τῷ ἐνδοξοτάτῳ κοιαίστωρι Ἰουστινιανῷ exercitu.

Ἴσμεν πρῴην θείαν πεποιημένοι διάταξιν[1]) *καθ' ἣν τῇ σῇ ἐνδοξότητι παραδεδώκαμεν τὰς πέντε ταύτας ἐπαρχίας, Καρίαν τε καὶ Κύπρον καὶ τὰς ἐν κύκλῳ κειμένας νήσους καὶ πρός γε Μυσίαν τε καὶ Σκυθίαν, ἐφ' ᾧ τελεῖν αὐτὰς ὑπὸ τῇ σῇ ἐνδοξότητι, προσθέντες, ὥστε καὶ τὰς ἐκκλήτους γινομένας δίκας κατὰ τὰς εἰρημένας ἐπαρχίας μηκέτι πρὸς τοὺς ἐνδοξοτάτους ἡμῶν ὑπάρχους, ἀλλὰ πρὸς τὴν σὴν ἀναπέμπεσθαι μεγαλοπρέπειαν. ἐπειδὴ τοίνυν πολλοὶ προσῆλθον ἡμῖν τῶν ἐκ Καρίας καὶ Ῥόδου καὶ Κύπρου δυσχεραίνοντες καὶ φάσκοντες ἀναγκάζεσθαι πολλάκις καὶ χειμῶνος ὥρᾳ γίνεσθαι κατὰ τὴν Σκυθῶν καὶ Μυσῶν ἔνθα διάγεις κἀκεῖσε τὰς ἐκκλήτους ἴσως οὐδὲ ὑπὲρ μεγάλων χρημάτων γυμνάζειν, καὶ κινδυνεύειν καὶ πελάγη διαπερῶντες μακρὰ καὶ ἀφικνουμένους εἰς χώρας ὑπὸ βαρβάρων ἐνοχλουμένας, διὰ τοῦτο συνίδομεν τόνδε τὸν νόμον γράψαι πρὸς τὴν σὴν*

1) In Cod. Veneto inscriptioni scholium subiicitur hoc: *περὶ τῆς νεαρᾶς φησιν ἥτις ἐπιγέγραπται* Lex ut Bonus, *ἧς ἡ ἀρχὴ* Recte nobis. Vide const. LII.

ἐνδοξότητα, ὥστε τῶν μὲν ἐκ Σκυθίας καὶ Μυσίας δικῶν ὡς ἐκ γειτόνων οὐσῶν τὴν σὴν ὑπεροχὴν καθ' ἑαυτὴν ἀκροᾶσθαι, τῶν δὲ ἄλλων, τουτέστι τῶν ἀπὸ Καρίας καὶ τῶν εἰρημένων νήσων καὶ Κύπρου (εἴπερ ἐξ ἀρχῆς αὗται παρὰ τοῖς ἐνδοξοτάτοις ἡμῶν ὑπάρχοις ἠγωνίζοντο ἐκ θείας κελεύσεως ἡμῶν παραδεδομέναι τῷ τῆς ἐπαρχίας ἄρχοντι), εἰ μὲν αὐτὸς ἐνδημοίης ταύτῃ τῇ βασιλίδι πόλει, καὶ αὐτὰς ὑπὸ σοὶ κινεῖσθαι καὶ ἐξετάζεσθαι ἅμα τῷ ἐνδοξοτάτῳ κοιαίστωρι τοῦ θείου ἡμῶν παλατίου ἐν sacro auditorio[2]), καθάπερ καὶ ὁ ἐπὶ ταῖς ἐκκλήτοις κείμενος ὑφηγεῖται νόμος.[3]) [§. 1.] εἰ δὲ αὐτὸς ἐπὶ Σκυθίας καὶ Μυσίας διατρίβοις, τῷ τὸν τόπον πληροῦντι τὸν σὸν κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν προσάγεσθαι τὰς ἐφέσεις· πάντως μέντοι γινόμενον αὐτὸν ἅμα τῷ ἐνδοξοτάτῳ ἡμῶν κοιαίστωρι τῆς ὑποθέσεως ἀκροᾶσθαι κατὰ τὸ τῶν τοιούτων ἐξετάσεων σχῆμα, καὶ μὴ τοὺς ἀνθρώπους τὰς εἰρημένας ὑπομένειν δυσκολίας, ἀλλ' ὑπ' αὐτοῖς κοινῇ κατὰ τὸ ἔμπροσθεν ἡμῖν εἰρημένον κρίνεσθαι, διὰ τὸ παραστῆναι ἡμῖν οὕτω τάξαι τὸν νόμον, ὥστε μετὰ πλείονός τε καὶ μείζονος ἀκριβείας καὶ αὐθεντίας τὰς ὑποθέσεις ἀγωνίζεσθαι. [§. 2.] εἰ δὲ αὐτὸς δοίης τὸν δικαστὴν ἐπὶ τῶν εἰρημένων ἔμπροσθεν ἐπαρχιῶν, ὁ τὴν τάξιν ἐπέχων τὴν σὴν κατὰ τὴν εὐδαίμονα πόλιν ἀκροάσεται, καθὰ καὶ ἐπὶ τῶν ἐνδοξοτάτων ὑπάρχων[4]) νενόμισται. εἰ μέντοι ἀρχθῆναι παρὰ τῇ σῇ ἐνδοξότητι συμβαίη τὴν δίκην ἐνταῦθα ὡς εἰκὸς εὑρισκομένῃ, εἶτα ἐν μέσῳ διὰ τὰς στρατιωτικὰς δαπάνας ἐκδημῆσαι ταύτην[5]), ἀνυπερθέτως πληροῦσθαι παρὰ τῷ τὴν σὴν ἔχοντι τάξιν, καθάπερ αὐτῆς καὶ αὐτὸς ἠκροῶ. εἰ δὲ ἐξ ἀρχῆς οὐ παρὰ τοῖς ἐνδοξοτάτοις

2) Ven. inter lineas ἐν θείῳ ἀκροατηρίῳ. 3) Theod. laudat l. 32 C. de appellat. 7, 62; conferatur etiam const. XL c. 4. 4) Ita Ven. Nov. 50, at Nov. 41 παρὰ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ. Hal. παρὰ τῶν ἐνδοξοτάτων ὑπάρχων. 5) Scilicet τὴν σὴν ἐνδοξότητα.

ὑπάρχοις ἡ ἔφεσις ἔκ τινων ἐπαρχιῶν ἀνεπέμπετο, ἀλλ' εἰς ἕτερον δικαστήριον, τὴν ἀρχαιότητα παντελῶς οὐ καινίζομεν.[5])

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης ἔργῳ καὶ πέρατι παραδοῦναι καὶ παραφυλάττειν εἰς τὸ διηνεκὲς σπευσάτω. Dat. K. Sept. CP. imp. DN. Iustin. PP. Aug. anno XI. post Bilisarii V. C. cons. [anno II] ind. I.[6])

Auth. 50. | LXVIII. | Nov. 51.

Summas praestant Iulian. c. 45, Athan. XII, 2, Theod. Nov. 51 (cuius summa repraesentatur in Basil. LX, 38, 4.)

Περὶ τοῦ τὰς ἐπὶ σκηνῆς μήτε ἐγγύην μήτε ὅρκον ἀπαιτεῖσθαι προσεδρείας.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ πραιτωρίων τῆς Ἕω τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.[1])

Ἴσμεν πρῴην πεποιημένοι νόμον[2]) ἀπαγορεύοντα μηδενὶ παῤῥησίαν εἶναι τὰς εἰς σκηνὴν κατιούσας γυναῖκας ἐγγυητὰς εἰσπράττειν, ὡς προσεδρεύσουσι καὶ τὴν ἀσεβῆ πληρώσουσιν ἐργασίαν μεταμέλου καιρὸν οὐκ ἔχουσαι, καὶ ποινὰς ἀπειλήσαντες ἐσχάτας τοῖς τὰς τοιαύτας ἐγγύας ἀπαιτοῦσι

5) Ven. Nov. 41 addit ἕως ὧδε τὸ βασιλικόν. 6) Athan. ἐγράφη μ̅ (μηνὶ) σεπτεμβρίῳ βασιλείας Ἰουστινιανοῦ τὸ ις' (lege ια') μετὰ τὴν ὑπατείαν βελισαρίου τὸ β'. Theod. ἐξεφωνήθη μηνὶ σεπτ. μετὰ τὴν ὑπ. βελισ. ἔτους β'. — Ven. Nov. 50 subscriptionem habet Dat. XV K. Sep. CP. post Bilissario v. c. cons. ann. V, at Nov. 41 subscribit: Dat. XVK. Sept. CP. imp. DN. Iustin. PP. Aug. ann. XI post Bilisarii v. c. cons. ind. I. ob ind. I scribendum fuit Kal. Sept. et ita habet Auth.

1) Ven. post inscriptionem subdit βι. γ' (lege α') τοῦ κώδ. τί. δ' διατ. λγ' καὶ βι. ε' τί. δ' ἐν τέλει καὶ βι. ια' τί. μα' διατ. ζ'. 2) Const. XXXIX.

πρὸς τῷ καὶ αὐτοὺς τοὺς ἐγγυητὰς ἀνευθύνους ἀπιέναι καὶ μηδεμίαν ἐπάγεσθαι αὐτοῖς ἀνάγκην τῆς τῶν προσώπων τούτων παραστάσεως. ἀλλ' ἐπὶ τοῦ παρόντος εὕρομεν δεινήν τινα καὶ οὐ φορητὴν ἐπήρειαν κατὰ τῆς ἡμῖν σπουδαζομένης[3]) γίνεσθαι σωφροσύνης· ἐπειδὴ γὰρ αὐτοὺς ἐγγυητὰς λαμβάνειν ἐκωλύσαμεν, ἐξευρεῖν ἐκείνους ἑτέραν ὁδὸν εἰς ἀσέβειαν ἄγουσαν μείζονα· ὅρκον γὰρ αὐτὰς ἀπαιτεῖν, ὡς οὐδέποτε παύσονται τῆς ἀσεβοῦς ἐκείνης καὶ ἀσχήμονος ἐργασίας, τὰς δὲ γυναῖκας οὔσας ἀθλίας καὶ οὕτω κακῶς ἐξηπατημένας εὐσεβεῖν νομίζειν εἴ περ ἀσεβήσαιεν, καὶ ἵνα φυλάξωσι τὸν ὅρκον διὰ τοῦτο τὴν ἑαυτῶν προΐεσθαι σωφροσύνην· καίτοιγε ἐχρῆν γινώσκειν, ὡς αἱ τοιαῦται παραβάσεις μᾶλλον ἀρέσκουσι θεῷ παρὰ τὰς τῶν ὅρκων τηρήσεις. οὐ γὰρ εἴ τις παρά τινος ὅρκον λάβοι, ὡς φονεύσειε τυχὸν ἢ μοιχεύσειεν ἤ τι πράξειε τοιοῦτο ἄτοπον, δεῖ φυλάττεσθαι τὸν ὅρκον οὕτως αἰσχρόν τε καὶ ἄτοπον καὶ εἰς ἀπώλειαν ἄγοντα. ὥστε ἐξέστω τῇ γυναικί, κἂν εἰ τὸν τοιοῦτον ὅρκον ὀμόσειεν, ἀναχωρεῖν τῆς τοῦ ὅρκου τούτου πικρίας, καὶ σωφρονεῖν ἀκινδύνως, μᾶλλον δὲ θεοφιλῶς, τῆς ποινῆς τῆς ἐπιορκίας (εἴ τις ὅλως ἐστὶ ποινὴ) κατὰ τοῦ τὸν ὅρκον ἀπαιτήσαντος τρεπομένης.

α'. Ὥστε καὶ ἡμεῖς αὐτίκα ἐπάγομεν decem librarum auri ποινὴν ἀπαιτοῦντες τὸν θαῤῥήσαντα ὅλως τοιοῦτον ὅρκον λαβεῖν. καὶ τοῦτο δὴ τὸ ποσὸν αὐτῇ τῇ ταλαιπώρῳ δίδοσθαι γυναικὶ θεσπίζομεν εἰς τὴν λοιπὴν εὐσχημοσύνην τοῦ βίου, ἀπαιτούμενον διὰ τῆς ἀρχῆς τῆς ἐπιχωρίου καὶ διδόμενον αὐτῇ. γινώσκοντος τοῦ ἄρχοντος, ὡς εἰ ῥαθυμήσειεν, ἐνέξεται αὐτῇ καταθέμενος τὴν ἀρχὴν, κληρονόμοι τε αὐτοῦ καὶ διάδοχοι καὶ ἡ τούτου περιουσία, ἀνθ' ὅτου πρᾶξιν εὐσεβῆ πράττειν ἠμέλησεν. [§. 1.] εἰ δέ γε αὐτὸς ὁ τῆς ἐπαρχίας ἡγούμενος τὸν ὅρκον ἀπαιτήσειεν, αὐτὸς καὶ

3) Ven. ἡμῶν σπουδαζομένην.

ὴν εἰρημένην τῶν decem librarum auri[4]) ποινὴν ἀπαιτεί-
θω, εἰ μὲν στρατιωτικὸς ἄρχων κατ' ἐκείνην εἴη τὴν ἐπαρ-
ίαν δι' ἐκείνου δοθησομένην ὡς εἴρηται τῇ γυναικί. εἰ δὲ
ὐκ ἔχει στρατιωτικὸν ἄρχοντα, ὁ τῆς μητροπόλεως τῆς ἐπαρ-
ίας ἐκείνης ἐπίσκοπος τούτου προνοείτω τοῦ πράγματος καὶ
ἱς ἡμᾶς εἰ δοκιμάσειεν ἀναφέρων, καὶ πρός γε ὁ ἐκ γειτό-
ων μείζων ἄρχων, ὥστε πανταχόθεν τὸν τοῦτο πράξαντα
ἴτε ἄρχων εἴτε ἰδιώτης εἴη τῇ εἰρημένῃ σωφρονίζεσθαι ποινῇ,
αὶ δίδοσθαι ταύτην τῇ τό γε ἐπ' ἐκείνῳ μηδὲ σωφρονεῖν
ὶ δυναμένῃ, ἵνα μὴ φανείη δῆθεν ἐπιορκήσασα.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου
ηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ κηρύγμασιν οἰκείοις ἅπασι
τοιησάτω φανερά, ὅπως ἂν γνοῖεν τὴν τῆς ἡμετέρας βασι-
είας περὶ σωφροσύνην σπουδήν. Dat. Kal. Sept. DN.
ustiniani PP. Aug. anno XI. post cons. Bilisarii V.
. anno II.[5])

4) Ven. supra lineam δέκα λιτρῶν χρυσίου. 5) Ven. nno XI omittit et deinde Bilisario v. c. cons. legit, quae ex uth. et Ath. emendanda fuerunt. Athan. enim: ἐγράφη καλ. επτ. βασιλείας ἰουστινιανοῦ μετὰ τὴν ὑπατείαν βελισαρίου τὸ '. Theodorus quoque μετὰ τὴν ὑπατείαν habet. Denique schol. 3 d Bas. LX, 38, 4 ἐκφωνηθεῖσαν μηνὶ σεπτ. μετὰ τὴν ὑπατείαν ελισαρίου.

Nov. 52. **LXIX.** Auth. 8.

Cap. 1 in Bas. XXIII, 3, 77, cap. 2 in Bas. XLVII, 1, 75. — Summas exhibent Iulian. c. 46, Athan. VI, 1, Theod. Nov. 52, denique Epit. XVII, 8. cf. Ἀνέκδ. mea p. 213.

Περὶ τοῦ μήτε προσώπου μήτε πράγματος μήτε χρυσίου γίνεσθαι ἐνεχυριασμὸν, ἀλλὰ τετραπλάσιον ἀναδίδοσθαι τῷ ἐνεχυρασθέντι. καὶ περὶ τοῦ ἕτερον ἀνθ' ἑτέρου ἢ πλήξαντος ἢ ἄλλως ἐπηρεάσαντος μήτε πλήττεσθαι μήτε ἄλλως ἐπηρεάζεσθαι. καὶ περὶ τοῦ τὴν παρὰ ἰδιώτου γινομένην εἰς τὸν βασιλέα δωρεὰν μὴ δέεσθαι πράξεως ὑπομνημάτων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Τοὺς ἀνελευθέρους ἐνεχυριασμοὺς καὶ τὰς μεμισημένας ἐπὶ τούτοις εἰσπράξεις πολλοὶ μὲν καὶ ἕτεροι νόμοι μισοῦσι, διαφερόντως δὲ οἱ παρ' ἡμῶν τεθειμένοι[1]), ἀλλ' οὐκ ἴσμεν, ὅπως τὸ πρᾶγμα, καίτοι τοσαύταις κεκολασμένον νομοθεσίαις, ἔτι τολμᾶται καὶ πολιτεύεται, καὶ μείζονα τὴν ἑαυτοῦ παρέχεται δύναμιν τῆς ἐκ τῶν νόμων ἀνάγκης.

α'. Διὰ τοῦτο θεσπίζομεν, μηδένα παντελῶς ἐνεχυριασμὸν κατὰ τὴν ἡμετέραν πολιτείαν κρατεῖν, μήτε ἐν πανηγύρεσι (τοῦτο ὅπερ μάλιστα ἐκεῖσε τολμώμενον εὑρίσκομεν) μήτε ἐν ἀγροῖς μήτε ἐν πόλεσι μήτε ἐν κώμαις, μήτε ἐπὶ πολίταις μήτε ἐπὶ κωμήταις[2]) μήτε ἐπὶ γεωργοῖς μήτε ἑτέρῳ τῶν πάντων τινὶ καθ' οἱονδήποτε τρόπον ἢ χρόνον, ἀλλὰ τὸν θαῤῥοῦντα ἕτερον ἀνθ' ἑτέρου κατὰ τὸ τοῦ ἐνεχυριασμοῦ σχῆμα χρυσίον ἤ τι ἕτερον εἰσπράττειν, τοῦτο ἀποδιδόναι τετραπλάσιον τῷ βεβιασμένῳ, ἐκπίπτειν δὲ καὶ τῆς

1) Cod. 4, 10, 2. 4, 43, 1. 8, 16, 6. 2) Ven. κωμίταις.

ἀγωγῆς, ἧς ἔχει κατ' ἐκείνου ὑπὲρ οὗ τὴν εἴσπραξιν ἐποίει (οὐ γὰρ ἂν ἔχοι λόγον ἕτερον μὲν εἶναι τὸν ὀφείλοντα ἕτερον δὲ τὸν ἀπαιτούμενον)· ἀλλ' οὐδὲ ἕτερον ἐνοχλεῖσθαι ὑπὲρ ἑτέρου τινὸς ὡς ἔφοδον ἁμαρτόντος ἢ ὕβριν, καὶ οἷα συγκωμήτην ἐκείνου καθεστῶτα στρεβλοῦσθαι καὶ ὑβρίζεσθαι καί τι πάσχειν τῶν οὐ προσηκόντων, ἢ ὅλως ὑπὲρ ἑτέρου δίχα νομίμου προφάσεως τὴν οἱανοῦν ὑπομένειν ἐπήρειαν, ἀλλὰ καὶ τιμωρίας ὑπομένειν τὰς εἰς σῶμα παρὰ τῶν ἐφεστώτων τοῖς ἔθνεσι· γινωσκόντων ὡς, εἰ μὴ τοῦτο πράξαιεν, ἀλλὰ κατὰ τὴν ἐπαρχίαν ἧς ἄρχουσιν ἐνεχυριασμοὶ τολμηθεῖεν, οὐδὲν ἔσται τοιοῦτον ὅπερ αὐτοὺς τῶν ἡμετέρων ἐξαρπάσει χειρῶν.

β'. Κἀκεῖνο μέντοι συνείδομεν τῷδε προσθεῖναι τῷ νόμῳ, ὥστε καθάπερ αἱ παρὰ τῆς βασιλείας εἰς ἑτέρους γινόμεναι δωρεαὶ οὐ δέονται πράξεως ὑπομνημάτων ἀλλ' αὐτόθεν ἔχουσι τὴν ἰσχύν, οὕτω μηδὲ τὰς παρὰ τῶν ἰδιωτῶν εἰς τὴν βασιλείαν γινομένας, εἰ μόνον ταῖς ἀληθείαις γένοιντο ἐν ἀγορᾷ παρὰ συμβολαιογράφων συντελεσθεῖσαι, ὑπογραφήν τε ἔχουσαι τοῦ τε πεποιηκότος καὶ μαρτύρων καὶ τὴν ἄλλην τὴν ἐπὶ τῶν δωρεῶν παρατήρησιν, μὴ δεῖσθαι πράξεως ὑπομνημάτων ἐφ' ὁσηδήποτε ποσότητι· οὐ γὰρ ἂν εἴη τῶν ἀκολούθων, τὸ μηδὲ τῶν αὐτῶν τυγχάνειν τὴν βασιλείαν παρὰ τῶν ἰδιωτῶν ὧν αὐτὴ δίδωσιν ἐκείνοις. τὸ δὲ ἄνισον τοῦτο γέγονεν ἐκ καινοτομίας, ἣν ἡ Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως ὑφηγήσατο διάταξις[3]), τὸ τὰς βασιλικὰς δωρεὰς μὴ χρῄζειν ὑπομνημάτων. ἐπειδὴ τοίνυν ἀτελῶς τὸ πρᾶγμα ἔμπροσθεν ἐθεωρήθη, διὰ τοῦτο ἡμεῖς τὸ τέλειον ἐπιθέντες αὐτῷ ἑκατέρωθεν κρατεῖν αὐτὸ βουλόμεθα, ἐπί τε τῶν παρὰ βασιλέως εἰς ἰδιώτας γινομένων δωρεῶν ἐπί τε τῶν παρὰ ἰδιωτῶν εἰς τὴν βασιλείαν, ὥστε τὴν ἐξ ἰσότητος δικαιοσύνην τῷ πράγματι προστεθῆναι.

3) Non extat. vide tamen l. 31. 34 §. 1 C. de donationib. 8, 53.

Ἡ τοίνυν ση ὑπεροχὴ τὰ διὰ τῆσδε τῆς θείας ἡμῶν διατάξεως νενομοθετημένα διὰ κηρυγμάτων οἰκείων κατὰ τὸ σύνηθες ποιῆσαι φανερὰ πᾶσι σπευσάτω. Dat. Kal. Sept.[4]) imp. DN. Iustiniani PP. Aug. ann. XI.[5]) post Bilisarii V. C. cons. [ann. II].[6])

Nov. 54. **LXX.** Auth. 54.

Deest in editione Hal. — Summas praestant Iulian. c. 48, Athan. XVIII, 1, Theod. Nov. 54.

Περὶ τοῦ τὴν τῶν ἐναπογράφων διάταξιν χώραν ἔχειν ἀφ' οὗ ἐξεφωνήθη, καὶ περὶ τοῦ παντὶ εὐκτηρίῳ οἴκῳ καὶ ἑτέρῳ τόπῳ εὐσεβεῖ ἐξεῖναι πρὸς τὰ ὅμοια ποιεῖσθαι ἐναλλαγὰς τῶν ἀκινήτων κτήσεων δεκρέτου πραττομένου.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἔν τινι τῶν ἡμετέρων διατάξεων οὐδὲν ἀσαφὲς ἐχούσῃ κεκίνηνται ζητήσεις, τινῶν ἐξεπίτηδες καὶ πρὸς τὸν ἑαυτῶν σκοπὸν ἀσάφειαν ἐπαγόντων αὐτῇ. ἐλευθερίας γὰρ ὄντες ἐρασταὶ ἔναγχος τεθείκαμεν νόμον[1]), *ὥστε μὴ κατὰ τὸ παλαιὸν εἰ ἐξ ἐναπογράφου καὶ ἐλευθέρου προσώπου προέλθοι γονή, πάντως αὐτὴν ἀκολουθεῖν τῇ ἐναπογράφῳ τύχῃ, ἀλλὰ κατὰ τὴν τῆς δουλικῆς τύχης παρατήρησιν οὕτω καὶ ἐπὶ τῶν ἐναπογράφων νομίζεσθαι, καὶ πρὸς τὴν τῆς γαστρὸς κατάστασιν καὶ τὴν τοῦ τεχθέντος κανονίζεσθαι τύχην. ἐξ*

4) Sic lego cum Auth. et Ath. scilicet Ven. XV Kal. habet. 5) Ath. *βασιλείας Ἰουστινιανοῦ τὸ α'* (lege *ια'*). 6) Annum imperii adnotari iussit demum const. LXVI data Kal. Sept. anni 537, ut proinde haec nostra constitutio antiquior illa non possit esse, unde addendum fuit „anno secundo".

1) l. 24 C. de agricol. 11, 48.

ἐλευθέρας γὰρ μητρὸς προελθεῖν δοῦλον βρέφος ὁ ἡμέτερος οὐ ποιῶν οὐκ ἠβουλήθη νόμος, ὥστε ἐφήσαμεν ἐν τῷ νόμῳ, εἴτε τινὲς συνοικοῦσι γυναιξὶν εἴτε καὶ συνοικήσαιεν, εἶτα παιδοποιήσαιεν, οὕτω τὸν νόμον ἐπὶ τοῖς τικτομένοις κρατεῖν. τινὲς δὲ οὕτως ἀνοήτως ἢ κακούργως ἑρμηνεύειν ἐπεχείρησαν τὸν νόμον, ὥστε κἂν εἰ πρὸ τῆς διατάξεως ἐτέχθησάν τινες κἂν εἰ σφόδρα εἶεν πρεσβύται, νομίζειν αὐτοὺς ἐλευθεροῦσθαι ὥσπερ ἄρτι τικτομένους ἀλλ' οὐ μακρῷ προειληφότας τὸν νόμον· καίτοιγε ἡμεῖς ταύτην ἔσχομεν ἔννοιαν, ὥστε εἴτε συνοικοῦσιν ἤδη τινὲς γαμεταῖς εἶτα μετὰ τὸν νόμον παιδοποιήσονται, εἴτε μὴ συνοικοῦσι μὲν ὕστερον δὲ γήμαιεν, τὸ μετὰ τὸν νόμον τικτόμενον ἔχειν τὴν ἐκ τοῦ νόμου δεδομένην ἐλευθερίαν.

α'. Ἵνα μὴ τοίνυν ἐξῇ τεχνάζειν καὶ κακουργεῖν καὶ τοὺς τῶν χωρίων βλάπτειν δεσπότας ταῖς τοιαύταις ἑρμηνείαις, διὰ τοῦτο θεσπίζομεν, πάντας τοὺς τεχθέντας ἐκ τοῦ καιροῦ τοῦ νόμου τούτους καὶ μόνους ἐλευθέρους ἐναπογράφου τύχης εἶναι εἴπερ ἐξ ἐλευθέρων γένοιντο μητέρων, παντὸς τοῦ προειληφότος τῷ παλαιῷ πεφυλαγμένου νόμῳ.

β'. Ἐπειδὴ δὲ ἔναγχος νόμον ἐγράψαμεν[2]), θεραπεύοντες κατά τι τὰ περὶ τῶν ἐκκλησιαστικῶν ἐκποιήσεων, καὶ βουλόμενοι εἰ μὲν δημόσιον ὄφλημα εἴη δύνασθαι αὐτὰς[3]) καὶ ἐκποιεῖν, σὺν ἀκριβείᾳ μέντοι πάσῃ κατὰ τὴν τοῦ νόμου παρατήρησιν, εἰ δὲ ἰδιωτικὸν χρέος pro soluto[4]) διδόναι πρᾶγμα ἀκίνητον, καὶ κατὰ μηδὲν δοκεῖν προσκρούειν τῷ προτεθέντι[5]) νόμῳ τῷ πᾶσαν ἐκποίησιν εἴργοντι, κἀκεῖνο προστίθεμεν, ὥστε εἰ[6]) κατά τινα ἀπαραίτητον πρόφασιν καὶ συμφέρουσαν τῷ τε διδόντι τῷ τε λαμβάνοντι εὐκτηρίῳ

2) Const. LXIII. 3) Firmat Auth. licet non habeat quo referatur. 4) Ven. supra lineam ἤτοι ἐπ' ἀδείας. 5) Ven. προστεθ. 6) Haec aut ἀνακόλουθα aut lacunosa sunt, nec medelam affert Auth.

οἴκῳ, τουτέστιν ἢ ἐκκλησίᾳ πρὸς ἐκκλησίαν ἢ πτωχείῳ πρὸς πτωχεῖον ἢ ξενῶνι πρὸς ξενῶνα καὶ ἁπλῶς εὐαγεῖ οἴκῳ πρὸς ἕτερον σεβάσμιον οἶκον, τουτέστιν ἢ ἐκκλησίᾳ πρὸς πτωχεῖον ἢ μοναστηρίῳ πρὸς εὐκτήριον οἶκον ἢ ξενῶνα ἢ νοσοκομεῖον ἢ ἐκείνοις πρὸς ἐκκλησίαν ἢ πρὸς ἄλληλα ἢ πρὸς ἓν τῶν ἔμπροσθεν ἡμῖν ἠριθμημένων ἢ ἑτέρῳ οἱῳδήποτε εὐαγεῖ οἴκῳ, ἄδειαν δίδομεν τοῖς προεστῶσιν αὐτῶν διὰ τοῦδε τοῦ νόμου ἄμειψιν ποιεῖσθαι καὶ τοῦτο πολιτεύεσθαι· καὶ μὴ μόνην τὴν βασιλείαν καθάπερ ὁ πρότερος ἔλεγε νόμος[7]) ἄδειαν ἔχειν ἀμείβειν, ἀλλὰ καὶ τοὺς εὐαγεῖς οἴκους τοὺς τῷ βασιλεῖ πάντων ἀνειμένους θεῷ, οὕτω μέντοι ὥστε καὶ δέκρετον πράττεσθαι σὺν ἀκριβείᾳ πάσῃ καὶ μεθ' ὅρκου καὶ παρὰ τῷ τῶν τόπων μητροπολίτῃ ταῦτα σκοπεῖσθαι, καὶ εἴπερ ταῖς ἀληθείαις ἀποδειχθείη μεθ' ὅρκου, ὡς συμφέρον ἐστὶν ἑκατέρῳ μέρει τὸ τοιοῦτο, πράττεσθαί τε αὐτὸ καὶ πολιτεύεσθαι καὶ κρατεῖν, καὶ μὴ δεῖσθαι μηδὲ ἰδικῆς κελεύσεως μηδὲ θείου πραγματικοῦ τύπου. ἐχόντων μέντοι τῶν εἰς τοῦτο ἐρχομένων τὴν ἐκ τοῦ μεγάλου θεοῦ κρίσιν εἴ τι παραβαῖεν τοῦ προσήκοντος, ἢ εἴ τις συμπαιγνία γένοιτο ἤ τι παρὰ τὸ συμφέρον ἑκατέρῳ πράττοιτο μέρει. καὶ γὰρ δὴ καὶ ἀραὶ τούτοις αἱ πάντων ἐπικείσονται φοβερώταται καὶ ἃς τὰ θεῖα τοῖς ἁμαρτάνουσιν ἐπάγει λόγια· τῶν τε νῦν διατεταγμένων εἴ τι παραβαθείη καὶ ὕστερον διελεγχθείη κακούργως γενόμενον, ἀντὶ μηδὲ γεγονότος ἔσται. [§. 1.] ἐξαιροῦμεν δὲ καὶ τούτου τοῦ νόμου τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, ὥσπερ καὶ τοῦ πρόσθεν· ἐκείνην γὰρ ἐπὶ τῆς προτέρας κωλύσεως τῶν ἐκποιήσεων ἑστάναι βουλόμεθα, διότι τοῦτο καὶ αὐτοῖς τοῖς προεστῶσιν αὐτῆς ὁσιωτάτοις ἀνδράσι δοκεῖ.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ καλῶς ἡμῖν καὶ ὁσίως παραστάντα καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἐν ἅπασι

7) Const. XV cap. 2.

τοῖς ἔθνεσιν οἷς ἄρχει διὰ κηρυγμάτων οἰκείων κατὰ τὸ σύνηθες φανερὰ ποιησάτω. Dat. Kal. Sept. CP. imp. DN. Iustiniano ann. XI. post Bilisarii V. C. cons. ann. II.[8])

Auth. 53. LXXI. Nov. 53.

Cap. 1. 2. 3 §. 1. 2 c. 4 extat in Bas. VII, 12, 7. 14, 22; c. 5 §. 1. in Bas. XXV, 6, 1; c. 6 pr. in Bas. XXVIII, 12, 1. — Summas habent Iulian. c. 47, Athan. V, 4, Theod. Nov. 53, αἱ ῥοπαὶ 8, 6 (c. 1) et 10, 2 (c. 3).

Περὶ τοῦ τὸν ἐν ἐπαρχίαις εἰς ὑπερόριον δικαστήριον παριστῶντα ἐγγύην διδόναι, ὅτι εἰ μὴ νικήσει τὴν δίκην, δώσει ὅσον ὁ δικάζων ὁρίσει λαβεῖν τὸν συκοφαντηθέντα· καὶ περὶ τοῦ τὸν δεχόμενον βιβλίον εἴκοσι ἡμερῶν ἔχειν προθεσμίαν ἐπὶ διασκέψει, εἰ βούλεται δικάσασθαι ἢ τὸν δοθέντα ἀνέχεται δικαστήν· καὶ περὶ τοῦ μετὰ ἐξωμοσίαν ἀπολιμπανομένου ὀφείλοντος πᾶσαν πληρῶσαι ζημίαν τὸν ἐνάγοντα καὶ ὑπὸ ἐγγύην τινὰ λοιπὸν λέγειν τὴν δίκην καὶ ὑποτίθεσθαι· καὶ περὶ τῶν δίχα προικὸς ἢ προγαμιαίας δωρεᾶς συνοικησάντων προτελευτήσαντι ἀπόρων εὐπόρῳ[1]) καλουμένων εἰς τὸ τέταρτον τῆς περιουσίας εἴτε ὑπόντων παίδων εἴτε μὴ ὑπόντων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ὑπάρχῳ PP. *τῆς Ἑῴας τὸ β´ ἀπὸ ὑπάτων καὶ πατρικίῳ.*

Πολλοὶ προσιόντες ἡμῖν διδάσκουσι τὸ ἡμέτερον κράτος, ὡς ἀγώγιμοι γίνονται παρά τινων ἢ καὶ εἰς ἑτέρας ἀπά-

8) Athan. (cum Auth.) Ἐγράφη καλ. σεπτεμβρ. βασιλείας ἰουστινιανοῦ τὸ ια´ μετὰ τὴν ὑπατείαν βελισαρίου τὸ β´. etiam Theod. μετὰ τὴν ὑπ. βελισ. ἔτους β´. Ven. XV Kal. Sept. quam lectionem si Athanasio et Authentico praeferre volueris, constitutio eadem die data est, qua const. LXIII, quod tamen verbis quibus imperator capite 2 utitur parum convenit.

1) Ven. εὐπόρων.

γονται χώρας ἢ ἐκ θείας ἡμῶν κελεύσεως ἢ καὶ ἐκ ψήφων ἀρχικῶν, καὶ[2]) ταλαιπωροῦνται μὲν τούτοις, ἠναγκασμένοι δὲ ὑπὸ τῶν κελεύσεων ἢ τῶν ψήφων ἄγονται, εἶτα οἱ τούτους ἀγαγόντες καὶ ἀσφαλείας κομισάμενοι, ὡς εἴσω ῥητοῦ χρόνου καταλήψονται τὸ ἀφορισθὲν δικαστήριον οἱ κατ' αὐτῶν αἰτιαθέντες, αὐτοὶ μένουσιν ἐν τῇ χώρᾳ, τρύχεσθαι ταῖς ἐν ξένῃ δαπάναις τὸν παραστάντα ἢ διαχθέντα καταλιμπάνοντες.

α'. Τοῦτο τοίνυν ἐλεοῦντες θεσπίζομεν, εἴ τι γένοιτο τοιοῦτο, καὶ ὁ χρόνος πληρωθείη ὃν ἐπὶ τῇ τῆς παραστάσεως ἢ τῆς ἀπαγωγῆς ἀσφαλείᾳ αὐτὸς ὁ ἐνάγων ἔταξεν, εἶτα ὁ μὲν ἐναγόμενος[3]) προσεδρεύοι τῷ δικαστηρίῳ, ὁ δὲ ἐνάγων ἀπολιμπάνοιτο καὶ μὴ εἴσω ἡμερῶν δέκα ἀφ' οὗπερ παραγένοιτο τῇ χώρᾳ ὁ ἐνάγων ἀπαντήσειε, τὸν μὲν ἐναγόμενον εἰσιόντα παρὰ τῷ δικαστῇ καὶ ταῦτα διδάσκοντα παραχρῆμα ἀφίεσθαι, ὅρκῳ δὲ αὐτοῦ κρίνεσθαι πᾶσαν δαπάνην ἣν ὑπέστη περί τε τὴν ὁδοιπορίαν περί τε τὴν ἐν ξένῃ διατριβὴν, καὶ ταύτῃ τὸν δικαστὴν καταδικάζειν τὸν ἐνάγοντα μάτην. καὶ ἐπειδήπερ εἰωθός ἐστι, μὴ ἄλλως γίνεσθαι τὰς ἀπαγωγὰς ἢ τὰς παραστάσεις, εἰ μὴ οἱ ἐνάγοντες ἐγγυητὰς ἐπὶ ῥητῇ ποσότητι δοῖεν ὡς ἐπεξέρχονται τῇ δίκῃ καὶ κρατοῦσι τῆς ψήφου, τοῦτο μὲν τὸ ποσὸν πάντως αὐτοὺς ἀπαιτεῖσθαι καὶ δίδοσθαι τῷ μάτην συκοφαντηθέντι· εἰ δὲ διὰ τοῦ ὅρκου καὶ πλεῖόν τι σαφηνίσειε (ῥητῆς μέντοι ποσότητος ὁριζομένης παρὰ τοῦ δικάζοντος ἣν οἱ νόμοι ταξατίωνα καλοῦσι), καὶ τοῦτο προσαπαιτεῖσθαι, ἵνα μάθοιεν μὴ παίζειν εἰς βίους ἀλλοτρίους, ἀλλὰ τὰ κατὰ χώραν αἱρεῖσθαι δικαστήρια κἀκεῖσε πρὸς τοὺς ἑαυτῶν ἀντιδίκους διακρίνεσθαι.

β'. Ἐπειδὴ δὲ τὰς παρὰ τῶν ἐναγόντων ἐγγύας ὡς ἐπίπαν ἴσμεν ἐνταῦθα διδομένας ἐπὶ τοῖς παρισταμένοις προσώποις, εἰ δὲ εἰς ἑτέραν ἀπάγονται χώραν ἴσως διαφυγ-

2) Ven. ἢ καί. 3) Ven. ἐναγ. omittit.

γάνειν ταύτην τὴν παρατήρησιν, θεσπίζομεν τὸν ἐνταῦθα δικαστὴν ἢ τὸν ἐνδοξότατον ἡμῶν κοιαίστωρα τὸν τοῖς θείοις ἡμῶν ὑπηρετούμενον γράμμασιν, εἴ τι τοιοῦτο πρᾶξαι κελευσθείη, μὴ ἄλλως εἰς ἑτέραν ἀπαχθῆναι[4]) χώραν τὸν ἐναγόμενον, πρὶν ἂν ἐγγυητὴν προκαταστήσειεν[5]) ὁ ἐνάγων ἐν τῷ δικαστηρίῳ καθ' ὃ μέλλει τὸν εὐθυνόμενον ἄγειν, ὡς δώσει πρὸς τὸ τῶν τόπων διάστημα χρυσίον ὅσον ἂν ὁρισθείη τῷ φεύγοντι, εἰ μὴ αὐτὸς ἐπεξέλθοι ἢ ἐπεξελθὼν μὴ κρατήσῃ τῆς δίκης, κἀκεῖσε πάντα πράττεσθαι, ὁπόσα ἐπὶ τῇ παραστάσει διωρίσαμεν, τοῦ μὲν ὁρισθέντος χρυσίου παρὰ τῶν ἐγγυητῶν ἀπαιτουμένου καὶ διδομένου τῷ ἀπαχθέντι, παρεχομένου δὲ παρ' ἐκείνου καὶ τοῦ ὅρκου ἄχρι ταξατίωνος, ἵνα εἴπερ ὀμόσειε καὶ πλεῖον δεδαπανηκέναι καὶ τοῦτο ἀπολάβοι, καὶ πανταχόθεν φαίνοιτο τέλεια τὰ τῆς ἡμετέρας νομοθεσίας.

γ΄. Κἀκεῖνο δὲ ἡ μὲν ἀρχαιότης εὖ ποιοῦσα διετύπωσεν, οἱ δὲ νῦν ἐξεπίτηδες τεχνάζουσι, τὴν τῶν ἡμετέρων νόμων φιλανθρωπίαν ἀφορμὴν ποιούμενοι τῆς ἑαυτῶν ἐπηρείας. τῆς γὰρ παλαιότητος βουλομένης τὸν αἰτιάσεως βιβλίον δεξάμενον ἡμερῶν εἴσω δέκα διάσκεψιν ἔχειν, ἐφ' ᾧ καὶ ἀνερευνῆσαι τὸ πρᾶγμα καὶ ἴσως[6]) ἐπιγνῶναι καὶ ἀπαλλαγῆναι, μετὰ δὲ τὴν τῶν δέκα ἡμερῶν προθεσμίαν τηνικαῦτα καὶ ὑπογράφειν τῷ σταλέντι βιβλίῳ καὶ τὰς δικαστικὰς πληροῦν ἀσφαλείας, τινὲς δὴ ἀφορῶντες εἰς τοὺς ἡμετέρους νόμους, οἳ μετὰ προκάταρξιν οὐδὲ παραιτεῖσθαι τὸν δικαστὴν οὐδὲ συνδικαστὴν αἰτεῖν συγχωροῦσι, τὸ πρᾶγμα τεχνάζουσι, καὶ μάλιστα τῶν πρακτόρων τὰ τοιαῦτα δολερῶς ἐξευρισκόντων, καὶ ἅμα προσενεχθείη τὶς ὑπόμνησις, πολλάκις οὐδὲ βιβλίου διδομένου οὐδὲ δικαστικῆς οὐδεμιᾶς ἀσφαλείας,

4) Heimb. ad Bas. notat: „deesse aliquid videtur, vel πάσχειν (?) vel ἐπιτρέπειν vel simile quid". imo ἀνακόλουθα esse crediderim. 5) Ven. προσκαταστ. 6) Hal. καὶ ἴσως καί.

ἄγουσι τὸν ἄνθρωπον ἄκοντα πρὸς τὸν δεδομένον δικαστὴν καὶ οὐδ' ὁτιοῦν ἐπιστάμενον συνελαύνουσι ποιήσασθαι προκάταρξιν, ὥστε ἅπαξ αὐτὸν ὑπὸ τῇ προκατάρξει γενόμενον δεδέσθαι, καὶ μηδεμίαν ἔχειν ἄδειαν μήτε παραιτήσασθαι τὸν δικάζοντα μήτε συνδικαστὴν γοῦν αἰτῆσαι, καίτοι γε ἴσως ὑπόπτου τοῦ δικαστοῦ καθεστῶτος, οὕτω τε πράττουσιν ἃ βούλονται, καὶ ὑπὸ ταῖς ἑαυτῶν τέχναις τὸν ἄνθρωπον ποιησάμενοι, ὃν βούλονται τρόπον τὰ κατ' αὐτὸν σπαράττουσιν.[7] [§. 1.] Θεσπίζομεν τοίνυν, ἐπειδὰν ὑπόμνησις προσενεχθείη τινί, πάντως ἐπιδίδοσθαι βιβλίον, καὶ μὴ κατὰ τὸ παλαιὸν δέκα μόνον ἡμερῶν ἔχειν τὸν ὑπομνησθέντα προθεσμίαν, ἀλλὰ διπλασίαν τουτέστιν εἴκοσιν, ὥστε εἴτε παραιτήσασθαι βουληθείη εἴτε καὶ συνδικαστὴν αἰτῆσαι, ἄδειαν ἔχειν τοῦτο ποιεῖν ἢ καὶ ἴσως[8]) ἐπιγνῶναι τὸ ὄφλημα καὶ ἀπαλλαγῆναι πρὸς τὸν ἀντίδικον τὸν αὐτοῦ φιλικῶς, καὶ μὴ κατ' ἐπήρειαν καὶ ἐπιδρομὴν ὑπὸ δικαστῇ γίνεσθαι ἴσως ὑπόπτῳ, ἴσως ἀπαταθυμίῳ, πολλάκις δέ τι καὶ οἰκεῖον ἐπὶ τῷ φεύγοντι διοικουμένῳ, καὶ τοῦ τὴν δίκην ὑπομένοντος οὐδένα καιρὸν ἔχοντος πρὸς τὸ μαθεῖν ἐφ' οἷς ἐναγόμενος ἀπαντήσει. [§. 2.] Δεχόμενον δὲ αὐτὸν τὸ βιβλίον, μόνης προσωπικῆς ἐγγύης παρ' αὐτοῦ διδομένης καὶ τῶν σπορτούλων κατὰ τὴν θείαν ἡμῶν παρεχομένων διάταξιν, ὑπογράφειν τῷ καλουμένῳ ἀντιβίβλῳ[9]) δηλοῦντα καὶ τὸν χρόνον καθ' ὃν αὐτῷ τὸ βιβλίον ἐπιδίδοται, ἵνα μὴ καὶ περὶ τοῦτο τέχνη τὶς γένηται. ἐπειδὰν δὲ μέλλοι γίνεσθαι προκάταρξις παρὰ τῷ δικαστῇ, ἐρωτᾶσθαι τὸν φεύγοντα, εἰ αἱ εἴκοσι διεληλύθασιν ἡμέραι αἱ τῆς διασκέψεως, κἀκεῖνον λέγειν μὲν τἀληθῆ, δείκνυσθαι δὲ τοῦτο καὶ ἐκ τῆς ἡμέρας τοῦ βιβλίου καὶ τῆς ὑπογραφῆς τῆς κατὰ τὸ βιβλίον[9a])· καὶ εἰ φήσειε παρεληλυθέναι τὸν[10]) τῶν εἴκοσι ἡμερῶν ἀριθ-

7) Hal. cum Auth. πράττουσι. 8) Hal. ἴσως omittit. 9) Bas. ἀντιβιβλίῳ. 9a) ἀντιβιβλίον? 10) Deest in Ven.

μὸν, ἡνικαῦτα γίνεσθαι τὴν προκάταρξιν, ἐν μέσῳ δὲ ἄδειαν εἶναι καὶ παραιτεῖσθαι τὸν δικαστὴν καὶ ἕτερον αἰτεῖν ἢ συνδικαστὴν αὐτῷ λαμβάνειν ἢ καὶ ἀπαλλάττεσθαι φιλικῶς, οὐδὲν ἐν μέσῳ οὐδὲ ζημιούμενον οὐδὲ παρὰ τῶν πρακτόρων ταραττόμενον, ἀλλὰ τήν τε δικαστικὴν ἀσφάλειαν ἐκτιθέμενον καθάπερ ἂν οἱ ταῦτα κρίνοντες συνίδοιεν, τήν τε τῶν εἴκοσι ἡμερῶν ἔχοντα διάσκεψιν. εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη, κἂν δόξειέ τις γίνεσθαι προκάταρξις, ἀντὶ μηδενὸς αὐτὴν εἶναι, ἀλλ' ἄδειαν εἶναι καὶ μετὰ τὴν τοιαύτην προκάταρξιν εἴσω τῶν τεταγμένων εἴκοσι ἡμερῶν οὕτως ἅπαντα πράττειν, ὡς ἂν μηδὲ τὴν ἀρχὴν ἐγεγόνει τὶς προκάταρξις.

δ'. Εἰ δὲ ἅπαξ παραιτησάμενος τὸν δικαστὴν ἕτερον[11]) λάβοι, οὐ δίδομεν αὐτῷ καὶ τὸν ᾐτημένον αὖθις παραιτεῖσθαι· ὥσπερ γὰρ αὐτοῦ κηδόμεθα, οὕτω καὶ τὸ δι' ἀναβολὴν πράττεσθαί τι κατὰ τῶν ἐναγόντων παντελῶς ἀποστρεφόμεθα. εἰ δὲ καί τινες διομόσαιντο μὲν ὡς προσεδρεύουσι, πρὶν δὲ ἡ προκάταρξις γένοιτο τῆς μεγάλης ταύτης ἀφανεῖς κατασταῖεν πόλεως, ἄδειαν εἶναι καὶ μὴ γενομένης προκατάρξεως προσιέναι τὸν ἐνάγοντα τῷ ἀφορισθέντι δικαστῇ καὶ ταῦτα προσαγγέλλειν, ἐκεῖνον δὲ εἰ μὲν ἄρχων εἴη κελεύειν ἐκ τρόπου παντὸς ἄγεσθαι τὸν ἐναχθέντα ὡς καὶ ἐπίορκον καὶ σχεδὸν ἑαυτοῦ κατήγορον τῇ φυγῇ γενόμενον· εἰ δὲ οὐκ ἄρχοι, δοθείη δὲ ἔκ τινος δικαστής, εἴτε ἐκ θείου τύπου τυχὸν ἢ κελεύσεως ἢ καὶ παρά τινος ἄρχοντος, ἐπ' ἐκεῖνον μηνύειν ὥστε ἄγεσθαι παρ' ἐκείνου, καὶ μὴ τὸ πρᾶγμα μένειν τῷ διώκοντι πανταχόθεν ἄπορον, οὔτε τοῦ δικαστοῦ πρᾶξαί τι δυναμένου διὰ τὸ μήπω γενέσθαι παρ' αὐτῷ προκάταρξιν, ἐκείνου τε καταφρονοῦντος τοῦ νόμου καὶ τῆς διωμοσίας τῆς ἑαυτοῦ καὶ τὸν διώκοντα πάσης ἐκτὸς νομίμου βοηθείας ἀπολιμπάνοντος. [§. 1.] ὅπως ἂν οὖν

11) Ven. ἕτερος.

μὴ λανθάνοντος αὐτοῦ καὶ βραδυνούσης τῆς παραστάσεως τὸ πρᾶγμα μένοι μετέωρον. ἐξεταζέτω παγχυμερῶς ὁ δικαστὴς ὅποι γῆς ἀπεληλυθέναι λέγεται, καὶ διδότω προθεσμίαν ῥητήν. ὥστε εἰ μὴ εἴσω ταύτης ἀπαντήσειεν (ἐλευθέραν μέντοι τούτου παῤῥησίαν ἔχων, ἀλλὰ μὴ ὡς εἰκὸς ἐξεπίτηδες παρὰ τοῦ διώκοντος καθειργμένος ἢ κωλυόμενος ἐλθεῖν), τηνικαῦτα κατὰ μίαν μοῖραν ἐξεταζέτω τὴν ὑπόθεσιν καὶ ἐπὶ νομῆς πεμπέτω τὸν διώκοντα τῶν αὐτοῦ πραγμάτων πρὸς τὸ μέτρον τοῦ διαφερομένου χρέους, ὥστε αὐτὸν εἰς νομὴν πεμφθέντα ἔχειν τὰ πράγματα χρέους ἕνεκεν φυλακτέου. καὶ τηνικαῦτα εἴπερ ἐκεῖνος ἀπαντήσειε, πᾶσαν αὐτῷ πρότερον θεραπεύειν τὴν ζημίαν, οὕτω τε ἀπολαμβάνοντα τὰ πράγματα καὶ ἐγγυητὴν παρασχόμενον ἀγωνίζεσθαι τὴν ὑπόθεσιν.

ε'. *Καλὸν* δὲ ἂν εἴη καὶ τοῦτο πρὸς τὴν τῶν ἀμφισβητουμένων ζήτησιν νόμῳ κοινῷ διορίσασθαι. πρότερον μὲν γὰρ γεγόνασιν ἀμφισβητήσεις πολλαὶ, πότερον δεῖ τὰς στρατείας ὑπὸ τοὺς τῆς ὑποθήκης ἄγεσθαι δεσμοὺς ἢ τούτων ἐλευθέρας εἶναι. ἀλλὰ τοῦτο μὲν ἤδη κέκριται νόμῳ[12]), καὶ πρόδηλοι καθεστᾶσιν αἱ στρατεῖαι, ὁπόσαι διὰ τὸ πιπράσκεσθαι καὶ ὑποτίθεσθαι δύνανται. ἡμεῖς δὲ τὸ πρᾶγμα ἐκ μειζόνων θεωροῦντες ἴσμεν, ὡς ἐκ τῶν παλαιῶν χρόνων οὐκ ἦν ἐπὶ ταῖς στρατείαις ὑποθήκη, ἀλλά τινα ὀνόματα παντελῶς ἀρχαῖα καὶ ἐκλελοιπότα ἐν τοῖς τοιούτοις ἐφέρετο· κατὰ μικρὸν δὲ οἱ αὐτοκράτορες τοὺς προσιόντας τῶν δανειστῶν ἐλεοῦντες ταῦτα ἐδίδοσαν, καίτοι πάσης στρατείας δημοσίας οὔσης καὶ οὐδένα πόρον παντελῶς ἕτερον ἢ τὸν ἐκ βασιλικῆς φιλοτιμίας ἐχούσης. [§. 1.] διὰ τοῦτο τοίνυν θεσπίζομεν, τὰς ἐκ τοῦ καλουμένου κάσου στρατείας[13]) μὴ

12) Theod. laudat l. 28 C. de pignoribus 8, 13. Krügerus l. 27 quae in nostris editionibus ultima eius tituli est, intellegi vult; ea tamen non definitur, quot militiae vendi possint. 13) Iulian.: „casus militiae, quod scholae placitum a quibusdam vocatur". Athan. „τὰς (l. τὰ) ἐκ τοῦ κάσου τῶν

παντὶ προχείρως ὑποκεῖσθαι, πλὴν εἰ μὴ δανειστὴς εἴη ὁ εἰς αὐτὸ τοῦτο δανείσας ἐφ' ᾧ τῆς στρατείας ἐκεῖνον τυχεῖν. ἐπείτοιγε τοῖς ἄλλοις δανεισταῖς οὐ προχείρως δίδομεν τοῦτο, ἀλλ' εἰ μὲν παῖδες ὦσιν ἢ γαμετὴ τῷ τελευτήσαντι, τούτους πᾶσι προκρίνομεν τρόποις, ὥστε προσιέναι τε ἡμῖν καὶ κατὰ κέλευσιν ἡμετέραν ταῦτα κομίζεσθαι, οὐχ ὡς πατρῷον κλῆρον, εἴ γε τὰ ἄλλα ἄπορος εἴη, ἀλλὰ βασιλικὴν φιλοτιμίαν, ἵνα καὶ τοῖς οὐσίαν καταλιμπάνουσι καὶ τοῖς οὐκ ἔχουσι τὰ εἰκότα βοηθήσαιμεν. εἰ μέντοι οὐδεὶς αὐτοῖς οὔτε παῖς οὔτε γυνὴ καθεστήκοι οὐδὲ δανειστὴς ὁ εἰς αὐτὴν τὴν στρατείαν δανείσας, τηνικαῦτα καὶ τοῖς ἄλλοις δανεισταῖς μεταδίδομεν τῶν τοιούτων, ἵνα μὴ δόξαιμεν ἀπάνθρωπόν τι ποιεῖν καὶ οὐ δι' εὐσεβῆ καὶ θεῷ ἀρέσκουσαν πρᾶξιν τιθέναι τὸν νόμον. τῶν περὶ τῆς στρατείας τῶν περιβλέπτων σιλεντιαρίων ἰδικῶς δεδομένων καὶ πεφιλοτιμημένων αὐτοῖς προνομίων ἐπὶ τῆς ἰδίας ἰσχύος μενόντων.

ϛ'. Ἐπειδὴ δὲ πρὸς φιλανθρωπίαν ἅπας ἡμῖν ὁ νόμος ἥρμοσται, ὁρῶμεν δέ τινας συνοικοῦντας γυναιξὶ προικῴων χωρίς, εἶτα τελευτῶντας, καὶ τοὺς μὲν παῖδας ἐκ τοῦ νόμου καλουμένους πρὸς τὸν πατρῷον κλῆρον, τὰς δὲ γυναῖκας, κἂν εἰ μυριάκις ἐν τάξει νομίμης γαμετῆς συνῴκησαν, ἀλλ' οὖν διὰ τὸ μὴ γενέσθαι μήτε προῖκα μήτε προγαμιαίαν δωρεὰν μηδὲν ἔχειν δυναμένας ἀλλ' ἐσχάτῃ συζώσας ἀπορίᾳ, διὰ τοῦτο θεσπίζομεν, πρόνοιαν γενέσθαι τούτων καὶ ἐν τῇ διαδοχῇ τοῦ τελευτήσαντος καὶ τὴν τοιαύτην γαμετὴν μετὰ τῶν παίδων καλεῖσθαι. καὶ ὥσπερ ἐγράψαμεν νόμον[14]) βουλόμενον, εἴπερ ἄπροικον οὖσαν τὴν γαμετὴν ὁ ἀνὴρ ἀποπέμψεται, τὸ τέταρτον μέρος τῆς αὐτοῦ περιουσίας λαμβάνειν αὐτήν, οὕτω κἀνταῦθα ἐπειδήπερ εἰκὸς ὀλίγους

πιπράσκεσθαι δυναμένων στρατειῶν κερδαινόμενα". Theod. „τὰ ἐκ τοῦ κάσου τῆς στρατείας". noli tamen emendare lectionem, quam commode defendere possis. 14) Const. XLVIII c. 18.

ἢ πλείους εἶναι παῖδας. τὴν τετάρτην τῆς περιουσίας μοῖραν κομίζεσθαι τὴν γυναῖκα εἴτε πλείους εἴτε ἐλάττους οἱ παῖδες εἶεν. εἰ μέντοι πρεσβεῖόν τι καταλίποι αὐτῇ ὁ ἀνὴρ ἔλαττον τῆς τετάρτης μοίρας, ἀναπληροῦσθαι τοῦτο, ἵνα καθάπερ ἀδικουμένους αὐτοὺς ἐξωρθώσαμεν εἴπερ ἀποστερηθεῖεν καὶ τῶν ἀνδρῶν ἔχοντας πεφροντίσθαι, οὕτω καὶ αἱ μόναι μέχρι τετάρτης παρ' αὐτοῖς τῆς αὐτῆς ἀπολαύσωσι προνοίας. δηλαδὴ πάντων καὶ μέμψιν ἐκείνης ἡμῶν τῆς διατάξεως τῆς τὸ τέταρτον ἀφοριζούσης αὐτοῖς κἀνταῦθα κρατούντων ὁμοίως μὲν ἐπὶ τῶν ἀνδρῶν ὁμοίως δὲ ἐπὶ τῶν γυναικῶν. κοινὸν γὰρ καὶ τούτων ἐπ' αὐτοῖς τίθεμεν τὸν νόμον, ὥσπερ δὲ[14a]) καὶ τὸν ἔμπροσθεν. [§. 1.] εἰ μέντοι τινὰ ἴδια ἡ γυνὴ πράγματα κατὰ τὴν οἰκίαν τοῦ ἀνδρὸς ἢ ἀλλαχόσε ἀποκείμενα ἔχοι, τούτων τὴν εἴσπραξιν καὶ παρακατάσχεσιν ἐχέτω πᾶσι τρόποις ἀμείωτον, ὑπεξαιρεῖσθαι τοιούτων πραγμάτων τοῖς τοῦ ἀνδρὸς δανείσμασι κατ' οὐδὲν δυναμένων, πλὴν εἰ μὴ καθ' ὅσον τῶν ἐκείνου δανείων ἐκ τοῦδε τοῦ νόμου συγκληρονομεῖ. [§. 2.] ταῦτα δέ φαμεν, εἴπερ τῶν συνοικούντων θάτερος προῖκά τε καὶ προγαμιαίαν δωρεὰν μὴ ποιησαμένων ἀπόρως ἢ ὁ ἀνὴρ ἢ ἡ γυνὴ διάκειται, ὥστε τὸν μὲν τελευτῶντα ἢ τὴν τελευτῶσαν εὔπορον εἶναι, τὸν δὲ περιόντα ἢ τὴν περιοῦσαν πένεσθαι. ἐπείτοιγε εἴπερ ἀλλαχόθεν ἴσως εὐποροίη, τὴν οὐκ εἰσενεγκοῦσαν προῖκα ἢ τὸν οὐκ ἐπιδόντα τὴν διὰ γάμον δωρεὰν οὐκ ἂν εἴη δίκαιον βαρύνειν τοὺς παῖδας τῇ διαδοχῇ τοῦ συνοικήσαντος, διότι νόμος ἄλλος ἐστὶν ἡμέτερος[15]), τὴν προῖκα μὴ εἰσενεγκαμένην μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι διὰ προγαμιαίας δωρεᾶς. ὅπερ κἀνταῦθα βουλόμεθα κρατεῖν, πλὴν εἰ μὴ αὐτὸς ὁ ἀνὴρ ἢ πρεσβεῖον αὐτῇ ἤ τι μέρος τῆς ἐνστάσεως καταλίποι. γίνεσθαι γὰρ τοῦτο κατ' οὐδένα βασκαίνομεν τρόπον, ἵνα διὰ πάντων ἡμῖν σύμφωνα τὰ τῶν νόμων

14a) δή?   15) Const. X.

τηροῖτο, καὶ ἡ ἀπορία τοῦ συνοικήσαντος παρὰ τῆς εὐπορίας τῆς θατέρου θεραπεύοιτο.

Τὰ τοίνυν παραστάντα ἡμῖν ἡ σὴ ὑπεροχὴ κρατεῖν καὶ πέρατι παραδιδόναι σπευδέτω διὰ τῶν παρ' αὐτῆς γενησομένων κηρυγμάτων ἅπασιν αὐτὰ καθιστῶσα φανερά, ὥστε αὐτοὺς κατὰ ταῦτα ζῆν τε καὶ πολιτεύεσθαι. Dat. K. Oct. CP. imp. DN. Iustiniano PP. Aug. ann. XI., post Bilisarii V. C. cons. ann. II.[16])

Auth. 55. LXXII. Nov. 55.

In editione Hal. deest. — Summas praestant Iulian. c. 49, Athan. II, 9, Theod. Nov. 55. (Fabrotus ea, quae in ipsius editione Basil. V, 2, 3 leguntur, huc trahere voluit.)

Περὶ ἀμείψεως πραγμάτων ἐκκλησιαστικῶν καὶ ἐμφυτεύσεως.

Ὁ αὐτὸς βασιλεὺς Μηνᾷ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ τῆς εὐδαίμονος ταύτης πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Νόμον[1]) ἐγράψαμεν ἤδη τὰς μὲν ἐκκλησιαστικὰς ἐκποιήσεις κωλύοντα, μόνην δὲ ἄμειψιν ἐπιτρέποντα ταῖς ἁγιωτάταις ἐκκλησίαις, καὶ πρός γε τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τῇ κατὰ ταύτην οὔσῃ τὴν εὐδαίμονα πόλιν, ἡνίκα ἡ βασιλεία λαβεῖν τι παρά τινος τῶν εὐαγῶν οἴκων βουληθείη. ὕστερον μὲν οὖν ἕτερον ἐγράψαμεν νόμον[2]), οὗπερ ἐξείλομεν τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν, ἐπιτρέψαντες τινὰς ἐκποιήσεις, ὥσπερ ἐκεῖνος ὁ νόμος λέγει. ἐπειδὴ δὲ ἔγνωμεν, ὥς τινες τὸ τῆς προτέρας διατάξεως κεφάλαιον, ὅπερ ἐπὶ ἀμείψει διαφερόντων τοῖς εὐαγέσιν οἴκοις πραγμάτων πρὸς τὴν βασιλείαν ἐγράψαμεν, εἰς τὴν κατὰ τοῦ νόμου τέχνην

16) Confirmant hanc subscriptionem Ath. et Theodorus, qui tamen annum imperii omittit. Auth. „X Kal. Oct.".

1) Const. XV. 2) Const. LXIII.

στρεψαν, ᾔτησαν δὲ ὥστε ἡμᾶς μὲν παρὰ τῆς ἁγιωτάτης ἐκκλησίας λαβεῖν, αὐτοῖς δὲ ταῦτα δοῦναι, ἐντεῦθεν δὲ ὡρμήθησαν πολλοὶ ταῖς ὁμοίαις αἰτήσεσι χρώμενοι τὴν θείαν περιγράφειν διάταξιν, τὰ μὲν ὅσα πέπρακται παρ' ἡμῶν μέχρι τῆς παρούσης ἡμέρας, ταῦτα ἐπὶ τοῦ νῦν μένειν σχήματος βουλόμεθα, οὐδενὸς ἀνατρεπομένου τῶν ἤδη παρ' ἡμῶν πρὸς τὴν ἁγιωτάτην ἐκκλησίαν ἐπὶ τοῖς τοιούτοις συναλλάγμασι πραχθέντων, ἢ πρὸς αὐτοὺς οἵπερ ταῦτα παρ' ἡμῶν εἰλήφασι.

α'. Τοῦ λοιποῦ δὲ θεσπίζομεν, μηδενὶ παντελῶς μηδεμίαν εἶναι παῤῥησίαν τοιοῦτό τι πράττειν, ἀλλ' ἐκείνας μόνας ἐῤῥῶσθαι τὰς ἀμείψεις τὰς πρὸς τὴν βασιλικὴν οἰκίαν ἐπὶ τούτῳ γινομένας, ὥστε διηνεκῶς παρὰ τῇ βασιλείᾳ μένειν καὶ μὴ μεταβάλλειν εἰς ἰδιώτην, μηδὲ τῆς ἐκείνου γίνεσθαι δεσποτείας διὰ μέσης τῆς βασιλείας ἐπ' αὐτὸν ὁδευούσας[3]), ἀλλ' εἴ τι γένοιτο τοιοῦτον, ἄδειαν δίδομεν τοῖς εὐλαβεστάτοις οἰκονόμοις τῶν πραγμάτων ἐπιλαμβάνεσθαι τούτων, καὶ ἀφέλκειν αὐτὰ πάλιν εἰς τὴν ἁγιωτάτην ἐκκλησίαν ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐτύγχανεν ἄμειψίς τις ἐπὶ τούτοις πρὸς τὴν βασιλείαν γενομένη· ἀλλὰ φυλάττεσθαι τοῦτο τὸ σχῆμα εἰς τὸ διηνεκὲς ἐκ τῆς παρούσης ἡμέρας ἀρχόμενον, πάντων τῶν ἤδη καθάπερ εἰπόντες ἔφθημεν μετὰ τὸν πρότερον νόμον κατὰ τὸν εἰρημένον γενομένων τρόπον βεβαίων μενόντων, διὰ τὸ ἐκεῖνα μὲν τὰ οὕτω γενόμενα παρ' ἀνδρῶν γενέσθαι, οἵπερ οὐ τεχνάζοντες οὐδὲ κακουργοῦντες ἐποίουν ἀλλὰ καὶ παρ' ἡμῶν εἰς τοῦτο προτραπέντες ἦλθον, νῦν δέ τινας βούλεσθαι τῷ ἐκείνων παραδείγματι χρωμένους ἡμᾶς τε διενοχλεῖν καὶ τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν τῆς εὐδαίμονος ταύτης πόλεως περιγράφειν, ὅπερ εἰς τὸν ἅπαντα χρόνον κατ' οὐδένα τρόπον γίνεσθαι βουλόμεθα. ἀλλὰ κἂν εἰ καθ' οἱονδήποτε γένοιτο σχῆμα,

3) ὁδευούσης?

καὶ τοῦτο ἄκυρον εἶναι παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας εἰς τὸ διηνεκὲς ἐκδικεῖσθαι δυνάμενον, οὐδεμιᾶς αὐτῇ χρόνου παραγραφῆς πρὸς τοῦτο ἀντικειμένης.

β'. Κἀκεῖνο μέντοι θεσπίζομεν, ὥστε τῶν ἄλλων ἁπάντων τῶν περὶ ἐμφυτεύσεων νενομοθετημένων ἐπί τε τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἐπί τε τοῖς ἄλλοις ἅπασιν εὐαγέσιν οἴκοις τὴν ἰδίαν ἐχόντων ἰσχὺν, ἄδειαν εἶναι ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς εὐαγέσιν οἴκοις πρὸς ἀλλήλας καὶ ἐμφυτεύσεις πράττειν διηνεκεῖς, δεκρέτου δηλαδὴ καὶ ἐπὶ τούτῳ γινομένου. ἐξῃρημένης μὲν κἀνταῦθα τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἐπὶ τούτῳ δὲ γινομένης τῆς ἐμφυτεύσεως, ἐφ' ᾧ μὴ εἰς ἰδιωτικὸν πρόσωπον ἐκταθῆναι παντελῶς δυνηθῆναι.

Ἡ τοίνυν σὴ μακαριότης τὰ παραστάντα ἡμῖν καὶ φυλαξάτω, καὶ τοῖς ὑπ' αὐτὴν τοὺς μητροπολιτικοὺς θρόνους ἔχουσι φανερὰ καταστησάτω, ὥστε καὶ αὐτοὺς τὰ ἡμῖν παραστάντα γινώσκοντας μηδὲν τούτων παραβῆναι θαῤῥῆσαι. ἔσται γὰρ ἅπασιν ἡ παρὰ τοῦ θεοῦ κρίσις καὶ ἡ ἐκεῖθεν ποινὴ, εἴ τι παρὰ ταῦτα ἢ αὐτοὶ πράξαιεν ἢ πραχθῆναι συγχωρήσαιεν. Dat. XV. Kal. Novemb. CP. imp. DN. Iustinani PP. Aug. ann. XI. post Bilisarii V. C. cons. [ann. II.][4])

4) Anno II addo ex Auth. et Theod. Apud Athan. est Ἐγράφη ... καλανδῶν νοεμβρίου βασιλείας ἰουστινιανοῦ [ια'] μετὰ τὴν ὑπατείαν βελισαρίου [τὸ] γ'. (etiam Chron. Paschale annum II p. c. Belisarii tertium vocat.) Heimb. alterius Codicis lectionem III Non. Nov. praetulit. idem addit: indictione prima.

Nov. 57. **LXXIII.** Auth. 57.

Prooem. et c. 1 relatum est in Bas. III, 4, 1. — Summas praestant Iulian. c. 51, Ath. I, 12, Theod. Nov. 57, Coll. 87 capp. c. 19, incertus epitomator in Nomoc. XIV titt. VIII, 2.

Περὶ κληρικῶν ἀποστάντων τῆς κατ' αὐτοὺς ἐκκλησίας καὶ περὶ τῶν οἰκοδομούντων εὐκτηρίους οἴκους.

Ὁ αὐτὸς βασιλεὺς Μηνᾷ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ τῆς βασιλίδος ταύτης πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Πολλοὶ πολλάκις κληρικοί τισιν εὐκτηρίοις προσεδρεύοντες οἴκοις ἢ καὶ ἴσως παρά τινων πρότερον ἐγκατασταθέντες χορηγοῦνται τὴν νενομισμένην χορηγίαν, εἶτα χωρίζουσιν ἑαυτοὺς τῶν ἱερῶν καθάπαξ μυστηρίων δι' ἃς αὐτοὶ γινώσκουσιν αἰτίας, ἢ καθ' οἱανοῦν πρόφασιν ἀναχωροῦσι παντελῶς τῆς ἁγιωτάτης ἐν ᾗ καθεστᾶσιν ἐκκλησίας.

α'. Θεσπίζομεν τοίνυν, μὴ τοῦτο γίνεσθαι κώλυμα τῇ ἱερᾷ λειτουργίᾳ, ἀλλ' ἑτέρους ἐγκαθίστασθαι παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων, ὑφ' οὓς αἱ αὐταὶ καθεστήκασιν ἐκκλησίαι, καὶ αὐτοὺς ταῦτα κομίζεσθαι. οὐδὲ γὰρ βουλόμεθά τισι διδόναι κερδαίνειν τὰ ἤδη παρ' αὐτῶν ἢ δι' αὐτῶν χορηγούμενα ταῖς ἁγιωτάταις ἐκκλησίαις, ἐπειδήπερ οὐδὲ θεμιτὸν[1] καθ' οἱανδήποτε πρόφασιν κέρδος τινὰς ποιεῖν ἐκ τῆς ἑτέρων ἀποστερήσεως, ἀλλὰ τὰ ἐξ ἀρχῆς χορηγούμενα μέχρι παντὸς ἐπιδίδοσθαι καὶ μὴ τὴν ἱερὰν ἐντεῦθεν λειτουργίαν διαφθείρεσθαι. οὐκ οὔσης ἀδείας μετὰ τὸ ἐγκαταστῆναί τινας ἀντὶ τῶν προτέρων κληρικῶν ἢ παρὰ τοῦ ἁγιωτάτου πατριάρχου ἢ παρὰ τῶν ἐπιχωρίων ἐπισκόπων αὖθις τοὺς ἀναχωρήσαντας πάλιν ἐπανιέναι βούλεσθαι καὶ ἐξω-

1) Hal. et Bas. (cum Auth.) οὐ βουλόμεθα.

θεῖν[2]) τοὺς ἐγκαταστάντας, καὶ ἀναγκάζεσθαι διπλᾶ χορηγεῖν τοὺς ποιουμένους τὴν τοιαύτην χορηγίαν, ὥστε διδόναι καὶ τοῖς ἐγκαταστᾶσι καὶ τοῖς πάλιν ἐπανιέναι βουλομένοις, ἀλλ'[3]) ἐκείνους μὲν ἐπανιόντας μὴ προσδέχεσθαι, τοῖς δὲ μετὰ τὴν ἀναχώρησιν τῶν προτέρων ἐγκαταστᾶσιν αὐτοῖς δίδοσθαι τὰς σιτήσεις, οὐδενὸς κέρδους ἐντεῦθεν τοῖς χορηγοῦσι προσγινομένου. τῶν τὰ τοιαῦτα κερδαίνειν ἐπιχειρούντων[4]) ἐκ τῆς ἑαυτῶν περιουσίας πάντως παρεχόντων τοῖς παρ' ἑαυτῶν ἐγκαταστᾶσι τὰς σιτήσεις καὶ πάσας τὰς χορηγίας, κληρονόμων τε αὐτῶν καὶ διαδόχων, εἰδότων ὡς εἰ καὶ μετὰ ταῦτα ἀποστερήσαιεν, ῥητὴ κτῆσις ἀφορισθήσεται ἐκ τῆς αὐτῶν περιουσίας τοῖς θείοις ἡμῶν πριβάτοις, ὥστε ἐντεῦθεν τὴν χορηγίαν αὐτοῖς γίνεσθαι.

β'. Κἀκεῖνο μέντοι πρὸς τιμὴν καὶ σέβας τοῦ θρόνου τοῦ σοῦ διορίζομεν, ὥστε εἴ τις οἰκοδομήσας ἐκκλησίαν ἢ καὶ ἄλλως χορηγῶν τοῖς ἐν αὐτῇ λειτουργοῦσι σιτήσεις βούλοιτό τινας κληρικοὺς ἐγκαθιστᾶν αὐτῇ, μὴ εἶναι αὐτῷ παῤῥησίαν μηδεμίαν οὓς βούλεται κατ' ἐξουσίαν προσάγειν τῇ σῇ θεοφιλίᾳ[5]) ἐφ' ᾧτε χειροτονεῖν αὐτοὺς ἀκρίτως καὶ ἀνεξετάστως, ἀλλὰ προσαγομένους αὐτοὺς ἐξετάζεσθαι παρὰ τῆς σῆς ἁγιωσύνης, γνώμῃ τε τῇ σῇ καὶ τοῦ τὸν ἱερατικὸν θρόνον ἐπιτροπεύοντος ἀεὶ τούτους δέχεσθαι τὴν χειροτονίαν, οἵπερ ἂν τῇ τε σῇ μακαριότητι καὶ τοῖς μετ' αὐτὴν ἐπιτήδειοι δόξαιεν καθεστάναι καὶ τῆς τοῦ θεοῦ λειτουργίας ἄξιοι, ὥστε μὴ βεβηλοῦσθαι τὰ ἅγια τοῦ θεοῦ (τοῦτο δὴ τὸ τοῖς θείοις διηγορευμένον λογίοις), ἀλλ' ἄθικτά τε αὐτὰ καὶ ἄῤῥητα καὶ φρικτὰ καθεστῶτα ὁσίως καὶ θεοφιλῶς καὶ ἁγίως διαχειρίζεσθαι.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου τὴν μακαριότητα τὴν σὴν φυλάττειν διηνε-

2) Ven. ἔξωθεν. 3) Hal. ἀλλ' ἁπλῶς. 4) Ven. ἐγχειρ. 5) Ven. θεοφιλείᾳ.

[illegible] γινώσκοντας[5a] [illegible] ἡμῶν μάλιστα [illegible] ὑπὲρ αὐτῆς τῆς πατρίδος. Dat. XV Kal. Nov. CP. imp. DN. Iustiniani Aug. anno XI. post Belisarii V. C. consul. anno II.[6]

Nov. 58. **LXXIV.** Auth. 56.

[illegible] Theodor. Nov. 58, Coll. [illegible] cap. [illegible]

Ὥστε τὰ καλούμενα ἐμφανιστικὰ τῶν κληρικῶν ἐπὶ μὲν τῆς μεγάλης ἐκκλησίας δίδοσθαι, ἐπὶ δὲ τῶν ἄλλων ἐκκλησιῶν μὴ παρέχεσθαι.

Ὁ αὐτὸς βασιλεὺς Μηνᾷ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ τῆς βασιλίδος ταύτης πόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ.

Παρὰ πολλῶν προσελεύσεις δεχόμενοι τόνδε τὸν νόμον πρὸς τὴν σὴν γενέσθαι μακαριότητα δίκαιον ἡγησάμεθα. οἱ γὰρ χειροτονούμενοι παρὰ τῆς σῆς θεοφιλίας κληρικοὶ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις (χωρὶς μέντοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας) τὰ πάντων πάσχουσι δεινότατα, μὴ προσδεχομένων αὐτοὺς τῶν ἐκεῖσε κληρικῶν πρὶν ὅσον ἂν βουληθεῖεν λάβοιεν χρυσίον. καὶ ἴσμεν ταῦτα ἐκ συχνῶν προσελεύσεων περὶ τούτου γινομένων ἡμῖν.

α'. Θεσπίζομεν τοίνυν, τὴν μακαριότητα τὴν σὴν τοῦτο ἐῤῥωμενέστατα φυλάξαι. καὶ εἴ τι μὲν εἰωθός ἐστι διδόναι τοὺς καταταττομένους ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, τοῦτο αὐτοὺς παρέχειν (οὐδὲν γὰρ περὶ τῶν δεδομένων εἰς τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν καινίζομεν), χωρὶς δὲ αὐτῆς ἐν ταῖς ἄλλαις πάσαις μηδενὶ τῶν ἐν αὐταῖς κληρικῶν παῤῥησίαν εἶναι παντελῶς ὑπὲρ τῶν καλουμένων

5a) *γινώσκοντα* sive *γινώσκουσαν*? 6) Athan. (sec. Leunclav.) addit *τὸ γ'*. Cf. not. ult. ad c. LXXII.

ιφανισίμων τὶ κομίζεσθαι, ἀλλ' εἴ τις τοιοῦτό τι πράξειεν, :εῖνον μὲν ἀφαιρεῖσθαι τῆς ἱερωσύνης, εἰς δὲ τὴν ἐκείνου ίξιν ἐπεμβαίνειν τὸν σταλέντα, καὶ τοῦτον αὐτὸν τῆς ἀπλη-:ίας κομίζεσθαι τὸν μισθόν. παραφυλάττειν δὲ ταῦτα καὶ ιὺς θεοφιλεστάτους ἐκκλησιεκδίκους τῆς ἁγιωτάτης μεγάλης :κλησίας, ποινὴν ὑφορωμένους decem librarum auri, εἴ νος τούτων παραμελήσαιεν. ἀλλὰ προῖκα πάντα προϊέναι· ἰς γὰρ τοῦ δεσπότου θεοῦ λειτουργίας τε καὶ ὑπηρεσίας ; κατὰ πρᾶσιν οὐδὲ κατ' ἐμπορίαν γίνεσθαί τινα βουλό-:θα, ἀλλὰ καθαρῶς τε καὶ ἀδωροδοκήτως. οὕτω γὰρ ἂν ιῦ πράγματος ἄξιοι γίνοιντο, μηδεμιᾶς πράσεως ἢ ἐμπο-ίας γινομένης.

Ἡ τοίνυν σὴ μακαριότης καὶ οἱ μετ' αὐτὴν ἐπὶ τῶν ρχιερατικῶν γινόμενοι θρόνων τὰ παρ' ἡμῶν διατεταγμένα ιὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἔργῳ καὶ πέρατι αραδοῦναι σπευσάτωσαν. Dat. III. Non.[1]) Nov. CP. imp. N. Iustiniani Aug. [ann.] XI post Bilisarii V. C. ›nsul. ann. II.[2])

ath. 59. **LXXV.** Nov. 58.

ımmas habent Iulian. c. 52, Athan. I, 6, Theod. Nov. 58. Deest apud Hal.

'ερὶ τοῦ ἐν ἰδιωτικοῖς οἴκοις ἱερὰν μυσταγωγίαν μὴ γίνεσθαι.

αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Καὶ τοῖς πάλαι διηγόρευται νόμοις, ὥστε μηδενὶ παν-:λῶς εἶναι παῤῥησίαν οἴκοι τὰ ἱερώτατα πράττειν, ἀλλὰ δη-

1) Ven. Kal. Sed rectius Ath. γ' νόν. νοεμβρ. quod cum uth. convenit. 2) Ath. τὸ ιγ' ἰνδ. ια', ubi tamen Fabrotus ; Leunelavius rectius scribunt τὸ γ' ἰνδ. α'. Cf. not. ultima ı c. LXXII et LXXIII.

μοσίᾳ καταλιμπάνειν προϊέναι καὶ τὴν ἁγιστείαν καὶ τὴν τοῦ θεοῦ λατρείαν κατὰ τοὺς θεσμοὺς τοὺς περὶ τούτων ταῖς ἱερατικαῖς πράξεσι παραδεδομένους, καὶ ἡμεῖς δὲ τοῦτον ἐπὶ τοῦ παρόντος τίθεμεν τὸν νόμον, ὃν σὺν ἀσφαλείᾳ πάσῃ κρατεῖν βουλόμεθα. πᾶσι γὰρ ἀπαγορεύομεν τοῖς τῆς μεγάλης ταύτης πόλεως οἰκήτορσι, μᾶλλον δὲ καὶ τοῖς ἁπάσης τῆς ὑπηκόου, ἐν τοῖς οἴκοις τοῖς αὐτῶν ἔχειν τινὰς δῆθεν εὐκτηρίους οἴκους, καὶ ἐν τούτοις τὴν ἱερὰν ἐπιτελεῖν μυσταγωγίαν, καὶ ἐντεῦθεν γίνεσθαί τινα τῆς καθολικῆς τε καὶ ἀποστολικῆς παραδόσεως ἀλλότρια. ἀλλ' εἰ μὲν οἴκους οὕτως ἁπλῶς τινες ἔχειν οἴονται δεῖν ἐν τοῖς ἑαυτῶν ἱεροὺς εὐχῆς δὴ καὶ μόνης χάριν, καὶ οὐδενὸς πραττομένου παντελῶς τῶν ὅσα τῆς ἱερᾶς.καθέστηκε λειτουργίας, τοῦτο αὐτοῖς ἐφίεμεν· φθόνος γὰρ οὐδείς, εἰ βούλονται τούτων χωρὶς ἔχειν οἰκήματά τινα καὶ ἐν αὐτοῖς ὡς ἐν ἱεροῖς εὔχεσθαι· τῶν δὲ ἄλλων πάντων ἀπέχεσθαι, πλὴν εἰ μή περ ἐν αὐτοῖς βουληθεῖέν τινας προτρέπειν κληρικούς, ἐνταῦθα μὲν τῆς ἁγιωτάτης ἐκκλησίας καὶ τῶν ὑπ' αὐτὴν ἁγιωτάτων οἴκων γνώμῃ καὶ δοκιμασίᾳ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου πρὸς τοῦτο ἀπονεμομένους, κατὰ χώραν δὲ γνώμῃ τῶν θεοφιλεστάτων ἐπισκόπων. μηδενὸς καινισμοῦ τῷ θρόνῳ τῆς αὐτοῦ μακαριότητος ἐκ τοῦ παρόντος ἡμῶν γινομένου νόμου περὶ τὰ ὄντα αὐτῷ καθ' οἱονδήποτε τρόπον ἐπὶ ταῖς χειροτονίαις ἢ διοικήσεσιν ἐνταῦθα ἢ ἐν ταῖς ἐπαρχίαις δίκαια, ἀλλὰ πάντων τῶν παρεσχημένων αὐτῇ καθ' οἱονδήποτε τρόπον καὶ χρόνον κυρίων νῦν τε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον φυλαττομένων. θεσπίζομεν δέ, τὴν σὴν ταῦτα παραφυλάττειν ἐνδοξότητα καὶ φανερὰ πᾶσι διὰ γραμμάτων οἰκείων καταστῆσαι, ὥστε κατὰ πάντων κρατῆσαι τὸν νόμον. τοῦτο γὰρ καὶ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῆς εὐδαίμονος ταύτης πόλεως καὶ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ πατριάρχῃ ἐνεκελευσάμεθα, ὥστε ἔκ τε τῆς πολιτικῆς ἔκ τε τῆς ἱερατικῆς ἰσχύος ταῦτα διηνεκῶς φυλάττεσθαι. ἴστωσαν δὲ καὶ αὐτοὶ οἱ τῶν

οἰκιῶν κύριοι, ὡς εἴπερ μὴ ταῦτα φυλάξουσιν, αὐτοὶ μὲν ὑπὸ βασιλικὴν γενήσονται κίνησιν, αἱ δὲ οἰκίαι ἐν αἷς τοιοῦτό τι πράττεται δημόσιαί τε γενήσονται καὶ ὑπὸ τὸ ἱερώτατον ἡμῶν ταμιεῖον ἀχθήσονται. εἰ δὲ καί τινες ἔφθησαν τοιοῦτό τι ἐν ταῖς ἑαυτῶν ἔχειν οἰκίαις, ἴστωσαν ὡς εἰ μὴ τριῶν εἴσω μηνῶν, ἐξ οὗπερ ὅδε ὁ νόμος ἐμφανὴς γένοιτο, ταῦτα ἐπανορθώσαιεν καὶ εἰς τὸ παρ' ἡμῶν διατεταγμένον ἀγάγοιεν σχῆμα, ὑπὸ τὴν εἰρημένην ποινὴν γενήσονται. ταῦτα δὲ πράττεσθαι σὺν ἀληθείᾳ, οὐ μὴν κατά τινα συκοφαντίαν βουλόμεθα· τῶν γὰρ ἀληθῶν μόνων ἐσμὲν ἐρασταί. ταῦτα θεσπίζομεν τὴν σὴν φυλάττειν ὑπεροχὴν καὶ μηδὲν τοιοῦτο γίνεσθαι συγχωρεῖν. ἴσθι γάρ, ὡς εἰ μάθοιμεν ὅτι σοὶ τοιοῦτό τι προσαγγελθὲν εἶτα οὐκ ἐκώλυσας ἢ αὐτὸς ἢ οἱ διάδοχοί σου τῆς ἀρχῆς ἐσόμενοι, αὐτὸς μὲν quinquaginta librarum auri *καταθήσεις ποινήν, οἵ τε ἀμοιβοί σου τῆς ἀρχῆς ἐσόμενοι ἥ τε πειθομένη σοι τάξις τὴν αὐτὴν ὑποστήσεται ζημίαν, ὅτι πρᾶγμα ἡμῖν ἐσπουδασμένον καὶ τὴν τῆς ἁγιωτάτης ἐκκλησίας φυλάττον ἕνωσιν καὶ κωλῦον τὰ φανερῶς ἀπηγορευμένα πράττεσθαι λεληθότως ἠνέσχετο παριδεῖν ἁμαρτανόμενον· περὶ αὐτήν τε τὴν ἀρχὴν κινδυνεύσει, πρὸς τῷ καὶ τὴν οἰκίαν αὐτὴν ἐν ᾗ τοιοῦτό τι πράττεται γίνεσθαι δημοσίαν, καὶ ὑπὸ τὸ ἱερώτατον ἔρχεσθαι ταμιεῖον.*

Γέγραπται δὲ παρ' ἡμῶν καὶ πρὸς τὸν ἁγιώτατον πατριάρχην τῆς εὐδαίμονος ταύτης πόλεως, ὥστε καὶ αὐτὸν τούτου θέσθαι πρόνοιαν. βουλόμεθα γὰρ ἱερατικῶς τε καὶ ἀρχικῶς ταῦτα φυλαττόμενα μένειν εἰς τὸν ἐφεξῆς χρόνον ἀκίνητα. Dat. III. N. Nov. CP. imp. DN. Iustiniani PP. Aug. ann. XI post Bilisarii V. C. cons. [ann. II.][1])

1) Ath. *γ'* Nov. — *ὑπατ. βελισαρίου.* Theod. *μηνὶ σεπτεμβρίῳ — ἔτους β' ἰνδ. α'.*

Nov. 59. **LXXVI.** Auth. 60.

Summae sunt apud Iulian. c. 53, Athan. II, 12, Theod. Nov. 59, et cap. 3 in libro *αἱ ῥοπαί* XIX, 6.

Περὶ τῆς ὀφειλούσης γίνεσθαι δαπάνης εἰς τὰς τῶν τελευτώντων κηδείας.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ ἐπάρχῳ τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Ἕκαστον τῶν ἀγαθῶν ἔργων ἢ παρ' ἡμῶν βουλήσει θεοῦ χρὴ λαβεῖν τὴν ἀρχήν, ἢ κἂν εἴ τις τοῖς ἀφ' ἑτέρων γινομένοις ἀγαθοῖς ἀκολουθήσειε παραφθορά, ταύτην ἐπανορθωθῆναι παρ' ἡμῶν καὶ εἰς τὴν ἀρχαίαν ἐπανάγεσθαι τάξιν, ὥστε ἡμᾶς ἢ τῇ ποιήσει τοῦ πράγματος ἢ τῇ ἐπανορθώσει πρὸς τὰς ἀγαθὰς πράξεις σπεύδειν ἔχειν αἰεὶ μετουσίαν. ὁποῖον δή τι καὶ ἐπὶ ταῖς ἐκφοραῖς τῶν τελευτώντων γινόμενον οὐκ ὀρθῶς συνείδομεν ἐπανορθῶσαι, καὶ χαρίσασθαι τοῖς ἀνθρώποις τὸ μὴ διπλῆν ὑφίστασθαι δυσκολίαν, ἅμα μὲν τοὺς ἑαυτῶν ἀποβάλλοντας ἅμα δὲ ὑπὲρ αὐτῶν ζημιουμένους. ἀλλ' ὅπερ Κωνσταντῖνος[1]) ὁ τῆς θείας λήξεως ὀρθῶς ἐννοήσας διετύπωσε, καὶ ὕστερον Ἀναστάσιος[2]) ὁ τῆς εὐσεβοῦς λήξεως ἐβεβαίωσε προσθεὶς καὶ πρόσοδον τῷ πράγματι, τοῦτο ἡμεῖς αὐτοὶ κινδυνεῦον διαπεσεῖν ἀνακτήσασθαί τε καὶ δοῦναι μετὰ πάσης ἀσφαλείας τε καὶ ὅρων προσηκόντων ἐπειγόμεθα, μένειν αὐτὸ ποιοῦντες ἀθάνατον. Κωνσταντίνου γὰρ τοῦ τῆς εὐσεβοῦς λήξεως ἐννακόσια πεντήκοντα ἐργαστήρια ἐκ διαφόρων συστημάτων τῆς εὐδαίμονος ταύτης πόλεως ἀτελῆ δεδωκότος τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, Ἀναστασίου

1) Cf. l. 4 C. de SS. eccl. 1, 2. 2) l. 18 C. eod.

δὲ τοῦ τῆς εὐσεβοῦς λήξεως οὐ μόνον τοῖς ἐργαστηρίοις ἐκείνοις πεντήκοντα καὶ ἑκατὸν προσθέντος, ἀλλὰ[3]) καὶ πρόσοδον ῥητὴν φιλοτιμησαμένου κατὰ δύο πραγματικοὺς τύπους, ἐφ' ᾧ τὸ ἐκ τῆς αὐτῆς προσόδου ἀθροιζόμενον χρυσίον προχωρεῖν εἰς τὰ διδόμενα παρὰ τῶν θεοφιλεστάτων οἰκονόμων τοῖς πρὸς τοῦτο πονουμένοις, πολλοὶ πολλαχόθεν προσῆλθον ἡμῖν λέγοντες, οὐχ ὁμοίως τὸ πρᾶγμα προϊέναι, οὐδὲ ἀμίσθους γίνεσθαι τὰς τῶν τελευτώντων κηδείας ἀλλ' ἀπαιτεῖσθαι πικρῶς, καὶ εὑρίσκεσθαι πολλὰ ἔξωθεν ὀνόματα καὶ συστήματα, ἅπερ καὶ ἄκοντας ἀπαιτεῖ τοὺς πενθοῦντας καὶ ἀναγκάζει διδόναι τοὺς οὐκ ἔχοντας. ταῦτα ἅπαντα δίκαιον ᾠήθημεν τῆς προσηκούσης ἐπανορθώσεως ἀξιῶσαι.

α'. Πρῶτον μὲν οὖν τὰ κατὰ τὰ ἐργαστήρια πολλὴν δεξάμενα ἐπιβουλὴν καὶ ἐλάττωσιν εἰς πλῆρες ἀποκατεστήσαμεν[4]) τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, θεῖον ὑπὲρ τούτου γράψαντες τύπον πρὸς τὴν πολιαρχίαν[5]), ἐφ' ᾧ τε αὐτὴν ἅμα τῇ πειθομένῃ αὐτῇ τάξει παραδοῦναι τὰ χίλια ἑκατὸν ἐργαστήρια πᾶσι τρόποις τοῖς θεοφιλεστάτοις ἐκδίκοις καὶ οἰκονόμοις τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας, ὀκτακοσίων μὲν ἐν σώμασιν ἐργαστηρίων παρεχομένων τοῖς θεοφιλεστάτοις ἐκδίκοις, τριακοσίων δὲ τοῖς θεοσεβεστάτοις οἰκονόμοις, ὥστε τοὺς θεοσεβεστάτους οἰκονόμους ἔχειν τὰ τριακόσια ἐργαστήρια καὶ τὴν πρόσοδον τὴν ὑπὸ Ἀναστασίου τοῦ τῆς θείας λήξεως δωρηθεῖσαν, οὐκ ἔτι μεμφομένους ὡς ἐλλιπὴς εἴη, ἀλλὰ τὴν ἀναπλήρωσιν ἐκ τῆς τῶν τριακοσίων ἐργαστηρίων δόσεως ἔχοντας ποιεῖσθαι τὴν τῶν μηνιαίων χορηγίαν τοῖς τε δεκανοῖς καὶ τοῖς ἄλλοις τάγμασι, τοὺς δὲ θεοφιλεστάτους ἐκδίκους ἔχοντας τὰ ὀκτακόσια ἐργαστήρια τούς τε καλουμένους λεκτικαρίους παρέχειν καὶ τὴν ἄλλην ὑπουργίαν

3) Ven. ἀλλὰ omittit. 4) Ven. ἀπεκατ. Hal. ἀπεκτήσαμεν. 5) Const. LX.

ποιεῖν. ἣν ἡ τῶν τελευτώντων ὁσία βούλεται. ὥστε κατὰ πάντα τὰς ζημίας ἀφαιρεῖν τῶν πενθούντων.

3. Δεῖ τοίνυν τὰ εἰρημένα χίλια ἑκατὸν ἐργαστήρια φυλάττεσθαι τοῖς τε θεοφιλεστάτοις οἰκονόμοις καὶ ἐκδίκοις διὰ παντὸς ἀτελῆ τε καὶ ἀπαίτητα. καὶ ἀναπληρούμενα παρὰ τοῦ ἐνδοξοτάτου ἐπάρχου τῆς εὐδαίμονος ταύτης πόλεως εἴ τις γένοιτο διάπτωσις καθ᾽ οἱονδήποτε τρόπον ἢ ἐναλλαγὴ τῆς τούτων οὐσίας ἢ ἀπορίας. ὥστε τοὺς μὲν θεοφιλεστάτους οἰκονόμους ἔχοντας τὴν τῶν χωρίων διοίκησιν τῶν ταῖς ταφαῖς ἀπονενεμημένων. ἔχοντας δὲ καὶ ἀτελῆ τὰ τριακόσια ἐργαστήρια, τοὺς δὲ ἐκδίκους τὰ ὀκτακόσια, τὴν περὶ τὴν ὁσίαν τῶν τελευτώντων ποιεῖσθαι διοίκησιν. τὸ μὲν οὖν ἐκ τῆς τῶν χωρίων προσόδου προϊὸν παρὰ τῶν θεοφιλεστάτων οἰκονόμων ἐπιδίδοσθαι ταῖς ταφαῖς, καθάπερ ὑποκατιόντες ἐροῦμεν, προστιθεμένης καὶ τῆς ἐκ τῶν τριακοσίων ἐργαστηρίων προσθήκης, ἣν καὶ αὐτὴν ἐν αὐτῷ τῷ ἔργῳ λαμβάνειν ᾔτησαν· ἐπειδὴ δὲ τῶν χιλίων ἑκατὸν ἐργαστηρίων τῶν ἐπὶ ταύτης ὄντων τῆς εὐδαίμονος πόλεως πλεῖστα διέπεσε, προστάττομεν κατὰ τὸ παρὸν ἀναπληροῦσθαι ταῦτα, καὶ τοῦ τῶν χιλίων ἑκατὸν ἐργαστηρίων ἀριθμοῦ διατηρουμένου ἀμείωτά τε καὶ ἀτελῆ κατὰ τὸν εἰρημένον ἡμῖν τρόπον φυλάττεσθαι τοῖς τε θεοφιλεστάτοις οἰκονόμοις τοῖς τε θεοσεβεστάτοις ἐκδίκοις, ὥστε μέντοι μὴ ἐλάττους εἶναι τοὺς δεκανοὺς ἤτοι κοπιατὰς τῶν ὀκτακοσίων τῶν ἀπονεμηθέντων τοῖς θεοφιλεστάτοις ἐκδίκοις, ἀντὶ δὲ τῶν τριακοσίων τῶν δεδομένων τοῖς θεοφιλεστάτοις οἰκονόμοις ἄδειαν εἶναι τοῖς αὐτοῖς θεοφιλεστάτοις ἀνδράσιν, εἰ βουληθεῖεν, ἐν σώμασι λαμβάνειν τὰ τριακόσια ἐργαστήρια ἢ πάντα ἤ τινα ἐξ αὐτῶν, ἢ κομίζεσθαι προφάσει τῶν καλουμένων ἐξσκουσάτων χρήματα ὑπὲρ πάντων ἢ ὑπέρ τινων ἐργαστηρίων, καὶ αὐτὰ τὰ χρήματα ἅπερ μέχρι νῦν οὐκ εἶχον (καθάπερ καὶ αὐτοὶ τὸ ἡμέτερον ἐδίδαξαν κράτος) ταῦτα δαπανᾶν περὶ τὴν τῶν τελευτώντων ὁσίαν, ὥστε ἐκ

τε τούτων τῶν χρημάτων καὶ ἐκ τῶν προσόδων τῶν χωρίων τὴν διανομὴν γίνεσθαι τοῖς τε δεκανοῖς καὶ ἀσκητρίαις καὶ κανονικαῖς καὶ ἀκολούθοις, καθάπερ ἂν ὑποκατιόντες διαταξόμεθα. τῶν γὰρ αὐτῶν θεοφιλεστάτων οἰκονόμων διδαξάντων ὡς οὐχ οἷόν τε ἐστὶν ἐκ τῶν χωρίων τοῦ λοιποῦ τὴν αὐτὴν πρόσοδον περισώζεσθαι, εἰκότως ἡμεῖς τὴν τῶν τριακοσίων ἐργαστηρίων προσθήκην ἀπενείμαμεν τούτῳ τῷ μέρει, ὅπως ἀνεπιλήπτως τὸ μέχρι νῦν διδόμενον τοῖς κάμνουσι περὶ τὴν τῶν λειψάνων ἐκφορὰν καὶ ἐφεξῆς δοθείη, τουτέστι per singulum mensem quadringentos solidos[6]), *μεριζομένους τοῖς τε δεκανοῖς καὶ ἀκολούθοις καὶ ἀσκητρίαις καὶ κανονικαῖς κατὰ τὸ μέχρι νῦν παρ' αὐτοῖς κρατῆσαν ἔθος, τουτέστι τοῖς μὲν δεκανοῖς* per singulum mensem centum octoginta duos solidos[7]), *ταῖς δὲ ἀσκητρίαις ἐνενήκοντα νομίσματα*[8]), *καὶ τοῖς ἀκολούθοις* nonaginta unum solidos[9]), *καὶ ταῖς κανονικαῖς* triginta sex solidos, *ἀθροιζομένων*[10]) *μὲν παρὰ τῶν αὐτῶν θεοφιλεστάτων οἰκονόμων, καταβαλλομένων δὲ ἐπὶ τοὺς εἰωθότας κομίζεσθαι κατὰ* sex menses.[11])

γ'. Δεῖ δὲ τὸ μὲν ἐπιβάλλον τοῦ χρυσίου μέρος ταῖς εὐλαβεστάταις ἀσκητρίαις δίδοσθαι παρὰ τῶν θεοφιλεστάτων οἰκονόμων κατὰ τὴν εἰρημένην προθεσμίαν Εὐγενίῳ τῷ θεοφιλεστάτῳ διακόνῳ καὶ ξενοδόχῳ τοῦ κατὰ Σαμψὼν τὸν τῆς ὁσίας μνήμης ξενῶνος καὶ τοῦ παρ' ἡμῶν συστάντος καὶ τοῖς μετ' αὐτὸν θεοφιλεστάτοις ξενοδόχοις τῶν εἰρημένων ξενώνων, διὰ τὸ τὰς ἀσκητρίας τὰς εἰς ταύτην ὑπουργούσας τὴν χρείαν ὑπὸ τοὺς κατὰ καιρὸν ξενοδόχους τῶν

6) Ven. inter lineas *ἀνὰ ἕκαστον μῆνα τεσσαράκοντα νομίσματα*, unde pergit *μεριζόμενα*. 7) Ven. inter lineas *ἀνὰ ἕκαστον μῆνα ρπβ' νομίσματα*. 8) Lege: nonaginta unum solidos. 9) Ven. inter lineas *ἐνενήκοντα νομίσματα*. Hal. *ταῖς τε ἀσκ. καὶ τοῖς ἀκολ. ϙα' σολίδους*. 10) Hal. *ἀθροιζομένους*. non male. 11) Ven. inter lineas *ἓξ μῆνας*.

εἰρημένων εὐαγῶν ξενώνων τελεῖν· τὸ δὲ αἱροῦν τοῖς τε ἀκολούθοις καὶ ταῖς εὐλαβεστάταις κανονικαῖς ὡσαύτως δίδοσθαι παρὰ τῶν αὐτῶν θεοφιλεστάτων οἰκονόμων τοῖς τε νῦν ἱερωμένοις αὐτοῖς καὶ τοῖς κατὰ καιρὸν τὴν ἡγεμονίαν αὐτῶν ἐγχειριζομένοις. ὥστε δι' αὐτῶν τὴν διανομὴν γίνεσθαι ταῖς προδηλουμέναις καὶ ὑπ' αὐτοὺς τελούσαις ἀσκητρίαις τε καὶ κανονικαῖς, καὶ πρός γε καὶ τοῖς ἀκολούθοις. εἰ δὲ ῥᾴθυμοι γένοιντο περὶ τὴν τοιαύτην καταβολὴν οἱ θεοφιλέστατοι οἰκονόμοι, καὶ τοῦτο φανερὸν κατασταίη εἴσω ἓξ μηνῶν κατὰ τὴν δευτέραν ἑξάμηνον διερχομένων, εἰ μηδεμία γένοιτο καταβολή, τηνικαῦτα πᾶν τὸ μετὰ τὴν προτέραν ἑξάμηνον ὀφληθὲν εἰσπράττεσθαι τοὺς ἀεὶ θεοφιλεστάτους οἰκονόμους μετὰ τόκου τοῦ tertiae partis[12]) τῆς ὁμοίας ἐπιστροφῆς τοῦ μετὰ τὴν ἑξάμηνον διατρέχοντος χρόνου· προνοίᾳ τούτου τιθεμένου τοῦ κατὰ καιρὸν ὁσιωτάτου ἀρχιεπισκόπου καὶ πατριάρχου τῆς κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν ἁγιωτάτης μεγάλης ἐκκλησίας.

δ'. Εἰ δὲ καὶ ἕτερος ἐνιαυτὸς παρέλθοι καὶ μηδὲ οὕτως τι καταβάλλοιεν οἱ θεοφιλέστατοι οἰκονόμοι ταῖς εὐλαβεστάταις γυναιξὶν ἢ τοῖς εἰρημένοις δεκανοῖς, ἄδειαν εἶναι τῷ κατὰ καιρὸν ἁγιωτάτῳ πατριάρχῃ μὴ μόνον ἀπαιτεῖν τοὺς θεοφιλεστάτους οἰκονόμους τὸ ὀφειλόμενον μετὰ τοῦ εἰρημένου τόκου, ἀλλὰ καὶ ἀναγκάζειν αὐτοὺς διδόναι πάντα ὅσα διώρισται. καὶ (εἴπερ βουληθείη ὁ ἁγιώτατος πατριάρχης) καὶ ἐξελεῖν αὐτοὺς τῆς φροντίδος τῶν χωρίων, καὶ ἀπαιτεῖν τὴν τούτων ὄψιν καθὰ νῦν παρ' αὐτοῖς ἐστί. τούτων ἁπάντων φροντίδα τιθεμένου τοῦ κατὰ καιρὸν μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου, ὑφ' ὃν τελοῦσι καὶ οἱ θεοφιλέστατοι οἰκονόμοι καὶ ὁ πᾶς κλῆρος καὶ ἡ σύμπασα τῆς ἁγιωτάτης ἐκκλησίας κατάστασις. [§. 1.] τούτων δὲ οὕτως γινομένων μηδένα παντελῶς παρὰ

12) Ven inter lineas ἀπὸ τρίτου μέρους.

ἄκοντος κομίζεσθαι ὑπὲρ νεκροῦ σώματος κηδευομένου μηδ' ὁτιοῦν. ὥστε δὲ διακρίνεσθαι τὸ πᾶν, θεσπίζομεν ἑκάστῃ κλίνῃ προῖκα διδομένῃ ἓν ἀσκητήριον δίδοσθαι ἀσκητριῶν ἢ κανονικῶν, μὴ ἔλαττον ὀκτὼ γυναικῶν ἡγουμένων τῆς κλίνης καὶ ψαλλουσῶν καὶ τριῶν ἀκολούθων, οἵπερ οὐδ' ὁτιοῦν παντελῶς λήψονται. εἰ μέντοι τὶς βούλοιτο τῶν προσηκόντων τῷ τελευτήσαντι καὶ τὴν ἐκφορὰν ποιουμένων αὐτὸς ἑκὼν ἀναγκάζοντος οὐδενὸς καὶ ἕτερον ἀσκητήριον ἓν ἢ δύο ἢ καὶ πλείω προσλαβεῖν, τοῦτο ἔστω μὲν τῆς αὐτοῦ φιλοτιμίας, πλὴν οὐδὲ τοῦτο ἀόριστον καταλείπομεν, κἀνταῦθα τὸ αὐτὸ μέτρον εἶναι βουλόμενοι τῶν κατὰ φιλοτιμίαν προσλαμβανομένων ἀσκητριῶν ἤτοι κανονικῶν καὶ ἀκολούθων, ὅπερ ἀνωτέρω διωρίσαμεν, ὥστε μὴ ἐλάττους ἢ ὀκτὼ ἀσκητρίας ἢ κανονικὰς εἶναι τὰς ἐξ ἑκάστου ἀσκητηρίου προσλαμβανομένας καὶ τρεῖς ἀκολούθους καθ' ἕκαστον ἀσκητήριον.

ε'. Δίδοσθαι δὲ ταῖς ἀσκητρίαις ἤτοι κανονικαῖς ταῖς ὑπὲρ τὸ αὐτὸ προῖκα ὑπηρετεῖν[12a]) προσλαμβανομέναις, εἰ μὲν εἴσω τῶν νέων τειχῶν τῆς εὐδαίμονος ταύτης πόλεως εἴη τὰ τῆς ἐκφορᾶς, ἄχρι ternorum[13]) solidorum, οὐδὲν ἐκ τούτων παντελῶς τῶν ἀκολούθων κομιζομένων οὐδὲ μεριζομένων ταῦτα μετὰ τῶν εὐλαβεστάτων ἀσκητριῶν ἢ κανονικῶν· τῶν δὲ ἀκολούθων τῶν μετὰ τοὺς τρεῖς τοὺς προῖκα ὑπηρετοῦντας παραλαμβανομένων, εἰ μὲν ἕτεροι τρεῖς εἶεν, ἀρκουμένων κερατίοις τρισὶν, εἰ δὲ ἕξ, κερατίοις ἕξ, καὶ ἐφεξῆς κατὰ τοῦτον τὸν τρόπον καὶ τὰ περὶ αὐτῶν διοικεῖσθαι. πρόδηλον δὲ, ὡς εἰ καὶ τὸ διάστημα πλεῖον καθεστήκοι, καὶ οἱ τῇ κλίνῃ ὑπηρετούμενοι δεκανοὶ πλείους εἶεν καὶ τὰ ἀσκητήρια πλείονα, διὰ τὸ ταύτης βάρος βραχύ τι καὶ αὐτοῖς δοθήσεται καθ' ὁμοιότητα τῶν πρὸς τὰ ἀσκητήρια τῆς κηδείας[14]) πονουμένων, ὥστε τῇ διαφορᾷ τοῦ κόπου δοκεῖν

12a) τὸ πρ. ὑπηρετοῦν? 13) Ven. *terni* et inter lineas τριῶν νομισμάτων. 14) Hal. καθ' ὁμ. τῶν ἀσκητριῶν τῶν

τινα καὶ αὐτοὺς ἔχειν ἐντεῦθεν παραψυχήν. δοκεῖν δὲ εἴσω τῶν νέων τειχῶν καὶ τὸ πέραμα Ἰουστινιανῶν ἤτοι Συκῶν, ἐπειδὴ μὴ πόῤῥω καθέστηκε μηδὲ δεῖται πλείονος χρόνου ἢ πόνου πρὸς τὴν ἄφιξιν τὴν ἐκεῖσε. εἰ δὲ ἔξω τῶν νέων τειχῶν τῆς εὐδαίμονος ταύτης πόλεως ἐκφορὰ γένοιτο ἢ καὶ ἐν τοῖς ἄλλοις περάμασι παρὰ τὸ εἰρημένον, τηνικαῦτα τὰς μὲν ἀσκητρίας ἤτοι κανονικὰς dimidiam partem solidi[15]) λαμβάνειν, οὐδὲ ἐνταῦθα κοινωνούντων παντελῶς κατ' οὐδὲν αὐταῖς τῶν ἀκολούθων, αὐτῶν δὲ τῶν ἀκολούθων ἐφ' ἑκάστῳ ἀσκητηρίῳ quatuor siliquas[16]) κομιζομένων καὶ πέρα τούτων μηδὲν κατὰ τὴν εἰρημένην διαίρεσιν. τοῦ ἀσκητηρίου τοῦ παρεπομένου τῇ προῖκα διδομένῃ κλίνῃ σὺν τοῖς τρισὶν ἀκολούθοις καὶ αὐτοῦ πάντως παραγινομένου διὰ τῶν ὀκτὼ ἀσκητριῶν ἢ κανονικῶν καὶ τριῶν ὡς εἴρηται ἀκολούθων, καὶ οὐδὲν παντελῶς κομιζομένων οὐδὲ διὰ κηρῶν δόσεως ἀπαιτούντων καὶ ἕτερον μέτρον ἐξευρισκόντων ἐφ' ἑτέρῳ προκαλύμματι.

ς'. Ταῦτα μέντοι πάντα διορίζομεν· ἐπὶ τῶν μὴ κατὰ φιλοτιμίαν ἐπιζητούντων τὰς δύο μεγάλας κλίνας[17]) τὰς ἐν τῷ εὐαγεῖ κειμηλιοφυλακείῳ κειμένας, φαμὲν δὴ Στουδίου τοῦ τῆς ἐνδόξου μνήμης καὶ Στεφάνου τοῦ τῆς μεγαλοπρεποῦς μνήμης. εἰ γάρ τις ἐκείνας βουληθείη λαβεῖν, ὡς καὶ ἀνθρώπων πολλῶν δεομένας καὶ φυλακῆς πλείονος καὶ ἄλλης τινὸς πολυπραγμοσύνης χρῃζούσας, τοῦτο οὐ συνάπτομεν τοῖς ἔμπροσθεν εἰρημένοις. ἀλλ' ὡς φιλότιμον ἀνελόμενος γνώμην ὁπόσον ἂν ὑπὲρ τοῦ πόνου ἢ τοῖς δεκανοῖς ἢ ταῖς εὐλαβεστάταις ἀσκητρίαις ἢ κανονικαῖς διδόναι συμφωνήσειε, τοσοῦτον καὶ παρέχειν, οὐ μέντοι δυνάμενον ὑπερβαίνειν τὴν τῶν duodecim solidorum[18]) ποσότητα ἐπὶ τῶν δύο

τῆς κηδείας ὕπερ κον. 15) Ven. inter lineas ἡμισυνόμισμα. 16) Ven. inter lineas τέσσαρα κεράτια. 17) Ven. ταύτας. 18) Ven. inter lineas δώδεκα νομισμάτων.

μνῶν τοῦ Στουδίου τε καὶ τοῦ Στεφάνου, ἐπὶ δὲ ῦ χρυσοπάστου τοῦ κειμένου κατὰ τὴν ἁγιωτάτην μεγάην ἐκκλησίαν καὶ εἴ γε ἑνὸς μόνου τοῦ ἀντ' αὐτοῦ ς εἰκὸς κατασκευασθησομένου quatuor solidorum[19]), τῶν ὲ ἀσκητηριῶν ἢ κανονικῶν καὶ ἀκολούθων διπλασίονα ομιζομένων ἤπερ ἔμπροσθεν περὶ αὐτῶν ὡρίσαμεν, δηκδὴ καὶ αὐτοῦ τοῦ ἀσκητηρίου ἤτοι κανονικῶν τοῦ ροῖκα ἐπὶ τῶν ἄλλων κλινῶν ἡγουμένου τὴν αὐτὴν λαμάνοντος ποσότητα ἣν καὶ τὰ λοιπὰ ἀσκητήρια· ταὐτοῦ ούτου καὶ ἐπὶ τῶν ἀκολούθων φυλαττομένου ὅπερ φθάσανες εἴπομεν, ὥστε καὶ τούτους διπλάσιον τῶν ἤδη παρ' μῶν διατεταγμένων κομίζεσθαι· ὅταν μέντοι μία τούτων ῶν τριῶν εἴη κλινῶν, ἐφ' ἧς ἡ κηδεία γίνεται τοῦτο βουομένου τοῦ ταύτην ἐπιτελοῦντος, δηλαδὴ τῶν θεοφιλεστάων ἐκδίκων ἀνάγκην ἐχόντων τὰ σώματα τῶν δεκανῶν παρέειν ἐξ ὧν αὐτοῖς ἀπενείμαμεν ὀκτακοσίων ἐργαστηρίων[19a]) καὶ ὰς κλίνας, οὐ μέντοι δαπάνην ποιεῖσθαί τινα. τῶν θεοφιεστάτων οἰκονόμων ἀναγκαζομένων ἔκ τε τῆς προσόδου τῆς ταρὰ Ἀναστασίου τοῦ τῆς θείας λήξεως καταλελειμμένης ἔκ ε τῶν τριακοσίων ἐργαστηρίων τὴν εἰρημένην πᾶσαν δαπάην ποιεῖσθαι περὶ τὰ εἰρημένα πρόσωπα κατὰ τὴν ἐφ' ᾶσι τεταγμένην παρ' ἡμῶν διαίρεσιν. οὕτως οὐδὲν ἀόριτον ἔσται, ἀλλὰ καὶ οἱ μετριωτέρας τὰς ταφὰς γίνεσθαι ουλόμενοι ταύτης ἀπολαύσουσι τῆς διατυπώσεως, καὶ οἱ πρὸς ιλοτιμίαν ὁρῶντες οὐ μεγάλα ζημιωθήσονται, ἀλλ' ἔσονται ετὰ τοῦ μετρίου φιλότιμοι.

ζ'. Ταῦτα τοίνυν ἡμεῖς διωρίσαμεν ἐπί τε τοῖς ἐργαστηρίοις, ἐπί τε ταῖς προσόδοις, ἐπί τε ταῖς ἐκφοραῖς ταῖς ε προῖκα ταῖς τε κατὰ φιλοτιμίαν γινομέναις. φύλακας δὲ τάττομεν τοῦ ἀμείωτον ἀεὶ φυλάττεσθαι τὸν τῶν ἐργαστηρίων ἀριθμὸν οὐ μόνον τὸν ἐνδοξότατον ἔπαρχον τῆς εὐδαίμονος

19) Ven. inter lin. τεσσάρων νομισμάτων. 19a) Ven. δεκανῶν.

ταύτης πόλεως καὶ τὴν αὐτῷ πειθομένην τάξιν, ἀλλὰ πολλῷ μᾶλλον τὴν σὴν ὑπεροχὴν, καὶ τοὺς ἀεὶ τῆς ἀρχῆς προστησομένους ἢ νῦν αὐτὸς ἐφέστηκας. καὶ πρός γε καὶ κοινὴν ὁρίζομεν, κατά τε τῆς τάξεως τῆς σῆς εἴ ῥᾳθυμήσειε quinquaginta librarum auri[20]), κατά τε τῶν ἀεὶ τὸν σὸν παραληψομένων θρόνον διπλασίαν, ὥστε μὴ συγχωρῆσαί ποτε τὸν τῶν εἰρημένων χιλίων ἑκατὸν ἐργαστηρίων ἀριθμὸν ἐλλεῖψαι κατὰ τὴν εἰρημένην ἡμῖν διαίρεσιν. ἀλλ' εἰ διδαχθείης[21]) τοῦτο ἢ αὐτὸς ἢ οἱ μετά σε, τούτου πᾶσαν τίθεσθαι πρόνοιαν, καὶ παρασκευάζειν αὐτὸν ἀμείωτον διὰ πάντων μένειν καὶ ἀβαρῆ καὶ ἀνεπινόητον παρά τε τῆς σῆς ὑπεροχῆς καὶ παντὸς ἑτέρου προσώπου, ὥστε μὴ ταύτην γενέσθαι πρόφασιν τοῦ παρὰ τὸ διωρισμένον ἡμῖν δοθῆναί τινα μισθὸν ὑπὲρ κηδείας τινὸς προσώπου. οὐδεμιᾶς διακρίσεως γενομένης τῶν προσώπων τῶν τελευτώντων εἴτε πλουτοῖεν εἴτε πένοιντο, πλὴν εἰ μὴ καθάπερ εἰπόντες ἔφθημεν μίαν τῶν τριῶν κλινῶν ἕλοιντο, ἐφ' αἷς τὰ προσήκοντα διετυπώσαμεν. καὶ βουλόμεθα κἀκεῖνα κρατεῖν κατὰ τοῦτον τὸν τρόπον καὶ εἶναι διὰ παντὸς ἀκίνητά τε καὶ ἀθάνατα, τοῦδε τοῦ θείου πραγματικοῦ νόμου διὰ παντὸς κρατοῦντος, ἕως εἰσὶν ἄνθρωποι, ἕως τὸ μέγα καὶ πολυύμνητον τῶν Χριστιανῶν ὄνομα ἐν ἀνθρώποις ἐστὶ καὶ καθ' ἡμέραν διὰ τῆς τοῦ δεσπότου θεοῦ φιλανθρωπίας αὔξεται. προνοοῦντος δηλαδὴ τούτου πρὸς τῶν ἄλλων ἁπάντων αὐτοῦ τοῦ ὁσιωτάτου πατριάρχου ταύτης τῆς εὐδαίμονος πόλεως, ὥστε μετὰ τῆς ἱερατικῆς ἐξουσίας αὐτὸν τῷ πράγματι χρώμενον μὴ συγχωρεῖν παρὰ μηδενὸς προσώπου μήτε ἱερατικοῦ μήτε ἀρχοντικοῦ[22]) μήτε τῶν ἄλλων μηδενὸς παραβαίνεσθαι τὰ παρ' ἡμῶν διατεταγμένα. ἀλλὰ καὶ αὐτὴν τὴν βασιλείαν κατα-

20) Ven. inter lineas πεντήκοντα λιτρῶν χρυσίου. 21) Ita profecto legendum. Ven. διδαχθείη. Hal. διδαχθείη ὡς τοῦτο. 22) Ven. (ut et Hal.) ἀρχικοῦ, sed inter lineas ἀρχοντικοῦ.

κρίνομεν εἰς τὸν μέγαν ἀφορῶσαν θεὸν, ὥστε τὸν ἀεὶ τῶν σκήπτρων κύριον ἀγρύπνως τούτου τοῦ πράγματος προνοεῖν. οὐ γὰρ ὑπὲρ μόνων ἐστὶ τοῦτο τῶν τελευτώντων, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν ζώντων καὶ μάλιστα τῶν βασιλευόντων σωτηρίας, τὸ τὰς εὐσεβεῖς πράξεις πάντως εἰς ἔργον ἄγεσθαι καὶ μὴ τὴν τῶν προπεπονηκότων ἀγαθοεργίαν ὑπὸ τῆς τῶν ἐφεξῆς ῥαθυμίας ἀπόλλυσθαι. ὥσπερ δὲ τὰ χίλια ἑκατὸν ἐργαστήρια ἀμείωτα καὶ ἀτελῆ φυλάττεσθαι διετυπώσαμεν, οὕτω τὰ λοιπὰ πάντα ἐργαστήρια ὑποτελῆ καθεστάναι θεσπίζομεν, μηδενὸς παντελῶς ἄδειαν ἔχοντος ἐξαιρεῖν αὐτὰ τοῦ τέλους, μήτε τῶν εὐαγῶν οἴκων μήτε ξενώνων μήτε ἀσκητηρίων ἢ μοναστηρίων ἢ ἑτέρου τινὸς, ἀλλὰ μηδὲ αὐτοῦ τοῦ βασιλικοῦ ἡμῶν οἴκου ἢ τῶν ἐν ἀρχαῖς ἢ τῶν ἐν δυνάμεσιν, ἀλλὰ πάντων τῶν ἐργαστηρίων ὁμοίως ἐπιγινωσκόντων τὰ τέλη, ὥστε μὴ τὸ[23]) κατὰ μικρὸν ἕκαστον ἐξσκουσεύειν καὶ τὸ ἴδιον ἐλαφρύνειν τοῖς ὑπολελειμμένοις ὀλίγοις οὖσι τὸ πᾶν ἐπιτιθέναι βάρος κἀντεῦθεν μεγάλην ὑφίστασθαι ζημίαν τοὺς φέρειν αὐτὴν οὐ δυναμένους.

Ἡ τοίνυν σὴ ὑπεροχὴ καὶ οἱ μετά σε τὴν αὐτὴν ἀρχὴν παραληψόμενοι καὶ ἡ πειθομένη σοὶ τάξις τὰ παραστάντα ἡμῖν διὰ τοῦ παρόντος θείου πραγματικοῦ τύπου νῦν τε καὶ εἰς τὸν ἐξῆς ἅπαντα χρόνον φυλάξουσιν. Dat. III. Non. Nov.[24]) CP. imp. Iustinian. PP. Aug. ann. XI. post Bilisarii V. C. cons. ann. II.[25])

23) μὴ τῷ? 24) Ven. Non. omittit. 25) Ath. τὸ γʹ (cf. not. ult. ad c. LXXII. LXXIII. LXXIV). Theod. τὸ βʹ ἰνδ. ιαʹ (lege αʹ).

[illegible] [illegible] [illegible]

[illegible] — [illegible] [illegible] [illegible] [illegible]

[illegible] [illegible] [illegible] τὰ λείψανα αὐ[illegible] [illegible] [illegible], καὶ περὶ [illegible] [illegible] διαγνώσεις χωρὶς [illegible] [illegible] ποιεῖν μήτε ἀπο[illegible] [illegible].

[illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] ὑπάτων [illegible] [illegible] [1]

Οἱ τῆς [illegible] τῶν [illegible] [illegible] οὐκ ἂν [illegible] ὡς [illegible] [illegible] [illegible] [illegible]· πῶς γὰρ [illegible] [illegible] [illegible] τῶν [illegible] τῶν καθ' ἑκάστην [illegible] [illegible] [illegible] [illegible], οὐκ ἐννοοῦντας, ὅτι τῆς χρείας ἀεὶ [illegible] [illegible] τοῖς πράγμασι [illegible] νόμους [illegible]. τῶν ἀεὶ παραδόξως ἀναφυομένων ὑπὸ τῶν ἤδη [illegible] θεραπεύεσθαι μὴ δυναμένων. ὁποῖον δή τι καὶ ἔναγχος ἐγνώσθη. ὀφείλεσθαι γάρ τις λέγων παρά τινος, ἐπειδὴ τὸν ἄνθρωπον ἐπὶ θάνατον [illegible] καθεστάναι, στρατιώτας ἀθροίσας καὶ οἰκέτας καὶ ἑτέρους ὡς πλείστους ἔπεισιν αὐτῷ τελευτῶντι. ὁ δὲ δυσχεραίνων τε καὶ βοῶν διετέλεσεν, ἕως αὐτὸν ὑπὸ τῆς βίας συνωθούμενον ἀφῆκεν ἡ ψυχή. ὁ δὲ καὶ σήμαντρα ἐπετίθει τοῖς πράγμασι κατ' οἰκείαν ἐξουσίαν, παρόντος οὐδενὸς τῶν ἐν ἀρχῇ τεταγμένων ἢ τινος ὅλως νομίμης καὶ πολιτικῆς τάξεως φυλαττομένης. καὶ οὐδ' οὕτως ἀνῆκεν, ἀλλὰ καὶ εἰς νεκρὸν

1) Ven. inscriptioni subiicit: ὁμοίως βι. μζ' τί. ι' διγ. ε'.

ὑβρίζειν οὐκ ὄκνει, πρῶτον μὲν ἐνιστάμενος μὴ γίνεσθαι[2]) τὴν ταφὴν, εἶτα, ἐπειδὴ μόλις ἐνέδωκεν οἴκοθεν κατενεχθῆναι τὸν νεκρὸν, ὥστη δημοσίᾳ τὴν ἐκφορὰν τῆς κλίνης ἐπιλαβόμενος, καὶ οὐκ ἀνήσειν ἔλεγεν εἰ μὴ τὸ χρέος κομίσαιτο, ἕως καὶ ἀντιφωνητὴν ἔλαβε καὶ οὕτως τὸν ἤδη τεθνεῶτα παραδοθῆναι τῇ γῇ συνεχώρησεν. ἐπὶ μὲν οὖν τῆς ὑποθέσεως καθ' ἣν ταῦτα ἡμάρτηται τὰ προσήκοντα διετυπώθη, χρῆναι δὲ ἡγούμεθα καὶ γενικῷ νόμῳ ταῦτα ἐπανορθῶσαι, οὐ συγχωροῦντες αὐτὰ καὶ αὖθις πλημμεληθῆναι μένοντα μέχρι παντὸς ἀνομοθέτητα.

α'. Θεσπίζομεν τοίνυν, εἴ τις ἐκείνου περιόντος ἔτι τοῦ νομιζομένου χρεωστεῖν αὐτῷ καταλάβοι τὴν οἰκίαν τὴν αὐτοῦ, καὶ ἐνοχλοίη περιόντα τὸν ἄνθρωπον καὶ τοὺς οἰκείους τοὺς αὐτοῦ (γαμετήν φαμεν καὶ παῖδας καὶ οἶκον ὅλως), ἢ καὶ σήμαντρα κατ' οἰκείαν ἐξουσίαν ἐπιτιθέναι τολμῴη μὴ πρότερον ψήφου καὶ τάξεως νομίμης μετὰ τὴν τοῦ λεγομένου χρεωστεῖν τελευτὴν φυλαχθείσης, τῆς μὲν ἀγωγῆς πάντως ἐκπιπτέτω, εἴτε δικαίαν ἔχοι ταύτην εἴτε καὶ μὴ, ὁπόσον δὲ ὀφείλεσθαι λέγει[3]), τοσοῦτον ἕτερον προσαπαιτείσθω καὶ διδότω τοῖς τοῦ περιυβρισμένου κληρονόμοις, δήμευσίν τε εἰς τὸ τρίτον τῆς περιουσίας ὑφιστάσθω (καθὰ καὶ Μάρκος ὁ φιλοσοφώτατος τῶν αὐτοκρατόρων[4]) ἐπὶ τῶν ἑαυτοῦ γέγραφε νόμων) καὶ ἀτιμίᾳ πληττέσθω. ὁ γὰρ τὴν ἀνθρώπου φύσιν οὐκ αἰσχυνθεὶς δίκαιος ἂν εἴη καὶ χρήμασι καὶ δόξῃ καὶ τοῖς ἄλλοις ἅπασι ζημιοῦσθαι. [§. 1.] εἰ δὲ καὶ τελευτήσαντός τινος περὶ τὴν ταφὴν ἁμάρτοι τι τοῦ τελευτήσαντος καὶ τὴν ἐκφορὰν κωλύει, γέγραπται μὲν ἤδη νόμος[5]) καὶ τῷ ἡμετέρῳ πατρὶ περὶ τούτων, πλὴν ἀλλὰ καὶ ἐξ ἡμῶν μείζων ἐπέσθω τοῖς πλημμελήμασι ποινὴ, καὶ τοῖς αὐτοῖς ὑποκείσθω, οἷς ὁ παρὼν ὑπάγει νόμος τοὺς ἐν ζωῇ

2) Ven. γενέσθαι. 3) Hal. ἑαυτῷ λέγῃ. 4) l. 1 pr. l. 7 D. ad l. Iul. de vi priv. 48, 7. 5) l. 6 C. de sepulcro viol. 9, 16.

τοιοῦτό τι ὁποῖον ἔφημεν πλημμελήσαντας. τούτου πρόνοιαν τιθεμένου διαφερόντως μὲν τοῦ ἐνδοξοτάτου ἐπάρχου τῆς εὐδαίμονος ταύτης πόλεως ᾧ τῆς τῶν τοιούτων ἐπανορθώσεως μέλει, οὐδὲν δὲ ἧττον καὶ τοῦ ἐνδοξοτάτου τῶν ἱερῶν ἡμῶν πραιτωρίων ὑπάρχου καὶ τοῦ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ἡμῶν ὀφφικίων, καὶ τῶν ἀεὶ τούτοις πειθομένων τάξεων. δεῖ γὰρ κοινῶν ὄντων κατὰ τῆς φύσεως τῶν ὑβρισμάτων κοινὴν εἶναι παρὰ τῶν ἀρχόντων καὶ τὴν ἐπὶ τούτοις κώλυσίν τε καὶ ἐκδίκησιν. τούτων οὐκ ἐπὶ μόνης ταύτης τῆς εὐδαίμονος πόλεως κρατούντων, ἀλλὰ καὶ ἐν ἅπασι τοῖς ἔθνεσιν, ὧν ἡμῖν τὴν ἡγεμονίαν τὴν μὲν ἐξ ἀρχῆς ἔδωκεν ὁ θεὸς τὴν δὲ προσέθηκεν ἢ δ' ἔτι καὶ δώσει (φησί τις τῶν πρὸ ἡμῶν), τῶν ἐπιχωρίων ἀρχόντων εἴτε στρατιωτικῶν εἴτε πολιτικῶν τούτου πρόνοιαν τιθεμένων. ἐπέστω γὰρ τοῖς μὲν ἐνταῦθα ἄρχουσι καὶ ταῖς τούτων τάξεσιν ἀνὰ viginti librarum auri[6]) ποινή, εἴ τινος ῥᾳθυμήσαιεν τούτων, ταῖς δὲ ἐπιχωρίοις ἀνὰ πέντε, εἴ γε μηδὲ αὗται πρὸς τοῦτο ὁρμῷεν, προσαγγελίας τινὸς ἢ ἐνταῦθα ἢ κατὰ χώραν γινομένης.

β'. Κἀκεῖνό γε μὴν ὀρθῶς ἔχειν συνείδομεν, τὸ μὴ συγχωρεῖν (καθάπερ καὶ ἡ Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως λέγει διάταξις καὶ ἡ ἡμετέρα μέντοι)[7]) τοὺς παρέδρους τῶν ἀρχόντων αὐτοὺς τῶν ὑποθέσεων ἀκούειν, αἳ παρὰ τοῖς ἄρχουσιν ἢ τοῖς δεδομένοις ἐξ ἡμῶν δικασταῖς κινοῖντο. πολλῷ γὰρ ἂν κάλλιόν τε καὶ τελεώτερον ὑπ' αὐτοῖς τοῖς ἄρχουσι παρόντων ἐκείνων αἱ ὑποθέσεις κινοῖντο, δέους τε ἐφεστῶτος τοῖς ὑπηρετουμένοις καὶ τοῖς ὡς εἰκὸς παραγινομένοις μάρτυσι καὶ ὅλως τοῦ πράγματος τὴν οἰκείαν ἔχοντος σεμνότητα, ἢ εἴπερ χαμαιδικασταὶ τὰ τοιαῦτα κρίνοιεν, οὐδὲν τῶν παρέδρων τῆς ἐκείνων διεστώτων τάξεως.

6) Ven. inter lineas κ' λιτρῶν χρυσίου. 7) l. 13. 14 C. de adsessorib. 1, 51.

λλ᾽ ἐπειδὴ αἱ σὺν ἡμῖν οὖσαι διηνεκῶς ἀρχαὶ ταῖς ἀσχολίαις τῶν πραγμάτων καὶ τῶν ἡμετέρων κελεύσεων κατειλημμέναι πρὸς ταύτην τὴν ἀνάγκην καταφέρονται, δεῖ ύμφωνόν τε καὶ ἁρμόδιον τὸν νόμον τοῖς πράγμασι ποιήασθαι. [§. 1.] θεσπίζομεν τοίνυν, τὰς μὲν προκατάρξεις κ τρόπου παντὸς παρ᾽ αὐτοῖς γίνεσθαι τοῖς ἄρχουσιν, εἴτε ιείζους εἴτε ἐλάττους εἶεν, ἀλλὰ καὶ ἐν μέσαις ταῖς δίκαις ἰσάγεσθαι πάλιν παρ᾽ αὐτοῖς προσάπαξ γοῦν τὴν ὑπόθεσιν, ὥστε αὐτοὺς τὰ προηγωνισμένα μαθεῖν. ἐπειδὰν δὲ αὐτοελὴς ἀπόφασις ἐκφέρεσθαι μέλλοι, κατὰ μηδένα τρόπον ολμᾶν τοὺς παρέδρους χωρὶς τῶν ἀρχόντων ἀκούειν, ἀλλὰ ιετὰ τῆς προσηκούσης σεμνότητος, ἣν ἤδη διετάξαμεν, τῶν θείων προκειμένων λογίων αὐτοὺς τοὺς ἄρχοντας καὶ ἀκούειν ῶν ἠγωνισμένων ἁπάντων ἐφεξῆς, καὶ κρίνειν τὰς ὑποθέσεις αὐτοὺς, καὶ δέχεσθαι τὰς ἐφέσεις εἴπερ τὶς ἐφείη χωρὶς ἁπάσης ὑπερθέσεως, ἔνθα ὁ νόμος τοῦτο γίνεσθαι συγχωρεῖ. καὶ αὖθις τοὺς ἐφέτας ἐκ τρόπου παντὸς δι᾽ ἑαυτῶν ἀκροᾶσθαι τῶν ὑποθέσεων, οὐδενὸς ἑτέρως πράττειν τολμῶντος· ἀλλ᾽ εἴ τι τοιοῦτο γένοιτο, αὐτῶν μὲν τῶν ἀρχόντων ἀνὰ viginti librarum auri[8]) ὑφορωμένων ποινὴν, τῶν δὲ παρέδρων οἳ τοῦτο πράττειν ἐθάῤῥησαν, εἰ μὲν συνήγοροι εἶεν, ἐκβαλλομένων τοῦ τῶν λογιωτάτων ῥητόρων καταλόγου, εἰ δὲ οὐ συνήγοροι καθεστᾶσιν ἀλλ᾽ ἕτεροί τινες, καὶ τῆς ζώνης εἴ τινα ἔχοιεν ἀφαιρουμένων καὶ decem librarum auri[9]) σωφρονιζομένων ποινῇ. οὐδὲ γὰρ δεῖ τοὺς καὶ τὴν Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως διαπτύσαντας διάταξιν καὶ τὴν πρῴην τὴν ἡμετέραν καὶ τὴν παροῦσαν οἴεσθαι, ὡς τῷ παραπροσποιήσασθαι τὰς ταύτης διαφεύξονται ποινάς. μελήσει γὰρ τῷ κατὰ καιρὸν ἐνδοξοτάτῳ κόμητι τῶν θείων ἡμῶν πριβάτων[10]) τούτου τοῦ πράγματος τίθεσθαι πρόνοιαν,

8) Ven. inter lineas κ′ λίτρας χρυσίου. 9) Ven. inter lineas δέκα λιτρῶν χρυσίου. 10) Ven. inter lineas ἤτοι ἰδιοκτήτων.

καὶ ἀπαιτεῖν τὰς ποινὰς καὶ εἰσάγειν τοῖς ταμείοις, ὅταν τι τοιοῦτο πλημμεληθείη· γινώσκοντι καὶ αὐτῷ, ὡς οἴκοθεν τὸ δημόσιον ἀποπληρώσει μὴ τούτου τιθέμενος τὴν προσήκουσαν πρόνοιαν. [§. 2.] ἀλλὰ ταῦτα μὲν ἐπὶ τῶν ἀρχόντων ψηφιζόμεθα, οἷς αἱ περὶ τὸ δημόσιον καὶ περὶ τὰς ἡμετέρας κελεύσεις ἀσχολίαι τὴν τοῦ μὴ δι' ἑαυτῶν ἀκροᾶσθαι τὸ πᾶν διδόασι συγγνώμην. τοὺς δέ γε ἄλλους ἅπαντας δικαστὰς, ὅσοι μηδεμίαν μὲν ἀρχὴν ἄρχοντες, δικῶν δὲ ἐκ κελεύσεων ἡμετέρων ἀκροώμενοι ἢ ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως ἢ ἐν ἑτέραις τοιοῦτό τι πράξαιεν, καὶ τοὺς ἐν τάξει παρέδρων συνακροωμένους αὐτοῖς ἔτι σφοδροτέραις μέτιμεν ποιναῖς, εἰ μὴ διὰ πάσης ἐφεξῆς τῆς δίκης αὐτοὶ μετὰ τῶν οἰκείων παρέδρων ἀκροάσονται τῆς ὑποθέσεως. καὶ ἀξιωμάτων γὰρ ἔκπτωσιν αὐτοῖς ἀπειλοῦμεν καὶ ποινὴν ἀνὰ viginti librarum auri[11]), καὶ τοῖς αὐτῶν παρέδροις τὸ αὐτῆς ἐξελαύνεσθαι τῆς πόλεως ἐν ᾗ ταῦτα πράξαιεν καὶ πρός γε καὶ αὐτῆς τῆς οἰκείας ἐκπίπτειν ἐπιτιμίας.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἅπασι ποιησάτω φανερὰ κατὰ τὸν νενομισμένον τρόπον κηρύγμασι κατὰ τὰς ἐπαρχίας χρωμένη, ὥστε μηδὲν τῶν ἐθνῶν διαλαθεῖν τι τῶν παρ' ἡμῶν θεσπισθέντων. ἐπὶ γὰρ τῆς εὐδαίμονος ταύτης πόλεως ὁ ἐνδοξότατος ἔπαρχος ταῦτα προθήσει. Dat. Kal. Decemb. CP. imp. DN. Iustiniani PP. Aug. [ann.] XI. post Bilisarii V. C. cons. ann. II.[12])

11) Ven. inter lineas κ' λιτρῶν χρυσίου. 12) Theod. ἐξεφωνήθη μηνὶ δεκεμβρίῳ μετὰ ὑπατείαν βελισαρίου τὸ β'.



Anth. 62. LXXVIII. Nov. 61.

Repraesentatur (omisso scilicet prooemio et epilogo) in Basil. XXIX, 7, et contractior in Epanag. XIX, 8 (in Epit. ad Proch. mut. X, 63. 64). — Summas praestant Iulian. c. 55, Athan. X, 3, Theod. Nov. 61 et incertus epitomator in Epit. XVIII, 27.

Περὶ τοῦ τὰ ἀκίνητα τῆς πρὸ γάμου δωρεᾶς μήτε ὑποτίθεσθαι μήτε ὅλως ἐκποιεῖσθαι παρὰ τοῦ ἀνδρὸς μήτε[1] *συναινούσης τῆς γυναικὸς, πλὴν εἰ μὴ μετὰ ταῦτα τὸ ἱκανὸν γένηται*[2] *αὐτῇ· τὰ αὐτὰ δὲ κρατεῖν καὶ ἐπὶ τῆς προικός.*

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Πρᾶγμα ἐλεεινὸν γίνεσθαι μαθόντες ἐφ' ἡμῖν αὐτοῖς τῆς ὑποθέσεως κινηθείσης, ἐκεῖνο μὲν ἐπηνωρθώσαμεν τὸν προσήκοντα τρόπον[3], νόμῳ δὲ γενικῷ μέτιμεν τὰς τοιαύτας ὑποθέσεις, τοῦτο δὴ τὸ συνειθισμένον ἡμῖν.

α'. Καὶ θεσπίζομεν, εἴ τις συγγράψειε προγαμιαίαν ἤγουν τὴν διὰ γάμον δωρεὰν (οὕτω γὰρ αὐτὴν χρῆναι μᾶλλον καλεῖσθαι νενομοθετήκαμεν), εἴτε αὐτὸς ὑπὲρ ἑαυτοῦ τοῦτο ποιῶν εἴτε καὶ ἑτέρου γράφοντος, ἢ πατρὸς ἢ μητρὸς ἢ συγγενῶν ἢ καὶ ξένων τυχὸν, εἴ τις τοίνυν τοιοῦτό τι ποιήσειε καὶ γράψειε δωρεὰν ἐν ᾗ καί τι τῶν ἀκινήτων ἐστὶν, ἀπαγορεύομεν αὐτῷ ἢ ὑποτίθεσθαι τὸ λοιπὸν τὸ πρᾶγμα τὸ καταγεγραμμένον εἰς προγαμιαίαν δωρεὰν ἢ ἐκποιεῖν ὅλως. τὸ γὰρ ἅπαξ τοῖς δεσμοῖς τῆς προγαμιαίας δωρεᾶς ἔνοχον γενόμενον οὐκ ἂν εἴη προσῆκον ἐκποιεῖσθαι, ὥστε τὴν γυναῖκα ἀποβαίνοντος τυχὸν τοῦ κέρδους ὅπερ

1) Malim μηδέ. 2) Verbum γένηται in Ven. deest. 3) Ven. χρόνον.

αὐτῇ προσάγει τὴν προγαμιαίαν δωρεὰν δυσχεραίνειν, οὐχ εὑρίσκουσαν τὸ πρᾶγμα ἐν τῇ τοῦ ἀνδρὸς περιουσίᾳ, ἀλλ' ἢ ἐκποιηθὲν ἄλλοις ἢ ὑποτεθὲν, καὶ δυνατοῖς ἴσως προσώποις, ὡς ἐκείνῃ διὰ τὰς τοιαύτας αἰτίας ἢ παντοίως ἄβατον εἶναι τὴν ἐκδίκησιν ἢ δύσκολον καὶ δικαστηρίων δεομένην, ἐξὸν αὐτόθεν ἑαυτῇ βοηθῆσαι. [§. 1.] ὥστε τοῦτο φυλαττέσθω, καὶ ὁ μετὰ ταῦτα συμβάλλων ἴστω, ὡς εἴτε ὠνὴν εἴτε ὑποθήκην ἔχοι, οὐδὲν τούτων ὄφελος ἕξει παντελῶς, ἀλλ' ἐν ἴσῳ τοῖς ἀγράφοις τε καὶ ἀῤῥήτοις ἔσται τὰ ἐπὶ τούτῳ γεγραμμένα ἢ συμπεφωνημένα, καὶ φυλαττέσθω τῇ γυναικὶ τὸ κέρδος. οὐδὲ γὰρ ἔδοξαν ἡμῖν ἄπο τρόπου πεποιηκέναι τινὲς τῶν ἡμετέρων δικαστῶν, οἵπερ καὶ αὐτὴν τὴν in rem ταῖς γυναιξὶ μετὰ τὴν τοῦ γάμου διάλυσιν ἐπὶ τῆς προγαμιαίας δεδώκασι δωρεᾶς. ὅπερ ὀρθῶς ἐγχειρισθὲν εἶτα ὑπὸ τῶν μετὰ ταῦτα δικαζόντων ὑπὸ περιττοτέρας δῆθέν τινος ἀκριβείας παρεώραται. καὶ μή τινας ὁδοὺς ἐξευρισκέτωσαν οἵ τὰς τετεχνασμένας λαμβάνοντες ὑποθήκας τῷ παρασκευάζειν τὰς γυναῖκας συναινεῖν καὶ οὕτως τῶν οἰκείων ἐκπίπτειν δικαίων. συναίνεσις γὰρ ἐπὶ τῶν τοιούτων ἢ εἰς ὑποθήκην ἢ εἰς ὠνὴν ἢ εἰς ἄλλην ἐκποίησιν γεγραμμένη τὸν λαμβάνοντα παντελῶς οὐκ ἂν ὀνήσειεν εἰ προσάπαξ τὰ τῆς συναινέσεως γένοιτο, ἀλλ' ὥσπερ ἐπὶ τῶν intercessionων[4]) ἐγράψαμεν τὸ δεῖν διετοῦς ὕστερον χρόνου παριόντος αὖθις ἑτέραν ὁμολογίαν γράφειν βεβαιοῦσαν τὴν συναίνεσιν καὶ τότε κύριον εἶναι τὸ γενόμενον, οὕτω κἀνταῦθα γινέσθω. [§. 2.] καὶ εἰ συναινέσειεν ἡ γυνὴ, κατὰ τὸ τῶν intercessionων σχῆμα ἔστω παντελῶς ἀζήμιος, εἰ μὴ καὶ δευτέραν καθάπερ εἰπόντες ἔφθημεν ποιήσαιτο συναίνεσιν. πολλὰ γὰρ ἂν ἐκ πρώτης εὐθὺς ἀκοῆς ἁμαρτηθείη, τῆς γυναικὸς ἢ δέει τοῦ συνοικοῦντος ἢ ἀπάταις ῥαδίως ὑπαγομένης καὶ τῶν οἰκείων ἀμελούσης δικαίων, κατασκεπτομένη δὲ ἐν πλείονι χρόνῳ

4) Videatur l. 22 C. ad SC. Vellei. 4, 29.

τὴν ὑπόθεσιν γένοιτο ἂν ἑαυτῆς ἀσφαλεστέρα. [§. 3.] πλὴν οὐδὲ τοῦτο ἁπλῶς δίδομεν, ἀλλὰ τηνικαῦτα τὴν γυναῖκα ὑπὸ τὴν ἐκ τῆς δευτέρας συναινέσεως ἄγομεν ζημίαν, ἡνίκα ἐστὶν ἕτερα πράγματα, ἐξ ὧν δυνατὸν αὐτῇ τὸ ἱκανὸν γενέσθαι τοῦ περιεχομένου τῇ προγαμιαίᾳ δωρεᾷ πράγματος ἢ πραγμάτων ἀκινήτων ὑφ' ἑτέρου κατεχομένων διὰ τὸν τῆς ἐκποιήσεως ἢ ὑποθήκης τρόπον. ἐπείτοιγε εἰ μηδὲν ἕτερον περιλείποιτο, οὐδὲ οὕτω βλάβην ὑπομεῖναι τὴν γυναῖκα συγχωροῦμεν, ἀλλὰ κἂν εἰ δὶς κἂν εἰ πολλάκις συναινέσειε, τὸ πρᾶγμα εἰς τὸν τῆς intercessionος φερέσθω λόγον, καὶ ἔστω πανταχόθεν ταύτῃ τὸ κέρδος ἐν ἀσφαλεῖ κείμενον, εἰ φανείη μηδὲν ὑπολελειμμένον ἕτερον ἀρκοῦν πρὸς τὴν τῆς προγαμιαίας δωρεᾶς ποσότητα. καὶ ταῦτά φαμεν οὐ μόνον κηδόμενοι τῶν γυναικῶν, ἀλλὰ καὶ πολλῷ μᾶλλον τῶν ἀνδρῶν τῶν ταῦτα ποιούντων, εἴγε ἐκ πολλῶν καὶ σχεδὸν τῶν πλείστων θεμάτων τοῖς κοινοῖς παισὶ τὰ τῆς προγαμιαίας δωρεᾶς φυλάττεται πράγματα, καὶ αὖθις ταῦτα μένει[5]) παρὰ τῇ οὐσίᾳ τοῦ ἀνδρὸς καὶ τῇ ἐκείνου διαδοχῇ ἐκ ταύτης τῆς παρατηρήσεως, ὥστε συμφέροντα τὸν νόμον τῇ τε γυναικὶ τῷ τε ἀνδρὶ κατὰ τούτους τοὺς λογισμοὺς καθεστάναι. καὶ πολλῷ μᾶλλον ταῦτα ἐπὶ τῆς προικὸς κρατεῖν, εἴπερ τινὰ τῆς προικὸς ἢ ἐκποιήσειεν ἢ ὑπόθοιτο· ἤδη γὰρ τὰ τοιαῦτα ἱκανῶς περιείργασται καὶ νενομοθέτηται. [§. 4.] ἀλλ' οὐδὲ αὐτῶν τῶν συμβαλλόντων καθάπαξ ἀμελοῦμεν. εἰ γὰρ καὶ τὴν ἐπὶ τούτοις ἐνοχὴν ὅσον πρὸς τὰς γυναῖκας ἄῤῥητόν τε καὶ ἄγραφον εἶναι βουλόμεθα, ἀλλ' αὐτοὺς τοὺς ἄνδρας ἐπὶ τοῖς ἄλλοις αὐτῶν πράγμασιν ἐνέχεσθαι θεσπίζομεν προφάσει τῆς ἐκποιήσεως ἢ τῆς ὑποθήκης, ταῖς μὲν γυναιξὶ φυλάττοντες τὸ ἐπ' αὐτοῖς τοῖς ἀκινήτοις πράγμασι τῆς προγαμιαίας δωρεᾶς δίκαιον ἀκαινοτόμητον, ἐκείνοις δὲ τὸ ἁρμόζον δίκαιον ἐκ τῶν συμβολαίων ὅσον ἐπὶ τοῖς ἄλλοις αὐτῶν

5) Ven. μένειν.

πράγμασι, πάντων τῶν τῇ προικὶ δεδομένων ἤδη παρ' ἡμῶν προνομίων ἐπὶ τῆς ἑαυτῶν μενόντων ἰσχύος ὅταν ἡ γυνὴ κινοίη· τοῖς γὰρ ἄλλοις ἅπασι πλὴν τῆς γυναικὸς τὸ τοιοῦτο προνόμιον οὐδὲ ἐξ ἀρχῆς δεδώκαμεν οὐδὲ νῦν δίδομεν.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἅπασι ποιησάτω φανερὰ κατὰ τὸν νενομισμένον τρόπον κηρύγμασι κατὰ τὰς ἐπαρχίας χρωμένη, ὥστε μηδὲν τῶν ἐθνῶν διαλαθεῖν τὰ παρ' ἡμῶν θεσπισθέντα. ἐπὶ γὰρ τῆς εὐδαίμονος ταύτης πόλεως ὁ ἐνδοξότατος ἔπαρχος ταῦτα προθήσει. Dat. Kal. Dec. CP. DN. Iustiniani PP. Aug. ann. XI.[6]) post Bilisarii V. C. cons. [ann. II.][7])

Nov. 75. 104. LXXIX. Auth. 63.

Haec constitutio servata est in Cod. Vindobonensi Authentici, unde eam post Savinium et Bienerum sub numero 63 edidit Heimbach. in Coll. 168 Novellarum bis positam fuisse verisimile est, tanquam Nov. 75 et 104; priori loco in Cod. Veneto habetur rubrica *περὶ τῶν ἐκκλήτων σικελίας* adiecta summa Theodori Nov. 75, altero loco legitur: *ρδ'. ζήτει ταύτην εἰς τὸ κατὰ στοιχεῖον* (cf. Synops. A, 66, 50); Hal. priori loco ne rubricam quidem exhibet, altero vero rubricam *περὶ πραίτωρος σικελίας* adiecta summa Theodori Nov. 104. aliam summam praestat Iulian. tam c. 68 quam c. 97; nec non Athan. IV, 21 sub rubrica: *περὶ τοῦ πραίτωρος σικελίας*. ibi inscriptio est *Ὁ αὐτὸς βασιλεὺς τῷ αὐτῷ*, i. e. secundum antecedentia *ἰωάννῃ ἐπάρχῳ πραιτωρίων*. (unde suspicari est, eandem constitutionem mutatis mutandis tam ad Tribonianum quaestorem quam ad Ioannem datam esse, et ita factum esse ut in Coll. 168 Novv. bis poneretur). quod in tit. VII operis Athanasiani post c. 4 alia summa excidisse videatur, de eo conferas Heimbachii prolegomena p. XX.

DE PRAETORE SICILIAE.

Idem Aug. Triboniano Quaestori sacri palatii.

Tua cognoscit sublimitas, utpote operi quaestorio praeposita et nostri consilii particeps constituta, quia

6) Ven. II. 7) Consentit Ath. Theod. annum imperii omittit, sed addit *ἰνδ. ια'*, quod in *ἰνδ. α'* mutandum est.

Siciliae provinciae secundum instar antiquitatis praetorem praefecimus, eius ut gubernatione omnia privata peragantur et militares expensae procurentur. nam publicas eiusdem insulae functiones sub iurisdictione viri excellentissimi comitis sacri patrimonii per Italiam esse antiqua consuetudo tradidit, cuius auctoritate tam exactio quam illatio earum procederet. sed quia lites in tanta provincia moveri necesse est, volumus, ut si quando appellatum fuerit vel a praetore vel a duce vel ab aliquo iudice eiusdem insulae, appellationes omnes ad tuum fastigium tuamque sedem remittantur, et ipse merita earum[1]) more consultationis discutias et ad nostram referas scientiam, quatenus tua nobis cognita dispositione ex nostra auctoritate lis dirimatur, neque ad anteriorem Romam neque ad alium iudicem huius regiae civitatis eatur, sed ipse vice sacri cognitoris audias et litem dirimas. et non solum haec tuam iurisdictionem respicere decernimus, sed etiam si quid aliud civile ordinatur quod confirmatione indigeat, id est pro defensoribus vel patribus civitatum decretum; nam id quoque ad tuam sedem remitti, ut per tuam sententiam nostramque auctoritatem roboretur, quia semper Sicilia quasi peculiare aliquod commodum imperatoribus accessit, et oportet res civiles, cum aliquam habuerint dubitationem, nostri quaestoris iudicio dirimi, quod accipere a tua sublimitate censemus, quam nos proveximus, quam legitimo operi praeposuimus, cuius opere atque industria omnis legum ambiguitas, omnis latitudo[2]) in praesentem concordiam et pulchram brevitatem pervenit.

Quae igitur per hanc divinam legem nostra decrevit aeternitas, tua sublimitas sciens praeceptionibus suis ad-

1) Cod. eorum. 2) Cod. altitudo.

moneat Sicilienses iudices, quatenus sciant, cui debeant causas appellatione suspensas praeferre[2a]), ut per tuas tuorumque successorum suggestiones omnia nobis manifestentur, et videamur per nosmet[3]) ipsos easdem causas peragere. esse enim non indignum putavimus, [ut] Siciliam, nostrum quodammodo peculium constitutum, nostrorum particeps consiliorum quaestor sub iurisdictione sua suscipiat.[4])

LXXX.

Servavit Auth. (Nov. 64) in Cod. Vindobonensi. (in Cod. Ven. notatur *ἡ ξβ' οὐχ εὑρέθη ἤτοι περὶ συγκλητικῶν.*) **— Summas praestant Iulian. c. 56, Ath. XXII, 3, Theod. Nov. 62. Theodori summam repraesentat Cod. Flor. et Bonon. no. 62: eadem repetitur in Basil. VI, 1, 13—17. — Summam, quae habetur in Bas. VI, 2, 3, male huc trahunt: est enim l. 4 C. de consulibus 12, 3.**

DE ORDINE SENATUS.

Idem Aug. Ioanni P. P.[1])

Antiquissimis temporibus romani senatus auctoritas tanto vigore potestatis effulsit, ut eius gubernatione domi forisque habita iugo romano omnis mundus subiiceretur, non solum ad ortus solis et occasus, sed etiam in utrumque latus orbis terrae romana ditione propagata; com-

2a) perferre? 3) Cod. semet, quod Heimb. quasi hellenismum satis notum retinere maluit. 4) In Cod. subscriptio desideratur. Athanasio audit: *ἐγράφη βασιλείας ἰουστινιανοῦ τὸ ια' μηνὶ δεκεμβρίῳ μετὰ τὴν ὑπατείαν βελισαρίου τὸ β'.* apud Theod. Nov. 75 haec est: *ἐξεφωνήθη μηνὶ ἰουνίῳ ἔτει ιβ' τῆς βασιλείας ὑπατείᾳ ἰωάννου*, Nov. 104 autem haec: *ἐξεφωνήθη μηνὶ δεκεμβρίῳ μετὰ ὑπατείαν βελισαρίου.* quae diversitas secundum coniecturam supra propositam sic est explicanda, ut ad Tribonianum mense Decembri anni 537 data, ad Ioannem PP. mense Iunio anni 538 missa dicatur constitutio: nisi forte prior illa subscriptio a librario perperam huc translata est ex subscriptione Novellae 74, quae nobis est XCIV. cf. const. XCV not. 8.

1) Adde *secundo.*

muni etenim senatus consilio omnia agebantur. postea vero quum ad maiestatem imperatoriam ius populi romani et senatus felicitate reipublicae translatum est, evenit, ut hi, quos ipsi elegerint et administrationibus praeposuerint, omnia facerent quae vox imperialis eis iniunxisset, et militiae sub eis constituerentur et cetera eorum dispositionibus obedirent, reliquis senatoribus in quiete degentibus; et posteaquam administratores causas sibi mandatas deposuerint, in principali maneat voluntate, utrum velit eos laborioso cingulo liberatos ad senatus securitatem remittere an aliis actibus destinare.

I. In praesenti itaque multis variisque actibus urgentibus, quos nostra maiestas bello ac pace indefessa gerere noscitur, pars vacantium senatorum in nimiam deminutionem pervenit, hocque summam putavit iniuriam et non curiosae conversationis remedium. ideoque et eam quibus oportet modis ampliare nostro monumento[1a]) visum est, et homines nobilitate et summa opinione egregios ei assignare, quatenus una quidem nostri senatus pars per administrationes suam ostendat sagacitatem, altera vero, quae in quiete degit, alio modo suum ingenium reipublicae valeat exhibere. et quia magna utilitas ex iudicandi sinceritate reipublicae nostrae cedit, quaedam autem causae post appellationes iudicibus porrectas in sacrum nostri[2]) numinis consistorium inferuntur et a nostris proceribus examinantur, idcirco nobis [placuit], non solum iudices nostros, sed etiam senatores ad examinandas lites in consultationibus convenientes una cum aliis florentissimis nostris proceribus litium facta trutinare, et quemadmodum, si quando silentium ob alia[3]) una cum con-

1a) molimento? 2) Cod. nostrum. quod retinuit Heimb. 3) Cod. ab ulla, litera a supra u imposita. Beck, Osenbr. et Heimb.: ab ullo. atqui opponitur „ob alia" ei quod sequitur „propter ali-

ventu fuerit nuntiatum, omnes colliguntur et proceres et senatores, ita et nunc, quando silentium tantummodo propter alicuius causae examinationem pronuncietur, etsi non addatur conventus vocabulum, tamen eos convenire, et omnes considentes[4]) quod eis visum fuerit sub sacrosanctorum evangeliorum praesentia et statuere et ad nostram perferre scientiam, et augustae maiestatis dispositionem exspectare, [non] a solis senatoribus, sed ab utroque ordine, huiusmodi litibus exercendis. melius enim et perpensius amplioribus quam paucis examinantibus ius merum et iustitiae lumen invenitur. eo certissimo constituto, quod et in ludis circensibus et quando conventus fuerit nuntiatus solito more et senatores colligi necesse est et suum officium exercere. et hunc quidem praesentis legis articulum ita disponimus, et hanc constitutionem in perpetuum valituram constringimus.

II. Aliud autem capitulum propter honorem dignitates comitantem praesente lege discernendum esse perspeximus. quum enim inter florentissimos nostri palatii proceres et gloriosissimos senatores quasi quaedam medietas sublimi[5]) est praefecturae, sancimus, praesulem quidem amplissimi senatus, secundum quod[6]) antiquissimae series memoriae vindicat[7]), urbicariam esse praefecturam et primam sedem ei dedicari, postea autem omnes eminentissimos senatores patricios numerari, videlicet ut, si qui[8]) ex his et consulatus insignibus decorantur, secundum consulatus ordinem habeant inter se emergentem praerogativam; his procul dubio, qui in ipso actu consulatum

cuius causae examinationem". 4) Cod. conscendentes. 5) Cod. sublima. 6) Cod. si. Biener.: instar, probante Heimb. 7) Cod. vindicat urbicariam. unde Biener, Osenbrüggen et Heimb. effecerunt: vindicatur [ur]bicariam. 8) Cod. quis, quod defendit Heimb.

gesserunt, aliis omnibus consularibus in suo ordine anteponendis. quemadmodum enim inter proceres nostros moris est patriciatus infulas consulari fastigio anteponi, et in amplissimo senatu idem exemplum observandum est. cetero omni post patricios consortio, tam consularium quam praefectoriae dignitatis, quibus etiam magistros militum connumeramus nec non viros magnificos illustres, secundum suae dignitatis tempora in magnam curiam tam convenientibus quam consedentibus et sententiam ferre habentibus licentiam. si quem autem utentem cingulo ex nostra iussione deponere cingulum contigerit, non ex hoc fieri eum deteriorem censemus vel ad inferiorem gradum deduci, sed suam tenere etiam in amplissimo senatu praerogativam, quam antea quum cingulo uteretur habuisse noscebatur; et si quidem altiore loco condonare voluerimus, hoc eum et in maxima curia beneficio perpotiri; quos enim honoratos vocamus, eos nullam iniuriam perpeti concedimus, ne quod eis pro labore per quietem praecipuum praemium indulgemus, hoc in deminutionem honoris eorum detrahatur. gaudeat ita unusquisque sine aliqua laesione beneficio nostro, sive ut agat sive ut requiescat fuerit in eum collatum, quum neque semper laborare neque semper vacare hominibus libitum esse videtur, sed permutatio et varietas et usus rarior mentes humanas delectant. si qui autem illustri dignitate decorati sunt, liceat eis patriciatus codicillos accipere, etsi non consulares vel praefectorii exsistant, quod constitutio divae memoriae Zenonis minus rite postulabat. sufficit etenim in patriciatus honorem capiendum, si tantummodo illustri dignitate quidam decoretur; sed etsi hoc iam in quibus praetermissum est, nullum praeiudicium eis qui provecti sunt generare. sin vero dignitate donare quosdam voluerimus, illa tamen voluntate, ut illico in senatum eos trans-

feramus, eos tantummodo tertiam partem sportularum praestare sancimus, ut et dignitate gaudeant et magnum non sentiant detrimentum; aliis videlicet omnibus in provectionibus suis in solidum consuetudines praestantibus.

Quae igitur per hanc divinam legem nostra sanxit aeternitas, sublimitas tua et tuae sedis successores et officium tuum in omne aevum conservare festinent, poena quinquaginta librarum auri eis imminente qui hoc violare tentaverint vel a quoquam violari concesserint. *Dat. V Kal. Ianuar. Constant., imp. DN. Iustin. PP. A. anno XI. post cons. Bel. V. C. anno II.*[9])

Nov. 105. LXXXI. Auth. 84.

Summas praestant Iulian. c. 98, Athan. XXII, 1, Theod. Nov. 105.

Περὶ τῶν ὑπάτων.

Ἐγράφη Στρατηγίῳ τῷ ἐνδοξοτάτῳ κόμητι τῶν θείων largitionων *ἀπὸ ὑπάτων καὶ πατρικίῳ.*

Τὸ τῆς ὑπατείας ὄνομά τε καὶ πρᾶγμα τοῖς μὲν πάλαι Ῥωμαίοις πρὸς τὴν τῶν πολέμων ἐπενοήθη χρείαν κἀν ταῖς ψήφοις, ἃς αὐτοῖς ἐπὶ τῇ χειροτονίᾳ τὸ κοινὸν ἐδίδου τῆς πολιτείας σχῆμα· διελάγχανον γὰρ εὐθὺς τὰς ἐπαρχίας, ἐν αἷς Ῥωμαίοις πόλεμος ἦν, καὶ κατ' αὐτὰς ἐκληροῦντο τὰς ῥάβδους. ὕστερον δὲ ὁ χρόνος εἰς τὴν τῶν εὐσεβεστάτων αὐτοκρατόρων μεταστήσας τοῦ πολεμεῖν τε καὶ εἰρήνην ἄγειν ἐξουσίαν, εἰς φιλοτιμίαν μόνην τὸ πρᾶγμα τοῖς ὑπάτοις μετέστησε καὶ ταύτην σώφρονα καὶ τεταγμένην καὶ τὸ μέτρον

9) Ann. II addo ex Theod.: *ἐξεφωνήθη μηνὶ ἰαννουαρίῳ μετὰ τὴν ὑπατείαν βελισαρίου τὸ β'.* caeterum pro Kal. Ian., quod est in Cod. Vindob. scripsi V Kal. Ian. Cf. Nov. LXXXI not. ult.

οὐκ ἐκβαίνουσαν. κατὰ μικρὸν δέ τινες οὕτω δαψιλῶς τῷ πράγματι προσηνέχθησαν, ὥστε τὴν ἑαυτῶν μὲν ἐνδείξασθαι μεγαλοφροσύνην, οὐ μὴν ἀγνοεῖν[1]), ὅτι παράδειγμα ἕτερον οὐχ ἕξουσιν. οὐ γὰρ εἰς πολλοὺς συνέρχεται περιουσίας τε μέγεθος ὑπερβάλλον καὶ φιλοτιμία ψυχῆς, οὐ τῷ μέτρῳ του πράγματος τῷ δὲ οἰκείῳ συμπαραγινομένη μεγέθει. ἐπειδὴ τοίνυν ὁρῶμεν κινδυνεῦον διαπεσεῖν τὸ τῶν ὑπάτων ὄνομα, ὅπερ ἐκ χρόνων οὕτω μακρῶν καὶ εἰς χιλιοστὸν σύνεγγυς ἔτος ἐλθὸν τῇ τῶν Ῥωμαίων συνήκμασε πολιτείᾳ, διὰ τοῦτο ᾠήθημεν χρῆναι τὸ πρᾶγμα περιστεῖλαι, καὶ τὴν ἀμετρίαν τούτου περικόψαντες εἰς εὐσύνοπτον[1a]) τὴν ὑπατικὴν συστεῖλαι[1b]) δαπάνην, ὅπως ἂν διηνεκὴς μείνοι Ῥωμαίοις, ἅπασι δὲ τοῖς ἀγαθοῖς ἀνδράσιν ὑπάρχῃ βατὴ οὓς τῆς τοιαύτης ἡμεῖς ἀξίους εἶναι τιμῆς ἐγκρίναιμεν. καὶ δὴ πάντα ἀνερευνησάμενοι συνείδομεν ὁπόσον εἶναι προσήκει τὸ διδόμενον. Μαρκιανῷ μὲν οὖν τῷ τῶν αὐτοκρατόρων ἀρίστῳ γέγραπται νόμος[2]), ὃς ἠβούλετο μὴ διαῤῥίπτειν χρήματα τοὺς ὑπατεύοντας, καὶ αὕτη γε αὐτῷ τῶν διατάξεων πρώτη καθέστηκε. τοιγαροῦν καὶ μετὰ τὴν εἰρημένην διάταξιν εὕρομεν, ὥς τινες μὲν ταύτῃ[3]) κατακολουθήσαντες οὐδ' ὁτιοῦν ῥῖψαι τῷ δήμῳ προείλοντο, οἱ δὲ καὶ ὑπὲρ τὸν νόμον πρᾶξαι τοῦτο αἰτήσαντές τε καὶ τυχόντες ὧν ᾔτησαν, εἶτα πρὸς τὸ τῆς ἑαυτῶν μέτρον ἀπιδόντες ψυχῆς τὴν περὶ τὸ ῥίπτειν φιλοτιμίαν ὑπερόριον ἐποιήσαντο, ἔνιοι δὲ τὴν μεσότητα καλῶς ἑλόμενοι μετρίοις ἀντὶ πολλῶν ἠρκέσθησαν. καὶ ἐπειδὴ καὶ τοῖς πρὸ ἡμῶν ἐν μεσότητι τὸ βέλτιστον ἔδοξεν εἶναι, ὡς τῶν ἐφ' ἑκατέρων ἄκρων κινδυνευόντων εὐθὺς εἰς ἀμετρίαν ἐκβῆναι, ᾠήθημεν καὶ ἡμεῖς περὶ τούτου διορίσασθαι τὸ πρέπον, ὥστε μηδὲ ἄμετρον μηδὲ ἄτακτον εἶναι, μηδὲ τῶν ἡμετέρων νόμων[4]) ἀνάξιον.

1) Auth. videtur legisse *ἐννοεῖν*. quod sane placet. 1a) Scil. *μέτρον*. 1b) Ven. *περιστεῖλαι*. 2) l. 2 C. de consulib. 12, 3. 3) Ven. *ταῦτα*. 4) Auth. legit *χρόνων*. non male.

α'. Ὅσα μὲν οὖν προσῆκόν ἐστι δίδοσθαι παρὰ τοῦ παρ' ἡμῶν προβαλλομένου κατ' ἔτος ὑπάτου προφάσει σπορτούλων τε καὶ τῶν ἄλλων ἁπασῶν διανομῶν καὶ δαπανημάτων, ταῦτα πάντα συνθέντες ἀπογραφῇ τῇδε ἡμῶν ἀποτεθῆναι τῷ θείῳ νόμῳ παρεκελευσάμεθα. ἐν νόμου γὰρ αὐτὸ τίθεμεν σχήματι, ἵνα τῷ παραβαίνοντι καὶ ποινή τις εἴη προσήκουσα. τὰς δὲ προόδους αὐτῶν ἑπτὰ τὰς πάσας εἶναι βουλόμεθα. εἰ γὰρ τοῦτο ἐπινενόηται διὰ τὸ τὰς θέας πρὸς ψυχαγωγίαν ἄγειν τοῦ δήμου[5]*, αὗται δὲ ἡμῖν ὁρίζονται εἴς τε ἱπποδρομίαν εἴς τε τὰς τῶν θηρίων θέας τε καὶ ἀναιρέσεις καὶ τὰς ἐπὶ τῆς σκηνῆς τε καὶ θυμέλης ἡδυπαθείας, οὐδενὸς τούτων ὁ ἡμέτερος ἀποστερηθήσεται δῆμος. ἀλλ' ἔσται μὲν αὐτῷ πρόοδος ἡ πρωτίστη, καθ' ἣν παραλήψεται τὴν ὑπατείαν καὶ ταύτης κτήσεται τὰ σύμβολα, καλάνδαις Ἰανουαρίαις. μετ' ἐκείνην δὲ δευτέραν ἄξει θέαν τὴν τῶν ἁμιλλητηρίων ἵππων, ἣν δὴ μάππαν προσαγορεύουσι. καὶ τρίτην τὴν τοῦ καλουμένου θεατροκυνηγίου, οὐ δὶς ἀλλὰ προσάπαξ τελεσθησομένην. μετ' ἐκείνην τὴν τοῦ λεγομένου μονημερίου, ἔνθα πολλῆς ἡδυπαθείας ἐμπλήσει τὸν δῆμον τό τε καλούμενον πάγκαρπον θεώμενον καὶ θηρίοις προσμαχομένους ἀνθρώπους καὶ εὐδοκιμοῦντας τῇ τόλμῃ, καὶ πρός γε ἀναιρούμενα τὰ θηρία. καὶ πέμπτην τε ποιήσει πρόοδον τὴν ἐπὶ τὸ θέατρον ἄγουσαν, ἣν δὴ πόρνας καλοῦσιν, ἔνθα τοῖς ἐπὶ σκηνῆς γελωτοποιεῖν*[5a]*) ἔσται χώρα, τραγῳδοῖς τε καὶ τοῖς ἐπὶ τῆς θυμέλης χοροῖς, θεάμασί γε*[5b]*) παντοδαποῖς καὶ ἀκούσμασιν ἀνεῳγμένον ἐστὶ τὸ θέατρον. πάλιν δὲ θέαν ἵππων ἁμιλλητηρίων ἐπιτελέσει ἤτοι τὴν καλουμένην μάππαν [ἕκτην ἄγων ταύτην πανήγυριν].*[6]*) εἶτα ἐντεῦθεν καταθήσεται τὴν ἐνιαυσιαίαν ταύτην τιμὴν, τὴν ἐπὶ τῆς καλουμένης ἀποθέσεως κατὰ τὸ συνειθισμένον ἄγων*

5) Hal. *τὸν δῆμον*. quod forsitan praestat. 5[a]) Hal. *γελωτοποιοῖς*. fortasse rectius. 5[b]) *τε?* 6) Uncis inclusa supplevi ex Hal. et Auth. in Ven. lacuna est.

πανήγυριν. καὶ οὕτως ὁ τῶν ἑπτὰ νυκτῶν τε καὶ προόδων ἐπιτελεσθήσεται δρόμος, οὐδὲ ἓν εἶδος τῶν ἐξ ἀρχῆς νομισθέντων παραλιμπάνων· τὸ γὰρ μίαν μὲν ἄλλην[7]) *προσεφευρίσκειν, δύο δὲ συνάπτειν τὰ καλούμενα θεατροκυνηγέσια*[8]), *ἀλλὰ μὴ τῷ προτέρῳ τούτων ἀρκεῖσθαι, πρόδηλον ὡς οὐδὲν καινοπρεπές τι πρὸς τὸ πρότερον ἔχει. προσκορὲς μὲν οὖν εἰκότως ἂν τὸ πρᾶγμα νομισθείη, ἀλλ' ἕκαστον μὲν ἐπιδειχθήσεται λαμπρῶς, οὐ μὴν εἰς τοσοῦτον ὥστε ἤδη τῷ πλήθει*[9]) *καὶ μισηθῆναι· ἐν γὰρ τοῖς σπανίως γινομένοις τὸ θαυμαζόμενόν ἐστι. ταῦτα μὲν οὖν προφάσει τῆς ὑπατικῆς ἡμῖν γέγραπται καὶ περιέσταλται δαπάνης.*

β'. Εἰ δὲ καὶ γαμετὴν ὁ ὑπατεύων ἔχοι, διώρισται παρ' ἡμῶν καὶ τὸ τῆς περὶ αὐτὴν μέτρον δαπάνης· δεῖ γὰρ συναπολαύειν καὶ ταύτας τῆς τοῦ συνοικοῦντος λαμπρότητος. εἰ δὲ καὶ οὐ συνοικοίη γυναικί, περιττὰ τὰ ἐντεῦθεν, πλὴν εἰ μήτηρ αὐτῷ καθεστήκοι ἤδη τῇ τῆς ὑπατείας ἀξίᾳ καὶ πρόσθεν τετιμημένη καὶ βούλοιτό γέ αὐτὴν συναπολαῦσαι αὐτῷ τοῦ σχήματος. καὶ τοῦτο γὰρ ἐπὶ μόνῃ μητρὶ δίδοται· ἑτέρα δὲ οὐ καθεδεῖται γυνὴ παντελῶς πλὴν τῆς συνοικούσης ἢ τῆς μητρός· τῇ μὲν πάντως, ἐπειδὴ γὰρ αἱ γαμεταὶ συνεκλάμπουσι ταῖς τῶν συνοικούντων ἀκτῖσι, τοῦτο αὐταῖς τοῦ νόμου δεδωκότος· τῇ μητρὶ δέ, εἴπερ ὁ ὑπατεύων τοῦτο βουληθείη· οὐ θυγάτηρ δέ, οὐκ ἀδελφὴ τυχόν, οὐ γαμετὴ παιδός, καὶ πολλῷ μᾶλλον εἰ μηδὲ προσήκουσα κατὰ γένος εἴη. τοῦτο γὰρ δὴ καὶ καθαρῶς ἄτοπον ἐτύγχανεν. [§. 1.] *τὸ δὲ*[10]) *διαρρίπτειν ἐν ταῖς ἑπτὰ ταύταις προόδοις τῷ δήμῳ τὸν ὑπατεύοντα κάλλιον ἡμεῖς διορίζομεν ἢ καθάπερ ἡ Μαρκιανοῦ τοῦ τῆς θείας λήξεως διάταξις λέγει. ἡ μὲν γὰρ*

7) Hal. et Auth. addunt *μάππαν*. 8) Hal. *θεατροκυνήγια*, uti etiam Ven. supra scripserat. 9) Scilicet spectaculorum. 10) Ven. *τί δὲ*. Hal. *τί δὲ δεῖ*. quod ex Auth. emendavi: Marcianus spargendi morem plane abolevit, ut non possit dici statuisse quid spargendum sit.

ἀπεῖπε παντοίως φιλοτιμεῖσθαι, ἡμεῖς δὲ αὐτὴν ἐπανορθοῦμεν, τὸ πρᾶγμα τῇ γνώμῃ τοῦ τὴν ὕπατον ἔχοντος ἀνατιθέντες τιμήν. εἴτε γὰρ μηδ' ὁτιοῦν βουληθείη ῥίπτειν, οὐκ ἀναγκάζομεν, εἴτε αὖθις ἐλθεῖν εἰς τοῦτο βουληθείη καὶ τοῖς ἐξ ἀργύρου δώροις τιμῆσαι τὸν δῆμον, οὐδὲ τοῦτο ἀπαγορεύομεν. οὐ μὴν χρυσίον ῥίπτειν ἐφίεμεν, οὐ μικροτέρου τινὸς οὐδὲ μείζονος ὅλως ἢ μέσου χαράγματος ἢ σταθμοῦ, ἀλλὰ ἄργυρον καθάπερ εἰπόντες ἔφθημεν μόνον. τὸ μὲν γὰρ καὶ χρυσίον διαῤῥίπτειν ἀνείσθω τῇ βασιλείᾳ, ᾗπερ μόνῃ καὶ χρυσίου περιφρονεῖν ὁ τῆς τύχης δίδωσιν ὄγκος· ἄργυρος δὲ ὁ μετὰ χρυσὸν εὐθὺς τιμιώτατος γένοιτο ἂν καὶ τοῖς ἄλλοις ὑπάτοις φιλοτιμία πρέπουσα. τοῦτον ἐφίεμεν αὐτοὺς ῥίπτειν ἔν τε τοῖς καλουμένοις μιλιαρισίοις καὶ μήλοις καὶ καυκίοις καὶ τετραγωνίοις καὶ τοῖς τοιούτοις· ὅσῳ γὰρ ἂν μικρότερον εἴη τὸ ῥιπτόμενον, τοσούτῳ[11]) πλείους οἱ λαμβάνοντες. τῷ δὲ πράγματι μέτρον ἡ τοῦ διδόντος δύναμίς τε καὶ προαίρεσις, ὥστε ἢ μηδ' ὁτιοῦν ἢ μέτριον ἢ ὑπερβαῖνον διαδοῦναι τῷ δήμῳ· τοῦτο γὰρ ἐπὶ ταῖς ὑπατείαις ὁρίζομεν οὔτε ἄκοντας ῥίπτειν ἀναγκάζοντες οὔτε βουλομένους τε καὶ φιλοτιμουμένους κωλύοντες. ἀλλὰ τὰ μὲν περὶ τοῦ τὸν ἄργυρον ῥίπτειν οὕτως ἡμῖν νενομοθετήσθω· καὶ εἴπερ ὅλως ἐπὶ τοῦτο ὁρμήσειε, παῤῥησίαν ἐχέτω τοῦ διανεῖμαι τὴν τοῦ ἀργύρου φιλοτιμίαν ἐν ταῖς αὐτοῦ προόδοις, καθάπερ αὐτὸς ὀρθῶς ἐνόμισεν ἔχειν, μόνου κεκωλυμένου τοῦ χρυσίον ὅλως ἀκοντίσαι, τὸ τῇ βασιλείᾳ μόνῃ παρ' ἡμῶν ἀφωρισμένον προσάψασθαι.[12]) [§. 2.] τῶν μέντοι γε ἄλλων τῶν παρ' ἡμῶν διωρισμένων καὶ ἐγγεγραμμένων τῇ ἀπογραφῇ τῇ τῷδε περιεχομένῃ τῷ νόμῳ παραβῆναί τι παντελῶς ἢ αὔξειν ἢ μειοῦν οὐδένα[12a]) συγχωροῦμεν τρόπον. τὸ μὲν γὰρ ἀόριστον (φαμὲν δὲ τὸ ῥίπτειν) ἐπὶ τῇ τοῦ διδόντος τίθεμεν γνώμῃ παντοίως, ὡς αὐτεξούσιον αὐτὸ

11) Ven. τοσοῦτο. 12) Ven. et Hal. ἢ προσάψ. 12a) κατ' οὐδ?

ͅ δόντι ποιοῦντες, τὸ δὲ παρ' ἡμῶν ὡρισμένον τε ἅπαξ
ιὶ διατεταγμένον ὑπερβαίνειν ὅδε ἡμῶν ὁ νόμος κωλύει.
λλ' εἴ τις τολμήσειε τὸ διωρισμένον ἐκβῆναι, centum libra-
ım auri καταθήσει ποινὴν, ὡς τὰς ἡμετέρας παραβὰς προ-
άξεις καὶ τὸν ἅπαντα τοῦδε τοῦ νόμου διαφθείρων τό γε
ͻ' ἑαυτῷ σκοπόν. εἰ γὰρ κατὰ ταύτην δὴ μόνην τέθειται
ν πρόφασιν, ἵνα μὴ τῇ τῶν διδομένων ἀμετρίᾳ τὸ τῶν
τάτων ἐκλείποι, καὶ διὰ τοῦτο ἡμεῖς τὰς περιττὰς ἐκείνας
ισεις τε καὶ δαπάνας συνεστείλαμεν καὶ τὰς εἰς πλῆθος
κεχυμένας προόδους τε καὶ θέας εἰς εὐσύνοπτον ἠγάγομεν
ἐτρον, καὶ ἴσως τὶ καὶ τῶν γλαφυρωτέρων περὶ τοὺς ἀριθ-
οὺς ἐννοήσαντες, πρὸς[13]) τῷ ῥίπτειν ἄργυρον ἢ μηδ' ὁτιοῦν
δόναι ταῖς αὐτῶν τῶν ὑπάτων ἀνατεθεικότες γνώμαις,
πως ἡμῖν ἔσονται πλείους καὶ τῇ παρ' ἑαυτῶν προσηγορίᾳ
ν χρόνον κοσμοῖεν, ὁ τὸ διατεταγμένον ἐκβαίνων εἰκότως
ν ὡς τὸν ἡμέτερον παραβαίνων νόμον ἄξιος εἴη ποινῆς.
ὕτω γὰρ ἡμῖν ἔσονται διηνεκῶς ὕπατοι, τὴν τοῦ πράγματος
μετρίαν οὐ φρίττοντες, οὐδὲ ὥς τινα φανερώτατον κίνδυ-
ον τὴν ὑπατείαν ἀποφεύγοντες καὶ ἐκτρεπόμενοι. καὶ διὰ
οῦτο θεσπίζομεν τὸν νόμον ἐν βεβαίῳ φυλάττεσθαι τοῦτον.
§. 3.] μηδεὶς τοίνυν αὐτὸν παρεξιέναι θαῤῥήσειε, μηδὲ εἰ
ρόδρα πλουτοίη, μηδὲ εἰ τῶν ἡμετέρων ἀρχόντων εἴη, μηδὲ
τῆς μεγάλης βουλῆς, ἢ μηδεμίαν ἀρχὴν ἄρχοι. ταῦτα γὰρ
παντα ἡμεῖς συνιδόντες πᾶσιν ἐπεθήκαμεν ἐπὶ ταῖς δόσεσι
ν ἰσότητα, οὐδενὶ παντελῶς ἄδειαν διδόντες παρεκβῆναι
ͅ μέτρον τὸ τῷδε περιεχόμενον τῷ νόμῳ, πλὴν ἐπὶ μόνῳ
ῷ τὸν ἄργυρον ἐν ταῖς προόδοις ῥίπτειν ἢ μηδὲ τοῦτο
οιεῖν, ἃ[14]) ταῖς αὐτῶν τῶν ὑπάτων ἀνεθήκαμεν (καθὰ
ολλάκις εἴρηται) γνώμαις. καὶ αὐτοῖς δὲ τοῖς ταῦτα λαμ-
άνειν εἰωθόσι μεγίστη χάρις ἐν τῷδε ἡμῶν ἀποκείσθω τῷ

13) Ven. et Hal. πρὸς τὸ. vertas: et insuper. 14) Hal. ita etiam Auth.

νόμῳ· εἰ γὰρ ὁ κίνδυνος ἦν ἐπιλειπόντων ὑπατευόντων μηδ' ὁτιοῦν λαμβάνειν, νῦν δὲ λήψονται μέτριον, πολλὴν ἂν εἰδεῖεν εἰκότως τῷδε τῷ νόμῳ χάριν, τὸ αὔταρκες ἀντὶ τοῦ μηδενὸς κομιζόμενοι. καὶ αὐτὸ γὰρ δὴ τὸ μὴ συγχωρεῖν ἡμᾶς τοῖς ἐνδοξοτάτοις ὑπάτοις χρυσίον ῥίπτειν ἢ καὶ μεῖζον[15]), ἀλλ' ἐν μιλιαρισίοις τε καὶ μήλοις καὶ κανικίοις καὶ τετραγωνίοις συμμέτροις καὶ τοῖς τοιούτοις ποιεῖσθαι τὴν δόσιν νομοθετῆσαι, πρὸς φιλανθρωπίαν ἡμῖν ἐξηύρηται καὶ θεραπείαν τοῦ δήμου. εἰ γὰρ τοῦτο πράττοιεν οἱ τὴν ὕπατον δόσιν φιλοτιμούμενοι καὶ τούτοις δὴ μόνοις καταπάττοιεν[16]) τοὺς δημότας, οὐκέτι ὥς γε[17]) ὑπὲρ μεγάλων κερδῶν ἀγωνιῶντες στασιάσουσι πρὸς ἀλλήλους, καὶ ἐλεύσονται μέχρι τῶν κατ' ἀλλήλων πληγῶν, ἃς δὴ καὶ διὰ ῥοπάλων καὶ ξύλων καὶ λίθων ἐποιήσαντο πολλάκις, πρᾶγμα ἡμῖν παντελῶς ἀποθύμιον. ἑωρῶμεν γὰρ αὐτοὺς στασιάζοντας μὲν καὶ κακῶν ἀμυθήτων ἐμπιπλάντας ἀλλήλους προφάσει τῶν ῥιπτομένων τε καὶ ὑπ' αὐτῶν διαρπαζομένων, οἴκοι δὲ εἰσάγοντας παντελῶς οὐδὲν, ἀλλ' αὐθήμερον ἐν μέθαις καὶ πότοις ἅπαντα δαπανῶντας· εἰ δέ τι πολλάκις ἐλπίδι κέρδους μείζονος καὶ προδαπανήσαντες ἔτυχον, ὕστερον δὲ ἢ οὐδὲν ἢ ἔλαττον λάβοιεν, καὶ ζημίαν προσοφλισκάνειν καὶ πληγαῖς τε καὶ τραύμασι καὶ τοῖς ἐντεῦθεν περιπίπτειν κακοῖς ἀναγκάζεσθαι. εἰ δὲ μέτριον ᾖ τὸ ῥιπτόμενον, οὐ σφόδρα φιλονεικήσουσιν, οὐδὲ τὸ τοῦ πόρου προσδοκῶντες ἄφθονον πρᾶγμα πληγὰς[18]) ἀλλήλοις ὑπὲρ μέτρον παρέξουσιν. ὥστε κοινὴν πρόνοιαν ἴστῶμεν ἐκ τοῦδε τοῦ νόμου καὶ τῷ κοινῷ τῆς πολιτείας σχήματι, ὅπως ἂν ὁ χρόνος ἔχοι μετὰ τὴν βασιλείαν καὶ τὴν τοῦ ὑπάτου διηνεκῶς μνήμην τε καὶ προσηγορίαν[19])

15) Auth. et Iulian. *vasa maiora.* quasi scriptum sit μεῖζον ἄγγος vel σκεῦος. 16) Ven. in margine ἀπὸ τοῦ πάσσω, πάττω. 17) Ven. οὐκέτι γάρ. 18) Hal. πρᾶγμα καὶ πληγάς. Authentico duce legendum: τραύματα καὶ πληγάς. 19) Cf. const. LXVI.

τοῖς ἐνδοξοτάτοις[20]) ἡμῶν ἄρχουσι καὶ τοῖς ἐκ τῆς μεγά-
ς βουλῆς, διότι τιμᾶν ἐξ αὐτῶν πάρεστι τοὺς ἀξίους μὴ
πανῶντας ἄμετρα. πρέπουσάν τε δίδομεν παραμυθίαν τῷ
ετέρῳ δήμῳ καὶ τοῖς ἄλλοις ἅπασι καὶ τοῖς ἀπεγνωκόσιν
η τὸ πρᾶγμα, διὰ τοῦτο τὸ περιττὸν ἀφελόντες, ἵνα τὴν
ατείαν ἀθάνατον τῷ πολιτεύματι καταστήσωμεν. [§. 4.]
οκείσθω τοίνυν καθάπερ εἰπόντες ἔφθημεν ἡ ἡμετέρα δια-
πωσις τῷδε ἡμῶν τῷ νόμῳ, ἧς τὸ ἰσότυπον ἀποκείσεται
τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς ἅμα δὲ τῷ νόμῳ πρὸς
τὴν καταπεμπόμενον. τοὺς μέντοι κατὰ καιρὸν ἐνδοξοτά-
υς ὑπάτους θεσπίζομεν ἐκ μόνου τοῦ σοῦ δικαστηρίου τὸ
ότυπον τῆς ἀπογραφῆς λαμβάνειν τῆς τῷδε ὑποτεταγμένης
νόμῳ, ὥστε κατ' αὐτὴν ἅπαντα διδόναι. τὴν γὰρ ἀπο-
αφὴν διὰ τοῦτο ἐκ τοῦ θρόνου τοῦ σοῦ δίδοσθαι βουλό-
θα, ἵνα μηδὲ αὐτοῖς ἐξῇ παραβαίνειν, μηδὲ τοῖς καλου-
νοις βρεβιάτορσι νοθεύειν τὶ τῶν παρ' ἡμῶν διατεταγμένων,
λὰ κινδύνῳ τῶν φυλαττόντων ταύτην τὴν ἀπογραφὴν ἐν
δικαστηρίῳ τῆς σῆς ἐνδοξότητος δίδοσθαι τὸ ἰσότυπον
τῆς μεθ' ὑποσημειώσεως τοῦ τὴν ἀρχὴν ἔχοντος ταύτην,
ερ νῦν αὐτὸς ἐφέστηκας, ἵνα διὰ πάντων ἀνόθευτα ἡμῖν
τὰ παρ' ἡμῶν διατεταγμένα. δυσχεραινέτω δὲ μηδεὶς
ν εἰς τὴν ὕπατον παριόντων τιμὴν, εἰ μεμετρημένην οὕτω
ιησάμενος δαπάνην ὄνομα τῷ χρόνῳ γενήσεται. καὶ γὰρ
πᾶν, ὅσον μέχρι τοῦ νῦν οἱ τὴν ὕπατον ἔχοντες τιμὴν
τε τοῦ δικαστηρίου τῆς σῆς ὑπεροχῆς, ἔκ τε τῶν ἐνδο-
τάτων ἡμῶν ὑπάρχων, καὶ ἀλλαχόθεν ποθὲν κατὰ φιλοτι-
αν ἡμετέραν ἐκομίζοντο, τοῦτο καὶ νῦν αὐτοῖς ἐπιδώσομεν,
ν μὲν παρ' αὐτῶν γινομένην δαπάνην συστείλαντες, τὴν
παρ' ἡμῶν φιλοτιμίαν οὐκ ἐλαττώσαντες. πάντων δὲ δὴ
ν εἰρημένων ἡμῖν ἡ βασιλέως ἐξῃρήσθω τύχη, ᾗ γε καὶ
τοὺς ὁ θεὸς τοὺς νόμους ὑπέθηκε[21]), νόμον αὐτὴν ἔμψυχον

20) Ven. ἐνδόξοις. 21) Ven. ἐπέθηκε. Hal. ὑποτέθεικε.

καταπέμψας ἀνθρώποις. διότι τῷ μὲν βασιλεῖ διηνεκὴς ὕπεστιν ὑπατεία πᾶσι πόλεσί τε καὶ δήμοις καὶ ἔθνεσι καὶ ἐφ' ἑκάστης τὰ δοκοῦντα διανέμοντι, προσέρχεται δὲ ἡνίκα αὐτοῖς νεύσειεν ἡ στολή[22]), ὡς καὶ ἡ τῆς βασιλείας ὑπατεία διὰ πάντων ἔσται ἀκολουθοῦσα τοῖς σκήπτροις.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τόνδε ἡμῶν παραλαβοῦσα τὸν νόμον διηνεκῶς αὐτὸν ἐπὶ τῆς ἑαυτοῦ μένειν ἰσχύος παρασκευαζέτω κατὰ πᾶσαν τὴν αὐτῷ περιεχομένην δύναμιν. legatur.[23]) ἐγράφη τὸ ἰσότυπον Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων [καὶ πατρικίῳ][24]). ἐγράφη τὸ ἰσότυπον [Λογγίνῳ][25]) τῷ λογιωτάτῳ καὶ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς εὐδαίμονος ταύτης πόλεως. Dat. V. Kal. Ian. CP. imp. DN. Iustiniano anno XI. post. cons. Bilisarii v. c. anno II.[26])

22) Hal. in notis ἡνίκα αὐτὸς νεύσειε τῇ στολῇ, quod et Auth. legit. praestat αὐτὸς, et forte προέρχεται legendum. conferatur liber de caerimoniis aulae Byzantinae. 23) Ven. LEGATU. Flor. λεγάτον. 24) Uncis inclusa Ven. non habet. 25) Ven. et Flor. nomen omittit. supplevi ex Auth. 26) Ven. Dat. habet et praeterea nihil. Auth. V Kal. Ian. CP. post cons. Belisarii v. c. Athan.: ἐγράφη καλανδ. ἰανουαρι. βασιλείας ἰουστινιανοῦ τὸ ια' μετὰ τὴν ὑπατείαν βελισαρίου τὸ β'. Theod. ἐξεφωνήθη μηνὶ.... καὶ (ἰανουαρ.?) ἔτει ια' βασιλείας ἰουστινιανοῦ μετὰ τὴν ὑπατείαν βελισαρίου. his ducibus supplevi subscriptionem: scilicet V Kal. Ian. scribendum fuit, ne in consulatum Ioannis incidamus.

LXXXII. Nov. 165.

Huius formae nonnisi summa servata est in Theodori Breviario Novellarum Nov. 165. alii formam Praefecti Praetorio, alii formam Praefecti Urbi esse arbitrati sunt, de quo conferatur Biener Gesch. d. Novv. p. 98 sqq. me tamen iudice ab imperatore data est, cui soli eiusmodi interpretatio anteriorum legum competebat. — In Coll. 168 Novv. numero 165 posita fuit; in Codice Veneto autem notatur ἡ δὲ ρξε' οὐχ εὑρέθη, et in Codice Bononiensi (quem sequitur Hal.) tantum summa Theodori exhibetur. — An Iustiniani sit et quo tempore data, dubitare est. si verbis constitutionis LXXXIV „ἡμεῖς δὲ τοιοῦτό τι νενομοθετήκαμεν“ eam indicari arbitreris, profecto Iustiniani est et ante annum 538 data; sin verbis illis potius l. 13 C. de aedif. priv. 8, 10 indicatam existimes, recentior omnino est et fortasse Iustino vel Tiberio vindicanda. Theodorus, dum τύπον τὴν νεαρὰν (scil. const. LXXXIV) ἑρμηνεύοντα vocat, pro recentiori habuisse videtur: eius tamen fides quantum ad chronologiam attinet suspecta est. Domnicus illustrissimus, ad quam directa est, quis fuerit et quando vixerit, aeque dubium est: quamquam Domnicus s. Dominicus Praef. Praet. Illyrici annis 535—540 occurrit, qui ἐνδοξότατος praedicari et ad quem eiusmodi τύπος mitti potuerit, postquam Zenonis constitutio (l. 12 C. de aedif. priv. 8, 10) lege a Iustiniano lata (l. 13 C. eod.) etiam in provinciis obtinuit.

Γενικὸς τύπος περὶ ἀπόψεως θαλάσσης, γραφεὶς Δομνίκῳ τῷ ἐνδοξοτάτῳ.[1]

Ἐδίδαξεν ἡμᾶς Δημήτριος.[2]

Ἡ ἐπὶ θαλάσσης ἐντὸς ἑκατὸν ποδῶν οὖσα ἄποψις οὐ μόνον κατ' εὐθεῖαν, ἀλλὰ καὶ ἐκ πλαγίας ὀφείλει εἶναι ἀκαινοτόμητος. τοῦτο γὰρ προστίθησιν ὁ παρὼν τύπος, φυλάττων τὴν Ζήνωνος διάταξιν, καὶ τὴν νεαρὰν ἑρμηνεύων. ἀνάγν. βι. η' τοῦ κώδ. τί. ι' διατ. ιβ' καὶ μέμνησο τῆς ξγ' νεαρᾶς.[3])

1) Hal. Δομινικῷ et mox citra auctoritatem Codicis Bonon. addit: ὑπάρχῳ τῶν πραιτωρίων. 2) Hal. ἡ μήτηρ. sed in Cod. Bon. scriptum est δημήτριος. — si ad P. P. Illyrici haec forma data sit, latine scripta fuisse videtur, ut proinde Theodorus verba initialia, ut assolet, graece vertisse putandus sit. 3) Quae nobis est Nov. LXXXIV.

Nov. 64. **LXXXIII.** Auth. 65.

Pars cap. 1 et 2 recepta est in Basil. LV, 14. — Summas habent Iulian. c. 58 Athan. XXI, 1 et Theod. Nov. 64.

Περὶ τῶν κηπουρῶν.

Ὁ αὐτὸς βασιλεὺς Λογγίνῳ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῆς εὐδαίμονος ἡμῶν καὶ βασιλίδος ταύτης πόλεως.

Πολλαὶ πανταχόθεν ἡμῖν μέμψεις ἐκ χρόνου πολλοῦ κατὰ τῶν τῆς εὐδαίμονος ταύτης πόλεως καὶ τῶν αὐτῆς προαστείων κηπουρῶν προσφέρονται, δυσχεραινόντων ἁπάντων πρὸς τὴν αὐτῶν[1]) κακουργίαν. τὰ δὲ προσαγγελλόμενα τοιαῦτά πως ἐστί.

α΄. Φασὶν ἐκ τοῦ συστήματος τῶν κηπουρῶν καὶ τοὺς διατιμητὰς ὡς ἐπὶ τὸ πλεῖστον εἶναι, καὶ πρᾶγμα ποιεῖσθαι δεινόν. ἡνίκα μὲν γὰρ ὁ τοῦ κήπου δεσπότης τοῦτον παραδιδοίη τῷ κηπουρῷ τῷ τὴν μίσθωσιν ὑπελθόντι, οὐδὲν ἕτερον ἢ τὸ πεφυτευμένον ἐν αὐτῷ λάχανον ἀποτιμῶνται καὶ τὴν τούτου διατίμησιν ἐπικλῶσι τῷ λαμβάνοντι κηπουρῷ ἤτοι μισθωτῇ· ἐπειδὰν δὲ μέλλοι παραδιδόναι μετὰ τὴν περαίωσιν τοῦ χρόνου ὁ μισθωσάμενος, τηνικαῦτα ποιεῖσθαι μὲν αὐτοὺς ἀκριβῆ τοῦ λαχάνου διατίμησιν, ταύτην δὲ εἰς ἑξαπλασίονα καὶ πολλαπλασίονα φέρειν, καὶ εἴπερ αὐτῷ πεντήκοντα χρυσῶν εἴη λάχανον, οὐκ ἔλαττον τριακοσίων ἔσθ' ὅτε δὲ καὶ πλειόνων διατιμᾶσθαι τοῦτο. καὶ οὐκ ἄχρι τούτου μόνου τὴν τοῦ πράγματος ἱστᾶν ἀπληστίαν, ἀλλὰ καὶ μείζω ποιεῖν αὐτὴν κατὰ πολὺ, φάσκοντας ὡς κόπρον τε εἶεν ἐμβαλόντες[2]) τῇ γῇ καί τινα δῆθεν ἔχοιεν ἐμπονήματα, κἀντεῦθεν ἐξαίρειν εἰς ὅσον ἂν βουληθεῖεν τὴν τιμὴν, καὶ ὑπὲρ ἀποτιμήσεως τῶν φυτευθέντων ὡς εἰκὸς δένδρων ἑτέρας αὐξήσεις ποιεῖσθαι, καίτοιγε ἡνίκα παραλαμβάνουσι παρὰ

1) Ven. αὐτήν. 2) Ven. ἐμβάλλοντες.

τῶν δεσποτῶν οὐδεμιᾶς τοιαύτης παντελῶς τιμῆς λογιζομένης, καὶ ταῦτα ὡς ἐπίπαν ἐν τοῖς συμφώνοις ὁμολογούντων τῶν κηπουρῶν, ὡς καὶ φυλάξουσι τὰ πεφυτευμένα τῶν δένδρων καὶ ἕτερα καταφυτεύσουσιν. ἀλλὰ τὸν διατιμητὴν καὶ ἐφ' ἑαυτῷ τὸ ὅμοιον πρᾶγμα μετ' ὀλίγον ἔσεσθαι νομίζοντα εἰκότως ὑπὲρ ἑαυτοῦ τὴν τοιαύτην ἀπληστίαν εἰσφέρειν, ὥστε εἴπερ ὁ ταλαίπωρος ἀνάσχοιτο δεσπότης ἐξ ἀπειρίας τοσαύτην δοῦναι ζημίαν καὶ τὰ ἑαυτοῦ λαβεῖν, ἑτέρῳ δὲ ἐκδοίη κηπουρῷ τὸν κῆπον καὶ πάλιν ἐπ' ἐκείνῳ τὸ αὐτὸ πάθοι, καὶ πρός γε ἐκ τρίτου τυχὸν ἢ τετάρτου τῆς ἴσης ἀνάσχοιτο πλεονεξίας, κινδυνεύειν καὶ αὐτῆς παντελῶς ἐκπεσεῖν τῆς τοῦ κήπου δεσποτείας καὶ ἀλλότριον τῶν οἰκείων γενέσθαι. ποιεῖσθαι δὲ αὐτοὺς καί τινα μείζονα τῆς ἀτοπίας προσθήκην. εἰ γὰρ ὁ μετὰ ταῦτα ὑπεισιὼν κηπουρὸς προσθείη τὶ τῇ προτέρᾳ προσόδῳ, καὶ αὐτὸς ταύτης τῆς[3]) μισθώσεως παυσάμενος ἀπαιτεῖ τὴν διατίμησιν ὡς ἐκ τῶν ἐμπονημάτων αὐτοῦ γενομένην, καίτοιγε οὐ πάντως τῆς προσθήκης ἐκ τῆς ἐκείνου καλλιεργίας γενομένης, ἀλλ' ἴσως τὴν ἀρχὴν ἢ κατὰ προδοσίαν τῶν ἐκδιδόντων ἢ κατὰ ῥαθυμίαν ἐπ' ἐλάττοσιν ἤπερ ἐχρῆν τῆς ἐκδόσεως γινομένης. ἅπερ ἡμῖν ἅπαντα πάσης ἐπέκεινα φαίνεται κακουργίας τε καὶ θρασύτητος, ἣν ἀνασταλῆναι βουλόμεθα παρὰ τῆς σῆς ὑπεροχῆς τῷδε τῷ θείῳ ἡμῶν πραγματικῷ προσεχούσης νόμῳ, καὶ ὥσπερ ὁ κηπουρὸς παραλάβοι τὸν κῆπον παρὰ τοῦ κεκτημένου, οὕτως αὐτὸν καὶ ἀντιπαραδιδόναι· εἰ μὲν λάχανον ἔχοι ἡνίκα ὁ κηπουρὸς αὐτὸν παραλαμβάνει καὶ διατίμησις γένηται τούτου, ὁμοίως κἂν τῇ παραδόσει τὴν ἀκριβῆ διατίμησιν τοῦ λαχάνου μόνου λαμβάνειν· εἰ δὲ οὐκ ἔχοι, ἀλλὰ ψιλὸν παραλάβοι τὸν κῆπον εἴτε ἔχοντα κόπρον εἴτε καὶ μή, οὕτω καὶ τὴν ἀντιπαράδοσιν γίνεσθαι, καὶ ἁπλῶς οὕτω τηρεῖσθαι τὴν τοῦ πράγματος τάξιν ἐπὶ τῷ παραδιδόντι κη-

3) Hal. τῆς τοιαύτης. forte αὐτῆς τῆς τοιαύτης, ut Auth. legit.

πουρῷ, ὁποία γέγονεν ἡνίκα παρελάμβανε, μηδεμιᾶς ἑτέρας ἐπαγομένης τῷ δεσπότῃ βλάβης. τὴν δὲ ἀποτίμησιν τῶν λαχάνων μὴ μόνον παρὰ κηπουρῶν γίνεσθαι, ἀλλὰ καὶ παρὰ τῶν καλουμένων summariων καὶ αὐτῶν τὰ τοιαῦτα ἐπισταμένων, τῶν θείων δηλαδὴ προκειμένων λογίων. οὐ γὰρ βουλόμεθα τοῖς κεκτημένοις ἀχρήστους εἶναι τὰς κτήσεις διὰ τὴν τῶν ἐκλαμβανόντων πονηρίαν τε καὶ ἀπληστίαν. διὰ ταῦτα τοίνυν ἀθροίσας αὐτοὺς ὁριεῖς, καὶ οὐ συγχωρήσεις ἐπήρειαν οὐδεμίαν ἐπαχθῆναι τοῖς κεκτημένοις, ἀλλὰ πανταχόθεν αὐτοὺς ἀβλαβεῖς καὶ ἀζημίους διαφυλάξεις. βουλόμεθα γὰρ ἴσῳ τῷ μέτρῳ καὶ τὰ παρὰ τῶν δεσποτῶν πρὸς τοὺς κηπουροὺς καὶ τὰ παρὰ τῶν κηπουρῶν πρὸς τοὺς δεσπότας γίνεσθαι, διότι πανταχόθεν ἡμῖν ἰσότητος μέλει καὶ τοῦ μηδέτερον ἀδικεῖσθαι μέρος.

β'. Εἰ δέ γέ τις γῆν χέρσον ἐκδοίη, ὁ δὲ αὐτὴν ἐξημερώσειε, τὸν ὑπὲρ τῆς ἐξημερώσεως κομίζεσθαι μισθὸν καὶ τὴν τοῦ ὄντος ἐν αὐτῷ λαχάνου διατίμησιν, οὕτω τε ἀπραγμόνως ἀναχωρεῖν, μηδεμιᾶς ἀπληστίας μηδὲ κεκακουργημένης τέχνης μηδὲ ἐπὶ τούτῳ γινομένης, ἵνα διὰ τοῦδε ἡμῶν τοῦ θείου πραγματικοῦ νόμου καὶ τῆς ἐσομένης ἐπ' αὐτῷ διατυπώσεως παρὰ τῆς σῆς ὑπεροχῆς τοῦ λοιποῦ μείναιμεν ὑπὸ τῶν τοιούτων ἀνενόχλητοι, καὶ μὴ ταῖς λοιπαῖς ἡμῶν ὑπὲρ τῆς πολιτείας φροντίσι καὶ τοιαῦταί τινες ὑπίοιεν φροντίδες, διότιπερ ἡμῖν οὐ μικρὸν οὐ μέγα τῆς ἡμετέρας πολιτείας μέρος ἔξω μερίμνης καθέστηκε πάντα περινοστοῦσι τοῖς τῆς διανοίας ὀφθαλμοῖς, καὶ οὐδὲν ἀκόσμητον οὐδὲ ἄτακτον οὐδὲ ἀμφισβητούμενον διαμένειν βουλομένοις. ἀπειλήσεις δὲ καὶ ποινὴν quinque librarum auri κατὰ τῶν τοῦ λοιποῦ τοιοῦτό τι πραττόντων ἢ πράττεσθαι συγχωρούντων. Dat. XIV. Kal. Febr.[4]) Constant. imp. DN. Iustiniani PP. Aug. ann. XI. Ioanne V. C. Cons.

4) Ven. XIV K. Aug. (quod si receperis, annus imperii XI

Auth. 66. LXXXIV. Nov. 63.

Prooem. et prior pars c. I est in Basil. LVIII, 11, 13. — Summas praestant Iulian. c. 57, Athan. XXI, 2, Theod. Nov. 63.

Περὶ καινοτομιῶν τῆς ἐπὶ θάλασσαν ἀπόψεως.

Ὁ αὐτὸς βασιλεὺς Λογγίνῳ ἐπάρχῳ τῆς εὐδαίμονος ταύτης πόλεως.

Πρᾶγμα δολερῶς γινόμενον ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως περὶ τὰς τῶν οἴκων οἰκοδομὰς ἀναστεῖλαι καὶ ἐπανορθῶσαι δίκαιον ἡγησάμεθα. ἐπειδὴ γὰρ ῥητοῖς μέτροις διεστάναι τοὺς οἴκους ἀλλήλων ἡ Ζήνωνος τοῦ τῆς εὐσεβοῦς λήξεως διάταξις[1]) λέγει, καὶ ἡμεῖς δὲ τοιοῦτό τι νενομοθετήκαμεν[2]) (ἐπῆκται δὲ ὥστε ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως μὴ δύνασθαί τινα ἑκατὸν ποδῶν εἴσω κωλύειν θαλάττης ἄποψιν πράγματος χαριεστάτου), ἐχρῆν μὲν ἴσως καὶ ἐκ πλείονος μέτρου τὰς ἀπόψεις αὐτοῖς ἀνεῷχθαι καὶ μὴ ταύτας κωλύειν, πλὴν ἀλλὰ καὶ τοῦτο παραδόξῳ τινὶ προσμεμηχάνηται τέχνῃ. τινὲς γὰρ τὸ τῶν ἑκατὸν ποδῶν καταλιπόντες μέτρον ἢ καὶ βραχύ τι τούτῳ προσθέντες, εἶτα οἰκοδομεῖν ἐκεῖσε οὐδὲν ἕτερον ἔχοντες, ἀλλὰ καθάπερ τὶ παραπέτασμα παρατείνοντες, ἐπειδὰν ἀφέλωνται τὴν τῆς θαλάττης ἄποψιν κατὰ πᾶσαν ἐξουσίαν, οὐ μαχόμενοι τῷ νόμῳ διὰ τὸ τῶν ἑκατὸν ποδῶν διάστημα, ἔνδον οἰκοδομοῦσιν ἀκωλύτως. καὶ ἐπειδὰν τοῦ ζητουμένου τύχοιεν, καθαιροῦσιν ἐκεῖνο τὸ διὰ τὴν χρείαν αὐτοῖς ἐπινενοημένον, καὶ οὕτω τὸ σχῆμα σοφισάμενοι πάσης τέρψεως ἀλλοτρίας τὰς

n XII mutandus est). sed praestat (propter annum imperii XI) lectio Authentici (Dat. XV Kal. Febr.) si XIV Kal. legas. nam Athan. subscriptionem habet: ἐγράφη πρὸ ιδ' καλ. φεβρ. βασιλείας Ἰουστινιανοῦ τὸ ια' ὑπατείᾳ Ἰωάννου. similiter Theod. ἐξεφωνήθη μηνὶ φεβρ. τοῦ ια' ἔτους τῆς βασιλείας Ἰουστινιανοῦ ὑπατείᾳ Ἰωάννου.

1) l. 12 C. de aedif. priv. 8, 10. 2) Const. LXXXII.

τῶν κεκτημένων καθιστᾶσιν οἰκίας. ὅπερ τοῦ λοιποῦ γίνεσθαι κατ' οὐδένα βουλόμεθα τρόπον.

α'. Ἀλλ' εἴ τις βούλοιτο τοιοῦτό τι σχεδιάσαι καὶ κακουργῆσαι, μὴ τοιαῦτα παιζέτω, ἀλλ' εἴπερ τούτου δέοιτο ταῖς ἀληθείαις, οἶκον ὅλον οἰκοδομείτω καὶ μέχρι τοῦ διαστήματος παντὸς (τοῦ τῶν ἑκατόν φαμεν ποδῶν) χωρείτω, τὰς οἰκοδομίας ποιῶν ὡς ἀναγκαίας αὐτῷ καὶ ἀπαραιτήτους ἐσομένας, μὴ μὴν διὰ τὴν τοῦ γείτονος ἐπιβουλὴν διὰ τοῦτο σχεδιαζέτω τοίχους, καὶ ὥσπερ ἐπί τινος γραφῆς τὴν τοιαύτην ἐκτείνας σκαιωρίαν τὴν ἀφαίρεσιν τῆς ἀπόψεως ἁρπαζέτω. ὥσπερ γὰρ τοὺς τὰ ἄλλα ἁρπάζοντας εἰκότως ἀποστρεφόμεθα καὶ ποινῆς ἀξίους νομίζομεν, οὕτω καὶ τοὺς τοῦτο τεχνωμένους οὐδενὸς ἐλάττονας εἰς κακίαν τῶν καὶ τὰ ἄλλα πράγματα ἁρπαζόντων νομίζομεν. ὥστε εἰ[3]) καὶ τῷ σμικρόν τι πρᾶγμα λαβεῖν κατὰ τρόπον ἁρπαγῆς θαῤῥήσαντι εὖ καιοῦσα ἡ βὶ βονόρουμ ῥαπτόρουμ μετὰ τῆς τετραπλασίας[4]) ἔπεισι ποινῆς, πῶς οὐχὶ καὶ τοῦτον ἀνάγκη τὸν τοιοῦτό τι πράξαντα καὶ καθελεῖν ἀναγκάζεσθαι τὸ παρ' αὐτοῦ γενόμενον, καὶ ἑτέρᾳ μείζονι ποινῇ σωφρονισθῆναι, τουτέστι decem librarum auri εἰσκομιζομένων τῇ θεατραλίᾳ[5]) τῆς σῆς ὑπεροχῆς, ἵνα μὴ κακὸς γείτων (τοῦτο δὴ τὸ τοῦ λόγου) γενόμενος ἀπίοι καταγελῶν τοῦ νόμου, ὡς οὐκ ἰσχύσαντος αὐτὸν ταῖς οἰκείαις ὑπαγαγεῖν διατυπώσεσι.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ὑπεροχὴ κατὰ ταύτην τὴν εὐδαίμονα πόλιν ἔργῳ καὶ πέρατι παραδοῦναι καὶ εἰς τὸ διηνεκὲς παραφυλάττειν ἅμα τῇ πειθομένῃ αὐτῇ τάξει σπευσάτω, τῆς αὐτῆς τουτέστι τῶν decem librarum auri ἐπικειμένης ποινῆς καὶ κατὰ τῶν ταῦτα παραβαινόντων ἢ παραβαίνεσθαι συγχωρούντων. Dat. VII. Idus Mart.[6]) CP. imp. DN. Iustiniani PP. Aug. ann. XI. Iohanne V. C. Cons.

3) In Ven. εἰ deest. 4) Hal. τριπλασίας. 5) Iulian.: in arca theatrali. 6) Athan. πρὸ ιζ' καλ. μαρτίων. Theod.

Auth. 67. **LXXXV.** Nov. 65.

Hal. summam Theodori praestat. Cod. Ven. haec habet: *νεαρὰ ξε' περὶ τοῦ τὰ γήδια ἢ οἴκους ἢ ἀμπέλους τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μυσίας εἰς ἀνάῤῥυσιν αἰχμαλώτων ἢ εἰς ἀποτροφὴν πτωχῶν καταλιμπανόμενα δύνασθαι ἐκποιεῖσθαι κατὰ τὸν περιεχόμενον τῇ διατάξει προσδιορισμόν. καὶ αὕτη οὐχ εὑρέθη.* — Summas praestant Iulian. c. 59, Athan. II, 10, Theod. Nov. 65. cf. etiam Iulian. ed. Haenel p. 82. quae Theodorus §. 2 profert, licet ad ea in summa Nov. 53 §. 7 et Nov. 112 §. 7 releget., ab hac nostra constitutione alienissima sunt.

DE ALIENATIONE RERUM ECCLESIAE MYSIAE RELICTARUM PRO CAPTIVORUM REDEMTIONE ET ALIMENTIS PAUPERUM.

Idem A. Iustiniano v. c. Rectori Mysiae.

Scimus antea legem[1]) promulgasse, per quam omnes alienationes ecclesiasticas inhibuimus. sed postea alia lege[2]) prospeximus, quatenus liceat pro soluto res ecclesiasticas vel alias quae piis domibus deputatae sunt persolvere. sed etiam hoc in nostram venit memoriam, quod Martino, viro sanctissimo episcopo Clissinatae civitatis, formam et ante legem nostram dedimus, prohibentem eum ecclesiasticas res vendere, ne qui ex potentioribus ei necessitatem imponant secundum suum propositum res ecclesiasticas alienare. sed etiam in nostram venit memoriam alia res, quam pro divinis fecimus vasis[3]), pro quibus omnibus abdicavimus[4]), ne cui liceat sacrosancta vasa vel venumdare vel obligare, nisi tantummodo in redemtionem captivorum, quia animae redemtio aliis omnibus rebus pretiosior est. sed haec quidem antea subsecuta sunt. quae narratio necessaria nobis fuit ad praesentis spe-

μηνὶ μαρτίῳ, quod pro more Theodoro usitato tam de XVII K. Mart. quam de VII Id. Mart. intelligi potest. Auth. VII Id. Mart.

1) Const. XV. 2) Const. LXIII. 3) Cod. I, 2, 21. 4) praedic?

cialis legis memoriam. venit etenim in praesenti memoratus sanctissimus vir in hanc sanctissimam civitatem et edocuit nos, multos terras sine certo reditu vel domunculas vel vineas relinquere ad redemtionem captivorum vel pauperum alimonias, et alienatione prohibita memoratos actus licet piissimi sint attamen inhiberi, competens sibi permitti per legem specialem hoc facere. sancimus itaque, si quis reliquerit ad redemtionem captivorum vel sustentationem pauperum res immobiles, si quidem certus reditus est ex relictis rebus colligendus, manere legatum vel hereditatem vel donationem nulla alienatione mutilandam, quum possit ex reditibus redemtio vel sustentatio fieri. sin autem vel certus reditus non est, vel domus paene diruta et longe ab ecclesia posita, vel vineae quarum fructus non semper similes sed varii colliguntur, et incursionibus forsitan barbaricis dediti, in his tantummodo speciebus permittimus et venditionem hac speciali lege in memorata provincia fieri, si tamen domus intra fines ecclesiae vel vineae iuxta muros civitatis minime positae sint, ita ut in venditionis instrumento ipsa verba testatoris exprimantur, ut ei placuit venditionem fieri et redemtionem ex his captivorum vel alimonias pauperum celebrari. et si hoc ita subsecutum fuerit, habeat venditio firmitatem; liceat sine metu alterius legis et oeconomis ecclesiasticis et viro sanctissimo episcopo vendere, et emtoribus habere easdem res firmo iure. habebunt autem dei omnipotentis crimen oecońomi ecclesiae, si pretia quae acceperint in aliam causam consumserint, licet piissima sit, et non in praedictas duas tantummodo causas, ad imitationem legis quae super sacrosanctis vasis alienandis lata est. sic etenim et venditio necessaria procedat et actus piissimi non defraudentur et animae hominum non depereant, quum et terrarum possessio et

rerum mobilium non talem habeat curam nec ita sint necessariae, ut captivorum redemtio et vita egentium, quae et animas salvant et deo omnipotenti placabiles sunt.

Gravitas itaque tua quae per hanc specialem legem nostra decrevit aeternitas tam effectui mancipare quam observari procuret. *Dat. X Kal. April. CP. imp. DN. Iust. PP. aug. ann. XI. Ioanne V. C. Cons.*[5])

Auth. 68. LXXXVI. **Nov. 66.**

Pars cap. 1 recepta est in Bas. II, 6, 22. — Summas habent Iulian. c. 60, Athan. IX, 5, Theod. Nov. 66. Cf. *Ἀνέκδοτα* mea p. 218. *Αἱ ῥοπαί* 14, 18.

Περὶ τοῦ τὰς γινομένας νέας διατάξεις μετὰ τὴν ἐμφάνισιν αὐτῶν μετὰ δύο μῆνας ἄλλους κρατεῖν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν τῆς Ἕω πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων[1]) *καὶ πατρικίῳ.*

Ἀεὶ τῶν νόμων ἡμῖν ἀφορμὰς αἱ τῶν κινουμένων ὑποθέσεων πάρέχουσιν αἰτίαι. πολλῶν γὰρ ἡμῖν προσελεύσεων γινομένων προφάσει τῶν ἡμετέρων διατάξεων, ἃς ἐπὶ ταῖς διαδοχαῖς ἐγράψαμεν, ὁποῖον δὴ τὸ περὶ τοῦ δεῖν οἰκείᾳ χειρὶ τὸν διατιθέμενον τὸ τοῦ κληρονόμου γράφειν ὄνομα[2]), *καὶ αὖθις ἐκ πόσων οὐγκιῶν λογίζεσθαι χρὴ τὸν φαλκίδιον, ὃν τοῖς παισὶν οἱ γονεῖς καταλιμπάνουσιν, εἴτε ἐκ τριῶν εἴτε καὶ ἐκ τεττάρων εἴτε καὶ ἐκ πλειόνων*[3]), *καὶ πολλῶν διὰ τοῦτο κινδυνευσασῶν διαθηκῶν ἐκπεσεῖν εἰς τὸ μὴ πληρωθῆναι τὰ ἐν αὐταῖς γεγραμμένα, διὰ τὸ κἂν εἰ γεγόνασιν οἱ νόμοι, πλὴν μὴ γνωσθῆναι ἢ τοῖς ἐν ταῖς ἐπαρχίαις ἢ καὶ ἐνταῦθα, οὔπω τυχὸν προτεθέντες οὐδὲ*[4])

5) Athan. *ὑπατείᾳ ἀπίωνος.*

1) Adde *ὑπάτῳ ὀρδιναρίῳ.* 2) Cod. VI, 23, 29. 3) Const. XLII. 4) Auth. videtur legisse *οὐδενί.*

γενόμενοι φανεροὶ, ἀναγκαῖον ᾠήθημεν τὰ τοιαῦτα νόμῳ βραχεῖ διορίσασθαι.

α΄. Θεσπίζομεν τοίνυν, ἐξ ἐκείνου τὰς ἡμετέρας διατάξεις τὰς ὑπὲρ διαθηκῶν κρατεῖν, ἐξ ὅτου καταφανεῖς ἐν κοινῷ γεγόνασι, καὶ τὸν χρόνον ἐκεῖθεν αὐταῖς συλλογίζεσθαι, τουτέστιν ἐνταῦθα μὲν ἐξ ὅτου πᾶσι κατέστησαν ἢ γεγόνασι φανεραὶ, ἐν ταῖς ἐπαρχίαις δὲ ἐξ ὅτου[5]) πεμφθεῖσαι κατάδηλοι ταῖς μητροπόλεσι γεγόνασιν ἢ καὶ ὕστερον γένωνται, ἵνα μὴ τῇ τῶν νόμων ἀγνοίᾳ κατὰ τὸ πρώην κεκρατηκὸς τὰς διαθήκας ἄνθρωποι τιθέντες καὶ πολιτευόμενοι δόξαιεν παραβαίνειν τὸν νόμον. ὅπως δὲ ἂν σαφέστερον ἔτι τὸ πρᾶγμα δηλωθείη, θεσπίζομεν εἰ γραφείη τοιοῦτος νόμος, τοῦτον μετὰ μῆνας δύο τοῦ δοθέντος αὐτῷ χρόνου κρατεῖν καὶ πολιτεύεσθαι εἴτε ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως εἴτε ἐν ταῖς ἐπαρχίαις, μετὰ τὴν ἐμφάνισιν ἀρκοῦντος τούτου τοῦ χρόνου πᾶσι φανερὸν αὐτὸν καταστῆσαι, τῶν τε συμβολαιογράφων τὴν αὐτοῦ μανθανόντων δύναμιν, τῶν τε ὑπηκόων γινωσκόντων καὶ τὸν νόμον τηρούντων. οὕτω γὰρ οὐδενὶ παντελῶς ἔσται παραίτησις τοῦ μὴ τὸν ἡμέτερον νόμον φυλάττειν. οὐ γὰρ βουλόμεθα τὰς τῶν τελευτώντων ἀνατρέπεσθαι βουλήσεις, πᾶσι μὲν οὖν σπεύδομεν τρόποις κυρίας αὐτὰς καθεστάναι. τί γὰρ ἂν καὶ ἐγκαλοῖμεν τοῖς τὴν θέσιν τῶν ἡμετέρων ἀγνοήσασι διατάξεων, κἂν εἰ τυχὸν μετὰ βραχὺ τοῦ γραφῆναι τὸν νόμον τόν γε ἀγνοούμενον ἔτι προέλθοιεν αἱ διαθῆκαι, καὶ διὰ τοῦτο ἐν ταῖς διαθήκαις ἢ μὴ γραψάντων οἰκείᾳ χειρὶ τὸ τῶν κληρονόμων ὄνομα ἢ τριούγκιον μόνον καταλιπόντων[6]) τῷ παιδὶ ἀλλὰ μὴ τετραούγκιον, ἐν ᾧ τὸν νόμον ἢ οὐ κεῖσθαι συνέβαινεν ἢ καὶ κείμενον διὰ τὸ μήπω προτεθεῖσθαι δικαίως ἀγνοεῖσθαι; [§. 1.] τοιγαροῦν καὶ μέχρι νῦν καίτοι

5) Verba πᾶσι — ὅτου in Ven. exciderunt. 6) Haec ἀνακόλουθα sunt. scribendum fuit: γράψασι et καταλιποῦσι.

παλαιᾶς ἤδη τῆς διατάξεως οὔσης καὶ ἐν τῷ ἐπωνύμῳ ἡμῶν κειμένης τῶν διατάξεων βιβλίῳ, ἥτις γράφειν οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονομοῦντος ὄνομα διετύπωσεν, ὅμως πολλοὶ παρὰ τὴν αὐτῆς διέθεντο δύναμιν, ἀγνοήσαντες αὐτῆς τὴν νομοθεσίαν, καὶ μέχρι νῦν τὰ τοιαῦτα παροφθέντα προσαγγέλλεται τῷ ἡμετέρῳ κράτει. καὶ πᾶσιν ἀεὶ τοῖς τὰ τοιαῦτα δεηθεῖσι συνέγνωμεν, ἐπεὶ μήπω γενέσθαι ταύτας καταφανεῖς συνέβαινεν, καὶ θείους ὑπὲρ τούτων ἐποιησάμεθα τύπους δικαίαν αὐτοῖς φιλοτιμούμενοι τὴν συγγνώμην. ἵνα τοίνυν μὴ ἐνοχλώμεθα περὶ τούτων καθ' ἑκάστην καὶ τύπους γράφειν αἰτώμεθα[7]), διὰ τοῦτο θεσπίζομεν ὡς εἴρηται τὴν μὲν πρεσβυτέραν τὴν ἐν τῷ Ἰουστινιανῷ κειμένην κώδικι κρατεῖν ἐνταῦθα μὲν ἐξ οὗ γέγονεν ἐμφανής, ἐν ταῖς ἐπαρχίαις δὲ ἐξ οὗπερ κατεπέμφθη καὶ φανερὰ γέγονεν ἑκάστῃ τῶν μητροπόλεων ἢ καὶ τῶν ἄλλων πόλεων. χρόνου γὰρ συχνοῦ διελθόντος ἐκεῖθεν, καὶ τοῦ ἡμετέρου κώδικος πανταχόσε πεμφθέντος, οὐκ ἂν εἰκότως ἀγνοοῖτο. [§. 2.] τὴν δὲ ἑτέραν τὴν νεωτάτην, ἥτις ἐν ταῖς μετὰ τὸν κώδικα διατάξεσι κεῖται, τὴν ὁρίζουσαν τὸ τοῖς παισὶ καταλιμπανόμενον κρατεῖν ἐπί τε τῆς εὐδαίμονος ταύτης πόλεως ἔν τε ταῖς ἐπαρχίαις μετὰ δύο μῆνας τῆς ἐμφανίσεως, καθάπερ εἰπόντες ἔφθημεν· διότι γενομένων ἡμῖν ἰσοτύπων διατάξεων περὶ τοῦ μέτρου τῆς ἐνστάσεως τῶν παίδων, τῆς μὲν τῇ Ἑλλήνων φωνῇ γεγραμμένης διὰ τὸ τῷ πλήθει κατάλληλον, τῆς δὲ τῇ Ῥωμαίων ἥπερ ἐστὶ καὶ κυριωτάτη διὰ τὸ τῆς πολιτείας σχῆμα, ἡ μὲν καλάνδας μαρτίας ἔχει, γραφεῖσα μὲν τότε, οὐκ ἐμφανισθεῖσα δὲ τηνικαῦτα εὐθύς, ἡ δὲ τῇ Ῥωμαίων φωνῇ γεγραμμένη πρὸς Σολομῶντα τὸν ἐνδοξότατον τῶν ἐν Ἄφροις ἱερῶν ἡγούμενον πραιτωρίων καλάνδας ἀπριλλίας προσγεγραμμένας ἔχει. [§. 3.] διόπερ οὐδὲ ἡ τῇ ἑλλάδι φωνῇ γραφεῖσα γέγονε παραχρῆμα καταφανής, ἕως καὶ ἡ τῇ Ῥωμαίων συντεθεῖσα

7) Ven. αἰτούμεθα.

γλώττῃ γέγονέ τε καὶ ἐξεπέμφθη, ἀμέλει δὲ καὶ ἡ πρὸς τοὺς ἐνταῦθα ἐνδοξοτάτους ὑπάρχους τῶν ἱερῶν ἡμῶν πραιτωρίων γεγραμμένη (φαμὲν δὴ τὴν ἑλληνίδα) κατὰ τὸν μαΐον μῆνα ἐνεφανίσθη τε τῷ αὐτῶν δικαστηρίῳ καὶ ἐξεπέμφθη. θεσπίζομεν τοίνυν, δεῖν τὴν αὐτῆς νομοθεσίαν τὴν περὶ τοῦ μέτρου τῆς ἐνστάσεως τῶν παίδων διαλεγομένην κρατεῖν ἐνταῦθα μὲν ἀπὸ τῶν τότε[8]) καλανδῶν μαΐων, ἵνα τὴν δίμηνον αὐτῇ φυλάξωμεν, ἐν δὲ δὴ ταῖς ἐπαρχίαις ἐξ ὅτου γέγονεν αὕτη καταφανὴς, κἀκεῖσε τῆς διμήνου μετὰ τὴν ἐμφάνισιν φυλαττομένης. εἰ δὲ οὔπω καὶ νῦν ἐν πάσαις ταῖς ἐπαρχίαις ἐξεπέμφθη, ὅτι τάχιστα αὐτήν τε καὶ τὰς ἄλλας, αἵπερ ἴσως οὐκ ἐξεπέμφθησαν ἔτι ἢ καὶ ὕστερον ἡγουμένου θεοῦ παρ' ἡμῶν τεθεῖεν, ἐκπεμφθῆναί τε καὶ ἐκπέμπεσθαι, ἐφ' ᾧ τε τὰς ἡμετέρας διατάξεις ἐν ταῖς μητροπόλεσι τῶν ἐθνῶν γενέσθαι τε καὶ γίνεσθαι καταφανεῖς, τοὺς δὲ τῶν ἐπαρχιῶν ἡγουμένους αὐτοὺς στεῖλαί τε αὐτὰς καὶ στέλλειν ἐν πάσαις ταῖς πόλεσι ταῖς ἐφ' ἑκάστῃ ἐπαρχίᾳ τεταγμέναις, ὥστε μηδένα τὸ λοιπὸν προφασίζεσθαι μηδεμίαν ἄγνοιαν. [§. 4.] ὡς τό γε παρῳχηκὸς ἅπαν δικαίαν ἔχει συγγνώμην, καὶ κρατείτωσαν αἱ τῶν τελευτησάντων διατυπώσεις κἂν εἰ ἐν ἄστει[9]) γεγόνασι καθάπερ αὐτὰς ἐκεῖνοι πεποίηνται, κἂν εἰ κατὰ τὴν προτέραν κρατοῦσαν νομοθεσίαν γράμμασιν οἰκείοις οὐκ ἔγραψαν τὰς τῶν κληρονόμων προσηγορίας ἢ τοῖς μάρτυσιν αὐτοὺς οὐκ ἐποιήσαντο καταφανεῖς, ἢ τριούγκιον ἀλλ' οὐ πλεῖον καταλελοίπασι τοῖς παισίν. οὐ γὰρ ἀνατρέπεσθαι καθάπερ εἰπόντες ἔφθημεν τὰς τῶν τελευτώντων βουλόμεθα διατυπώσεις, ἀλλὰ καὶ κυρίας ταύτας διὰ πάντων ἀποφαίνομεν. ὥστε κἂν εἰ σύνεγγυς ἐγράφησαν αἱ διαθῆκαι μετὰ τὴν θέσιν τοῦ νόμου,

8) Sic Ven. quocum facit Auth. sed fortasse legendum πρὸ ιε'. vide enim quae dixi not. 27 ad c. XLII. 9) Auth. legit ἔναγχος *(nuper)*, eaque lectio firmari videtur eo quod mox σύνεγγυς dicitur.

οὔπω δὲ ἔτυχον αἱ διατάξεις γενόμεναι καταφανεῖς, ἐπιζησάντων δὲ ἴσως τῶν διαθεμένων οὐκ ἠμείφθησαν, μενέτωσαν καὶ οὕτως αἱ ἐνστάσεις αἱ τὴν ἀρχὴν κατὰ τοὺς τότε φανεροὺς ὄντας γενόμεναι νόμους τὴν οἰκείαν ἰσχὺν ἔχουσαι, καὶ οὐκ ἐγκαλούμεναι, διότι καθ' ὃν ἐπεβίουν χρόνον ἐκεῖνοι ταύτας οὐκ ἤμειψαν. οὐ γὰρ πάντα ἐστὶν ἐφ' ἡμῖν οὐδὲ ἀεί τισι καιρὸς γίνεται διαθήκης, αἰφνίδιόν τε πολλάκις ἐπίασιν ἀνθρώποις τελευταὶ τῆς τοῦ διαθέσθαι τούτους ἐξουσίας ἀφαιρούμεναι. ὥστε τὸ ἐξ ἀρχῆς γενόμενον ὀρθῶς ἐκ τοῦ μὴ ἀμειφθῆναι προσήκειν οὐχ ἡγούμεθα ὕστερον ἐλαττοῦσθαι καθ' ὁτιοῦν ἢ ἀνατρέπεσθαι, ἀλλ' ἐν ἀῤῥαγεῖ μένειν τῆς τότε παραστάσης τῷ διαθεμένῳ γνώμης ἰσχυρᾶς διαμενούσης. εἴη γὰρ ἂν τῶν ἀτόπων, το γενόμενον ὀρθῶς ἐκ τοῦ μὴ γεγονότος ὕστερον ἀνατρέπεσθαι. [§. 5.] συνελόντας τοίνυν εἰπεῖν, λαμβανέτωσαν οἱ παῖδες τὸ καταλελειμμένον αὐτοῖς εἰ οὕτω τύχοι παρὰ τῶν πατέρων τριούγκιον ἐκ τῶν οὕτω γενομένων διαθηκῶν ἢ πρὸ τῆς τοῦ νόμου θέσεως, ἢ μετὰ τὴν θέσιν τοῦ νόμου πρὶν δὴ τοῦτον παρὰ τοῖς ἄρχουσιν ἐμφανῆ καταστῆναι. εἰ δὲ καὶ προσκέοιτο ταῖς διαθήκαις τὸ χρῆναι τὸ λεῖπον αὐτοῖς ἀναπληρωθῆναι πρὸς τὸ τότε κατὰ τοὺς νόμους ἐποφειλόμενον, τοῦτο λαμβάνεσθαι κατὰ τοὺς παλαιοὺς νόμους, ὥστε εἴπερ ἐλλείπει τὶ τῷ τριουγκίῳ, εἰς ἐκεῖνο τὴν ἀναπλήρωσιν γίνεσθαι, ἀλλ' οὐκ εἰς τὸ τετραούγκιον, τὸ ὕστερον μὲν νομοθετηθὲν, οὔπω γε μὴν τότε γνωσθέν.

Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου διὰ κηρυγμάτων οἰκείων ἡ σὴ ὑπεροχὴ πᾶσι ποιησάτω φανερὰ, τοῖς τε ἐπὶ τῆς μεγάλης ταύτης πόλεως τοῖς τε ἔξωθεν, ὅπως ἂν ἅπασι γένοιτο σαφῆ τὰ παρ' ἡμῶν ἐπὶ τῇ πάντων ἀσφαλείᾳ νομοθετηθέντα. Dat. Kal. Maii CP. imp. DN. Iustiniano PP. Aug. ann. XII. Ioanne V. C. Cons.

Nov. 67. **LXXXVII.** Auth. 63.

Prooem. et c. 1. 2 reperitur in Coll. 87 capp. c. 27. — Summae: Julian. c. 61, Athan. I. 7, Theod. Nov. 67 et in Nomoc. XIV titt. III, 14 et VIII, 2.

Περὶ τοῦ μηδένα κτίζειν εὐκτήριον οἶκον χωρὶς γνώμης τοῦ ἐπισκόπου καὶ τοῦ ἀφορίσαι πρότερον τὰ περὶ τὴν ἐπιμέλειαν καὶ κατάστασιν τοῦ κτιζομένου εὐκτηρίου, καὶ περὶ τοῦ τοὺς ἐπισκόπους μὴ ἀπολιμπάνεσθαι τῶν ἰδίων ἐκκλησιῶν, καὶ περὶ ἐκποιήσεως ἐκκλησιαστικῶν ἀκινήτων πραγμάτων.

Ὁ αὐτὸς βασιλεὺς Μηνᾷ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ οἰκουμενικῷ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ.

Καὶ τὰ περὶ τῶν ἁγιωτάτων ἐκκλησιῶν πολλοῖς περιλαβόντες νόμοις ἔτι καὶ ἑτέρου δεόμεθα πρὸς τὰς ἀναχυθείσας τῶν ὑποθέσεων καὶ εὐθὺς ἀνεφυομένας ἁρμοῦντος. πολλοὶ γὰρ ὀνόματος ἕνεκεν πρὸς ποίησιν ἁγιωτάτων ἐκκλησιῶν ὁρμῶσιν, εἶτα ταύτας οἰκοδομησάμενοι οὐκ ἔτι φροντίδα τίθενται τοῦ καὶ δαπάνην αὐταῖς ἀφορίσαι πρέπουσαν εἴς τε λυχνοκαΐαν εἴς τε τὴν τῶν προσεδρευόντων ἀποτροφὴν καὶ τὴν ἱερὰν λειτουργίαν, ἀλλὰ καταλιμπάνουσιν αὐτὰς ἐν γυμνοῖς οὔσας οἰκοδομήμασι, καὶ ἢ καταλυομένας ἢ πάσης ἱερᾶς λειτουργίας ἐστερημένας.

α΄. Θεσπίζομεν τοίνυν πρὸ πάντων μὲν ἐκεῖνο γίνεσθαι, ὥστε μηδενὶ παῤῥησίαν εἶναι μηδὲ μοναστήριον μηδὲ ἐκκλησίαν μηδὲ εὐκτήριον οἶκον ἄρχεσθαι οἰκοδομεῖν, πρὶν ἂν ὁ τῆς πόλεως θεοφιλέστατος ἐπίσκοπος παραγενόμενος εὐχήν τε ἐν τῷ τόπῳ ποιήσαιτο καὶ σταυρὸν πήξαιτο δημοσίαν ἐκεῖσε πρόοδον ποιησάμενος καὶ τὸ πρᾶγμα φανερὸν ἅπασι καταστήσοι. πολλοὶ γὰρ ὑποδυόμενοι κτίζειν δῆθεν εὐκτηρίους οἴκους τὰς ἑαυτῶν θεραπεύουσι νόσους, οὐκ

ὀρθοδόξων ἐκκλησιῶν κτίσται γινόμενοι ἀλλὰ σπηλαίων κλόπων.

β'. Ἔπειτα μὴ ἄλλως αὐτὸν ἐκκλησίαν ἐκ νέου οἰκοδομεῖν, πρὶν ἂν διαλεχθείη πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον[1]), καὶ ὁρίσειε τὸ μέτρον, ὅπερ ἀφορίζει πρός τε τὴν λυχνοκαΐαν καὶ τὴν ἱερὰν λειτουργίαν, καὶ τὴν ἀδιάφθορον τοῦ οἴκου συντήρησιν καὶ τὴν τῶν προσεδρευόντων ἀποτροφήν· καὶ εἴπερ αὐτάρκως ἔχειν δόξειε, ποιεῖσθαι αὐτὸν πρότερον δωρεὰν τῶν ἀφορίζεσθαι μελλόντων, οὕτω τε τὸν οἶκον οἰκοδομεῖν. εἰ μέντοιγε οὐκ ἀρκοίη μέν τις πρὸς τοῦτο, ὀνόματος δὲ ἴσως ἐπιθυμῶν τοῦ καὶ αὐτὸς κτίστης ἐκκλησίας καλεῖσθαι βούλοιτό τι τοιοῦτο πρᾶξαι, πολλαὶ καὶ ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει καὶ ἐν ταῖς ἐπαρχίαις ἐκκλησίαι τυγχάνουσι τὸν προσήκοντα μὲν λειτουργούμεναι τρόπον κινδυνεύουσαι δὲ καταπεσεῖν ὑπὸ παλαιότητος, ἢ καὶ σμικραὶ καθεστῶσαι καὶ ἀκοσμώτεραι παρὰ τὴν ἐπιθυμίαν τῶν ταύταις ἐγχειρούντων, καὶ ἐξέσται αὐτῷ μίαν τῶν τοιούτων ἐκκλησιῶν ἀπολαβόντι ταύτην οἰκοδομήσασθαι, κἀνταῦθα γνώμῃ τοῦ θεοφιλοῦς τῶν ὀρθοδόξων ἐπισκόπου τοῦ πράγματος γινομένου. οὕτω γὰρ ἔσται αὐτῷ καὶ ἱεροῦ οἴκου κτίστην κληθῆναι καὶ μηδὲν οἴκοθεν προσδαπανῆσαι, τῶν ἐξ ἔθους ἀφωρισμένων ἤδη περὶ τοῦτο δαπανημάτων ἐπιδιδομένων παρὰ τῶν καὶ πρότερον ταῦτα χορηγούντων.

γ'. Κἀκεῖνό γε μὴν θεσπίζομεν, ὥστε κατὰ τὸν ἤδη παρ' ἡμῶν φοιτήσαντα νόμον[2]) τοὺς θεοφιλεστάτους ἐπισκόπους ταῖς ἑαυτῶν ἐκκλησίαις προσκαρτερεῖν, καὶ μὴ καταλιμπάνειν μὲν αὐτὰς, χρόνον δὲ πολὺν ἐνταῦθα διατρίβειν, καὶ ἀναγκάζειν τοὺς κατὰ χώραν οἰκονόμους δαπάνας αὐτοῖς ἐκπέμπειν ἐκ τῆς ἁγιωτάτης ἐκκλησίας, ἀλλὰ δαπανᾶν μὲν αὐτοὺς ἐκεῖθεν, ταύτῃ δὲ προσκαρτερεῖν οὐκ ἀνέχεσθαι.

1) Ven. ἀρχιεπίσκοπον quod ex Hal. Coll. 87 capp. et Auth. corrigendum erat. 2) Const. XII.

θεσπίζομεν τοίνυν τοῦ παρ' ἡμῶν ἤδη κειμένου νόμου ἐπὶ τῆς ἑαυτοῦ μένοντος ἰσχύος, εἴπερ ἀπολειφθείη ὁ θεοφιλέστατος ἐπίσκοπος τῆς ἐκκλησίας τῆς αὐτοῦ πλείονα χρόνον, μηδεμίαν αὐτῷ στέλλεσθαι δαπάνην ἐκ τῆς χώρας, ἀλλ' ἐκείνην μὲν περὶ πράξεις εὐσεβεῖς καὶ περὶ τὴν ἁγιωτάτην ἐκκλησίαν δαπανᾶσθαι, αὐτὸν δὲ ἐνταῦθα πλανώμενον μὴ καὶ δαπάναις τὴν ἁγιωτάτην ἐκκλησίαν βαρύνειν, πρόδηλον ὄν, ὡς εἰ πολὺν χρόνον ἀπολειφθείη, τὰ ἤδη παρ' ἡμῶν ἐπ' αὐτοῖς νομοθετηθέντα κρατήσει.

δ'. Ἐπειδὴ δὲ ἐτύχομεν ἤδη νομοθετήσαντες, ὥστε εἴ τις ἐν ταῖς ἐπαρχίαις ἐκποίησις ἀκινήτου ἐκκλησιαστικοῦ μέλλοι πράγματος γίνεσθαι, κατὰ δέκρετον ταύτην προϊέναι, καθάπερ ἡ πρῴην φοιτήσασα παρ' ἡμῶν λέγει διάταξις[8]), πράττεσθαι δὲ τὸ δέκρετον μὴ μόνον παρόντος τοῦ θεοφιλοῦς ἐπισκόπου τῆς πόλεως καὶ τοῦ αὐτοῦ κλήρου, ἀλλὰ καὶ τοῦ τῆς μητροπόλεως ἐπισκόπου, οὐ μὴν ἐκεῖνο προσνενομοθέτηται, ὥστε εἴπερ ὁ τῆς μητροπόλεως ἁγιώτατος ἐπίσκοπος μέλλοι πωλεῖν ἤτοι οἱ τῆς ἁγιωτάτης ἐκκλησίας τῆς αὐτοῦ εὐλαβέστατοι οἰκονόμοι, τί δέοι γενέσθαι, καὶ τοῦτο προστίθεμεν, ὥστε δύο ἐκ τῆς ὑπ' αὐτὸν συνόδου τῶν θεοφιλῶν ἐπισκόπων οὓς ἂν ἕλοιτο τούτους παραγίνεσθαι, καὶ τῆς ἄλλης ἁπάσης παρατηρήσεως φυλαττομένης τῆς ἤδη παρ' ἡμῶν νομοθετηθείσης τὸ τῆς παρουσίας τῶν δύο θεοφιλῶν ἐπισκόπων προστεθῆναι, ἵνα κατὰ ταὐτὸν δοκοίη μετὰ τῆς ἑαυτοῦ συνόδου τὸ πρᾶγμα πράττειν, καὶ ὥσπερ αὐτὸς τὸ πρᾶγμα ποιεῖ πιστὸν καὶ αὐταρκὲς τῷ ὑπ' αὐτὸν τεταγμένῳ παραγινόμενος, οὕτω καὶ αὐτῷ ἡ ὑπ' αὐτὸν παραγινομένη σύνοδος διὰ δύο τῶν θεοφιλῶν ἐπισκόπων δόξαιεν[3a]) τὸ πρᾶγμα ποιεῖν ἀσφαλὲς τὴν ἐκ τῆς ἱερᾶς ταύτης συνόδου προσλαμβάνον μαρτυρίαν.

Τοῦτον δὲ ἡμῶν τὸν νόμον πρός τε τὸν θρόνον τῆς

8) Const. LXIII. 3a) Hal. δόξειεν.

σῆς μακαριότητος, πρός τε τοὺς λοιποὺς ἁγιωτάτους πατριάρχας καταπεμπόμενον αὐτοὶ διὰ γραμμάτων οἰκείων τοῖς ὑφ' ὑμᾶς μητροπολίταις ποιήσητε φανερόν, οἱ δὲ δῆλον καταστήσουσι τοῖς ὑπ' αὐτοὺς ἐπισκόποις, ὥστε μηδὲν διαλαθεῖν τῶν παρ' ἡμῶν διαταχθέντων. Dat. Kal. Maii CP. imp. DN. Iustiniani PP. Aug. ann. XII., Iohanne V. C. Cons.[4])

Auth. 70. LXXXVIII. Nov. 68.

Deest apud Hal. — Summae habentur apud Iulian. c. 62, Athan. X, 4, Theod. Nov. 68.

Ὥστε τὴν διάταξιν τοῦ εὐσεβεστάτου βασιλέως[1]) τὴν ἐπὶ ταῖς διαδοχαῖς τῶν γαμικῶν κερδῶν[2]) τὰ ἐξ ἀπαιδίας εἰσάγουσαν κέρδη κρατεῖν ἐν τοῖς μετὰ τὴν διάταξιν συμβαίνουσι[3]) φάκτοις, ἐπὶ δὲ τοῖς πρὸ αὐτῆς τὴν Λέοντος διάταξιν χώραν ἔχειν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων[3a]) καὶ πατρικίῳ.[4])

Ἴσμεν τὴν Λέοντος τοῦ τῆς εὐσεβοῦς μνήμης διάταξιν[5]), τὴν γεγραμμένην ὑπὲρ τῶν εἰς δευτέρους ἀφικνουμένων γάμους εἴτε ἀνδρῶν εἴτε γυναικῶν, καὶ τὸ ἐκ τοῦ γάμου κέρδος τοῖς ἐξ ἐκείνου τοῦ γάμου παισὶν ὁσίως φυλάττουσαν καὶ μόνης τῆς χρήσεως τὸν κερδάναντα κύριον ἀποτελοῦσαν, τὴν δεσποτείαν δὲ ἐκείνοις τηροῦσαν, ὡς εἴ γε οἱ παῖδες καὶ ἔγγονοι τελευτήσαιεν, οὐκ

4) Firmant hanc subscriptionem Iul. Ath. et Theod.
1) Ath. addit Ἰουστινιανοῦ. 2) Ath.: τῶν παίδων. caeterum quod in Ven. est περὶ ταμειακῶν κερδῶν recte emendavit Agylaeus. 3) Ita secundum Ath. in Ven. est συμμείνασι. 3a) Adde ὑπάτῳ ὀρδιναρίῳ. 4) Ven. addit βι. ε' τοῦ κώδ. τί. θ' διατ. ς' καὶ ζ'. 5) l. 6 C. cit.

ὄντος τὸ λοιπὸν οὐδενὸς τοῦ δι' ὃν ὁ τοῖς δευτέροις ὁμιλήσας γάμοις τῆς δεσποτείας ἐστέρηται, μένειν βουλομένη ἀναφαίρετόν τε καὶ ὁλόκληρον παρὰ τῷ κερδάναντι καὶ τὴν ἐκ τῆς δεσποτείας ὠφέλειαν.

α'. Ταύτην ἡμεῖς ἔναγχος ἐπηνωρθώσαμεν[6]), ἄλλα τε διατυπώσαντες καὶ βουλόμενοι τοὺς κληρονόμους τῶν τελευτησάντων παίδων ἢ ἐγγόνων, εἴτε γονεῖς εἶεν εἴτε ἕτεροί τινες, ἔχειν ἐκεῖθέν τινα βοήθειαν, μόνου τοῦ ἀπὸ τελευτῆς ἐξ ἀπαιδίας συμφώνου μένοντος καὶ κατὰ δεσποτείαν παρὰ τῷ κερδάναντι, τοῦ λοιποῦ δὲ ἐπὶ τοὺς κληρονόμους τῶν τελευτησάντων παίδων ἢ ἐγγόνων ἰόντος κατ' οὐδὲν ὑφ' ἡμῶν τοῦ τῆς χρήσεως λόγου καινισθέντος. [§. 1.] ταῦτα τοίνυν καὶ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον κρατεῖν βουλόμεθα, πλὴν εἰ μὴ ἔτυχον οἱ παῖδες πρὶν ἢ τεθῆναι τὴν ἡμετέραν διάταξιν τετελευτηκότες. ἐπειδὴ γὰρ ἔφθη τὸ κέρδος ὁλόκληρον ἤδη προσγενόμενον τῷ τοῖς δευτέροις ὁμιλήσαντι γάμοις τῶν παίδων πρὸ τοῦ νόμου τελευτησάντων, οὐκ ἂν ὁ ἡμέτερος νόμος ἐκεῖνα περιεργάζοιτο, ἅπερ ὁ προλαβὼν νόμος Λέοντος τοῦ τῆς εὐσεβοῦς λήξεως ὑπὸ τὴν ἑαυτοῦ πεποίηκεν ἐξουσίαν· ὥστε οὐ μόνον παίδων ἢ ἐγγόνων οὐχ ὑπόντων ἀσφαλῶς ἕξουσιν ἅπερ ἐκέρδανον, ἀλλ' ἤδη κἂν εἴ τι τούτων παρ' ἑτέροις ἐστὶν, κατὰ τὸν δεσπόταις πρέποντα τρόπον ἐκδικήσουσι. [§. 2.] ταῦτα τοίνυν νόμῳ βραχεῖ[7]) περιστείλαντες τὰς τοιαύτας ἀμφισβητήσεις ἀναιροῦμεν, ἵνα μὴ διηνεκῶς ὑπὸ τῶν αἰτούντων ἐνοχλοίμεθα, ἀλλὰ νόμῳ ταῦτα ἐναποθέμενοι κοινῷ τῶν τοιούτων ἀπαλλαγείημεν ὄχλων, τὸ πρὸ τῆς ἡμετέρας νομοθεσίας σχῆμα φυλάττεσθαι βουλόμενοι τῷ πρὸ ταύτης εὐηργετημένῳ.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ κατὰ τοῦτον ἡμῖν παραστάντα τὸν τρόπον ἅπασι φανερὰ δι' οἰκείων κηρυγμάτων

6) Const. X et XLVIII. 7) Ven. βραχὺ, quod ferri vix potest nec Authentico firmatur.

καὶ προστάξεων καταστησάτω. Dat. VIII. Kal. Iun.[8]) CP. imp. DN. Iustiniani PP. Aug. ann. XII. Iohanne V. C. Cons.

Auth. 73. LXXXIX. Nov. 69.

Cap. 1—4 est in Basil. VI, 21. — Summae: Iulian. c. 68, Ath. IV, 18, Theod. Nov. 69, et capitis 2 liber *Αἱ ῥοπαὶ* XVII, 3. XXI, 2.

Περὶ τοῦ πάντας ὑπακούειν καὶ πείθειν τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν καὶ ἐπὶ ἐγκλήμασι καὶ ἐπὶ χρήμασι, κἀκεῖ τὰς ὑποθέσεις ἐξετάζεσθαι, μηδενὸς ἐξῃρημένου ἀπὸ προνομίου τινὸς χωρὶς θείου πραγματικοῦ τύπου.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Κωνσταντινουπολίταις.[1])

Μίαν εἶναι πασῶν τελεωτάτην ἀρετὴν ὑποληπτέον ἐν ἀνθρώποις τὴν τὰ δίκαια πᾶσι βραβεύουσαν, φαμὲν δὴ τὴν

8) Ven. Πανῆ. quod Scr. legit *Iun.* et ita legendum esse ostendit Auth. et Theod. qui *μηνὶ ἰουνίῳ* habet. — caeterum pro VIII Kal. Iun. malim simpliciter *Kal. Iun.* scribere, quippe tam hanc constitutionem quam constitutiones LXXXIX—XCIV omnes una eademque die ab imperatore sancitas esse crediderim. subscriptiones quidem constitutionum LXXXIX—XCIV quas exhibent Codices MSS. modo Kal. Iun. modo pridie Nonas Iun. adscriptas habent. verum tamen hoc ita explicandum esse videtur ut ab imperatore VIII Kal. Iun. sancitas, sed nonnisi Kal. Iun. et pridie Nonas Iun. emissas sive propositas dicamus. non enim verisimile est, imperatorem tum VIII Kal. tum ipsis Kal. denique etiam pridie Non. Iun. constitutionibus sanciendis vacasse. — Denique ordo, quo constitutiones istae tam in Coll. 168 Novellarum quam apud Iulianum et in Auth. dispositae sunt, aperte temporis datarum constitutionum rationem habet neque tamen in illis plane idem est, quod quomodo fieri potuerit ita demum intellegetur, si omnes istas constitutiones eadem die datas esse statueris. interim in contextu tam hic quam in constt. LXXXIX—XCIV Codicum lectiones religiose repraesentavi et tralatitium ordinem servavi.

1) Ven. addit *ὁμοίως βι. α' τί. ιη' διατ. ι'.*

τοῦ πράγματος ἐπώνυμον δικαιοσύνην. καὶ γὰρ ἑκάστῃ τῶν ἄλλων ἀρετῶν εἰ μὴ παρακολουθοίη τὰ ταύτης ἀγαθὰ, γένοιτο ἂν οὐδὲν τῶν προσηκόντων. τοιγαροῦν οὐδὲ ἀνδρείαν τὴν μὴ μετὰ δικαιοσύνης ἐπαινέσομεν, καίτοιγε ἡ πάτριος φωνὴ τὴν ἐν ὅπλοις ἰσχὺν ἀρετὴν ὀνομάζει μόνην· εἰ δέ τις αὐτῆς τὸ δίκαιον ἀφέλοιτο, πλημμελημάτων ἀφορμὴ[2]) μόνων, οὐ μήν τινος γένοιτο ἂν τῶν βελτιόνων. ταύτην ἐν ταῖς ἡμετέραις ἐπαρχίαις ὁρῶντες παρεωραμένην, νόμῳ θεραπεύοντι θεὸν ἀναῤῥῶσαι καὶ πρὸς ἰσχὺν πρέπουσαν ἀγαγεῖν ᾠήθημεν χρῆναι. πολλοὶ γὰρ οἱ μὲν γράμματα θεῖα, οἱ δὲ προνόμια, οἱ δὲ πραγματικοὺς τύπους, οἱ δὲ προστάξεις ἀρχικὰς, οἱ δὲ ἄλλας ἐξ ἄλλων εὑρίσκοντες προφάσεις ἑαυτοῖς καταπράττουσι τὸ πλημμελεῖν μὲν ἐν ταῖς ἐπαρχίαις ἔξω δὲ ἐκείνων δικάζεσθαι προσποιεῖσθαι. ὁ γὰρ ἐπί τινος τόπου παθὼν κακῶς ἤ τι τῶν οἰκείων ἀποβαλὼν ἢ περὶ ὅρων γῆς δικαζόμενος ἢ περὶ δεσποτείας ἢ περὶ νομῆς ἢ περὶ ὑποθήκης ἢ περί τινος ἄλλου πῶς ἂν ἰσχύσειεν ἑτέρῳ τόπῳ τὰς ἀποδείξεις ὧν ἔπαθε παρασχεῖν; οἱ γὰρ ταῦτα πράττοντες δύναμιν ἐνδεικνύμενοι μόνην καὶ ἰσχὺν οὐ τῷ δικαίῳ πιστεύουσαν τὰ τοιαῦτα τεχνάζουσι· καὶ ταῦτα ἄνθρωποι δρῶσιν ὡς διηνεκῆ τὴν δύναμιν ἕξειν πιστεύοντες, καὶ οὐκ ἀποβλέπουσιν εἰς τὰ πολλὰ καὶ μυρία παραδείγματα, ὅτιπερ ὀψὲ καὶ μόλις καὶ ἐν προσώποις εὐαριθμήτοις ἐκ δυνατῶν εἴδομεν προϊόντας δυνατοὺς καὶ ἐκ πλουτούντων πλουτοῦντας, τὸ δὲ ἐπίπαν σχεδὸν ἐκ μὲν δυνατῶν προϊασιν ἀσθενεῖς, ἐκ πλουτούντων δὲ πένητες, τῆς τῶν πατέρων ἀδικίας τοῖς ἐξ αὐτῶν κατακολουθούσης· καὶ οὐκ ἐννοοῦσιν οὐδὲ λογίζονται, ὡς ὅπερ αὐτοὶ δῆθεν ὑπὲρ ἑαυτῶν μηχανῶνται ταῖς δυνάμεσι χρώμενοι, τοῦτο ἴσως κατὰ τῶν γινομένων[3]) ἐξ αὐτῶν πράττουσιν, οὐ τῆς αὐτῆς ἐκείνοις ἐπακολουθούσης δυνάμεως.

2) Ven. ἀφορμήν. 3) Hal. γιγνομένων, quod forsitan praestat.

α'. Ταῦτα ἐννοήσαντες τὸν παρόντα θεῖναι νόμον ᾠήθημεν χρῆναι, καὶ προαγορεύομεν πᾶσι τοῖς ἐν ταῖς ἐπαρχίαις οἰκοῦσιν, ὁπόσοι τῶν ἡμετέρων κατακούουσι σκήπτρων ἐπὶ τῆς ὑπηκόου πάσης, τῆς τε εἰς ἀνίσχοντα βλεπούσης τῆς τε πρὸς δυόμενον ἥλιον τῆς τε ἑκατέρωθεν οὔσης, ὥστε ἕκαστον ἐφ' ἧς ἐπαρχίας πλημμελεῖ ἢ ἐφ' ἧς χρημάτων ἢ ἐγκλημάτων ὑπεύθυνος γίνεται, εἴτε περὶ γῆς ὁρίων εἴτε περὶ δεσποτείας εἴτε περὶ νομῆς ἢ ὑποθήκης ἢ περὶ ἑτέρας οἱασδήποτε προφάσεως, ἐκεῖσε καὶ τὰς εὐθύνας ὑπέχειν (τοῦτο δὴ τὸ καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις ποικίλως μὲν εἰρημένον δὲ ὅμως, εἰ καὶ μὴ καθαρῶς καὶ ὡς ἡμεῖς αὐτὸ διενοήθημεν), ἀλλὰ μηδὲ ζητεῖν ὑπερόρια πλεονεκτεῖν. [§. 1.] *εἴτε γὰρ μεγάλα τὰ ἁμαρτήματα ἢ τὰ συναλλάγματα καθέστηκε, χρὴ πᾶσι τρόποις ἐπ' αὐτοῖς καὶ προσαγγελίαν εἶναι καὶ γραφὴν, εἰ δεηθεῖεν, καὶ ἐξέτασιν ἐπιχώριον διὰ τὸ πρόχειρον τῶν ἐλέγχων· εἴτε ἐπὶ σμικροῦ τις ὁμοίως πλημμελοίη, μεῖζον ἔτι τὸ ἁμάρτημα γένοιτο, εἰ μηδὲ ἐπὶ τοῖς βραχέσι τῶν δικαίων ἀπολαύσειεν, ἀλλ' ἀναμένοι*[4]*) γενέσθαι τε ἐπ' ἀλλοδαπῆς χώρας, ἐκεῖσέ τε αὐτὸν ἄγειν καὶ περὶ τούτων δικάζεσθαι, ὅν γε οὐδὲ παρόντα οὐδὲ ἐπὶ τῆς χώρας ἴσως διὰ τὴν ἰσχὺν τὴν ἐκείνου ἢ διὰ τὴν ἀσθένειαν τὴν αὐτοῦ μετελθεῖν δύναται προσηκόντως. τί γὰρ ἂν εἴη σχετλιώτερον, ἢ τὸν ἀδικηθέντα τυχὸν ἢ περὶ ἀφαίρεσιν βοὸς ἢ ἵππου ἢ τῶν ὑποζυγίων τινὸς ἢ βοσκημάτων ἢ (ἵνα τοὐλάχιστον εἴπωμεν) κατοικιδίας ὄρνιθος, τοῦτον ἀναγκάζεσθαι μὴ καθ' ἣν ἀφῄρηται χώραν δικάζεσθαι, ἀλλ' ἀλλαχόσε τρέχειν, κἀκεῖσε τὰς ἀποδείξεις ὧν ἔπαθεν ἀπαιτεῖσθαι, καὶ ἢ πολλαπλασίαν ὑπομένειν τὴν δαπάνην τῆς τοῦ πράγματος ἀποτιμήσεως ἢ τὴν ἀπορίαν στενάζοντα φέρειν; ἔνθεν ἡμῖν πλῆθος πολὺ τῶν προσιόντων ἐφ' ἑκάστης ἐστὶ, καὶ τά γε πολλὰ ἐπὶ τοιαύταις αἰτίαις ἐνοχλούμεθα μικρῶν*

4) Ven. *ἀναμένει.*

ἕνεκα προφάσεων, αὐτοί τε πολλὰς ὑπομένοντες ὀχλήσεις, ὁρῶντές τε πολὺ μὲν πλῆθος ἀνδρῶν πολὺ δὲ γυναικῶν ἐκ τῶν οἰκείων τόπων ἐξανιστάμενον καὶ εἰς ταύτην ἀφικνούμενον τὴν εὐδαίμονα πόλιν, ὧν οἱ πλεῖστοι καὶ μεταστοῦντες καὶ ἐρανιζόμενοι τοῦτο πράττουσιν, ἔστι δὲ ὅτε καὶ τελευτῶσιν ἐνταῦθα.

β'. Εἰ μὲν οὖν ἐνδημοῖεν ἄμφω τῇ χώρᾳ ὅ τε ἐνάγων ὅ τε ἐναγόμενος, μηδαμῶς εἰς ἑτέραν ἐπαρχίαν τὸ πρᾶγμα ἕλκεσθαι μηδὲ εἰς ταύτην τὴν εὐδαίμονα πόλιν, μήτε ἐκ προνομίου τινὸς μήτε ἐκ κελεύσεως, ἀλλ' αὐτόθι τέμνεσθαι. εἰ δὲ ὁ μὲν πάρεστιν ὁ δὲ ἄπεστιν, ὁ δὲ παρὼν ἐκ τῆς οἰκίας τοῦ μὴ παρόντος ἀδικεῖται, ἐν αἰτίαις γινέσθω πᾶσι τρόποις αὐτὸς ὁ τὴν ἀδικίαν πεπραχὼς, εἴτε φροντιστὴς εἴτε μισθωτὸς εἴτε ὁστισοῦν τῶν αὐτοῦ εἴη. ἐξέστω δὲ αὐτῷ πρὸς τὸ τῆς ἐπαρχίας διάστημα κατὰ τὸν νόμον τὸν κοινὸν τὸν πάλαι κείμενον προθεσμίαν λαμβάνοντι μηνύειν τὰ περὶ τούτων ἐκείνῳ, πρὸς ὃν τὸ πρᾶγμα ἀναφέρεται. [§. 1.] ἀλλ' εἰ μὲν σύνεγγυς ἡ ἐπαρχία καθέστηκεν ἐν ᾗ τοῦτο πράττεται, μιᾶς ἢ δύο μόνων ἐπαρχιῶν ἐν μέσῳ καθεστωσῶν, τεσσάρων αὐτῷ μηνῶν διδόσθω προθεσμία· εἰ δὲ μεῖζον εἴη τὸ διάστημα, ἕξ· εἰ δὲ ἐκ Παλαιστίνης τυχὸν ἢ Αἰγύπτου ἢ ἔκ τινος τῶν ἐθνῶν τῶν ποῤῥωτέρω, μῆνες ὀκτὼ πρὸς τοῦτο ἀρκέσουσιν· εἰ δὲ ἐκ τῶν ἑσπερίων ἐθνῶν ἢ τῶν ἀρκτῴων ἢ τῶν ἐπὶ Λιβύης, τηνικαῦτα ὁ καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις αὐτάρκης δόξας εἶναι χρόνος ὁριζέσθω, φαμὲν δὲ τὸν τῶν ἐννέα μηνῶν, ὥστε ἐκεῖνον, εἰ μὲν αὐτῷ τῷ μεμηνυκότι πιστεύει, τὴν δίκην ἐκείνῳ ταύτην ἐπιτρέπειν, εἰ δὲ ἀλλοιότερόν τι πρὸς ἐκεῖνον φρονεῖ, ἕτερον γοῦν ἐκπέμπειν τὸν ὑποδεξόμενον πᾶσι τρόποις τὴν ἐναγωγὴν, καὶ πληρώσοντα πάντως τὰ ψηφιζόμενα, εἰ μὴ ἔφεσις[5]) ἀκολουθήσειεν, εἴτε ἐπὶ μείζονος εἴτε ἐπὶ ἐλάττονος αἰτίας.

5) Ven. inter lineas ἤτοι ἔκκλητος.

εἰ δὲ ὁ μὲν μηνύσειεν ὁ δὲ οὐκ ἐπιτρέψειε, καὶ ὁ τεταγμένος παραδράμοι χρόνος, ὡς δὴ κυρίως πράττοντα τὸν ἡτιαμένον καὶ[5a]) ὑπὲρ τοῦ ἀπόντος προσώπου καὶ ἄκοντα παραστησάσθω ὁ τῆς ὑποθέσεως ἀκροώμενος παρὰ τὸ οἰκεῖον δικαστήριον, καὶ τὴν δίκην ἐξετάσας[5b]) παρόντος τοῦ τὴν ἐναγωγὴν ὑφισταμένου καταδικαζέτω καὶ αὐτὸν εἴπερ ὑπεύθυνος φανείη, καὶ πρός γε ἐκεῖνον τὸν μετὰ τὴν τοιαύτην ὑπόμνησιν ἐκπέμψαι τινὰ κατὰ τὴν χώραν μὴ βουληθέντα, εἴπερ ὅλως ὑπεύθυνος φανείη. καὶ εἰ μὲν εὔπορος εἴη, αὐτὸς ἐκτιννύτω τὰ ἐκ τῆς ψήφου, εἰ δὲ ἀπόρως ἔχοι καὶ μὴ ἀρκοίη πρὸς τὸ πᾶν τῆς καταδίκης, τηνικαῦτα καὶ ἐκ τοῦ ἀπόντος[6]) ἀναπληρούσθω τῷ νενικηκότι ἡ ἐπὶ τούτῳ ζημία.

γ΄. Εἰ δὲ οὐδὲ αὐτὸς φανείη ὁ τὸν κύριον τῆς δίκης παραστήσασθαι κελευσθεὶς ἢ τὸν ὑπὲρ αὐτοῦ νομίμως πράττοντα, τότε καλείσθω μὲν τῇ τοῦ νόμου φωνῇ, μὴ ὑπακούων δὲ καταδικαζέσθω καὶ ἀπὼν κατὰ τὸ καλούμενον τῶν ἐρημοδικιῶν σχῆμα· ὁ γὰρ κατὰ προπέτειαν ἀπολιμπανόμενος κατ' οὐδὲν ἂν ἐλάττων τοῦ παρόντος νομισθείη. εἰ μέντοι ὁ μὲν ἴσως παραγένοιτο ἢ στείλειέ τινα, ὁ δὲ κατηγορήσας ἀπολειφθείη, τότε καὶ ἀφιέτω τὸν ἐναγόμενον καὶ τὰς ζημίας αὐτῷ θεραπεῦσαι τὸν συκοφάντην καταναγκαζέτω. οὕτω γὰρ ἔσονται μέτριοι πάντες, οὕτω τοῦ πλημμελεῖν παύσοιντο, οὕτως οὐχ ἡγήσονται δύνασθαι τὸ πλουτεῖν τοῦ δικαίου κρατεῖν. [§. 1.] καὶ οὐ λέληθεν ἡμᾶς, ὡς ἴσως οὐδὲ τοῦτο ἀρκεῖ πρὸς τελειοτάτην τοῦ πράγματος θεραπείαν, τῶν δικαζόντων τοῖς δυνατωτέροις μᾶλλον ἢ τοῖς τὰ δικαιότερα βουλομένοις καὶ ἐπὶ χώρας χαριζομένων, ἀλλ' ὅμως ἴσμεν τό γε πλεῖστον τῶν ἀδικημάτων θεραπεύσαντες τῇ νομοθεσίᾳ ταύτῃ, μᾶλλον δὲ τό γε ἐφ' ἡμῖν τὸ πᾶν ἔσται τεθεραπευμένον· οἱ γὰρ οὐκ ἄλλως παραδιδόντες τὰς ἀρχάς, εἰ μὴ πρότερον

5a) καὶ abesse malim. 5b) Ven. ὡς παρόντος. 6) Hal. et Auth. ἐκ τῶν τοῦ ἀπόντος. fortasse rectius.

ὅρκον ὑπόσχοιεν οἱ ταύτας παραλαμβάνοντες, ὥστε τὸ δίκαιον ἅπασι κρίνειν καὶ καθαρὰς φυλάττειν τὰς χεῖρας, οὐδὲν οἶμαι μετὰ τὸν παρόντα νόμον ἑτέρας τινὸς δεησόμεθα προσθήκης, εἴ γε οἱ μὲν δίκαια δικάζουσι πρὸς τὸν νόμον τε ὁμοῦ καὶ τὸν ὅρκον βλέποντες.

δ'. Ἐξαρπάσει δὲ τῶν ἐπιχωρίων ἀρχῶν τοὺς ἀδικοῦντας οὐδὲ εἷς οὐδεμιᾷ χρώμενος ἢ προνομίᾳ ἢ δυνάμει ἢ τύπῳ, πλὴν εἰ μὴ θεῖος ἡμέτερος πραγματικὸς τύπος προφάσει δημοσίας αἰτίας προελθὼν ἀγώγιμον ἐνταῦθά τινα γενέσθαι προστάξειεν, ἢ ὁ νόμος ποιοίη ὁποῖον ἐπὶ τῶν ἐκκλήτων· καίτοιγε καὶ τοῦτο κατὰ τὸ πολὺ μέρος ἐθεραπεύσαμεν, πολλοὺς τῶν μειζόνων ἀρχόντων τῶν ἐν ταῖς ἐπαρχίαις ἐφέτας καθιστῶντες, ἵνα παρ' ἐκείνοις μᾶλλον τὰ τῆς ἐφέσεως, ὅταν μὴ περὶ μεγίστου τινὸς εἴη τὸ ζητούμενον, ἢ κατὰ ταύτην ἀγωνίζοιτο τὴν εὐδαίμονα πόλιν. [§. 1.] τοῦτον οὖν ἀναθέντες δικαιοσύνῃ τὸν νόμον ἔτι μᾶλλον ποιήσομεν αὐτὸν δικαιότερον, εἰ μηδενὶ συγχωρήσομεν ἔχειν κατ' αὐτοῦ τινα προνομίαν, μηδὲ ἐξαιρεῖσθαι τοῦ νόμου τούτου μηδ' ὁτιοῦν προνόμιον, μηδὲ εἴ τινι τῶν ἁγιωτάτων ἐκκλησιῶν πεφιλοτίμηται ἤ τινι τῶν εὐαγῶν ξενώνων ἢ ὅλως τῶν σεβασμιωτάτων οἴκων ἤ τινι τῶν αὐτῆς τῆς βασιλείας οἴκων ἢ τοῦ θείου πατριμονίου[7]) ἢ τῶν θείων πριβάτων[8]), αἵπερ εἰκότως μετὰ τὴν ἄνωθεν εἰσὶ τιμὴν δεύτεραι τεταγμέναι, μήτε εἴ τισι[9]) τῶν ἀρχόντων ἢ ἐν δυνάμεσιν ὄντων ἢ ὅλως τῶν ὑφ' ἡμᾶς τεταγμένων ἀνθρώπων, ἀλλ' ἅπαντες ὑπακούοιεν τοῦ νόμου καὶ ὑποκεκλιμένοι τῷ τῆς δικαιοσύνης θεσμῷ τιμῷέν τε αὐτὸν καὶ διὰ πάντων ἄγοιεν ἰσχυρὸν, μὴ μόνον εἰς ἑαυτοὺς βλέποντες ἀλλὰ καὶ εἰς τὰς ἐφεξῆς διαδοχὰς, καὶ εἰδότες ὡς οὐδὲν σχεδὸν τῶν ἐπὶ γῆς ἐπὶ ταὐτοῦ μένει, ῥέει δὲ ἡ φύσις ἀεὶ

7) Ven. inter lineas θησαυροῦ. 8) Ven. inter lineas ἤτοι περιουσιῶν. 9) Ven. τις.

εἰς πολλὰς καὶ ἀμηχάνους ἐξελιττομένη τροπάς, ἃς οὐδὲ προϊδέσθαι ῥᾴδιον οὐδὲ προειπεῖν, θεοῦ μόνου καὶ βασιλέως ἀκολουθοῦντος θεῷ ταύτας κυβερνᾶν μετρίως τε καὶ ἐπιεικῶς δυναμένου. [§. 2.] εἰ δὲ καί τις χρήσαιτό τισι θείοις τύποις εἴτε πραγματικοῖς εἴτε ἄλλοις περὶ τοιούτου τινὸς αὐτῷ πεπορισμένοις, ἔσονται παντελῶς ἄκυροι, τῶν ἀρχόντων μεγάλην ἐκτιννύντων ποινήν, εἴπερ ὅλως προσδέξοιντο. καὶ οὐ τὸ γενόμενον μόνον θεραπεύομεν, ἀλλὰ καὶ τὸ ἐσόμενον. καὶ γὰρ εἰ μετὰ ταῦτα τοιοῦτό τι πορισθείη τισὶ τῶν ἡμετέρων ὑπηκόων ἢ ἑτέρῳ τινὶ τῶν ἔμπροσθεν ἀπηγορευμένων (ἐν οἷς περιλαμβάνομεν ὡς εἴρηται καὶ ἐκκλησίας καὶ εὐαγῆ μοναστήρια καὶ τοὺς θείους ἡμῶν οἴκους καὶ τὰ θεῖα πριβάτα καὶ τὸ θεῖον πατριμόνιον), οὐδὲ οὗτοι παντελῶς κρατήσουσιν. ἔσται δὲ ὁ νόμος οὗτος πανταχόσε τὴν ἑαυτοῦ δικαίως ἐκτείνων ἰσχύν, καὶ ἅμα μὲν τὰ μέλλοντα ἀσφαλῆ καθιστῶν, ἅμα δὲ τὸ παρελθὸν θεραπεύων. [§. 3.] ἴστε τοίνυν ἅπαντες ὑπήκοοι, ὅσους ὁ θεὸς τοῖς τε ἡμῶν προγόνοις καὶ ἡμῖν δεδώρηται, ὡς ταύτην ὑμῖν δίδομεν τὴν νομοθεσίαν πᾶσαν ὑμῖν ἀσφάλειαν χαριζόμενοι, καὶ οὔτε ὁδοιπορήσετε μακρὰ[10]), οὔτε κατὰ τῶν μειζόνων δακρύσετε, οὔτε ἡμᾶς μέμψεσθε ὡς ταῦτα μὴ θεραπεύοντας. ἀλλ' ἕκαστος ἐγγύθεν ὁρῶν τὴν ἐφ' οἷς ἂν ζημιωθείη τυχὸν ἢ βλαβείη ποινὴν καὶ ταύτην θεραπευομένην βλέπων τὸν μέγαν τε καὶ ἀγαθὸν ἀνυμνήσει θεόν, τὸν ταῦτα ἡμῖν νομοθετῆσαι καλῶς τε καὶ δικαίως ἐλλάμψαντα. ἔστω δὲ ποινὴ τοῖς ταῦτα ἁμαρτάνουσιν ἢ προϊεμένοις[11]) ἄρχουσιν ἥ τε τῆς ἀρχῆς ἔκπτωσις καὶ decem librarum auri[12]) ζημία.

Οἱ τοίνυν ἐνδοξότατοι ὕπαρχοι τῶν ἱερῶν ἡμῶν πραιτωρίων οἱ πανταχόσε τῆς ὑπηκόου καθεστῶτες τὸν νόμον

10) Hal. et Bas. μακρὰν, quod forsitan praestat. 11) προσϊεμένοις Hal. Bas. Auth. 12) Ven. addit ἤτοι et inter lineas δέκα λιτρ. χρυ.

τοῦτον γινώσκοντες προθήσουσιν ἐν ταῖς ὑπ' αὐτοὺς διοικήσεσιν, ἐπί τε Ἰταλίας ἁπάσης ἐπί τε Λιβύης ἐπί τε τῶν νήσων ἐπί τε τῆς Ἑῴας καὶ ὅσον ἐν Ἰλλυριοῖς ἐστί. καὶ εἴσονται πάντες, ὅπως αὐτῶν κηδόμεθα τῷ τοσαῦτα ἡμῖν παρασχόντι θεῷ προσάγοντες τὸν νόμον, ὃς μεγάλην ἡμῖν τὴν ὑπὲρ ἑαυτῶν[13]) ἀπολογίαν δώσει τοιαῦτα προφάσει τῆς[14]) τῶν ὑπηκόων σωτηρίας νομοθετήσασι. Proponatur Constantinopoli.[15]) Imp. DN. Iustiniano PP. Aug. ann. XII, Iohanne V. C. Cons.

Nov. 70. XC. Auth. 72.

Summae: Iulian. c. 64, Athan. VIII, 3, Theod. Nov. 70.

Περὶ βουλευτῶν, ὥστε αὐτοὺς τότε τιμῆς praefectorias ἐπιλαβομένους ἐλευθεροῦσθαι βουλῆς, ὅτε ἔμπρακτον ταύτην λάβοιεν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων[1]) καὶ πατρικίῳ.

Πολλὰ τῶν ἤδη νομοθετηθέντων καταρραθυμηθέντα τε καὶ οὐ ῥᾳδίως πολιτευσάμενα παντελῶς ἔδοξεν ἀνομοθέτητα καθεστάναι. ἴσμεν γὰρ, ὡς[2]) τὸ ἀρχαῖον ἦν τινὸς ἐπαρχότητος σχῆμα, ἣν ὀνοραρίαν ἐκάλουν, κωδικίλλων ἐκ τῆς βασιλείας ἐπ' αὐτῇ παρεχομένων (ταύτην δὲ οὕτως ὠνόμαζον, ὡς οὐδενὸς ἑτέρου πλὴν ἢ ψιλῆς τιμῆς τοῖς ταύτης

13) Auth. αὐτῶν legisse videtur. 14) Ven. τοῖς. 15) Auth. addit. Data Kal. Iun. Athan. ἐγράφη καλ. ἰουλ. Theod. ἐξεφωνήθη μηνὶ ἰουνίῳ. vide not. 8 ad c. LXXXVIII.
1) Adde ὑπάτῳ ὀρδιναρίῳ. Hal. ἀπὸ ὑπ. ὀρδιναρίων. 2) Ven. εἰς.

ἠξιωμένοις παρεχομένης), ἥτις τοὺς βουλευτὰς οὐκ ἀπήλλαττε τύχης βουλευτικῆς, εἰ μή τις αὐτὴν ἐν αὐτῷ τῷ ἔργῳ διῳκήσατο. καὶ ὥσπερ ἐπὶ τῶν ἐνδοξοτάτων στρατηλατῶν ὁρῶμεν, ὡς οὐκ ἄν τις οὐδὲ ἐκ στρατηγίας ἀπαλλαγείη τύχης βουλευτικῆς, εἰ μὴ ταύτην ἔργῳ πράξειε (καὶ γὰρ δὴ καὶ τὰς στρατηλασίας praefectorias εἶναι οἱ ἡμέτεροι λέγουσι νόμοι, οἱ δὲ ψιλοὶ τῆς στρατηλασίας κωδίκιλλοι μόνην παρέχουσιν ἀξίαν τύχης οὐκ ἐλευθεροῦντες), οὕτω καὶ ἐπὶ ταύτης τῆς ἐπαρχότητος, εἰ μέλλοι τὶς ἐλεύθερος τοιαύτης γίνεσθαι τύχης, ἀνάγκη τοῦτον αὐτῇ τῇ ἀρχῇ παραγγείλαντα τῶν τῆς βουλῆς δεσμῶν παρ' ἐκείνης ἐκλυθῆναι.

α'. Ἀνανεούμενοι τοίνυν τὸν τοιοῦτον νόμον θεσπίζομεν, εἴποτε δόξειε τῇ βασιλείᾳ τιμῆσαι βουλευτὴν, εἰ μὲν ὥστε καὶ ἀπαλλάξαι τῆς τύχης, διδόναι αὐτῷ σύμβολα τῆς ἀρχῆς, καὶ παρασκευάζειν αὐτὸν ἐπὶ τῶν τοιούτων γινόμενον θρόνων, ἢ τῆς πολιαρχίας τῆς ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ καὶ τῇ νέᾳ δὴ ταύτῃ τῇ καθ' ἡμᾶς, εἴτε ἐπὶ τῶν πραιτωριανῶν βημάτων, τῶν τε τῆς Ἑῴας τῶν τε τῆς Ἑσπέρας τῶν τε τῆς Λιβύης καὶ μὴν καὶ τῶν ἐπὶ τῆς Ἰλλυρίδος, οὕσπερ ἅπαντας ὑφ' ἡμᾶς πεποίηκεν ὁ θεὸς, καὶ οὕτω τῆς ἐλευθερίας ἀπολαῦσαι, ὥστε μεγάλης αὐτοὺς ἠξιωμένους τιμῆς, ἀπήνῃ τε ἐποχουμένους καὶ βοώντων κηρύκων ἀκούοντας καὶ πρός γε τῶν δικαστικῶν ἐπιβαίνοντας θρόνων τῆς τοιαύτης τύχης ἐλευθέρους καθεστάναι. εἰ δὲ μόνης αὐτοῖς μεταδοῦναι βουληθείη[3]) τιμῆς, ποιεῖσθαι μὲν κωδικίλλους καὶ τούτους ἐπιδιδόναι, τοσοῦτον δὲ ἰσχύειν τὴν τοιαύτην τοῦ βασιλέως δόσιν, ὥστε αὐτὸν τετιμημένον μὲν καὶ τῆς μεγάλης βουλῆς μέρος εἶναι δοκεῖν, οὐ μὴν οὐδὲ τῆς ἐπιχωρίου βουλῆς οὐδὲ τοῦ κατ' αὐτὴν λευκώματος ἀπαλλάττεσθαι, ἀλλὰ μένειν ἐπὶ τῆς ἀρχαίας τύχης, μόνην κερδάναντα τὴν

3) Ven. et Hal. βουληθεῖεν, quod Auth. duce correxi. βουληθείη scil. ἡ βασιλεία, ut superius δόξειε τῇ βασιλείᾳ.

τιμὴν, καὶ οὕτω χάριν εἰδότα θεῷ τε καὶ βασιλείᾳ, ὅτι μετέστησεν αὐτὸν ἐπὶ τὰ καλλίω τῆς ἔμπροσθεν χθαμαλότητος ἀπαλλάξασα. καὶ ἔστω καὶ τοῦτο προσθήκη τῶν βασιλικῶν γερῶν, οὐδὲ τὸ δημόσιον ἐλαττοῦσα, οὐδὲ τύχης οὐδὲ τῶν συνήθων αὐτῇ λειτουργημάτων ἀπαλλάττουσα τὸν βουλευτήν, καὶ τῷ ταύτης ἠξιωμένῳ τὴν τότε παροῦσαν αὔξουσα τύχην καὶ ἀποφαίνουσα σεμνότερον καὶ τῶν ἄλλων βουλευτῶν κατὰ τὴν ἀξίαν προὔχοντα μόνην.

Τὰ τοίνυν παραστάντα ἡμῖν[4]) *ἡ σὴ ὑπεροχὴ φυλάττειν σπευσάτω, εἰδυῖα ὡς οὔτε τοὺς βουλευτὰς ἠλαττώσαμεν*[5]), *καὶ σεμνοτέρους αὐτοὺς τοῖς ὅλοις ἀπεφήναμεν, ὥστε εἴσονται ταῦτα αἱ πόλεις διὰ κηρυγμάτων τῶν σῶν, ὥστε τοὺς ἐν αὐταῖς βουλευτὰς ταῦτα γινώσκοντας τὴν ἡμετέραν εἰκότως εὐφημεῖν βασιλείαν.* Dat. Kal. Iun.[6]) CP. DN. Iustiniano PP. Aug. ann. XII. Iohanne V. C. Cons.

4) Hal. addit *καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου.* 5) Videntur hic nonnulla excidisse, ut et mox Hal. voces *τῶν* (ante *σῶν*) et *εἰκότως* omittit, et Auth. circa finem lacunoso textu utitur. 6) Theod. *μηνὶ ἰουνίῳ.* Auth.: prid. Non. Iun. vide not. 8 ad c. LXXXVIII.

Auth. 71. XCI. Nov. 71.

Cap. 1 est in Basil. VII, 8, 30. cf. etiam Epanag. XI, 10. — Summas praestant Iulian. c. 121, Ath. XXII, 5, Theod. Nov. 71.

Ὥστε τοὺς ἰλλουστρίους ἐν τοῖς χρηματικοῖς δι' ἐντολέως πάντως λέγειν τὰς δίκας, καὶ ἐπὶ τῆς[1]) ἰνιουριάρουμ δὲ ἐγκληματικῶς κατὰ τὸ δεδομένον αὐτοῖς προνόμιον. τοῖς δὲ λαμπροτάτοις ἐξεῖναι καὶ δι' ἑαυτῶν καὶ δι' ἐντολέων λέγειν τὰς χρηματικὰς δίκας.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὑπάτῳ ὀρδιναρίῳ καὶ πατρικίῳ.[2])

Ὁπόσα προΐασι μὲν δῆθεν τιμῆς ἕνεκεν καὶ σχήματος κρείττονος, τὸ δὲ ἐντεῦθεν ἐκβαῖνον οὐ τιμὴν ἀλλ' ἴσως[3]) τινὰ ζημίαν ἐπάγει, ταῦτα καλῶς ἔχειν ἡγούμεθα βραχεῖ[4]) θεραπεῦσαι νόμῳ. εἴρηται γάρ τισι τῶν διατάξεων[5]), ὥστε μηδενὶ τῶν λαμπροτάτων ἐξεῖναι δι' ἑαυτοῦ δίκην ἀγωνίζεσθαι, δι' ἐντολέων δὲ πάντως. ἀλλὰ τοῦτο μὲν ἡ παλαιότης ἐπὶ τῇ τῶν ἀξιωμάτων ἔγραψε τιμῇ, πολλοὺς δὲ ὁρῶμεν ἀξιῶν μὲν τυχόντας καὶ τοῖς λαμπροτάτοις ἐγγεγραμμένους, ἢ κόμησιν ἢ τριβούνοις ἢ εἴ τινες ἄλλοι καθεστᾶσι τοιοῦτοι, οὐσίας δὲ μετρίας κυρίους, ὥστε παντελῶς μὴ ἰσχύειν πρὸς ἐντολέως προβολὴν καὶ τὴν διὰ τοῦτο δαπάνην.

α'. Θεσπίζομεν τοίνυν, ἄχρι μὲν τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων τοῦτο κρατεῖν, καὶ πάντως αὐτοὺς δι' ἐντολέως τὰς χρηματικὰς ἀγωνίζεσθαι δίκας, καὶ μὴν καὶ

1) Ven. *τοῖς*. quod aut in *τῆς* mutandum aut mox cum Hal. *ἐγκληματικοῖς* legendum est. 2) Ven. addit *βι. τῶν βασιλ. ζ' τί. η' κεφ. τελευταῖον.* 3) Hal. inserit *καί*. non male. 4) Ven. *βραχύ*. 5) l. 25 C. 2, 13.

τὴν ἰνιουριάρουμ δι᾽ ἐντολέως κατὰ τὸν ἐγκληματικὸν τρόπον κινεῖν κατὰ τὸ δεδομένον αὐτοῖς ἐπὶ ταύτης προνόμιον, ὥστε μὴ ἀναγκάζεσθαι ἢ συγκαθῆσθαι τοῖς ἄρχουσιν ἐν ᾧ δικάζουσιν, ἢ παρεστάναι πάλιν οἷα δικαζομένους· ἑκατέρωθεν γὰρ τὸ πρᾶγμά ἐστιν ἐπισφαλές, ἢ τῶν ἀξιωμάτων ὑβριζομένων ἢ τοῦ δικαστικοῦ σχήματος ἀναξίως προϊόντος. ἐπείτοιγε μετὰ τοὺς μεγαλοπρεπεστάτους ἰλλουστρίους ἅπασιν ἄδεια ἔστω βουλομένοις καὶ ἐντολεῖς προβάλλεσθαι καὶ δι᾽ ἑαυτῶν ἀγωνίζεσθαι, οὐδεμιᾶς ἐντεῦθεν οὐδὲ κωλύσεως οὐδὲ ζημίας οὐδὲ ποινῆς περὶ τοῦτο[6]) ἐπαγομένης αὐτοῖς.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἅπασι ποιησάτω φανερά, τὰ συνειθισμένα ἐπὶ τούτοις πράττουσα. Dat. Kal. Iun.[7]) CP. imp. DN. Iustiniano PP. Aug. ann. XII., Iohanne V. C. Cons.[8])·

Nov. 72. **XCII.** Auth. 75.

Basil. XXXVII, 11 (ex Synopsi). — Summae: Iulian. c. 65, Athan. XIII, 1, Theod. Nov. 72. cf. etiam *αἱ ῥοπαὶ* XIV, 6. not. 98.

Περὶ κουρατόρων καὶ κηδεμόνων καὶ τῆς τῶν νέων φροντίδος.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὑπάτῳ ὀρδιναρίῳ καὶ πατρικίῳ.[1])

Πάντα μὲν τῷ νομοθέτῃ τὰ τῆς πολιτείας ἐν μεγάλῃ φροντίδι καθέστηκεν, ὅπως ἂν ἄριστα ἔχοι καὶ ἁμαρτάνοιτο

6) Ven. *παρὰ τοῦτο.* Bas. *παρ᾽ αὐτοῦ.* 7) Athan. *πρὸ νόνων ἰουλίων.* 8) Ath. *μετὰ τὴν ὑπατείαν ἰωάννου.* Auth.: prid. Non. Iun. verumtamen in editionibus glossatis est prid. Non. Iul. vide not. 8 ad c. LXXXVIII.

1) Ven. addit: *τὸ ἐναντίον βι. ε΄ τοῦ κώδ. τί. λθ΄ διατ. η΄*

μηδὲν, διαφερόντως δὲ τὰ συμβόλαια τῶν νέων καὶ ἡ περὶ αὐτοὺς φροντὶς πρᾶγμά ἐστι περισπούδαστον τοῖς τοῦ νομοθετεῖν παρὰ θεοῦ τὴν ἐξουσίαν λαβοῦσι, φαμὲν δὴ τῷ βασιλεύοντι. πολλῶν γοῦν ἠκούσαμεν δικῶν, ἔνθα οἱ θαυμαστοὶ κηδεμόνες ἐκχωροῦνται κατὰ τῶν νέων, εἴτε ἀνήβων εἴτε ἐφήβων μὲν ἐπὶ δὲ τῆς δευτέρας ἡλικίας ὄντων, καὶ εὐθὺς κύριοι τῆς ἐκείνων γίνονται περιουσίας, ἢ τὰ οὐκ ὄντα ἴσως ὑπεισιόντες χρέα ἢ ὀλίγου τιμήματος ἐκχωρούμενοι τὰ πανταχόθεν σαθρά, ἢ καὶ ἀποκρύπτοντες ἀποδείξεις τῶν χρεῶν οὔσας ἐν τοῖς τῶν νέων πράγμασι καὶ οὕτω τὰς ἐκχωρήσεις λαμβάνοντες, καὶ κατὰ πολλὰς ἄλλας προφάσεις (τί δὲ οὐκ ἄνθρωπος πρὸς κακίαν ἅπαξ ἐκκλίνας ἐξεύροι;) τὰ τῶν νέων οἰκειοῦνται πράγματα.

α'. Ταῦτα ἅπαντα νόμῳ διορθῶσαι βουλόμεθα, καὶ πρός γε ἐκεῖνο τὸ εἴ τις ὑπεύθυνον ἔχοι τὸν νέον ἢ τὰ αὐτοῦ πράγματα, τοῦτον μηδὲ παριέναι παντελῶς εἰς τὴν αὐτοῦ κηδεμονίαν κἂν εἰ παρὰ τῶν νόμων καλοῖτο. τί γὰρ ἂν οὐ πράξειεν ὑπὲρ ἑαυτοῦ κύριος ἑαυτοῦ τε ὢν καὶ τῶν τοῦ ἀντιδίκου πραγμάτων γινόμενος[1a]*); διὰ ταῦτα γὰρ κἀκεῖνο νομοθετοῦμεν, ὥστε εἰ προφανέστατα δῆλός ἐστιν ὁ γινόμενος κηδεμὼν αὐτὸς ὑπεύθυνος ὢν τοῖς τοῦ νέου δικαίοις, οὐδὲ ἐκεῖνος κηδεμὼν ἔσται, μή ποτε ἢ γραμματεῖον ἐκκλέψειεν ἢ ἄλλας ἀποδείξεις οὔσας ἀφανίσειε τῷ νέῳ, καὶ ἡ κηδεμονία γένοιτο τούτῳ τῶν οἰκείων πραγμάτων ὄλεθρος. τοῦτό τε οὖν*[2]*) ἀσφαλεῖ καταδεδέσθω νόμῳ, τὸ μηδένα τῶν ὑπεύθυνα λεγόντων ἔχειν τὰ πράγματα τοῦ τελευτήσαντος καὶ τὸν νέον αὐτὸν καὶ τὰ τούτου πράγματα ἢ καὶ περιφανῶς ὑπεύθυνον ὄντα παριέναι πρὸς τὴν κηδεμονίαν τὴν αὐτοῦ, μηδὲ ἔχειν παῤῥησίαν τοιοῦτό τι πράττειν.*

καὶ τί. μδ' διατ. α' καὶ βι. κς' τί. β' διγ. κδ' καὶ κζ' καὶ τί. ζ' διγ. ε' καὶ βι. κζ' τί. α' διγ. ς' καὶ κ'. 1a) Auth. in vulgatis editionibus: *nuper* effectus, i. e. *ἔναγχος γινόμενος.* 2) Hal. *τοῦτο τοίνυν.* non male.

β'. Καὶ τὸ καθόλου εἴ τις ἤδη τῆς κηδεμονίας ἐχόμενος ὑπεύθυνον αὐτῷ[3]) κτήσοιτο τὸν νέον, κλήρου τυχὸν εἰς αὐτὸν κατενεχθέντος τινὸς ὃς ὑπεύθυνον εἶχε τὸν νέον ἢ ἄλλης τοιαύτης προφάσεως, μηκέτι μόνον αὐτὸν εἶναι πιστὸν πρὸς τὴν τῶν ἀνήβων ἢ τῶν νέων κηδεμονίαν, ἀλλὰ παραζεύγνυσθαι ἐπίτροπον ἕτερον ἢ κηδεμόνα (τοῦτο[4]) ὅπερ ἐν πολλοῖς θέμασι τῶν νόμων εὑρίσκομεν), ὥστε φυλάττειν ἐκεῖνον μή τι γένηται κατὰ τοῦ νέου ἢ τῆς αὐτοῦ περιουσίας παρὰ τοῦ κτησαμένου τοῦτον ὑπεύθυνον ἐν μέσῳ κακούργημα· ἀλλ' αὐτὸ τοῦτο παρατηροίη, ὅρκον τε ὀμνὺς ἐπὶ τῇ χειροτονίᾳ ὡς τοῦτο φυλάξει, καὶ τὴν ἐκ τῆς πρὸς τὸν συγκηδεμόνα προδοσίας ποινὴν εὐλαβούμενος.

γ'. Ἵνα δὲ μὴ δῶμεν παραίτησιν πᾶσιν ἀνθρώποις ἐπιτροπῆς ἢ κηδεμονίας, εἰ λέγοιεν ὡς ὑπεύθυνα ἔχουσι τὰ πράγματα τῶν νέων ἢ προφανῶς[5]) ὑπεύθυνοι καθεστᾶσι, θεσπίζομεν εἴ τις φήσειεν ὑπεύθυνον ἔχειν τὸν νέον ἢ τὰ αὐτοῦ πράγματα ἢ τοὺς τοῦ νέου γονεῖς, ἐντεῦθεν δεικνύναι τοῦτο παρὰ[6]) τὸν τῆς παραιτήσεως καιρὸν ὑπὸ τῷ διδόντι τὸν κηδεμόνα καὶ ἀπηλλάχθαι, ἢ εἴπερ ἄδηλον εἴη τοῦτο ὅρκον πρὸς τῶν ἁγίων λογίων ὑπέχειν, ὡς ταῖς ἀληθείαις ὑπεύθυνον αὐτὸν ἔχειν πεπιστευκὼς παραιτεῖται· καὶ εἰ τοῦτο γένοιτο, τῆς ἐπιτροπῆς μὴ προσάπτεσθαι μηδὲ τῆς κηδεμονίας, ἀλλ' ὡς ποῤῥωτάτω τοῦτον ἀπελαύνεσθαι τοῦ πράγματος, ἵνα μὴ αὐτόθεν πολέμιον ἀλλ' οὐ κηδεμόνα δῶμεν τῷ νέῳ.

δ'. Εἰ δὲ σιγήσειε τὴν ἀρχὴν τοῦτο καὶ γένοιτο κηδεμών, ἴστω πάσης ἀγωγῆς κατὰ τοῦ νέου εἰ καὶ ἀληθὴς ἦν ἐκπεσούμενος διὰ τὴν ἐξεπίτηδες πρὸς τὸν νόμον τοῦτον παραπροσποίησιν. εἰ δὲ καί τις προφανῶς[7]) ὑπεύθυνος ὢν

3) Ven. αὐτό. 4) Ven. τούτῳ. 5) Ven. περιφανῶς, quod ex Hal. et Auth correxi. 6) Hal. et Auth. περὶ. legerim ὑπὸ τὸν τ. π. καιρὸν παρὰ τῷ διδόντι. 7) Ven. περιφ. cf. not. 5.

σιγήσειεν, ἴστω καὶ οὗτος ὡς ὑφέξει ποινὴν τὸ μὴ δύνασθαι καταβολαῖς ἢ ἄλλαις λύσεσι τοῦ χρέους ἑαυτὸν ἐκβάλλειν ἴσως ἐν τῷ καιρῷ τῆς κηδεμονίας τετεχνασμέναις.

ε'. Εἰ δέ τις ὡς εἴρηται γενόμενος κηδεμὼν εἶτα περιεργάζοιτο τὰ τοῦ νέου πράγματα καὶ ἐκχωρήσεις εἰς ἑαυτὸν ἢ κατὰ δωρεὰν ἢ κατὰ πρᾶσιν ἢ καθ' ἕτερον οἱονδήποτε τρόπον πράττοι, ἴστω παντοίως ἄκυρον εἶναι τὸ παρ' αὐτοῦ γινόμενον, καὶ μήτε δι' ἑαυτοῦ μήτε διὰ παρεντιθεμένου προσώπου τοιοῦτό τι πράττεσθαι, ἀλλὰ πανταχόθεν ἀνίσχυρα τὰ τοιαῦτα γίνεσθαι ὡσανεὶ μηδὲ τὴν ἀρχὴν γενόμενα. πρόδηλον γάρ, ὡς εἴπερ εἰς τοιαύτην ἔννοιαν ἐμπέσοι, πάντα πράξει καὶ διοικήσει πρὸς ὄλεθρον μὲν τῆς ἑαυτοῦ ψυχῆς, τῶν δὲ φαινομένων αὐτοῦ πραγμάτων δῆθεν ὠφέλειαν.[8]) [§. 1.] καὶ οὐ μόνον ἕως ἡ κηδεμὼν εἴργομεν αὐτὸν τῆς τοιαύτης ἐκχωρήσεως, ἀλλὰ καὶ μετὰ ταῦτα, μή ποτε τοῦτο ἐννοήσας ταμιεύσηται τὸ πρᾶγμα, καὶ προκαταστήσας αὐτὸ κακῶς ἔπειτα ἐπειδὰν τῆς κηδεμονίας παύσαιτο καὶ λάθοι τὸ κακουργηθέν, ἴσως τηνικαῦτα οὐκ ἔτι κηδεμὼν ὢν τήν τε ἐκχώρησιν λάβοι καὶ τὸ πρᾶγμα κακουργήσειε. καὶ τηνικαῦτα γὰρ ἄκυρον εἶναι βουλόμεθα τὸ γινόμενον, καὶ μὴ δύνασθαι μηδεμίαν ἀγωγὴν κρατεῖν κατὰ τοῦ πρώην κηδεμονευθέντος ἐκχωρουμένην, ἀλλ' ἀντὶ μηδὲ γεγονότος εἶναι καὶ κέρδος γίνεσθαι τῷ νέῳ, κἂν εἰ τὰ τῶν ἐκχωρήσεων ἐπ' ἀληθέσιν αἰτίαις γένοιτο, οὐχ ὥστε ἐπανελθεῖν πάλιν ἐπὶ τὸν ἐκχωρήσαντα ὡς μηδενὸς δῆθεν ἐν μέσῳ παρὰ τὸν νόμον δοκοῦντος γεγενῆσθαι, ἀλλ' ὥστε ἐκπίπτειν αὐτὸν τῶν ἐκεῖθεν κτηθέντων διὰ τὴν παράβασιν τοῦ ἡμετέρου νόμου καὶ ταῦτα τὸν νέον κερδαίνειν. εἰ γὰρ μὴ ταύτην ἐπιθείημεν τὴν ποινήν, ῥᾴδια τὰ τῆς κακουργίας ἔσται, καὶ τὸν ἐκχωρήσαντα παρασκευάσει πάλιν κινῆσαι, καὶ διὰ τοῦ

8) Hombergk coniecit ἀπώλειαν, sed τὴν δὲ φαινομένην τῶν αὐτοῦ πρ. legere malim.

μέσου τὰ τῆς ἐκχωρήσεως λήψεται τὸν νόμον διὰ τῆς ἑαυτοῦ κακουργίας κατασοφισάμενος. καὶ ταῦτά φαμεν ἐπὶ κηδεμόνος παντὸς, ἐφ' ὧν ὅλως κηδεμονίας τινῶν εἰσάγουσιν οἱ νόμοι, ἀσώτων τυχὸν ἢ μαινομένων ἢ παραφρονούντων, ἢ εἴ[9]) τι ἕτερον ὁ νόμος εἶπεν ἤδη ἢ καί τι παράδοξον ἡ φύσις ἐξεύροι.

ς'. Ἐπειδὴ δὲ ὁρῶμεν τοὺς κηδεμόνας, ὅσοι θεοῦ μνήμην ἔχουσι, πρὸς κηδεμονίαν δυσκόλως ἰόντας (τοῖς γὰρ πολλοῖς ὅσοι βούλονται τὰ τῶν κηδεμονευομένων ἀσεβῶς εἰς ἑαυτοὺς τρέψαι τὸ πρᾶγμα ἐράσμιόν τε καὶ ἐπίδρομόν ἐστιν), ὁρῶμεν[10]) δὲ μάλιστα τὸ τῶν κηδεμόνων δύσκολον εἶναι πρᾶγμα διὰ τὴν τῶν δανεισμάτων ἀνάγκην, θεσπίζομεν μηδεμίαν ἀνάγκην ἐκ νόμου καθεστάναι τοῖς κηδεμόσι τὰ τῶν νέων χρήματα δανείζειν, ἀλλ' ἀσφαλῶς ἀποτίθεσθαι καὶ φυλάττειν αὐτοῖς, κάλλιον ὂν τὴν ἐπὶ τοῖς ἀρχαίοις αὐτοῖς ἀσφάλειαν μένειν ἢ τῇ τῶν τόκων ἐφέσει καὶ τῶν ἀρχαίων ἐκπεσεῖν, καὶ κινδυνεύειν μὲν τὸν κηδεμόνα εἰ μὴ δανείσοι, αὖθις δὲ εἰ δανείσοι κινδυνεύειν, ἀποτυχίας ἴσως ἐπὶ τοῖς χρέεσι γινομένης. εἰ μέντοι αὐτὸς ἑκὼν δανεῖσαι βουληθείη, ἴσως ἐπὶ δόσει ἐνεχύρων ἢ ἐπ' ἄλλαις ταῖς αὐτῷ νομιζομέναις ἀναμφισβητήτοις ἀσφαλείαις, τηνικαῦτα ἐχέτω μὲν τὸ τῶν δύω μηνῶν καθ' ἕκαστον ἔτος ἐνδόσιμον (τοῦτο ὅπερ οἱ νόμοι laxamentov καλοῦσιν), ἴστω δὲ τὸν τοῦ δανείσματος κίνδυνον ἐφ' ἑαυτὸν πάντως ἐλευσόμενον.

ζ'. Εἰ μὲν οὖν ἔχοι προσόδους αὐτάρκεις ὁ κηδεμονευόμενος ταύτας δαπανάτω, εἰ δὲ πλείους εἰσὶ τῶν αὐταρκῶν τὸ πλεῖον ἀποτιθέσθω. εἰ δὲ κινητὴ πολλάκις ἡ τοῦ κηδεμονευομένου περιουσία τυγχάνει, τηνικαῦτα ἐκεῖνο μόνον δανείζειν ὁ κηδεμὼν ἀναγκαζέσθω, ὅσον πρὸς τὴν διοίκησιν ἀρκεῖ τῷ νέῳ καὶ τῶν αὐτοῦ πραγμάτων, τὸ δὲ περιττὸν ἀσφαλῶς ἀποτιθέσθω. ἐξέσται δὲ αὐτῷ σὺν ἀκριβείᾳ πάσῃ

9) Ven. εἰ omittit. 10) Ven. ἐρῶμεν.

περιεργάζεσθαι, εἴ τινα ὡς εἰκὸς εὑρεῖν ἀσφαλῶς δυνηθείη, πρόσοδον ὠνήσασθαι τῷ νέῳ ἐκ τῶν περιττευόντων χρημάτων ὀλίγων μὲν δημοσίων φόρων ὑπεύθυνον, πρατῆρα δὲ ἔχουσαν εὔπορον καὶ εὐθαλῆ τὴν πρόσοδον οὖσαν. δίδομεν γὰρ αὐτῷ παῤῥησίαν καὶ τοῦτο πράττειν, ἐπισταμένῳ ὡς εἴ τινος τούτων ἀμελήσειεν, ὁ τῆς ἀγορασίας ταύτης αὐτὸν ὄψεται κίνδυνος.

η'. Εἰ δὲ τοσοῦτον μόνον εἴη τὸ τοῦ νέου χρυσίον, ὁπόσον τόκος μόλις αὐτόν τε καὶ τοὺς αὐτοῦ τρέφειν καὶ τὴν ἄλλην αὐτῷ παρέχειν τοῦ βίου διοίκησιν ἀρκεῖ, τηνικαῦτα ὁ τῆς ἀνάγκης λόγος ἡμᾶς καὶ πρὸς τοῦτο[11]) καλεῖ, τῶν κηδεμόνων ἀφορώντων εἰς θεὸν καὶ οὕτω ποιουμένων τὰς διοικήσεις, ὡς ἂν ἐπὶ τοῖς ἑαυτῶν πράγμασι. καὶ γὰρ βουλόμεθα, ἡνίκα κατασταίη ψῆφος παραδιδοῦσα τὴν κηδεμονίαν τῷ πρὸς ταύτην παριόντι καὶ ὅρκον αὐτῷ προσεπιτιθέναι τῶν θείων ἁπτομένῳ λογίων, ὡς διὰ πάσης ἰὼν ὁδοῦ τὸ συμφέρον τῷ νέῳ πράξει. ὅπερ οὐκ ἐξαιρήσει τῶν λογισμῶν αὐτὸν οὐδὲ τῆς τοῦ νόμου ἐπάξεως, ἀλλ' ἀσφαλέστερόν τε ποιήσει πρὸς τὴν τῶν πραγμάτων διοίκησιν, εὐλαβέστερον ἀεὶ περὶ αὐτὰ διὰ τὴν τοῦ ὅρκου μνήμην γινόμενον. οὗτος ἡμῖν ὁ νόμος ὑπὲρ ἀσφαλείας κείσθω τῶν κηδεμονίας δεομένων· εἰ δέ τι καὶ ἕτερον προσεξεύροιμεν, οὐδὲ τοῦτο νόμῳ περιλαβεῖν ὀκνήσομεν, ἵνα διὰ πάντων πατέρες τοῖς ἑαυτοῖς βοηθεῖν οὐ δυναμένοις γενώμεθα.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν κηρύγμασι κατὰ τὰς ἐπαρχίας αἷς ἐφέστηκας χρωμένη πᾶσι ποιησάτω φανερά, ὥστε μηδένα λαθεῖν τὰ παρ' ἡμῶν εὐσεβῶς τε καὶ ὑπὲρ τῆς τῶν ὑπηκόων προνοίας νενομοθετημένα. Dat. Kal. Iun. CP. imp. DN. Iustiniano PP. Aug. ann. XII. Iohanne V. C. Cons.[12])

11) Scilicet τὸ χρυσίον. 12) „Cons.“ deest in Ven. caeterum Iulian. K. Iul. habet, Theod. autem μηνὶ ἰουνίῳ. videsis not. 8 ad c. LXXXVIII.

Nov. 73. ## XCIII. Auth. 76.

Epanag. XIII, 11—16 et Basil. XXII, 4, 1 cum schol. — Summas praestant Iulian. c. 66, Ath. XIV, 3, Theod. Nov. 73, denique Philoxenus ad c. 2 et 7 (vide Ἀνέκδ. ed. Heimbach. I p. 260).

Περὶ τοῦ πῶς χρὴ ἐπιτίθεσθαι τὸ πιστὸν τοῖς παρὰ δικασταῖς ἐμφανιζομένοις συμβολαίοις.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων[1]) *καὶ πατρικίῳ.*

Ἴσμεν τοὺς ἡμετέρους νόμους οἳ βούλονται καὶ ἐκ τῆς παραθέσεως τῶν γραμμάτων τὰς πίστεις δίδοσθαι τοῖς συμβολαίοις, καὶ ὅτι τινὲς τῶν αὐτοκρατόρων ἐπιπολασάσης ἤδη τῆς κακίας τοῖς νοθεύουσι τὰ συμβόλαια τὰ τοιαῦτα ἐκώλυον, ἓν ἐκεῖνο σπούδασμα τοῖς παραποιοῦσιν εἶναι πιστεύοντες τὸ πρὸς τὴν μίμησιν τῶν γραμμάτων ἑαυτοὺς ὅτι μάλιστα ἐγγυμνάζειν, διότι μηδὲν ἕτερόν ἐστι παραποίησις εἰ μὴ τῶν ἀληθῶν μίμησις. ἐπειδὴ τοίνυν ἐν τούτοις δὴ τοῖς χρόνοις μυρίας εὕρομεν παραποιήσεις ἐν δίκαις πολλαῖς ὧν ἠκροασάμεθα, καί τι παράδοξον ἡμῖν ἐξ Ἀρμενίας ἀνέστη. προκομισθέντος γὰρ ἀμείψεως συμβολαίου καὶ τῶν γραμμάτων ἀνομοίων κριθέντων, ὕστερον ἐπείπερ εὑρέθησαν οἱ τῷ συμβολαίῳ μαρτυρήσαντες καὶ γράμματα ὑποθέντες καὶ ταῦτα ἐπιγνόντες, πίστιν ἐδέξατο τὸ συμβόλαιον. καί τι παράδοξον ἐντεῦθεν ἀπήντησεν, ὅτι τὰ μὲν γράμματα ἄπιστα ὤφθη καίτοιγε ἐξετασθέντα, τὰ δὲ παρὰ τῶν μαρτύρων ἀπήντησε σὺν ἀληθείᾳ καὶ ταῦτα τῆς παρὰ τῶν μαρτύρων πίστεως δοκούσης εἶναί πως ἐπισφαλοῦς. ὁρῶμεν μέντοι τὴν φύσιν αὐτῆς πολλάκις δεομένην τῆς τοῦ πράγματος ἐξετάσεως, ὅπου γε τὴν τῶν γραμμάτων ἀνομοιότητα πολλάκις μὲν χρόνος ποιεῖ (οὐ γὰρ ἂν οὕτω γράψειέ τις νεάζων καὶ σφριγῶν καὶ γεγηρακὼς ἴσως καὶ τρέμων) πολλάκις

1) Adde *ὑπάτῳ ὀρδιναρίῳ.*

δὲ καὶ νόσος τοῦτο ποιήσειε. καίτοι τί ταῦτά φαμεν ὅπου γε καλάμου τε καὶ μέλανος ἐναλλαγὴ τὸ τῆς ὁμοιότητος διὰ πάντων ἀκραιφνὲς ἀφείλετο; καὶ οὐκ ἂν εὕροιμεν ἐφεξῆς εἰπεῖν, ὁπόσα ἡ φύσις τίκτουσα καινουργεῖ τοῖς νομοθέταις ἡμῖν παρέχουσα πράγματα. [§. 1.] ἐπειδὴ τοίνυν βασιλείαν διὰ τοῦτο ὁ θεὸς ἐξ οὐρανοῦ καθῆκεν, ἵνα τοῖς δυσκόλοις ἐπιτίθησι[2]) τὰ παρ' ἑαυτῆς ἀγαθὰ καὶ τοὺς νόμους ἁρμόζῃ πρὸς τὴν τῆς φύσεως ποικιλίαν, διὰ τοῦτο ᾠήθημεν χρῆναι καὶ τοῦτον γράψαι τὸν νόμον καὶ δοῦναι ἐν κοινῷ τοῖς ὑπηκόοις, ὁπόσους ἡμῖν ὁ θεὸς πρότερόν τε παρέδωκε καὶ κατὰ μικρὸν ἀεὶ προστίθησι. καὶ γάρ τι καὶ περὶ παρακαταθήκης ἐκ γραμμάτων ἀμφισβητηθέν τε καὶ στασιασθὲν εὕρομεν, καὶ δεῖ καὶ τούτων πᾶσαν ποιήσασθαι πρόνοιαν. τοιγαροῦν εὐθὺς ἡμῖν ἐκ τῆς παρακαταθήκης ἀρκτέον.

α'. Εἴ τις τοίνυν ἀσφαλῶς παρακαταθέσθαι βούλεται, μὴ μόνοις πιστευέτω τοῖς τοῦ λαμβάνοντος γράμμασι (τοῦτο ὅπερ ἐν τῇ δίκῃ ζητηθὲν ἐπειδήπερ οὐ συνωμολόγησεν ὁ γεγραφέναι λεγόμενος αὐτοῦ καθεστάναι τὰ γράμματα μεγάλην ἔσχε ταραχήν, καὶ γράψαι ἕτερα καταναγκασθέντος, ἅπερ ἔδοξε παρόμοια μὲν οὐ μὴν διὰ πάντων παρεοικότα, καὶ τό γε ἐπὶ τοῖς γράμμασιν ἀκρίτου τοῦ πράγματος μεμενηκότος), ἀλλὰ τὴν παρακαταθήκην διδοὺς προσκαλείσθω καὶ μάρτυρας ὡς οἷόν τε σεμνοὺς καὶ πίστεως ἀξίους, καὶ οὐκ ἐλάττους τριῶν, ἵνα μὴ ἐπὶ μόνων ἠρτήμεθα τῶν γραμμάτων καὶ τῆς τούτων ἀντεξετάσεως, ἀλλ' ᾖ τοῖς δικάζουσι καὶ ἡ παρὰ τῶν μαρτύρων βοήθεια. καὶ γὰρ δὴ καὶ τοιαύτας μαρτυρίας προσιέμεθα, ὥστε παριόντας μάρτυρας λέγειν, ὡς αὐτῶν παρόντων ὑπέγραψεν ὁ τὸ συμβόλαιον ποιούμενος καὶ τοῦτο ἐπίστανται. εἰ γὰρ εὕροιμεν καὶ τοιούτους τινὰς μάρτυρας οὐκ ἐλάττους τῶν τριῶν ἀξιοπίστους καθεστῶτας, οὐδὲ τὴν τοιαύτην ἀπαγορεύομεν πίστιν. οὐ γὰρ ἵνα συ-

2) ἐπιτιθῇ?

στέλλωμεν τὰς ἀποδείξεις τίθεμεν τὸν νόμον, ἀλλ' ἵνα καὶ εἶναι ταύτας ποιήσωμεν καὶ ἀσφαλῶς εἶναι.

β'. Ἀλλὰ καὶ εἴ τις ἢ δανείσματος συμβόλαιον ἢ ἄλλου τινὸς πράττοι καὶ μὴ βούλεται τοῦτο ἐπ' ἀγορᾶς συνθεῖναι, ὅπερ καὶ ἐπὶ τῆς παρακαταθήκης ὁρίζομεν, μὴ αὐτόθεν δοκείτω πιστὸν τὸ γραφόμενον ἐν τῷ δανείσματι συμβόλαιον, πλὴν εἰ μὴ καὶ μαρτύρων ἔχει παρουσίαν ἀξιοπίστων οὐκ ἐλαττόνων τῶν τριῶν, ἵνα εἴτε αὐτοὶ παραγίνοιντο καὶ τοῖς οἰκείοις μαρτυρήσαιεν γράμμασιν, εἴτε ἕτεροί τινες μαρτυροῦντες ὡς παρόντων αὐτῶν τὸ συμβόλαιον συνετάγη, λαμβάνῃ τὸ πρᾶγμα τὴν πίστιν ἑκατέρωθεν, οὐκ ἀποβλήτου παντελῶς καὶ τῆς τῶν γραμμάτων ἐξετάσεως οὔσης, ἀλλὰ μόνης οὐκ ἀρκούσης, τῇ δὲ προσθήκῃ τῶν μαρτύρων βεβαιουμένης.

γ'. Εἰ μέντοι τοιοῦτό τι συμβαίη, ὁποῖον ἐπ' Ἀρμενίας ἐγένετο, καὶ ἕτερον μὲν ἡ παράθεσις τῶν γραμμάτων ποιεῖ ἕτερον δὲ αἱ μαρτυρίαι, τηνικαῦτα ἡμεῖς μὲν οἰόμεθα τὰ παρὰ ζώσης λεγόμενα φωνῆς καὶ μεθ' ὅρκων, ταῦτα ἀξιοπιστότερα τῆς γραφῆς αὐτῆς καθ' αὐτὴν τυγχάνειν. πλὴν ἀλλ' ἔστω τοῦτο τῆς τοῦ δικάζοντος ἀγχινοίας τε ὁμοῦ καὶ θεοφιλίας τὸ τοῖς ἀληθέσι μᾶλλον ἀντὶ τῶν τοιούτων[3]) *πιστεῦσαι. καὶ ἡμεῖς μὲν κατὰ τοῦτον τὸν τρόπον οἰόμεθα δεῖν ἀποδείκνυσθαι πιστὰ τὰ συμβόλαια.*

δ'. Εἰ μέντοι τὶς ἢ παρακατατιθέμενος ἢ δανείζων ἢ ἄλλως συμβάλλων ἀρκεσθείη τοῖς γράμμασι μόνον τοῦ πρὸς αὐτὸν συμβάλλοντος, ἐπ' αὐτῷ κείσεται τὸ γινώσκειν ὡς τῆς ἐκείνου πίστεως τὸ πᾶν αὐτὸς ἀνηρτήσατο. καὶ ὅσον μὲν ἐκ τῆς γραφῆς οὐκ ἂν αὐτάρκης δόξειε κατὰ τὸν ἡμέτερον νόμον τῷ συμβολαίῳ προστίθεσθαι πίστις, εἰ δὲ ἡ[4]) *παρουσία τῶν μαρτύρων ἐφ' ὧν τὸ συνάλλαγμα γέγονεν ἢ ἴσως ἡ τελευταία τοῦ πράγματος καταφυγὴ βοηθήσειεν αὐτῷ*

3) Epan. *ὑπόπτων*. non male. 4) Ven. *ἡ δὲ ἡ*.

(φαμὲν δὲ τὴν ἐξ ὅρκων), οὐκ ἀκυροῦμεν τὸ γινόμενον. τὰς γὰρ παραποιήσεις καὶ τὰς μιμήσεις εὐλαβούμενοι καὶ γυμναῖς οὔσαις αὐταῖς οὐ πιστεύοντες τὴν τοιαύτην ἀκρίβειαν τῷ πράγματι προστίθεμεν, οὐχ ἵνα τοὺς πιστεύοντας ἀφελοίμεθα τῆς ἑαυτῶν περὶ τοὺς φίλους πίστεως, ἀλλ' ἵνα ὡς οἷόν τε[5]) τὴν ἀγνωμοσύνην τε καὶ ἄρνησιν πολλοῖς ἐλέγχωμεν τρόποις.

ε'. Ἀλλὰ καὶ τὰ συμβόλαια τὰ ἐπ' ἀγορᾶς συντελούμενα, εἰ καὶ τὴν τῶν συμβολαιογράφων ἔχοι πλήρωσιν, προσλαμβανέτω καὶ αὐτὰ πρὸ τοῦ τελέσματος τὴν ἐν γράμμασι τῶν μαρτύρων ὡς εἴρηται παρουσίαν.

ς'. Δεῖ μέντοι τοὺς δικάζοντας καὶ εἴ τινα σημεῖα εὕροιεν προσγεγραμμένα τοῖς χάρταις καὶ ταῦτα ἀναζητεῖν καὶ ἀναγινώσκειν πειρᾶσθαι (πολλὰ γοῦν ἴσμεν καὶ ἐξ ἐκείνων διαφανέντα), καὶ μὴ προχείρως τὰς πίστεις τῶν γραμμάτων ἐκ παραθέσεως ἑτέρων προσίεσθαι διὰ τὰς ἔμπροσθεν ἡμῖν εἰρημένας αἰτίας.

ζ'. Εἰ μέντοιγε τελευτήσαιεν ἅπαντες οἱ μάρτυρες ἢ καὶ ἄπεισι τυχὸν ἢ καὶ ἄλλως οὐ ῥᾴδιόν ἐστι τὴν ἐκ τῶν μαρτύρων τῶν ὑπογεγραφότων πίστιν ἐπιθεῖναι, μηδὲ ὁ συμβολαιογράφος περίεστιν ὁ τελέσας (εἴ γε ἀγοραῖον εἴη) ὥστε μαρτυρῆσαι τοῖς ἑαυτοῦ ἢ μηδὲ ἐνδημοίη, ἀλλ' ἀνάγκη πάντως τὴν ἀντεξέτασιν τῶν γραμμάτων ἢ τῶν τελεσμάτων ἢ τῶν ὑπογραψάντων παραλαβεῖν, τηνικαῦτα προσῆκόν ἐστιν ἰέναι μὲν ἐπὶ τὰς συγκρίσεις (οὐδὲ γὰρ παντάπασιν αὐτὰς ἀπαγορεύομεν), διὰ πάσης δὲ ἀκριβείας χωρεῖν, καὶ πάντως εἰ νομίσειεν αὐταῖς χρῆναι πιστεύειν καὶ ὅρκον ἐπάγειν τῷ προκομίζοντι, ὅτι μηδὲν συνειδὼς πονηρὸν τῷ παρ' αὐτοῦ προκομιζομένῳ οὐδέ τινα τέχνην περὶ τὴν σύγκρισιν γενέσθαι παρασκευάσας οὕτω χρῆται τούτῳ, ὥστε μήτε ἀναιρεθῆναί τι παντελῶς, καὶ διὰ πάντων τὸ ἀσφαλὲς τοῖς πράγ-

5) Ven. addit ἤ, quod apud Hal. et in Epan. rectius abest.

μασι γενέσθαι. [§. 1.] ἐπὶ γὰρ δὴ τῶν ἐπ' ἀγορᾶς συνταττομένων συμβολαίων, εἴπερ ὁ συμβολαιογράφος παρέλθοι καὶ μαρτυρήσειε[6]) μεθ' ὅρκου, εἰ μὲν οὐ δι' ἑαυτοῦ ἔγραψεν ἀλλὰ διά τινος τῶν ὑπουργούντων αὐτῷ, παρίτω κἀκεῖνος εἴ γε περίεστιν ἢ δυνατὸν ὅλως αὐτόν ἐστιν ἐλθεῖν καὶ οὐδεμία τὴν αὐτοῦ πάροδον αἰτία κωλύοι, ἢ νόσος τυχὸν ἰσχυρὰ ἤ τι τῶν περιστάσεων τῶν ἄλλων ἅπερ ἀνθρώποις ἀπαντᾷ· εἰ δὲ καὶ ἀριθμητὴν ἔχοι τὸ συμβόλαιον, κἀκεῖνος παραγινέσθω, ὥστε τρεῖς εἶναι τοὺς μαρτυροῦντας ἀλλ' οὐχ ἕνα· εἰ δὲ οὔτε ἀριθμητὴς προσελήφθη, τό τε συμβόλαιον αὐτὸς ἅπαν δι' ἑαυτοῦ γέγραφέ τε καὶ ἐτέλεσεν ὁ συμβολαιογράφος, ἢ καὶ ὁ τοῦτο συγγράψας ἄπεστιν ἢ ἄλλως παρεῖναι οὐκ ἰσχύει, αὐτὸς μέντοι μεθ' ὅρκου τῷ οἰκείῳ τελέσματι μαρτυρεῖ, ὥστε μὴ τῇ συγκρίσει γενέσθαι χώραν, ἔστω καὶ οὕτω πιστὰ τὰ συμβόλαια. ἡ γὰρ μαρτυρία καὶ παρὰ τῆς φωνῆς τοῦ τελέσαντος γινομένη καὶ τὸν ὅρκον ἔχουσα προσκείμενον ποιήσειεν ἄν τινα τῷ πράγματι ῥοπήν. [§. 2.] εἰ δὲ ὁ συμβολαιογράφος ἐτελεύτησε καὶ μαρτυρηθείη τὸ τέλεσμα ἐξ ἑτέρας παραθέσεως, εἰ μὲν καὶ οὕτως ἔχοι τόν τε συντάξαντα τὸ συμβόλαιον περιόντα καὶ τὸν ἀριθμητήν, παρίτωσαν κἀκεῖνοι εἴ γε ἐνδημοῖεν, καὶ ἐχέτω καὶ τὴν ἐκ τῆς παραθέσεως τῶν πληρώσεων τὸ γράμμα πίστιν καὶ τὴν ἐκ τῶν μαρτύρων. εἰ δὲ μηδεὶς τούτων εἴη, τηνικαῦτα γινέσθω μὲν ἡ τῶν τελεσμάτων παράθεσις, μὴ μόνα δὲ ταῦτα πρὸς τοῦτο ἀρκείτω, ἀλλὰ καὶ αἱ τῶν ἄλλων τῶν ὑπογεγραφότων ἴσως ἢ καὶ τῶν συμβαλόντων γραφαὶ κατεξεταζέσθωσαν, ὥστε ἐκ πολλῶν[6a]) παραθέσεων τῶν τε τοῦ τελέσματος τῶν τε ὑπογεγραφότων ἢ καὶ τῶν συμβαλόντων μίαν τινὰ συνάγεσθαι πανταχόθεν καὶ ἀποτελεῖσθαι πίστιν. [§. 3.] εἰ δὲ οὐδὲν ἕτερον εὑρεθείη πλὴν τῆς παραθέσεως τῶν συμ-

6) Hal. παρελθὼν μαρτυρήσειε. 6a) Epan. ἐκ τῶν πολλῶν.

βολαίων, τὸ μὲν μέχρι νῦν κεκρατηκὸς προβαινέτω, τὸ τον προκομίζοντα εἰς τὴν παρ' ἄλληλα κρίσιν τὸ συμβόλαιον ὀμνύναι τὰ νενομισμένα, ἵνα δέ τινα ὅλως τὸ πρᾶγμα λάβοι προσθήκην εἰς πλείονα τοῦ πράγματος πίστιν, καὶ αὐτὸς ὁ ταῦτα αἰτῶν γενέσθαι προσομνύτω, ὡς οὐδὲ ἄλλης εὐπορῶν πίστεως ἐπὶ τὴν παρ' ἄλληλα κρίσιν τῶν συμβολαίων ἐλήλυθεν, οὐδέ τι περὶ αὐτὴν ἔπραξεν ἢ ἐμηχανήσατο ὅπερ ὡς εἰκὸς δυνηθείη τὴν ἀλήθειαν κατακρύψαι. ὧν ἔξεστιν ἀπηλλάχθαι τοῖς συμβάλλουσιν, εἴπερ βούλοιντο καὶ ἑκάτεροι πρὸς τοῦτο συμβαῖεν, τῷ[7]) ἐμφανῆ ποιεῖσθαι τὰ συμβόλαια καὶ κατατίθεσθαί τε[8]) ἐπὶ πράξεως ὑπομνημάτων αὐτοὺς[9]) τοὺς συμβάλλοντας, ἵνα ἀπαλλαγεῖεν ἀγνωμοσύνης τε καὶ νοθείας καὶ παραποιήσεων καὶ ὁπόσα ἄλλα κακὰ ἐπανορθοῦντες τὸν παρόντα τίθεμεν νόμον· τῶν ἤδη παρ' ἡμῶν ἐπὶ ταῖς παραθέσεσι τῶν γραμμάτων ταῖς ἐξ ἰδιοχείρων γινομέναις νενομοθετημένων ἐπὶ τῆς ἰδίας μενόντων ἰσχύος, δηλαδὴ καὶ τῶν ἐπὶ τοῖς τῶν γραμμάτων ἀνεπιστήμοσιν ἤδη κρατούντων ἐν τοῖς δικαστηρίοις τὴν ἑαυτῶν ἐχόντων ἰσχὺν, ἐπειδήπερ ἐκ δικαστικῶν τύπων τὰ τοιαῦτα τὸν προσήκοντα ἔλαβεν ἐξετασμόν.

η'. Δεῖ δὲ ἐπὶ τῶν γράμματα οὐκ ἐπισταμένων ταβουλαρίους δύο πάντως[10]) καὶ μάρτυρας παραλαμβάνεσθαι ἐν οἷς εἰσὶ ταβουλάριοι τόποις, μάλιστα δὲ μάρτυρας οὐκ ἀγνώστους τοῖς συμβάλλουσιν, ἵνα οἱ μὲν γράφωσιν ὑπὲρ τοῦ ἀγραμμάτου ἢ ὀλιγογραμμάτου καθεστῶτος, οἱ δὲ μαρτυρῶσιν ὡς καὶ παρόντων αὐτῶν ταῦτα ἐπράχθη καὶ εἰδεῖεν αὐτὸν, καὶ οὕτως ἡ τῶν τοιούτων συμβολαίων εἰσδεχθείη

7) Ven. et Hal. τό. Epan. τοῦ. 8) Epan. καὶ καταθέσθαι omisso τε. et sane abundat sive καὶ sive τε. 9) Forte αὐτὰ sc. τὰ συμβόλαια. sic Auth. legit. 10) Hal. in contextu, Ven. Epan. Basil. in lectione δύο πάντως consentiunt; Iulianus autem, Athan. Theod. de uno tabulario loquuntur. inde Hal. in notis coniecit legendum διὰ πάντων (παντὸς), quod firmatur Auth.

πίστις· δῆλον ὄν, ὡς οὐκ ἐλάττους πέντε μαρτύρων ἐπὶ τῶν τοιούτων παραληφθήσονται, ἐν οἷς ἔσται καὶ ὁ γράφων ὑπὲρ τοῦ συμβάλλοντος ἢ τὸ πᾶν ἢ τὸ μετὰ τὰ ὀλίγα γράμματα τὰ παρ' ἐκείνου τεθέντα, ὥστε μηδὲν διαπεσεῖν τῆς εἰς ἄκρον ἀκριβείας. καὶ ταῦτά φαμεν ἐπὶ τῶν ἐγγράφων συμβολαίων. εἰ γάρ τις ἀγράφως πρᾶξαι οἱονδήποτε συνάλλαγμα βουληθείη, τοῦτο πρόδηλον, ὡς ἢ τὴν διὰ μαρτύρων ἢ τὴν δι' ὅρκων δέξεται πίστιν, τοῦ μὲν ἐνάγοντος μάρτυρας παράγοντος, τοῦ φεύγοντος δὲ ὀμνῦντος ἢ ἀντεπάγοντος, καθάπερ ἂν ὁ δικαστὴς τὴν ὑπόθεσιν τάξειεν, ἵνα μηδὲν εἴη μηδὲ τούτων ἀδιόρθωτον.[11]) κἀκεῖνο μέντοι προσθεῖναι τῷ νόμῳ καλὸν, ὥστε εἰ μέχρι μιᾶς χρυσίου λίτρας εἴη τὸ συνάλλαγμα, τὴν τοιαύτην παρατήρησιν ἐπὶ τούτῳ μὴ φυλάττεσθαι, ἀλλὰ κατὰ τὸ μέχρι νῦν πολιτευόμενον τὸ πρᾶγμα γίνεσθαι, ἵνα μὴ περὶ πραγμάτων σμικρῶν μεγάλας συντριβὰς ὑπομένωσιν ἄνθρωποι.

θ'. Ταῦτα δὲ πάντα κρατεῖν ἐπὶ ταῖς πόλεσι βουλόμεθα, ἐπείτοιγε ἐν χωρίοις, ἔνθα πολλὰ τὰ τῆς ἁπλότητός ἐστι καὶ οὐδὲ γραφόντων ἢ μαρτυρούντων πολλῶν εὐπορία, τὰ μέχρι νῦν παρ' αὐτοῖς κρατοῦντα καὶ νῦν ἔστω βέβαια. τοῦτο γὰρ καὶ ἐπ' αὐτῶν τῶν διαθηκῶν ἐφ' αἷς μάλιστα σπεύδομεν ἤδη παρ' ἡμῶν νενομοθέτηται.[11a]) κρατείτω δὲ ὁ νόμος ἐπὶ τοῖς μετὰ ταῦτα ἅπασι γινομένοις συμβολαίοις τε καὶ συναλλάγμασι· τὸ γὰρ δὴ παρῳχηκὸς τί ἄν τις νομοθετήσειε; τοῦτον ἡμῖν ἔτεκε τὸν νόμον τὸ [τῶν] ἀμφισβητήσεων πλῆθος, γενομένων μὲν ἐν δίκαις ἡμῖν δὲ εἰσηγμένων, ἵνα τοῦ καθ' ἑκάστην πρὸς ἀλλήλους ἀμφισβητεῖν τοὺς ἀνθρώπους παύσαιμεν προαναστέλλοντες αὐτοῖς τὰς φιλονεικίας τῇ διὰ τῆς νομοθεσίας ἀκριβείᾳ.

Ὥστε προσήκει τὴν σὴν ὑπεροχὴν ταῦτα μανθάνουσαν

11) Ven. ἀδιόρθρωτον, cui inter lineas superscriptum est καὶ ἀδιόρθωτον. 11a) l. 31 C. 6, 23.

φανερὰ πᾶσι καταστῆσαι τοῖς ὑπηκόοις, τοῖς τε ἐνταυθοῖ τοῖς τε ἐπὶ τῶν ἐθνῶν. καὶ γὰρ δὴ πρὸς τοὺς ἄλλους ἐνδοξοτάτους ὑπάρχους, τούς τε ἐπὶ τῆς Ἑσπέρας, τούς τε ἐπὶ Λιβύης, τούς τε ἐπὶ τοῖς ἀρκτῴοις (φαμὲν δὲ τοὺς ἐν Ἰλλυριοῖς) γράψομεν, ἵνα πᾶν ἡμῖν τὸ πολίτευμα μεστὸν γένηται τοῦ νόμου τὰς τῶν ὑπηκόων θεραπεύοντος[12]) *περιστάσεις.* Dat. prid. Non.[13]) Iun. CP. imp. DN. Iustiniano PP. Aug. ann. XII. Iohanne V. C. Cons.

Auth. 74. **XCIV.** Nov. 74.

(**Hal. rubricam solam habet et inscriptionem.) — Summas praestant Iulian. c. 67, Athan. XI, 3, Theod. Nov. 74.**

Περὶ τῶν παίδων πῶς χρὴ νοεῖσθαι αὐτοὺς γνησίους ἢ νόθους, καὶ περὶ ἀπροίκων συνοικεσίων.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἀνατολικῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων ὀρδιναρίῳ[1]) *καὶ πατρικίῳ.*

Ὀρθῶς εἴρηται τοῖς πρὸ ἡμῶν, καὶ πρό γε ἁπάντων Ἰουλιανῷ τῷ σοφωτάτῳ[2]), *τὸ μηδένα νόμον μηδὲ δόγμα τῇ πολιτείᾳ Ῥωμαίων τεθὲν δόξαι καὶ πρὸς τὸ πᾶν αὐτάρκως ἐξ ἀρχῆς νομοθετηθὲν, ἀλλὰ πολλῆς δεηθῆναι τῆς ἐπανορθώσεως, ἵνα πρὸς τὴν τῆς φύσεως ποικιλίαν καὶ τὰς ἐκείνης ἐπιτεχνήσεις ἀρκέσοι. περὶ μὲν οὖν τῶν ἐκ νοθείας ἀφικνουμένων εἰς γνησίους πολλοὺς ἐγράψαμεν καὶ ποικίλους νόμους*[3]), *ἐκ δὲ τῶν καθ' ἑκάστην ὑπὸ τῆς φύσεως τεχναζομένων εὑρόντες τὶ τοῖς ἤδη νενομοθετημένοις ἐλλεί-*

12) Ven. *θεραπευόντων.* 13) Ath. *α'* (i. e. *πρὸ*) *νώνων.* cf. not. 8 ad c. LXXXVIII.

1) *ὑπάτῳ* ante *ὀρδ.* addendum est. 2) l. 10—12 D. de legib. 1, 3. 3) l. 10 C. de natur. lib. 5, 27. const. XXII. XLIII.

που, τοῦτο κατὰ τὸ παρὸν ἐπανορθοῦμεν. νενομοθέτηται γὰρ, ὡς εἴ τις ἔχων γυναῖκα κατὰ ψιλὴν αὐτῷ διάθεσιν ἐγνωσμένην, εἶτα παιδοποιήσεται, ὕστερον δὲ αὐτῇ καὶ γαμικὰ ποιήσοιτο συμβόλαια καὶ γνησίους ἐξ αὐτῆς τέκοι παῖδας, οὐδὲ οἱ πρότερον γενόμενοι μένουσι νόθοι, ἀλλὰ κἀκεῖνοι τοῖς γνησίοις συναριθμοῦνται, διότι καὶ πρόφασις ὅλως αὐτοῖς εἰσι τῆς γεννήσεως. ἀλλ' ἔσχε καὶ οὗτος[4]) *ἐπανόρθωσιν ὁ νόμος. ἐπειδὴ γὰρ οἱ δεύτεροί τε καὶ μετὰ τὰ προικῷα τεχθέντες ἐτελεύτησαν, εἶτα ἠξίουν τινὲς μηκέτι τοὺς προτέρους ὑπὸ τῶν δευτέρων οὐκ ὄντων βοηθεῖσθαι, καὶ τοῦτο ἐπηνωρθώσαμεν*[5]), *καὶ δεδώκαμεν αὐτοῖς καὶ οὕτω κἂν εἰ τετελευτήκασιν οἱ δεύτεροι γεγονότες ἀδελφοὶ τὸ νόμιμον ἔχειν, κἀκεῖνο προσθέντες (ἐπειδὴ καὶ τοῦτο ἠμφισβητήθη), ὡς κἂν εἴ τινες μετὰ τὰ προικῷα μὴ γένοιντο παῖδες, ἀλλ' οὖν τοὺς προειληφότας κἂν εἰ πρὸ τῶν προικῴων ἐτέχθησαν τοῖς γνησίοις ἐγγράφεσθαι, τοῦ πατρὸς ὅλως εἰς τοῦτο ὁρμηθέντος.* [§. 1.] *ἀλλ' ἕτερόν τι τοιοῦτον ἀπήντησεν. ἐκ γὰρ δὴ τοιαύτης συνηθείας γενόμενοι παῖδες ὑπῆρχόν τινι, ὁ δὲ αὐτοὺς ἠβούλετο τῷ παρ' ἡμῶν ἐπινοηθέντι τρόπῳ ποιῆσαι γνησίους τῇ τῶν γαμικῶν ποιήσει συμβολαίων, βουλευομένῳ δὲ ταῦτα τῷ πατρὶ τετελεύτηκεν ἡ γυνὴ, καὶ ὁ τῆς διατάξεως αὐτὸν ἐπέλιπε τρόπος. οὐ γὰρ ἦν πρὸς ἥν τινα ἔδει γαμικὸν συντάξαι συμβόλαιον, καὶ νόθοι μένουσιν οἱ παῖδες ἄκοντος τοῦ πατρός. καί τι καὶ δεύτερον ἀνέστη τοιοῦτον ἐπ' ἀνδράσιν οὐδὲ ἀγνώστοις ἡμῖν. ἐπαιδοποιήσατο μὲν γάρ τις οὐ νομίμως, καὶ τοὺς μὲν παῖδας ὑπερηγάπα καὶ γνησίους αὐτῷ γενέσθαι κατὰ τὸν νόμον ἠβούλετο, τὰ δὲ τῆς γυναικὸς οὐκ ἦν αὐτῷ παντελῶς ἀναμάρτητα, οὐδὲ ἀξίαν αὐτὴν ἡγεῖτο νομίμου τινὸς ὀνόματος τήν γε ἑαυτὴν ὑβρίσασαν (ἀρκεῖ γὰρ τοσοῦτον εἰπεῖν). ὥστε*

4) Ven. *οὕτως*, quod corrigendum erat. 5) Const. XXII c. 4.

δεύτερος οὗτος τρόπος ὁ τοὺς παῖδας ἀδικῶν, ἐν μὲν δὴ τῷ προτέρῳ διὰ τῆς τελευτῆς τῆς μητρὸς, ἐν δὲ τῷ δευτέρῳ δι' ὧν ἐξήμαρτεν ἐκείνη. [§. 2.] ἴσμεν δὲ καί τι τρίτον ἕτερον κινηθέν. ὁ μὲν γὰρ πατὴρ γνησίους ἠβούλετο ποιῆσαι τοὺς παῖδας καὶ τὰ ἐπὶ τοῖς προικῴοις νομοθετηθέντα παρ' ἡμῶν ἐσκόπει, οἱ μέντοι παῖδες αἰσθόμενοι τούτων, ἐπειδήπερ τὶς παραδόξως ἦλθεν εἰς τὴν τεκοῦσαν αὐτοὺς (καίτοιγε οὐ νόμιμον αὐτῷ γαμετὴν οὖσαν) παρά τινος συγγενοῦς εὐπορία, κακούργως ἅμα καὶ δολερῶς πράττοντες τὴν μητέρα ἀπέκρυψαν, ἵνα μὴ γένηται δυνατὸν τῷ πατρὶ ποιήσασθαι γνησίους αὐτοὺς καὶ τελευτώσης ἴσως τῆς μητρὸς τῆς τῶν μητρῴων πραγμάτων ἀπολαύσοι[6]) χρήσεως, τοῦτο ὅπερ τοῖς πατράσι δίδωσιν εὖ ποιῶν ὁ νόμος. ταῖς τοιαύταις οὖν ἀντιτάξασθαι τέχναις νόμου καθέστηκεν ἴδιον ἀκριβοῦς, ὃν ἐν τῷ παρόντι τίθεμεν.

α'. Εἴ τις οὖν οὐκ ἔχων παῖδας νομίμους, νόθους δὲ μόνον, αὐτοὺς μὲν γνησίους ποιήσασθαι βούλεται, τὴν γυναῖκα δὲ ἢ οὐκ ἔχοι παντελῶς ἢ οὐκ ἀναμάρτητον ἢ οὐ φαινομένην ἔχοι ἢ κατά τι νόμιμον πρὸς τὸ συνοικέσιον ἐμποδιζομένην, δίδομεν αὐτῷ παῤῥησίαν ξένῃ τινὶ καὶ νῦν ἐξηυρημένῃ παρ' ἡμῶν ὁδῷ πρὸς γνησίους ἀγαγεῖν τοὺς νόθους, δηλαδὴ γνησίων ἐπὶ τῶν τοιούτων θεμάτων οὐκ ὄντων. ὥσπερ γάρ ἐστί τις τοῖς πρὸ ἡμῶν ἐξηυρημένος τρόπος, ὃς τοὺς ἀπελευθέρους εἰς εὐγένειαν ἄγει, προκαθαίρων μὲν αὐτοὺς ἑτέρᾳ τινὶ πράξει καὶ διδοὺς αὐτοῖς τὸ τῶν χρυσῶν δακτυλίων δίκαιον, ὕστερον δὲ εἰς αὐτὴν ἐπανάγων τὴν φύσιν τὴν δοῦλόν τε καὶ ἐλεύθερον ἐξ ἀρχῆς μὴ διακρίνασαν ἀλλ' ἐλευθέραν τὴν ἀνθρώπου ποιησαμένην γονὴν, οὕτω δὴ καὶ ἡμεῖς τοῦτον δὴ τὸν τρόπον ἐπινοοῦμεν τῷ πράγματι. καὶ ἐξέστω τῷ πατρὶ ἐπὶ τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων τρόπων ἢ καὶ εἴ τις ἕτερος ἀπαντήσει τοιοῦτος

6) Scil. ὁ πατήρ.

(πολλὰ δὲ καθάπερ ἔφθημεν εἰπόντες τὰ τῆς φύσεως καινουργήματα), ἐξέστω τοίνυν καθάπερ ἔφαμεν τῷ πατρὶ, εἴπερ γνησίας οὐκ εὐποροίη γονῆς, τοὺς παῖδας ἀποκαταστῆσαι τῇ φύσει καὶ τῇ ἄνωθεν εὐγενείᾳ, εἴ γε ἐξ ἐλευθέρας αὐτῷ γένοιντο, καὶ γνησίους τὸ λοιπὸν καὶ ὑπεξουσίους σχεῖν. οὔτε γὰρ ἐξ ἀρχῆς, ὅταν ἡ φύσις[7]) διεθεσμοθέτει τοῖς ἀνθρώποις μόνη πρὶν τοὺς γραπτοὺς εἰσφοιτῆσαι νόμους, ἦν τις διαφορὰ νόθου τε καὶ γνησίου, ἀλλὰ τοῖς πρώτοις γονεῦσιν οἱ πρῶτοι παῖδες ἅμα τῇ προόδῳ γεγόνασι γνήσιοι, καὶ ὥσπερ ἐπὶ τῶν ἐλευθέρων ἡ μὲν φύσις ἐλευθέρους πεποίηκεν ἅπαντας, οἱ πόλεμοι[8]) δὲ τὴν δουλείαν ἐξεῦρον, οὕτω κἀνταῦθα ἡ μὲν φύσις γνησίας προήγαγε τὰς γονὰς, ἡ δὲ εἰς ἐπιθυμίαν ἐκτροπὴ τὸ νόθον αὐταῖς προσανεμάξατο. ὥστε ὁμοίων τῶν παθῶν γενομένων δεῖ καὶ τὴν θεραπείαν ἐκ τῶν ἴσων ἐξευρεθῆναι, τὴν μὲν παρὰ τῶν πρὸ ἡμῶν τὴν δὲ ὑφ' ἡμῶν.

β'. Ἔστω τοίνυν ἄδεια τῷ πατρὶ τὴν μητέρα ἐπὶ τοῦ προτέρου καταλιμπάνοντι σχήματος, εἴπερ ταῖς ἀληθείαις ἁμαρτάνουσά τι περὶ τὴν εὐνὴν φανείη (ἄλλως γὰρ γίνεσθαι τοῦτο ἐπὶ τοῦ τοιούτου θέματος οὐκ ἐφίεμεν), ἢ εἴπερ κατά τινα περίστασιν ἢ οὐκ ἔστιν ἢ λανθάνοι ἤ τι ἕτερον γένοιτο περὶ αὐτὴν ὃ[9]) αὐτὸν κωλύει τὴν ἐπὶ τὰ προικῷα φέρουσαν ὁδὸν ἐλθεῖν, καὶ οὕτως αὐτὸν προνοῆσαι τῶν παίδων καὶ ἐπιδοῦναι τῇ βασιλείᾳ δέησιν, αὐτὸ τοῦτο λέγουσαν ὡς βούλεται τοὺς νόθους αὐτοῦ παῖδας ἀποκαταστῆσαι τῇ φύσει καὶ[10]) τῇ ἄνωθεν εὐγενείᾳ τε καὶ γνησιότητι, ὥστε ὑπεξουσίους αὐτῷ καθεστάναι μηδὲν τῶν νομίμων παίδων διαλλάττοντας. καὶ τούτου γινομένου ἐντεῦθεν τοὺς παῖδας ἀπολαύειν τῆς τοιαύτης βοηθείας, καὶ μηδὲ κακουργεῖν

7) Verba *οὔτε-φύσις* desunt in Ven. supplementum tam ex Nov. CXI c. 1 quam ex Auth. praesto fuit. 8) Ven. *κολέμοι*, quod ex Auth. emendandum erat. 9) Ven. *ἥ*. 10) Ven. *οὖς*. Auth. „et". Osenbrüggen notat: etiam ferri posset *ὡς*.

δύνασθαι τὸν πατέρα καὶ ἀποκρύψαντας τὴν μητέρα διωθεῖσθαι τὴν γνησιότητα. ἑνὶ γὰρ δὴ τούτῳ τῷ τρόπῳ πάσας τὰς τοιαύτας τῆς φύσεως παρεκβάσεις τε καὶ ἐπινοίας ἐπὶ τῶν νομίμους οὐκ ἐχόντων παῖδας θεραπεύομεν, οὕτω συντόμῳ συμμαχίᾳ τοσαύτην ὁρμὴν ἐπανορθώσαντες φύσεως. [§. 1.] εἰ μέντοιγε ὁ μόνων φυσικῶν παίδων πατὴρ τοῦτο μὲν διά τινας τυχηρὰς περιστάσεις οὐ πράξειε, τελευτῶν δὲ ἐπί τινος τῶν ἔμπροσθεν εἰρημένων θεμάτων γράψει ἐν διαθήκῃ, βούλεσθαι αὐτῷ γνησίους εἶναι τοὺς παῖδας καὶ διαδόχους, καὶ ἐν τούτῳ δίδομεν αὐτῷ παῤῥησίαν· δεομένων μέντοι καὶ οὕτω τῶν παίδων μετὰ τὴν τελευτὴν τοῦ πατρὸς καὶ τοῦτο διδασκόντων, καὶ δεικνύντων τὰς τοῦ πατρὸς διαθήκας καὶ κληρονομούντων εἰς ὅσον ἂν ὁ πατὴρ αὐτοὺς γράψειε, καὶ ἐκ τῆς βασιλείας αὐτὸ λαμβανόντων, ἵνα κατ᾽ αὐτὸν [10a]) δῶρον ᾖ τὸ γινόμενον πατρός τε καὶ βασιλέως, ταὐτὸν δὲ ἐστὶν εἰπεῖν φύσεώς τε καὶ νόμου. καὶ ταῦτά φαμεν οὐδένα τῶν ἔμπροσθεν νομίμων ἀναιροῦντες τρόπων, ἀλλὰ καὶ τοῦτον προστιθέντες ἐφ᾽ ὧν ἐκείνους λαβεῖν οὐκ ἔξεστιν. ὅλως γὰρ γνησίων ὑπόντων, εἶτα νόθων ἐπιγινομένων ἢ προγενομένων οὐκ ἂν ἡ γνησιότης αὐτοῖς προστεθείη, εἰ μὴ πάντως διὰ τῶν διατάξεων ἡμῶν, αἵπερ τὸν τῶν προικῴων συμβολαίων εἰσηγήσαντο τρόπον.

γ΄. Καὶ οὐ λέληθεν ἡμᾶς, ὡς καὶ ὁ τῆς υἱοθεσίας τρόπος ἦν πάλαι τισὶ τῶν πρὸ ἡμῶν αὐτοκρατόρων ἐπὶ τῶν νόθων τῶν εἰς γνησίους μεθισταμένων νομισθεὶς οὐκ ἀδόκιμος. ἀλλ᾽ ὅ γε τῆς εὐσεβοῦς λήξεως ἡμῶν πατὴρ καὶ ἡ διάταξις ἡ παρ᾽ ἐκείνου τεθεῖσα [11]) τῶν τοιούτων κατέγνω· μένειν δὲ κἀκείνην ἐπὶ τῶν ἑαυτῆς ὅρων βουλόμεθα, ἐπειδὴ τῆς σωφροσύνης ἀκριβῶς ἐστόχασται, καὶ οὐ προσῆκόν ἐστι τὰ καλῶς ἐκβεβλημένα πάλιν εἰς πολιτείαν κατάγειν.

δ΄. Κἀκεῖνο δὲ ἡγούμεθα κάλλιον εἶναι τάξαι προση-

10a) κατὰ ταὐτόν? 11) l. 7 C. de nat. lib. 5, 27.

κόντως, ὅπερ ἐκ πολλῆς τῆς τῶν πραγμάτων ἐλάβομεν πείρας· πολλαὶ γοῦν καὶ ἐφεξῆς δίκαι προσηγγελμέναι τῷ ἡμετέρῳ κράτει τοῦ παρόντος ἡμᾶς εἰς χρείαν ἤγαγον νόμου. ἐπειδὴ γὰρ καὶ τοῖς παλαιοῖς διηγόρευται νόμοις καὶ ἡμῖν αὐτοῖς τὰ αὐτὰ διατέτακται, ὥστε τοὺς γάμους καὶ γαμικῶν συμβολαίων χωρὶς ἐκ μόνης ἐῤῥῶσθαι διαθέσεως καὶ κυρίους εἶναι, νενοθευμένων ἡμῖν ἐντεῦθεν συναλλαγμάτων ἐπλήσθη τὸ πολίτευμα, καὶ παρίασι μάρτυρες ἀκινδύνως ψευδόμενοι, καὶ ὅτι κυρίαν ἐκάλει τὴν συνοικοῦσαν ὁ ἀνὴρ κἀκείνη τοῦτον ὁμοίως ὠνόμαζε, καὶ οὕτως αὐτοῖς πλάττεται συνοικέσια καὶ μὴ ταῖς ἀληθείαις συστάντα. τοῦτο ᾠήθημεν χρῆναι κατὰ τοὺς φυσικοὺς διορίσαι νόμους. ἴσμεν γὰρ, εἰ καὶ σωφροσύνης ἐσμὲν ἐρασταὶ καὶ ταῦτα τοῖς ἡμετέροις νομοθετοῦμεν ὑπηκόοις, ἀλλ' οὐδὲν εἶναι μανίας ἐρωτικῆς σφοδρότερον, ἣν ἐπισχεῖν φιλοσοφίας ἐστὶν ἀκριβοῦς, νουθετούσης τε καὶ πηδῶσαν καὶ σφαδάζουσαν τὴν ἐπιθυμίαν ἐπεχούσης. ὥστε οἱ τούτῳ κεκρατημένοι τίνος ἂν ἀπόσχοιντο ῥήματος πρὸς τὰς ὧν ἐρῶσιν, ὅπερ αὐταῖς οὐ διὰ κολακείαν προσάγουσι; τοιγαροῦν τοσοῦτον καὶ οἱ πρὸ ἡμῶν νομοθέται τὰς τοιαύτας ἠπίσταντο τῶν ψυχῶν διαθέσεις, ὥστε καὶ τὰς ἐν γάμῳ κωλύουσι δωρεὰς, ἵνα μὴ τῇ τῆς ἐπιθυμίας νικηθέντες ὑπερβολῇ λάθοιεν κατὰ μικρὸν ἑαυτοὺς οἱ συνοικοῦντες τῆς οὐσίας ἀφαιρούμενοι. ταῦτα οὖν σώφρονι νόμῳ διαθεσμοθετῆσαι καλῶς ἔχειν ᾠήθημεν. [§. 1.] ἐπὶ μὲν οὖν τῶν μειζόνων ἀξιωμάτων, καὶ ὅσα μέχρι τῶν ἡμετέρων ἐστὶ συγκλητικῶν καὶ τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων, οὐδὲ γίνεσθαι ταῦτα παντελῶς ἀνεχόμεθα, ἀλλ' ἔστω πάντως καὶ προὶξ καὶ προγαμιαία δωρεὰ καὶ τὰ ἄλλα πάντα, ὅσα τοῖς σεμνοτέροις πρέπει τῶν ὀνομάτων. ὅσον δὲ ἐν στρατείαις τε σεμνοτέραις καὶ ἐμπορίαις καὶ ὅλως ἐν ἐπιτηδεύσεσιν ἀξιολογωτέραις ἐστὶν, εἰ βούλοιτο νομίμως γυναικὶ συνελθεῖν καὶ μὴ ποιήσασθαι γάμων συμβόλαια, μὴ οὕτως εἰκῇ καὶ ἀπαραφυλάκτως καὶ ἐκκεχυμένως καὶ ἀναποδείκτως τοῦτο

πραττέτω, ἀλλὰ παραγινέσθω πρός τινα τῶν εὐκτηρίων οἴκων, κοινωσάσθω τε τῷ τῆς ἁγιωτάτης ἐκείνης ἐκκλησίας ἐκδίκῳ, ὁ δὲ παραλαβὼν τρεῖς ἢ τέσσαρας τῶν ἐκεῖσε εὐλαβεστάτων κληρικῶν ἐκμαρτυρίαν συνιστάτω, δηλοῦσαν ὡς ἐπὶ τῆσδε τῆς ἐπινεμήσεως τοῦδε τοῦ μηνὸς ἄγοντος τόσην ἡμέραν τῆς βασιλείας ἔτους τόσου ὑπατείας τοιᾶσδε ἦλθον παρ' αὐτῷ ἐν τῷδε τῷ εὐκτηρίῳ οἴκῳ ὁ δεῖνα καὶ ἡ δεῖνα καὶ συνηρμόσθησαν ἀλλήλοις. καὶ τὴν τοιαύτην ἐκμαρτυρίαν εἰ μὲν ἐκλαβεῖν βούλονται ἢ ἀμφότεροι οἱ συνιόντες ἢ καὶ ἕτερος[12]) *αὐτῶν, καὶ τοῦτο πραττέτωσαν καὶ ὑπογραφέτωσαν ταύτῃ ὅ τε τῆς ἁγιωτάτης ἐκκλησίας ἔκδικος καὶ οἱ λοιποὶ τρεῖς ἢ ὅσους ἂν βουληθείη (οὐκ ἐλάττους μέντοι τῶν τριῶν) γράμματα τοῦτο σημαίνοντα.* [§. 2.] *εἰ δὲ καὶ τοῦτο μὴ πράξαιεν ἐκεῖνοι, ἀλλὰ τὸν τοιοῦτον ἀποτιθέσθω χάρτην ὁ τῆς σεβασμιωτάτης ἐκκλησίας ἐκείνης ἔκδικος ἐν τοῖς τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἀρχείοις (τουτέστιν ἐν τῷ εὐαγεῖ κειμηλιοφυλακίῳ) τὰς εἰρημένας ὑποσημειώσεις ἔχοντα, ὥστε ἀποκεῖσθαι τοῖς ἀνθρώποις τὴν ἐντεῦθεν ἀσφάλειαν, καὶ μὴ ἄλλως δοκεῖν γαμικῇ διαθέσει τούτους αὐτοὺς συνεληλυθέναι, πλὴν εἰ μὴ τοιοῦτό τι πραχθείη, καὶ ὅλως ἐκ γραμμάτων τὸ πρᾶγμα μαρτυροῖτο. τούτων δὲ οὕτω γενομένων καὶ τὸν γάμον καὶ τὰς ἐξ αὐτοῦ γονὰς εἶναι νομίμους. ταῦτα δέ φαμεν ἔνθα μὴ προικὸς ἢ προγαμιαίας δωρεᾶς γίνεται συμβόλαιον. τὴν γὰρ ἐκ μόνων μαρτύρων πίστιν ὑποπτεύοντες ἐπὶ τὴν παροῦσαν ἐληλύθαμεν διατύπωσιν.* [§. 3.] *τὸ δὲ ὅσον ἐν καταπεφρονημένῳ διαζῇ βίῳ, μικρᾶς μὲν οὐσίας κύριον καθεστὼς εἰς ἔσχατον δὲ τοῦ δήμου μέρος ἀποκείμενον, τοῦτο ἐχέτω καὶ τὴν ἐπὶ τούτοις ἄδειαν. ἀλλ' οὐδὲ γεωργοὺς ἢ στρατιώτας ἐνόπλους, οὓς ὁ νόμος καλιγάτους καλεῖ, τουτέστιν εὐτελεστέρους καὶ ἀφανεστέρους περιεργαζόμεθα, οἷς ἥ τε τῶν πολιτικῶν πραγμάτων ἀμαθία καὶ ἡ μόνης*

12) Malim *ἅτερος* legere.

τῆς περὶ τὴν γῆν ἐργασίας καὶ περὶ τοὺς πολέμους ἐπιθυμία πρᾶγμά ἐστι περισπούδαστον καὶ δικαίως ἐπαινούμενον· ὥστε ἐπί τε τῶν εὐτελῶν προσώπων ἐπί τε στρατιωτῶν ἐνόπλων ἀφανῶν καὶ γεωργῶν ἄδεια ἔστω αὐτοῖς καὶ ἀγράφως συνιέναι καὶ συνοικεῖν ἀλλήλοις, καὶ ἔστωσαν οἱ παῖδες γνήσιοι, τῇ τῶν πατέρων μετριότητι ἢ στρατιωτικαῖς ἢ γεωργικαῖς ἀσχολίαις τε καὶ ἀγνοίαις βοηθούμενοι.

ε΄. Ἐπειδὴ δὲ ἐκ τῶν προσελεύσεων τῶν γινομένων ἡμῖν ἀεὶ, συχνότερον δὲ πάντων γυναικῶν ἀκούομεν ὀδυρομένων καὶ προσαγγελλουσῶν, ὥς τινες προσπαθείᾳ κρατούμενοι πρὸς αὐτὰς εἶτα ταύτας ἀνάγουσιν οἴκοι, καὶ τῶν θείων ἁπτόμενοι λογίων ἢ ἐν εὐκτηρίοις οἴκοις ὀμόσαντες ἦ μὴν ἕξειν αὐτὰς νομίμους γαμετὰς, οὕτως αὐτὰς οἰκειοῦνται χρόνον πολὺν καὶ παιδοποιοῦσιν ἴσως, εἶτα ἐπειδὰν ἐμπλησθεῖεν τῆς αὐτῶν ἐπιθυμίας, ἢ τῶν παίδων χωρὶς ἢ μετὰ τῶν παίδων ἀποῤῥίπτουσι τῶν οἴκων, ἐκρίναμεν καὶ τοῦτο χρῆναι θεραπεῦσαι. καὶ εἴπερ ἡ γυνὴ δεῖξαι δυνηθείη τρόποις νομίμοις, ὅτι κατὰ τοῦτο τὸ σχῆμα ὁ ἀνὴρ ταύτην ἔλαβεν οἴκοι ἐπὶ τῷ γυναῖκα γνησίαν ἔχειν καὶ παίδων γνησίων μητέρα, μηκέτι παντελῶς ἄδειαν αὐτῷ καθεστάναι ταύτην παρὰ τὴν τοῦ νόμου τάξιν ἐξωθεῖν τῆς οἰκίας, ἀλλ' ἔχειν γνησίαν καὶ τοὺς παῖδας γνησίους αὐτῷ καθεστάναι. καὶ ἐκείνην μὲν, εἴπερ ἄπροικος εἴη, τῶν ἐκ τῆς ἡμετέρας διατάξεως[13]) ἀπολαύειν ἀγαθῶν, τὸ τέταρτον τῆς περιουσίας τοῦ ἀνδρὸς λαμβάνουσαν εἴτε ἐξωθείη εἴτε καὶ προαποβάλοι τὸν ἄνδρα, οὐ περιεργαζομένων ἡμῶν εἴτε διαισίῳ χρησάμενος ἀποπέμψοι ταύτην εἴτε καὶ τούτου χωρίς· οὐδὲ γὰρ εἰκὸς αὐτὸν πέμψαι ταύτῃ ῥεπούδιον τόν γε αὐτὸν τὸν γάμον ἐξαρνούμενον. ἀλλ' εἴπερ ταύτην ἀλόγως ἐκβάλοι τῆς οἰκίας, αὐτὸ τοῦτο ἔστω κατὰ τοῦ ἀνδρὸς αἰτία, καὶ ἡ γυνὴ τούτου γεγονότος ῥεπούδιόν τε αὐτῷ στελλέτω καὶ ἀπαιτείτω

13) Const. LXXI.

τὸ τέταρτον, εἰ δειχθείη γαμετὴ καθεστῶσα, κἂν εἰ προικὸς χωρὶς συνῆλθε τοῖς ὅρκοις πιστεύσασα. τί γὰρ ἂν πράξειεν ἄλλο ἡ προικὸς οὐκ εὐποροῦσα ἢ τὸ ἑαυτὴν ἀντὶ πάσης ἐπιδοῦναι προικός; [§. 1.] ἔστω δὲ καὶ ἡ γονὴ γνησία καὶ ἄκοντος τοῦ πατρός. ὁ γὰρ ἐπὶ τούτῳ γήμας τε καὶ παιδοποιησάμενος, ἐφ' ᾧ γνησίων αὐτῷ παίδων τὴν γυναῖκα γενέσθαι μητέρα, οὐκ ἂν γένοιτο δυνατὸς τοὺς ἐκ τῶν τοιούτων τεχθέντας γάμων αὖθις εἰς νοθείαν ἐκβαλεῖν, οὐδέ τινας ὕστερον ἴσως γάμους μετὰ τὴν τελευτὴν τῆς γαμετῆς ἢ τὸ ῥεπούδιον συναλλάττων τοὺς ἐξ ἐκείνων βούλεσθαι τῶν γάμων μόνους εἶναι γνησίους, ἀλλὰ μὴ καὶ τοὺς ἔμπροσθεν. συζευχθείησαν γὰρ ἂν καὶ οὗτοι τοῖς δευτέροις, καὶ ἔσται πάντων ὁμοίως πατὴρ, μάρτυρος ὄντος τῶν γάμων τοῖς μὲν προτέροις θεοῦ τοῖς δὲ δευτέροις τοῦ νόμου. οὗτος ἡμῖν ὁ νόμος ὑπὲρ ἀσφαλείας κείσθω τῶν γάμους συμβαλλόντων, καὶ οἱ παῖδες εἰ μὲν ἐκ τοιούτων προέλθοιεν γονέων ἔσονται γνήσιοι καὶ τῶν ἐπὶ τοῖς γνησίοις κειμένων ἀπολαύσουσι νόμων.

ϛ'. Εἰ δὲ παρὰ ταῦτα γένοιτο, μὴ μέντοι ἐκ καταδεδικασμένης προέλθοιεν συναφείας, ἔσονται νόθοι, καὶ τῶν παρ' ἡμῶν φιλοτιμηθέντων τοῖς νόθοις εἴτε ἐκ διαθήκης εἴτε ἐξ ἀδιαθέτου τεύξονται. τοὺς γὰρ ἀπὸ τῶν καθάπαξ παρ' ἡμῶν μεμισημένων τε καὶ διὰ τοῦτο κεκωλυμένων γάμων προϊόντας οὐδὲ νόθους κλητέον, οὐδὲ μεταδοτέον αὐτοῖς οὐδεμιᾶς φιλανθρωπίας, ἀλλ' ἔστω καὶ τοῦτο τιμωρία τῶν πατέρων τὸ γινώσκειν ὡς οὐδ' ὁτιοῦν οἱ τῆς ἁμαρτανούσης ἐπιθυμίας αὐτῶν ἕξουσι παῖδες.

Τὰ παραστάντα τοίνυν ἡμῖν καὶ εἰς ἀνθρώπων θεραπείαν καὶ τῆς φύσεως ἀναπλήρωσιν διὰ τοῦδε τοῦ νόμου διορισθέντα ἡ σὴ ὑπεροχὴ φανερὰ πᾶσι ποιησάτω προγραμμάτων τιθεμένων, δι' ὧν ἅπασιν ὁ νόμος ἔσται σαφὴς, γινώσκουσι καθ' ὃν περὶ τῶν τοιούτων πολιτεύσονται τρόπον, καὶ τὴν ἡμετέραν ἐννοοῦσι πρόνοιαν, ὅτι

πάσης ἀσχολίας ἑτέρας τὴν αὐτῶν ὠφέλειαν προτίθεμεν. Dat. Non. Iun.[14]) CP. imp. DN. Iustiniano PP. Aug. ann. XII. Iohanne V. C. Cons. ind. α' τοῦ ϑμω' ἔτους.[15])

Nov. 76. **XCV.** Auth. 77.

Hal. nonnisi rubricam et inscriptionem habet. — Summas praestant Iulian. c. 70, Ath. I, 16, Theod. Nov. 76.

Ἡ διάταξις ἑρμηνεύει τὴν προτέραν διάταξιν τὴν περὶ τῶν εἰσιόντων εἰς τὰ μοναστήρια καὶ τὰς οὐσίας αὐτῶν καθιερούντων, ἐκ ποίου χρόνου δεῖ αὐτὴν κρατεῖν.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ὑπάρχῳ τῶν ἱερῶν πραιτωρίων τὸ δεύτερον ἀπὸ ὑπάτων καὶ πατρικίῳ.

Πρᾶγμα τοιοῦτον εἰς ἡμᾶς ἀφίκετο, ὅπερ οἰόμεϑα χρῆναι τῆς προσηκούσης ἀπολαῦσαι παρ' ἡμῶν ἑρμηνείας τε ἅμα καὶ βοηϑείας. ἔγνωμεν γάρ, ὡς γυνή τις ἔχουσα παῖδα ἐκ γάμων αὐτῇ γενόμενον νομίμων ἠβουλήϑη χωρίσαι μὲν ἑαυτὴν τῆς κοινῆς ταύτης διαίτης, ἐν δέ τινι γυναικῶν ἀσκητηρίῳ καταμεῖναι, πολλὰ δὴ εἰς τὰς ἐκεῖ συνηγμένας εὐλαβεστάτας γυναῖκας ἀγαϑὰ ποιησαμένη· καὶ ἐπειδήπερ ὁ τῆς ἡμετέρας εὐσεβείας βούλεται νόμος[1]) τοὺς εἰς ἀσκητήριον ἑαυτοὺς καϑιεροῦντας ἢ ἄνδρας ἢ γυναῖκας πρὸ τῆς εἰς μοναστήριον εἰσόδου διατιϑέναι τὰ οἰκεῖα καϑ' ὃν βούλονται τρόπον, μὴ δύνασϑαι δὲ μετὰ τὴν εἴσοδον τὴν εἰς

14) Athan. προ α νον. (i. e. pridie Non.) ἰουνίων. Theod. μηνὶ ἰουνίῳ. Auth. pridie Non. vide not. 8 ad c. LXXXVIII. 15) Numerus anni legendus a dextra ad sinistram. significatur annus 849 aerae Syriacae. videatur Ducange ad Chron. Paschale a. 538.

1) Const. XIII c. 5.

τὸ ἀσκητήριον ἔτι πράττειν τὶ περὶ τῶν οἰκείων οἷα κυρίους οὐκ ἔτι τυγχάνοντας τῶν πραγμάτων (διὰ τὸ νομοθετῆσαι ἡμᾶς, τοὺς τοιούτους ἄνδρας τε καὶ γυναῖκας μετὰ τοῦ σώματος καὶ τῆς ψυχῆς αὐτῇ τῇ εἰσόδῳ τῇ κατὰ τὸ μοναστήριον καθιεροῦν ἑαυτοὺς καὶ τὰς ἑαυτῶν περιουσίας ἐν τῷ μοναστηρίῳ, διότι κύριοι τούτων οὐκ ἔτι καθεστᾶσι), καὶ[2]) ἐντεῦθεν δεδιέναι μή ποτε (καίτοι τῆς ἡμετέρας διατάξεως πολλῷ μεταγενεστέρας οὔσης τῆς εἰς τὸν εἰρημένον εὐαγῆ οἶκον αὐτῆς εἰσόδου) τινὲς ἀποστερήσαιεν αὐτὴν τοῦ τοῦ οἰκείου προνοήσασθαι παιδὸς, χρῆναί τε τὸ[3]) εἰρημένον δέος ταύτῃ ἑρμηνευθῆναι καὶ νόμῳ ἡμετέρῳ γενέσθαι σαφὲς, ὡς οὐδὲν βλάπτεται ἢ αὐτὴ ἢ ὁ παῖς περὶ τὴν αὐτῆς διαδοχὴν ἐκ τῆς εἰρημένης διατάξεως.

α΄. Διὰ τοῦτο θεσπίζομεν, εἴ τις μοναστήριον ᾤκησεν ἀνὴρ ἢ γυνὴ πρὸ τῆς ῥηθείσης ἡμῶν διατάξεως ἢ καὶ μέχρι νῦν οἰκεῖ, καὶ μάλιστα παίδων ὑπόντων, μηδεμίαν ἔχειν ἀνάγκην νῦν τὴν αὐτῶν περιουσίαν εἰσάγειν εἰς τὸ μοναστήριον, ἀλλὰ τῷ παιδὶ ἢ τοῖς παισὶ παραπέμπειν εἴτε τὸ πᾶν εἴτε καὶ μέρος τῆς οἰκείας περιουσίας, ἢ καὶ ὃν βούλονται τρόπον τὰ οἰκεῖα διατιθέναι πράγματα, οἷα τὸν πρότερον ἐκεῖνον νόμον ἑτέρᾳ ἡμῶν ταύτῃ διατάξει διερμηνευόντων[4]) (τοὺς γὰρ ἅπαξ πρὸ τοῦ εἰρημένου ἔμπροσθεν ἡμῶν νόμου μοναστήρια κατοικήσαντας οὐδὲν ἂν ὁ μετὰ ταῦτα τεθεὶς νόμος λυπήσειεν ἢ ἀφέλοιτό τι τῶν ἔμπροσθεν αὐτοῖς εἰς ἄδειαν δεδομένων), οὐδὲ τοῦ πρότερον ἡμετέρου νόμου παντελῶς ἐμποδὼν ἱσταμένου, διότι οὐδὲ τῶν ἐγχωρούντων ἐστὶ τοῦτο γενέσθαι· ἐχρῆν γὰρ πρότερον διατάξα-

2) Istud καὶ abundat. oratio sic procedit: ἔγνωμεν . . . δεδιέναι scil. τὴν γυναῖκα. 3) Osenbrüggen recte notat: ut scribatur διὰ τὸ et ταῦτα vel τοῦτο suadere videtur Auth. 4) Forte legendum ἑτέρας ἡμῶν ταύτης διατάξεως διερμηνευούσης vel simile quid. caeterum totus hic locus non satis sanus esse videtur.

σθαι καὶ οὕτως εἰσελθεῖν εἰς τὸ μοναστήριον, εἰ δὲ οὐδενὸς τότε τοιούτου νόμου κειμένου εἰς τὸ μοναστήριον εἰσῆλθε, πῶς ἂν γένοιτο δυνατὸν ἀναστραφῆναι τὴν τάξιν τοῦ νόμου, καὶ ἀπαιτῆσαι τοὺς πρότερον εἰσελθόντας ἐν τῷ μοναστηρίῳ ἐκεῖνα ποιῆσαι, ἅπερ πρότερον ἀγνοούμενα παρὰ τῆς θείας ἡμῶν ὕστερον ἐκαινίσθη διατάξεως; ἀλλ' ἕκαστον προσήκει κατὰ τοὺς ἑαυτῶν[5]) καιροὺς ἐκδέξασθαι, καὶ τὰ μὲν μετὰ τὸν νόμον οὕτω ζητεῖν γίνεσθαι ὡς ὁ νόμος βούλεται, εἰ δέ τι πρὸ τοῦ νόμου παρηκολούθησε, τοῦτο μὴ ἀνακινεῖν μηδὲ ἀνερευνᾶν, ἀλλ' ἐπὶ τοῦ προτέρου καταλιμπάνειν σχήματος. [§. 1.] ὅδε τοίνυν ὁ νόμος ἐπὶ ἑρμηνείᾳ χρηστῇ κείσθω τῆς προτέρας ἡμῶν ἐκείνης διατάξεως, ὥστε αὐτὴν ἐν τοῖς μετ' αὐτὴν χρόνοις ἀφ' οὗ γέγονεν χώραν ἔχειν, καὶ τοῖς μετ' αὐτὴν ἀποταττομένοις ἀνδράσιν ἢ γυναιξὶ κεῖσθαι· καὶ ἑαυτῇ τὴν ἐξουσίαν ἐπ' ἐκείνοις φυλαττέτω μηδὲν τῶν πρὸ αὐτῆς πολυπραγμονοῦσα, ἀδείας οὔσης τοῖς ἔμπροσθεν ἀνδράσιν ἢ γυναιξὶ κατοικήσασιν ἢ μέχρι νῦν οἰκοῦσι μοναστήρια, καὶ μάλιστα παίδων ὑπόντων, τὰ ἑαυτῶν πράγματα ὃν βούλονται διατιθέναι τρόπον.

Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου κατὰ τὸ σύνηθες διὰ προγραμμάτων οἰκείων ἅπασι ποιῆσαι φανερὰ σπευσάτω. Dat. Id. Octobr.[6]) imp. DN. Iustiniano PP. Aug. ann. XII Iohanne[7]) V. C. Cons. Ind. β'.

5) Vulgo in ἑαυτοῦ mutant. 6) Athan. ἐγρα. ιδ ὀκτω. Auth. V. idus Oct. Theodorus autem: ἐξεφωνήθη μηνὶ ἰουνίῳ. 7) Athan. apud Heimb. ὑπατείας ἀπίωνος, ubi tamen Fabroti Codices ὑπατείᾳ ἰωάννου scribunt. etiam Theod. ὑπατείᾳ ἰωάννου. quod ibidem additur ἰνδ. α', ut et illud μηνὶ ἰουνίῳ, id errore factum esse et forte a librario ex subscriptionibus praecedentium Novellarum perperam huc translatum est. cf. const. LXXIX not. 4.

XCVI. Edict. 13.

odicis Veneti πίναξ, ubi edicta Iustiniani recenset, ultimo loco ponit ιγ'. Νόμος περὶ ἀλεξανδρέων κτλ. in contextu autem numerus ιγ' non apparet, sed potius titulus praepositus est Ἀρχὴ σὺν θεῷ τοῦ πρὸς Ἰωάννην τὸν ἐνδοξότατον ὕπαρχον τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων. unde dubitari potest, an ab initio partem fecerit collectionis Edictorum, quae vocantur. caeterum titulus, quem ex Veneto repraesentavimus, demonstrat constitutionem ad Ioannem Praef. Praet. directam esse. iam quum secundum cap. 15 indictione II data sit, eaque indictio Ioanne praefecturam agente a Kal. Sept. anni 538 usque ad Kal. Sept. anni 539 pertinuerit, profecto huic tempori vindicanda est, et merito inter constitutiones anni 538 et 539 medium locum obtinet.

Νόμος περὶ τῶν Ἀλεξανδρέων καὶ τῶν Αἰγυπτιακῶν ἐπαρχιῶν.

Εἰ καὶ τὰ σμικρότατα τῶν πραγμάτων τῆς ἑαυτῶν ἠξιοῦμεν προνοίας, πολλῷ μᾶλλον τὰ μέγιστά τε καὶ συνέχοντα τὴν ἡμετέραν πολιτείαν οὐκ ἐγκαταλείψομεν, οὐδὲ ἀπρονόητα οὐδὲ τοῦ προσήκοντος χηρεύοντα κόσμου ἐάσομεν, καὶ μάλιστα τῆς σῆς ἡμῖν ὑπουργούσης ὑπεροχῆς, ᾗπερ μέλει τῆς τε ἡμετέρας διὰ πάντων θεραπείας, τῆς τε αὐξήσεως τῶν δημοσίων, τῆς τε τῶν ὑποτελῶν τῶν ἡμετέρων φροντίδος. ἐννοήσαντες τοίνυν, ὡς ἐπὶ τῶν ἔμπροσθεν χρόνων, εἰ καὶ τὰ ἄλλα τῶν δημοσίων εἰσπράξεων ἐδόκει πῶς τετάχθαι, ἀλλ' οὖν κατὰ τὴν Αἰγυπτιακὴν διοίκησιν οὕτως ἦν συγκεχυμένα, ὥστε μηδὲ ὅ τι πράττεται κατὰ χώραν ἐνταῦθα γινώσκεσθαι, ἐθαυμάσαμεν[1]) τὴν μέχρι νῦν τοῦ πράγματος ἀταξίαν, ἀλλ' ἔδωκεν ὁ θεὸς καὶ τοῦτο τοῖς ἡμετέροις φυλαχθῆναι καιροῖς καὶ ταῖς σαῖς ὑπουργίαις. ὥσπερ γὰρ ἡμῖν τὸν σῖτον τὸν ἐκεῖθεν προσρίπτοντες, οὕτως οὐδὲν ἕτερον ἠξίουν εἰσφέρειν, ἀλλ' οἱ μὲν συντελεῖς καθάπαξ ἰσχυρίζοντο πάντα εἰς ὁλόκληρον ἀπαιτεῖσθαι, οἱ παγάρχοι δὲ καὶ οἱ

1) Ven. καὶ ἐθαυμ. sed est ἐννοήσαντες . . . ἐθαυμάσαμεν, ut particula καὶ ferri non possit.

πολιτευόμενοι καὶ οἱ πράκτορες τῶν δημοσίων καὶ διαφερόντως [οἱ] κατὰ καιρὸν ἄρχοντες οὕτω τὸ πρᾶγμα μέχρι νῦν διετίθεσαν, ὡς μηδενὶ δύνασθαι γενέσθαι γνώριμον, αὐτοῖς δὲ μόνοις ἐπικερδές. ἐπειδὴ τοίνυν, εἴπερ καταλίποιμεν ἐν ὁμάδι τὸ πρᾶγμα διοικούμενον, οὐκ ἄν ποτε ἰσχύσαιμεν αὐτὸ διακαθᾶραι καὶ τάξαι προσηκόντως, διὰ τοῦτο συνείδομεν τὴν ἀρχὴν, ἥπερ ἐφέστηκεν τοῖς Αἰγύπτου πράγμασιν (φαμὲν δὲ τὴν τῶν αὐγουσταλίων), μετριωτέραις ἐπιστῆσαι φροντίσιν. οὐ γὰρ ἂν δύναιτο ῥᾳδίως εἷς ἀνθρώπου νοῦς τοσαύταις ἀρκέσαι μερίμναις, καὶ τὸ πρᾶγμα οὕτως διαθεῖναι, ὥστε αἴσθησιν ἡμῖν ἀγαθὴν ἐν[2]) αὐτῷ καταστῆσαι.

α΄. Διὰ τοῦτο τοίνυν θεσπίζομεν τὴν σὴν ὑπεροχὴν τόνδε ἡμῶν τὸν ἐπὶ τούτῳ νόμον παραλαμβάνουσαν[3]) οὕτως αὐτὸ[4]) διαθεῖναι, ὡς ἄξιόν ἐστιν ἡμᾶς μὲν θεσπίσαι, τὴν δὲ σὴν ὑπεροχὴν ὑπουργῆσαι. τέως οὖν τὸν περίβλεπτον αὐγουστάλιον βουλόμεθα αὐτῆς τε Ἀλεξανδρείας ἄρχειν καὶ ἁπάντων τῶν κατ᾽ αὐτὴν φροντίζειν, καὶ πρός γε δύο Αἰγύπτων καὶ μόνων, ἐξῃρημένου τοῦ λεγομένου Μενελαΐτου τῆς πόλεως ἥτις ἐστὶ πρώτης[4a]) Αἰγύπτου, καὶ πρός γε τοῦ Μαρεώτου. ἐπ᾽ ἐκείνοις γὰρ τὰ εἰκότα διατυπώσομεν. [§. α΄.] βουλόμεθα δὲ αὐτὸν, ὡς εἴρηται, μὴ μόνης Ἀλεξανδρείας, ἀλλὰ καὶ τῶν δύο Αἰγύπτων (μετὰ τὴν εἰρημένην ἐξαίρεσιν τοῦ τε Μαρεώτου καὶ τοῦ Μενελαΐτου) ἄρχοντα καθεστάναι, ὥστε τὸν ἄρχοντα τὸν ἐπιχώριον τῶν εἰρημένων δύο ἐπαρχιῶν ἐπ᾽ αὐτῷ τετάχθαι καὶ μόνῳ, καθάπερ καὶ μέχρι νῦν σχήματος ἔχει, ταὐτὸν δὲ εἰπεῖν, τὸν περίβλεπτον αὐγουστάλιον διὰ τὸ τῆς εἰρημένης μεγίστης πόλεως πολυάνθρωπον ἔχειν τὰ δίκαια καὶ τῆς στρατιωτικῆς ἀρχῆς, οὐ διῃρημένου τοῦ πράγματος οὐδὲ εἰς ἄρχοντας δύο καθεστῶτος (τοῦτο

2) Legerim ἐπ᾽. 3) Cod. παραλαμβάνουσιν. 4) Scil. τὸ πρᾶγμα, quod ex antecedentibus subintelligendum est. Cod. vitiose αὐτόν. 4a) Cod. πρὸ τῆς.

γὰρ ἡγούμεθα τῷ παντὶ συμφέρειν), ἀλλ' ὥστε ἕνα μὲν ἄνδρα προεστάναι τοῦ εἰρημένου θρόνου, ἔχειν δὲ ἐξουσίαν κατὰ πάντων τῶν ἐκεῖσε στρατιωτῶν, τῶν ἱδρυμένων εἴτε ἐπ' αὐτῆς τῆς Ἀλεξανδρέων μεγάλης πόλεως εἴτε ἐπὶ τῶν δύο Αἰγύπτων καθάπερ εἴρηται·

β'. δεῖ γὰρ καὶ τῆς εὐκοσμίας τῆς πόλεως προνοεῖν τε[5]) καὶ τοῦ μηδὲν ταραχῶδες γίνεσθαι κατὰ τὸν εἰρημένον δῆμον· ἀλλ' ἔχοντα τὸν ἐπὶ τῆς εἰρημένης ἀρχῆς τεταγμένον τήν τε ἐκ τῆς πολιτικῆς ἀρχῆς δύναμιν τήν τε ἐκ τῶν στρατιωτῶν ἰσχὺν θεοῦ πρὸ πάντων ἡγουμένου τῆς εἰρημένης εὐταξίας τῆς πόλεως προνοεῖν, ἐπέχοντα τὸν τόπον, ὅσον ἐπ' αὐτοῖς τοῖς στρατιώταις τοῖς τε ἐν Ἀλεξανδρείᾳ τοῖς τε ἐφ' ἑκατέρας Αἰγύπτου[6]), καὶ τὸν ἐνδοξότατον καὶ ἀνδρειότατον στρατηγὸν τῶν πραισενταλίων, τόν τε τῆς Ἑῴας τε καὶ ἀδρεσπόνσουμ παρεῖναι αὐτῷ, καὶ ὑπουργεῖν οἷς ἂν ἐπιτάξειεν. ἐστὶ[7]) δὲ αὐτῷ ἡ τάξις ἥ τε αὐγουσταλιανὴ, ναὶ[8]) μὴν καὶ ἡ δουκικὴ, ἄχρι μέντοι ἑξακοσίων, οὐχ ὥστε ἰδίᾳ μὲν εἶναι τοὺς δουκικοὺς ἰδίᾳ δὲ τοὺς αὐγουσταλιανοὺς, ἀλλ' ὥστε μίαν γενέσθαι τάξιν καὶ κατάλογον ἕνα, οὗπερ ἄνδρες ἑκατὸν πρωτεύουσι, πεντήκοντα μὲν[9]) τῆς αὐγουσταλιανῆς τάξεως πεντήκοντα δὲ οἱ πρῶτοι τῶν δουκικῶν ἀμοιβαδὸν ἐν ἀλλήλοις ταττομένων, ὥστε πρῶτον μὲν εἶναι τὸν αὐγουσταλιανὸν, δεύτερον δὲ τὸν δουκικὸν, καὶ τοῦτο ἐφεξῆς παραφυλαχθῆναι τὸ σχῆμα τῶν ἑκατὸν τῶν ἐν αὐτοῖς πρωτευόντων, τὸ δὲ λοιπὸν ἅπαν ὡς ἂν ὁ τὴν ἀρχὴν ἔχων συνίδοι οὕτω καταστῆναι, μηδὲν[9a]) μέντοι ὑπερβαίνειν τὴν πᾶσαν τάξιν,

5) Cod. σε, quod ferri non potest. 6) Tota haec periodus corruptelis laborat. neque enim dicitur, cuius tandem locum obtineat ὁ ἐπὶ τῆς ἀρχῆς τεταγμένος, et saltu quodam transitus fit ad eos qui sub eius dispositione sunt eiusve officium constituunt. quibus autem locis lacunae signa apponenda sint, non satis liquet. 7) ἔσται? 8) Malim καί. 9) Forte inserendum οἱ πρῶτοι. 9a) μή?

τὴν ἀναμὶξ ἔκ τε τῶν αὐγουσταλιανῶν ἔκ τε τῶν δουκικῶν συγκειμένην, ἄνδρας ἑξακοσίους·

γ΄. πάντων τῶν ἐπὶ τούτῳ πραττομένων εἴς τε τὸν θρόνον τὸν σὸν εἴς τε ἡμᾶς διὰ τῆς σῆς ὑπεροχῆς ἀναφερομένων, ὥστε καὶ τὸ παρ' ἡμῶν, εἴ γε ὀρθῶς γένηται, προσδέξασθαι κῦρος. καὶ ἐπειδὰν ἡ τάξις καταστῇ, μηδένα τῶν αὐγουσταλιανῶν γίνεσθαι χωρὶς προβατορίων, ἐκ τῆς ἡμετέρας χειρὸς ὑπογραφομένων[10]) καθάπερ μέχρι νῦν. ἔσται δὲ αὐτῇ πάσῃ τῇ τάξει τὸ τῆς αὐγουσταλιανῆς πρόσρημα. ἄρχων δὲ ὁ παρὰ τῆς βασιλείας προχειριζόμενος[11]) βασιλικῆς ἄξιος κρίσεως, ὃς παραλήψεται τὴν ἀρχὴν καὶ καθαρὰς φυλάξει τὰς χεῖρας καὶ πανταχόθεν ἑαυτὸν ἄξιον τῆς βασιλικῆς δείξει κρίσεως. οὐδὲ γὰρ ἡμεῖς ἐκ τοῦ δημοσίου αὐτῷ ταύτην μόνην δώσομεν τὴν παραψυχήν, ἣν μέχρι νῦν ὁ περίβλεπτος αὐγουστάλιος ἔχει, τὰς πεντήκοντα μὲν ἀννόνας καὶ τὰ πεντήκοντα κάπιτα, ἀλλὰ μεγάλῃ τῇ παραυξήσει[11a]) χρησάμενοι quadraginta librarum auri ἔτους ἑκάστου λαμβάνειν ὑπὲρ σιτήσεων βουλόμεθα καὶ ὑπὲρ συνηθειῶν καὶ καλανδικῶν, παρὰ βίνδικος ἐκ τῶν ὑποτεταγμένων τῷδε τῷ τύπῳ τόπων τε καὶ αἰτιῶν.

δ΄. Οἱ δέ γε αὐτῷ παρεδρεύοντες quinque librarum auri λήψονται ἐκ τῶν αὐτῶν, καὶ ἑτέρους mille solidos καὶ ἡ κατ' αὐτῶν[11b]) τάξις, καίτοιγε πρότερον τὴν τρίτην αὐτῶν ἔχουσα ποσότητα· καὶ ἔσται τὸ πρᾶγμα λαμπρόν τε καὶ τῶν ἡμετέρων ἀξίως διῳκημένον χρόνων. [§. α΄.] πρώτην τε εἶναι φροντίδα τῷ τὴν τοιαύτην ἀρχὴν ἔχοντι βουλόμεθα τὴν τῆς αἰσίας ἐμβολῆς διοίκησιν, ὥστε αὐτὸν μὲν τὸν περίβλεπτον αὐγουστάλιον καὶ τὴν πειθομένην αὐτῷ τάξιν, κινδύνῳ οἰκείῳ καὶ τῶν ὄντων αὐτῷ καὶ ἐσομένων πραγμάτων

10) Cod. ὑπογραφομένης. 11) Excidisse quaedam videntur, veluti ἔσται. forte tamen maior lacuna statuenda est, quasi de codicillis et mandatis a praefecto accipiendis sermo hoc loco fuerit. 11a) προσαυξ? 11b) αὐτόν?

καὶ κινδύνῳ τῆς αὐτοῦ τάξεως οὐ περὶ ταῦτα μόνον ἀλλὰ καὶ τὴν σωτηρίαν αὐτὴν ἀγωνιώσης, πᾶσαν γίνεσθαι[12]) πρόνοιαν τοῦ τὸν εἰρημένον τῆς αἰσίας ἐμβολῆς σῖτον καὶ ἀπαιτεῖσθαι καὶ κατὰ τοὺς νενομισμένους καιροὺς ἐκπέμπεσθαι. [§. β΄.] ἀλλὰ τοῦτον μὲν εἰσπράττειν ὅστις ἐξ ἑκατέρας ἐστὶν Αἰγύπτου, τὸν δὲ ἄλλον ἀνυπερθέτως ὑποδέχεσθαι ἢ καὶ ἐμβάλλεσθαι τοῖς πλόοις, παρασκευάζειν τε εἰς ταύτην ἐκπέμπεσθαι τὴν εὐδαίμονα πόλιν, ὅσος τοῦ κανόνος τῆς αὐτῆς αἰσίας ἐμβολῆς ἐστὶ τῆς ἐνταῦθα πλωϊζομένης. [§. γ΄.] ὁμοίως δὲ καὶ τὸν παρ' ἡμῶν φιλοτιμούμενον τῆς μεγάλης τῶν Ἀλεξανδρέων πόλεως τὸν μὲν ἀπαιτεῖν, ὅσος ἐξ Αἰγύπτου καθέστηκεν ἑκατέρας, οἰκείῳ κινδύνῳ καὶ τῆς αὐτοῦ τάξεως, τὸν δὲ ὑποδέχεσθαι ὁπόσος ἐξ ἑτέρων[13]) ἀφίκοιτο τόπων καὶ αὐτῷ[14]) παραδοθείη κατὰ τὸ μᾶλλον ἔτι σαφέστερον ἐν τοῖς ἐφεξῆς δηλωθησόμενον, καὶ δαπανᾶν καθάπερ εἴθισται περὶ τὸ τρόφιμον τῆς αὐτῆς πόλεως, ὥστε τὶ ἄφθονον αὐτὴν βουλήσει θεοῦ διὰ πάντων ἔχειν, συγκινδυνευόντων τῷ αὐτῷ περιβλέπτῳ αὐγουσταλίῳ ὅσον εἰς τὴν πρᾶξιν καὶ τῶν στρατιωτῶν τῶν ὑπ' αὐτὸν τεταγμένων καὶ τῶν λαμπροτάτων τριβούνων καὶ πάσης πολιτικῆς καὶ δημοσίου βοηθείας, ὥστε πανταχόθεν ἀνεμπόδιστον τὸ πρᾶγμα γίνεσθαι.

ε΄. Τὸν δὲ ἐκ τῶν τόπων τῶν μὴ ὑπ' αὐτὸν ὄντων ἐκκομιζόμενον θεσπίζομεν κατὰ τοσοῦτον ἐπάγειν αὐτῷ τὸν κίνδυνον, ὥστε, ἐπειδὰν ἐκκομισθείη, αὐτόν τε ὑποδέχεσθαι πάσης μελλήσεως χωρίς, καὶ τὴν πειθομένην αὐτῷ τάξιν οἰκείῳ κινδύνῳ πλωΐζειν πρὸς ταύτην τὴν εὐδαίμονα πόλιν, πανταχοῦ πρόνοιαν ποιούμενον τοῦ μηδὲν ἐκφόριον γίνεσθαι ἐκ τῶν ὑποτεταγμένων αὐτῷ πόλεών τε καὶ ἐπαρχιῶν καὶ τόπων καὶ ὅρμων[15]) καὶ στομίων, πρὶν τὴν αἰσίαν ἐμβολὴν

12) Nisi altius corruptela lateat, aut ἀνακόλουθος sermo sit, ποιεῖσθαι legendum coniecerim. 13) Cod. ἑκατέρων, quod aperte vitiosum est. 14) Cod. αὐτά. 15) Cod. ὁρμῶν.

ἀποπλεῦσαι τῆς Ἀλεξανδρέων πόλεως, μηδὲ μετὰ ταῦτα, πλὴν εἰ μὴ κατὰ τὸ παρ' ἡμῶν ἐπιτετραμμένον ἢ ἐπιτραπησόμενον ἐκ θείων μὲν ἡμῶν τύπων, προστάξεων δὲ τῶν θρόνων τῶν σῶν· πρὸς ἅπαντα καὶ τῶν στρατιωτῶν ὑπουργούντων αὐτῷ καθάπερ ἔμπροσθεν εἴρηται, οἷς ἂν αὐτὸς[16]) *προστάξειε, καὶ τῶν ναυκλήρων ὑποδεχομένων τὸν σῖτον καὶ ἐμβαλλόντων ταῖς ναυσὶ, κἀκεῖθεν ὑφ' ἡγεμόνι θεῷ πρὸς ταύτην τὴν εὐδαίμονα ναυτιλλομένων πόλιν.*

ς'. *Εἰ μέντοιγε τὸν ἐξ ἑκατέρας Αἰγύπτου μὴ εἰσπράξειε σῖτον, καὶ τὸν μὲν τῆς ἐνταῦθα πεμπομένης αἰσίας ἐμβολῆς εἰσκομισθῆναι παρασκευάσειε τῇ Ἀλεξανδρέων καὶ πλωϊσθῆναι πρὸς ταύτην τὴν εὐδαίμονα πόλιν καὶ βασιλίδα πρὸ πέρατος τοῦ αὐγούστου μηνὸς, τὸν δὲ τοῦ τροφίμου τοῦ παρ' ἡμῶν φιλοτιμουμένου διὰ τοῦ σεπτεμβρίου μὴ εἰσκομίσειε τῇ τῶν Ἀλεξανδρέων πόλει, ἴστω, ὡς κατὰ τριῶν ἀρτάβων*[17]) *ὑπὲρ ἑκάστου νόμισματος*[18]) *ἀπαιτηθήσεται παρὰ τοῦ σοῦ θρόνου τὸ λεῖπον ἢ τῇ ἐμβολῇ ἢ τῷ τροφίμῳ, κατὰ τὸ ἐξ ἑκατέρας Αἰγύπτου εἰσφερόμενον, αὐτός τε ὁ ἄρχων καὶ ἰδιώτης γενόμενος, κληρονόμοι τε αὐτοῦ καὶ διάδοχοι, καὶ τὰ αὐτοῦ πράγματα κατ' οὐδένα τρόπον ἐλευθερούμενα, ἕως ἅπαν τὸ ἐντεῦθεν ὄφλημα κατὰ τριῶν ἀρτάβων ἀποτιμωμένων*[19]) *εἰσκομίσειε ταῖς τραπέζαις ταῖς σαῖς. ἀλλὰ προσήκει πάντως αὐτὸν καὶ τὴν ἐξ ἑκατέρας Αἰγύπτου πληναρίαν πρᾶξαι κατὰ τοὺς εἰρημένους καιρούς.*

ζ'. *Ἐπειδὴ δὲ ἡ ἐπὶ τῆς αἰσίας ἐμβολῆς φροντὶς συνημμένον τε καὶ ἀχώριστον ἔχει τὸν τῶν ναύλων τίτλον, βουλόμεθα καὶ τὰ περὶ τούτου διατυπῶσαι, ὥστε ὁλόκληρον τῷ πράγματι καὶ προσήκουσαν ἐπιθεῖναι τὴν πρόνοιαν. τέως*

16) Cod. *αὐτοῖς*. 17) Ita Codex constanter accentum ponit. vulgo *ἀρταβῶν* ab *ἀρτάβη*, trium modiorum mensura. 18) Subintellige *διὰ χρημάτων·* neque enim frumentum vice pecuniae, sed pecunia pro deficiente frumento exigitur, et quidem ita ut pro aureo tres artabae computentur. 19) *ἀποτιμώμενον*?

οὖν τὸν τῶν ναύλων ἀποδέκτην βουλόμεθα μὴ ἄδειαν ἔχειν πᾶσιν ἑαυτὸν ἐπεμβάλλειν τοῖς δημοσίοις τέλεσι, καί τισι μὲν τῶν ὑπευθύνων ἐνδιδόναι καὶ τὰ καλούμενα ἐνδοματικὰ κομίζεσθαι καὶ ἐντεῦθεν τοῦ δημοσίου ῥαθυμεῖν, ἑτέρους δὲ παρὰ τὸ προσῆκον εἰσπράττειν, καὶ πλείονες ὡς βιότερον[20]) καὶ παρὰ τοὺς νενομισμένους, καὶ ἐντεῦθεν λαμβάνειν ἀφορμήν τε καὶ ἀρχὴν τῆς τοῦ πράγματος συγχύσεως, τὸ μὲν ἀπαραίτητον τῶν ναύλων ἀεὶ προτεινόμενον, τῷ δὲ συγκεχυμένῳ τὴν ἑαυτοῦ θεραπείαν θηρῶντα, καὶ ὑπερφρονοῦντα μὲν τῶν τραπεζῶν τοῦ δικαστηρίου τοῦ σοῦ, ὁμοίως δὲ ἅπαντα κέρδους χάριν ὑφ' ἑαυτὸν ποιεῖσθαι σπεύδοντα.

η'. Ἐπειδὴ τοίνυν ἡ σὴ ὑπεροχὴ πάντα ἀγρύπνως διοικουμένη ἐδίδαξεν ἡμᾶς, ὅσος συλλογίζεται τῶν ναύλων κανὼν ὁ ἐκ τῆς Ἀλεξανδρέων χορηγούμενος εἰς νομισμάτων μυριάδας ὀκτὼ, οἷα καὶ τῆς εὐτυχοῦς σιτοπομπείας εἰς ὀκτακοσίας μυριάδας συνιούσης, βουλόμεθα τὰς ὀκτὼ ταύτας μυριάδας τῶν νομισμάτων δίδοσθαι τῷ τῶν ναύλων ἀποδέκτῃ ἐκ τῶν ὑποτεταγμένων ἐπαρχιῶν καὶ πόλεων καὶ τόπων καὶ προσόδων·[21]) διὰ τοῦτο γὰρ ἐν εὐπόροις ἐποιησάμεθα τὴν τοιαύτην ἐκταγὴν, ὥστε μηδὲν παντελῶς μήτε ἐξ ἀναβολῆς μήτε ἐξ ἐλλείψεως τῆς αἰσίας σιτοπομπίας γενέσθαι. ὁ μέντοι περίβλεπτος αὐγουστάλιος καὶ ἡ πειθομένη τάξις αὐτῷ, κατὰ μίαν ὡς εἴρηται γενομένη συστροφήν τε καὶ ἕνωσιν ἔκ τε τῶν αὐγουσταλιανῶν ἔκ τε τῶν προτέρων δουκικῶν, τὰς εἰσπράξεις ποιήσονται τῶν πόλεων καὶ τῶν τόπων καὶ τῶν προσώπων τῶν ἀφωρισμένων ἔκ τε τῆς Ἀλεξανδρέων καὶ ἑκατέρας Αἰγύπτου τῷ ἀποδέκτῃ τῶν ναύλων, ὁμοίως καὶ αὐτοῦ τοῦ τῶν ναύλων ἀποδέκτου τὴν τοιαύτην εἴσπραξιν ποιουμένου, ἐφ' ᾧ τε οἰκείῳ κινδύνῳ τόν τε αὐγουστάλιον ὡς εἴρηται τήν τε αὐ-

20) πλεῖον ἢ ὡς πρότερον καὶ πέραν τοῦ νενομισμένου? forte tamen prototypon, ex quo Ven. descriptus est, hoc loco lacuna deformatum fuit. 21) Lege προσώπων.

τοῦ τάξιν ταῦτα ἀπαιτεῖν ἅμα τῷ ἀποδέκτῃ τῶν ναύλων. καὶ αὐτῷ κίνδυνος ἐπέστη τῆς τούτων εἰσπράξεως, ὥστε ἀμέμπτως καὶ ἀπαιτεῖν τὸ χρυσίον καὶ ἐπιδιδόναι τῇ εἰρημένῃ χρείᾳ καὶ διανέμειν τοῖς ναυκλήροις κατὰ τὸ μέχρι νῦν[22]) εἰθισμένον, συνανύοντος καὶ συγκινδυνεύοντος τῷ αὐτῷ ἀποδέκτῃ τῶν ναύλων πρὸς ἅπαντα τοῦ περιβλέπτου αὐγουσταλίου τῆς τε πειθομένης αὐτῷ τάξεως καὶ τῶν ἀνδρειοτάτων ταγμάτων τῶν ἐν τοῖς τόποις ὄντων σὺν τοῖς αὐτῶν τριβούνοις. οἷα προσῆκον ἐκ τρόπου παντὸς τὸν τῶν ναύλων ἀποπληροῦσθαι[23]) λόγον καὶ δίδοσθαι τοῦτον τῷ ἀποδέκτῃ, καὶ δι' αὐτοῦ κατὰ τὸν προσήκοντα καὶ νενομισμένον διοικεῖσθαι τρόπον καὶ παρέχεσθαι τοῖς ναυκλήροις ὑπὲρ πάσης τῆς αἰσίας ἐμβολῆς. καὶ αὕτη μὲν πρώτη φροντὶς καὶ διοίκησις ἑαυτῇ συνημμένη γενήσεται, ἥ τε τῆς αἰσίας ἐμβολῆς ἥ τε τῶν ναύλων.

θ'. Ἐν δευτέρᾳ δὲ τάξει βουλόμεθα τήν τε σὴν ὑπεροχὴν καὶ τὸν κατὰ καιρὸν ἄρχοντα ταύτης τῆς ἀρχῆς καὶ τούς τε σκρινιαρίους καὶ τρακτευτὰς δύο τε ἀπ' Αἰγύπτου καὶ Ἀλεξανδρείας προνοεῖν τῆς εἰσπράξεως τῶν δημοσίων φόρων, τῶν εἰς ἑκατέραν τράπεζαν εἰσφερομένων τοῦ δικαστηρίου τῆς σῆς ὑπεροχῆς, τῇ τε ἰδικῇ τῇ τε γενικῇ, δηλαδὴ ἐξ ἐκείνων τῶν πόλεων καὶ τῶν προσώπων καὶ τῶν τούτων ἐγγυητῶν καὶ τῶν τόπων τῶν εἰς τοῦτο τὸ μέρος ἀφορισθέντων, ὑποτεταγμένων καὶ αὐτῶν τῇδε τῇ θείᾳ νομοθεσίᾳ. οὐ δυναμένων παντελῶς οὐδὲ τοῦ περιβλέπτου αὐγουσταλίου οὐδὲ τῆς πειθομένης αὐτῷ τάξεως οὐδὲ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῶν Ἀλεξανδρέων λόγον παρέχειν ἢ ἐξαιρεῖσθαι τῆς εἰσπράξεως τῆς δημοσίας τινάς, ἢ ἐπικοινωνεῖν καθ' οἱανοῦν αἰτίαν τῇ εἰρημένῃ εἰσπράξει τῇ ἀνηκούσῃ ταῖς τραπέζαις τῆς σῆς ὑπεροχῆς ἢ τοῖς προσώποις τοῖς ἀφωρισμένοις αὐτῷ[24]), πλὴν εἰ μὴ βοηθείας ἕνεκα τοῦτο αἰτήσειαν

22) Cod. νῦν omittit. 23) Ven. ἀποκληρ. 24) Lege αὐτῇ scil. τῇ εἰσπράξει.

γενέσθαι οἱ τρακτευταὶ καὶ οἱ τὸν αὐτῶν πληροῦντες τόπον κατὰ χώραν. [§. α'.] εἰ γὰρ τοῦτο αἰτήσουσιν, ἢ εἴπερ προστάξαιεν ἡ σὴ ἐνδοξότης καὶ οἱ κατὰ καιρὸν τὴν αὐτὴν ἔχοντες ἀρχὴν, ἀνάγκην ἕξει ὅ τε κατὰ καιρὸν αὐγουστάλιος καὶ οἱ ὑπ' αὐτὸν καθωσιωμένοι στρατιῶται καὶ οἱ τούτων τριβοῦνοι καὶ ἡ πειθομένη τάξις τῷ αὐτῷ μεγαλοπρεπεστάτῳ αὐγουσταλίῳ καὶ πᾶσα πολιτικὴ καὶ δημοσία βοήθεια καὶ ἐπαμύνειν τοῖς σκρινιαρίοις τοῖς σοῖς, καὶ παρασκευάζειν ἅπαντας τοὺς ὑποκειμένους ταῖς τοιαύταις εἰσφοραῖς, ταῖς ἁρμοζούσαις ἑκατέρᾳ τραπέζῃ τοῦ δικαστηρίου τῆς σῆς ὑπεροχῆς, δίχα τῆς οἱασοῦν ἀναβολῆς τοὺς ἐπικειμένους αὐτοῖς[25]) εἰσφέρειν δημοσίους φόρους, καὶ μὴ τολμᾶν ἀντιλέγειν. [§. β'.] εἰ γὰρ τῶν ἐξ ἑκατέρας Αἰγύπτου ἢ τῶν κατὰ τὴν Ἀλεξάνδρειαν οἰκούντων καὶ ὑποκειμένων ταῖς τοιαύταις εἰσφοραῖς (ἐξῃρημένου τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς πόλεως, περὶ ὧν ἐν τοῖς ἐφεξῆς τὰ προσήκοντα διατυπώσομεν) τολμήσειέ τις[26]) ἀντιβλέψαι πρὸς τὴν δόσιν ἢ κατά τι ἐναντιωθῆναι, καὶ μὴ ὁ περίβλεπτος αὐγουστάλιος ἔχων καὶ τὴν στρατιωτικὴν καὶ τὴν πολιτικὴν ἀρχὴν καὶ οἱ τῶν ταγμάτων πρωτεύοντες καὶ τριβοῦνοι καταναγκάσουσιν αὐτὸν ἢ αὐτοὺς τὰ ὀφειλόμενα εἰσενεγκεῖν καὶ τὴν εὐγνωμοσύνην τὴν πρὸς τὸ δημόσιον ἀγαπῆσαι, ἴστωσαν, ὡς αὐτὸς μὲν ὁ μεγαλοπρεπέστατος αὐγουστάλιος καὶ πᾶσα βοήθεια ἧς ἔμπροσθεν ἐμνήσθημεν κινδυνεύσουσιν ἐπί τε ταῖς ζώναις ....[27]) εἰς τὸ δημόσιον καὶ εἰς μέρος τῶν ὀφειλομένων καταλογιζομέναις, οἱ δὲ ἀντειπεῖν[28]) θαῤῥήσαντες δημοσίαν ὄψονται τὴν ἑαυτῶν περιουσίαν γενομένην καὶ ἑαυτοὺς ἔξω τῆς χώρας ἐλαυνομένους. πρόδηλον δὲ, ὡς πᾶσι τοῖς διαταχθησομένοις παρὰ τῆς σῆς ὑπεροχῆς ὁ κατὰ

25) Cod. αὐτούς. 26) Cod. τολμήσειεν omisso τίς. 27) Lacunae signum in Cod. non est. sed deesse quaedam manifestum est, veluti καὶ ἐπὶ ταῖς περιουσίαις ἐλευσομέναις εἰς τὸ δημ. 28) Cod. ἀντιπεῖν.

καιρὸν αὐγουστάλιος ὑποκείσεται τῆς σῆς ὑπεροχῆς ἐξουσίᾳ τε καὶ ἀρχῇ, καθάπερ μέχρι τοῦ παρόντος πεφύλακται.

ι'. Εἰ μέντοι βουληθῇ ἡ σὴ ἐνδοξότης ἢ οἱ σκρινιάριοι ἢ οἱ τρακτευταὶ ἢ οἱ τὸν[29]) *ἐκείνων πληροῦντες τόπον κατὰ χώραν λόγον τισὶ δοθῆναι προσώποις, ὑπὲρ αὐτῶν αὐτοὶ κινδυνεύσουσιν· δώσει μέντοι τοῦτον ὁ θεοφιλέστατος πατριάρχης ἐπὶ τοσαύτας ἡμέρας ἐκτεινόμενον καὶ ἐπὶ τούτοις τοῖς ὅροις, ἐφ' οἷς ἂν παρὰ τῆς ἀρχῆς τῆς σῆς ὑπεροχῆς προσταχθείη ἢ παρὰ τῶν τρακτευτῶν αἰτηθείη. εἰ δὲ παρὰ ταῦτα γένοιτό τις λόγου δόσις, αὐτὴ παντελῶς ἔσται ἄκυρος.*[30]) *οὔτε γὰρ δίδομεν δή ποτε γοῦν αἰτίας*[31]) *λόγον τινὰ παρὰ ταῦτα παρέχειν τοῖς προσώποις τοῖς ἑκάστῃ ἀφωρισμένοις αἰτίᾳ συγχωροῦμεν, πλὴν εἰ μὴ ἐπὶ τούτῳ τὸν λόγον λάβοιεν, ἐφ' ᾧτε δημοσίᾳ φαίνεσθαι, καὶ πάντως εἴσω ῥητῶν ἡμερῶν πᾶν ὅσον ὀφείλουσι τὸ δημόσιον ἐκπληρῶσαι ἢ τὴν ἀποχρῶσαν τοῖς τρακτευταῖς ἢ σκρινιαρίοις παρέχειν ἀσφάλειαν. πρὸς τὸ τὸν παρὰ ταῦτα εἰληφότα λόγον παρ' οἱουδήποτε προσώπου ἴσον τοῖς οὐκ ἀπολαμβάνουσιν*[32]) *εἶναι, καὶ ὑπομένειν τὴν εἴσπραξιν καὶ ἔνδον τῶν ἁγίων περιβόλων.* [§. *α'.*] *εἰ δὲ ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος παρὰ τὰ εἰρημένα δοίη λόγον, ἀνάγκην ἕξουσιν οἱ θεοφιλέστατοι οἰκονόμοι καὶ οἱ ἐκκλησιέκδικοι τῆς ἁγιωτάτης ἐκκλησίας τὴν ἐντεῦθεν συμβαίνουσαν τῷ δημοσίῳ ζημίαν ἐπιγνῶναι οἴκοθεν καὶ ἐκ τῆς ἰδίας αὐτῶν ὑποστάσεως. εἰ δὲ μὴ εὐπορήσειαν, ἐκ τῶν τῆς ἁγιωτάτης ἐκκλησίας χρημάτων τε καὶ πραγμάτων τὸ ἱκανὸν τῷ δημοσίῳ γενήσεται.* [§. *β'.*] *εἰ δὲ τολμήσουσι παρὰ γνώμην τοῦ θεοφιλεστάτου ἐπισκόπου αὐτοὶ δοῦναι λόγον, οὐ μόνον ἔσται τὸ λεγόμενον παντελῶς ἄκυρον, ἀλλ' αὐτοὶ τὴν ζημίαν θεραπεύσουσι τῷ δημοσίῳ, τοῦ μακαριωτάτου πατριάρχου, εἰ τοῦτο παρὰ γνώμην αὐτοῦ*

29) Cod. *τῶν*. 30) Cod. *κυρία*. 31) Legerim *ἀσυλίας*. mox autem supple *οὔτε λαμβάνειν τοῖς προσ. κτλ.* 32) Cod. *τρόπον ἴσως τοῖς ἀπολ.*

πράξειαν, πάντως αὐτοὺς καὶ ἀποκινοῦντος τῶν φροντίσεων[32a]) ὧν ἔχουσι καὶ τῆς ἱερωσύνης ἐκβάλλοντος. [§. γ'.] εἰ δὲ ἄρχων παρὰ τὰ διηγορευμένα δοίη τινὶ λόγον ὀφείλοντι δημόσια ταῖς σαῖς τραπέζαις ἀφωρισμένα, τουτέστιν ἢ ὁ αὐγουστάλιος ἢ οἱ λαμπρότατοι τριβοῦνοι οἱ πρωτεύοντες τῶν ταγμάτων, τῆς τε ἀξίας καὶ τῆς ἀρχῆς παραλυθήσονται, καὶ θεραπεύσουσι τῷ δημοσίῳ τὴν αὐτὴν ζημίαν καὶ ἰδιῶται γενόμενοι, καὶ οὐ περιόντες μόνον ἀλλὰ δὴ καὶ τελευτήσαντες· ἐνέξονται γὰρ αὐτοὶ καὶ κληρονόμοι ταῖς τοιαύταις ἀπαιτήσεσι καὶ τὰ αὐτῶν πράγματα, ὥστε εὐλαβείᾳ τῶν ποινῶν μηδὲν ἁμαρτάνεσθαι τοιοῦτον, μηδὲ διαφεύγειν τὴν ποινὴν ἄχρις ἂν τὸ πᾶν ὄφλημα διαλυθείη. [§. δ'.] εἰ δέ τις ἐναγόμενον ἀφέλοιτο πρόσωπον ἐκ τῶν αὐτῶν πόλεων ἢ τόπων ἢ καὶ ἐμποδὼν τῇ ἀπαιτήσει ἔσται, δεῖ καὶ τοῦτον ὁμοίως πάντως οὗπερ ὁ ἀφαιρεθεὶς ὑπεύθυνος γέγονεν ἔνοχον εἶναι, καὶ ἀπαιτεῖσθαι σὺν κληρονόμοις ἰδίοις καὶ διαδόχοις καὶ τοῖς αὐτοῦ πράγμασιν. ἀλλ' αὐτοὺς ὡς εἴρηται τοὺς καὶ τὸν πάντα κίνδυνον ἔχοντας ἐπὶ τούτῳ (φαμὲν δὴ τοὺς τρακτευτὰς καὶ σκρινιαρίους) αὐτοὺς καὶ τὴν πᾶσαν ἐξουσίαν καὶ τὴν διοίκησιν τοῦ πράγματος ἔχειν, καὶ πάντα τὸν κανόνα ταῖς τραπέζαις ταῖς σαῖς ἐκ τῶν εἰρημένων διαφέροντα πόλεών τε καὶ ἐπαρχιῶν καὶ τόπων ἐκπέμπειν ταῖς τραπέζαις τῆς σῆς ὑπεροχῆς, τῇ τε γενικῇ τῇ τε ἰδικῇ, καὶ τοῖς ἄλλοις ἐπιδιδόναι οἷς ἂν αὐτὸς διατυπώσειας.

ια'. Ἡμεῖς δὲ θεσπίζομεν, ἀνάγκην ἔχειν τὸν περίβλεπτον αὐγουστάλιον καὶ ἐπαμύνειν τοῖς τε παρὰ τοῦ σοῦ θρόνου στελλομένοις εἰς τοῦτο καὶ τοῖς τρακτευταῖς καὶ σκρινιαρίοις ἤτοι τῷ πληροῦντι τὸν αὐτῶν τόπον ἐπὶ ταῖς εἰσπράξεσι ταῖς ὁρώσαις αὐτοὺς καὶ εἰς τὴν γενικὴν καὶ ἰδικὴν ἀναφερομέναις[33]) τράπεζαν. [§. α'.] εἰ δέ τινας

32a) Vox inusitata. infra c. 21 §. 5 est φροντισμάτων.
33) Cod. ἀναφερομένων.

συμβαίη τῶν ἐκ τῶν εἰρημένων χωρῶν ἀγνωμονεῖν περὶ το δημόσιον, καί τινα ταραχὴν πειρᾶσθαι ποιεῖν ἵνα διαφύγοιεν τὴν εἴσπραξιν, θεσπίζομεν ἄδειαν ἔχειν τὸν τρακτευτὴν ἤτοι τοὺς σκρινιαρίους ἤτοι τὸν ἐπέχοντα τὴν τάξιν[34]) αὐτῶν δῆλα ταῦτα καθιστᾶν τῷ μεγαλοπρεπεστάτῳ αὐγουσταλίῳ, τὸν δὲ οἰκείῳ κινδύνῳ καὶ τῆς πειθομένης αὐτῷ τάξεως καταναγκάζειν τοὺς στρατιώτας ἀμύνειν τῷ πράγματι, καὶ συνέχειν τοὺς ἀγνωμονοῦντας καὶ ἀπαιτεῖν τὰ ταῖς τραπέζαις ὀφειλόμενα οἰκείῳ κινδύνῳ, ὥστε διά τε τῆς πολιτικῆς διά τε τῆς στρατιωτικῆς χειρὸς ταῦτα ἀνυόμενα ἀνυπέρθετον ἔχειν τὴν εἴσπραξιν, τήν τε ἐπὶ τὴν μεγάλην ταύτην πόλιν εἰσφοράν. εἰδότων τῶν λαμπροτάτων τριβούνων τῶν τε ἀνδρειοτάτων στρατιωτῶν καὶ μάλιστα τῶν ἐν αὐτοῖς πρωτευόντων, ὅτι τούτου εἰ ῥαθυμήσειαν καὶ μὴ παρασκευάσουσιν αὐτοὺς[35]) ἅπαντα πρᾶξαι ὁπόσα εἰρήκαμεν, καὶ περὶ τῶν σιτήσεων κινδυνεύσουσι. παρακατασχεθήσονται γὰρ αὗται παρὰ τοῦ κατὰ καιρὸν αὐγουσταλίου καὶ εἰσκομισθήσονται ταῖς σαῖς τραπέζαις οἰκείῳ κινδύνῳ, καὶ δήμευσιν ὑποστήσονται οἵ τε λαμπρότατοι αὐτῶν τριβοῦνοι καὶ οἱ ἐν αὐτοῖς πρωτεύοντες (οἵπερ καὶ κεφαλικὴν τιμωρίαν εὐλαβείσθωσαν), καὶ τὸ πᾶν τάγμα μεταστὰν ἐκ τῆς χώρας ἐν τοῖς πορρωτέρω τοῦ Ἴστρου ἤτοι Δανουβίου ποταμοῦ τόποις μετατεθήσεται, τοῖς ἐκεῖσε λιμίτοις τῆς[36]) παραφυλακῆς ἕνεκα προσκαρτερῆσον. [§. β.'] αὐτοί τε οἱ πρὸς τὸ δημόσιον ἀγνωμονήσαντες καὶ τὴν τοιαύτην ἀναγκαίαν[37]) ἀναμείναντες δήμευσίν τε καὶ ἐξορίαν ὑποστήσονται διηνεκῆ, τῇ Σεβαστουπολιτῶν καὶ Πιτυούντων, αἵπερ εἰσὶν ἐπ' ἐσχάτου τῆς[38])

34) τὸν τόπον? 35) Istud αὐτοὺς forte delendum est, quippe nec ad στρατιώτας nec ad τρακτευτὰς commode refertur. 36) Cod. τοῖς. 37) Agylaeus ἀνάγκην mendat.. ego vero post ἀναμείναντες aliquid excidisse crediderim, veluti ἄμυναν. 38) In Cod. hic 10 circiter lineae in albo relictae sunt. nec tamen quicquam deesse videtur, si ἐπ' ἐσχάτων γῆς legeris.

τοῦ Εὐξείνου Πόντου κατοικήσοντες. τὴν δὲ αὐτὴν καὶ ὁμοίαν φροντίδα τῷ περιβλέπτῳ αὐγουσταλίῳ ἐπιτίθεμεν καὶ προφάσει τῶν largitionalicῶν τίτλων καὶ πάντων τῶν προσηκόντων εἰς τὰς θείας ἡμῶν λαργιτιόνας, ἀνυομένων παρ' αὐτοῦ καὶ τῆς αὐτοῦ τάξεως εἴτε κατὰ τὴν Ἀλεξανδρέων αὐτὴν εἴτε κατὰ Αἰγύπτους ἀμφοτέρας. καὶ γὰρ τούτων ἡμῖν αὕτη[39]) καθέστηκε φροντίς, καὶ προσῆκόν ἐστιν αὐτόν τε καὶ τὴν αὐτοῦ τάξιν κινδύνῳ οἰκείῳ προνοεῖν τῆς εἰσπράξεως τῶν largitionalicῶν τελῶν[40]), καὶ τῶν αἰτιῶν ἁπασῶν τῶν εἰς τὰς θείας ἡμῶν ἀνηκουσῶν λαργιτιόνας, ὥστε τὰς τοιαύτας δημοσίας εἰσφορὰς τὰς τοῖς θείοις ἡμῶν ἁρμοττούσας θησαυροῖς καὶ εἰσπράττεσθαι καὶ ταῖς θείαις ἡμῶν εἰσφέρεσθαι largitiόσι μετὰ παντὸς κινδύνου τοῦ περιβλέπτου αὐγουσταλίου καὶ τῆς πειθομένης αὐτῷ τάξεως. εἰ γάρ τι τούτων ἀμεληθείη, κίνδυνος αὐτὸν περιστήσεται ἐπί τε τῇ ἀρχῇ ἐπί τε τῇ περιουσίᾳ τῇ οἰκείᾳ, καὶ οὐ μόνον ἕως ἐπὶ τῆς ἀρχῆς ἐστιν, ἀλλὰ καὶ ὕστερον καὶ ἐπειδὰν ταύτην ἀπόθοιτο, καὶ κατὰ διαδόχων αὐτοῦ καὶ κληρονόμων· ἐνέξεται γὰρ ταῖς τοιαύταις εἰσπράξεσιν οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ κληρονόμοι αὐτοῦ καὶ διάδοχοι, ἕως ἂν πάντα ἐκπληρώσειαν τὰ ταῖς θείαις ἡμῶν largitiόσιν ἐκ τῶν ὑποτεταγμένων αὐτῷ τόπων ὀφειλόμενα. [§. γ'.] καὶ οὔτε λόγον ἀσυλίας τὶς παρέξει τοῖς ὑποκειμένοις αὐτῷ, πλὴν ἐκείνων, οἳ καὶ τὸν κίνδυνον ....[41]) τῆς εἰσπράξεως καθάπερ εἴρηται γινομένης κινδύνῳ τοῦ κατὰ καιρὸν περιβλέπτου αὐγουσταλίου καὶ τῆς πειθομένης αὐτῷ τάξεως· τῶν δὲ χρημάτων μεταβαλλομένων[42]) ἐπὶ τοὺς καθωσιωμένους τῶν θείων largitiόνων παλατίνους, οἷς τούτου μέλει τοῦ

39) Locus omnino corruptus. legerim: καὶ γὰρ καὶ τούτων ἡμῖν ἡ αὐτὴ καθ. φρ. 40) τίτλων? 41) Nonnulla excidisse videntur, licet in Cod. tam hic quam mox lacunae signum non appareat. certe cap. 10 et 21 §. 4 imperator de λόγῳ dando latius disserit. forte οἳ καὶ τὸν κίνδυνον ἐπέχουσι τῆς εἰσπράξεως, τῆς εἰσπρ. κτλ. 42) καταβαλλ?

μέρους, καὶ τοὺς ἄλλως στελλομένους ἐπὶ τοῦτο παρὰ τοῦ προεστῶτος τῆς αὐτῆς εὐκλεοῦς ἀρχῆς ἐνδοξοτάτου ἄρχοντος.....[43]) καὶ οὔτε λόγον συγχωρήσεως[44]) δοῦναί τινα παρὰ τὰ ἔμπροσθεν διηγορευμένα, οὔτε ἐμπόδισμά τι γενέσθαι περὶ τὰς εἰσπράξεις. [§. δ'.] οἵ τε καθωσιωμένοι στρατιῶται, ἢ οἱ ἐν ταῖς χώραις ἐκείναις καὶ ἐν ταῖς[45]) πόλεσιν ὄντες, τὰ αὐτὰ πείσονται, εἰ μὴ κἀκεῖνοι ἀμύνοιεν, καὶ ἐκ τρόπου παντὸς ἀνυσθείη τὰ largitionalicὰ χρήματα καὶ ἐπὶ τοὺς εἰς τοῦτο στελλομένους καταβληθείη, καὶ γένηται ἐπ' αὐτοῖς πᾶσα προθυμία καὶ εἴσπραξις, ὅσην καὶ ἐπὶ τοῖς ἀρκαρίοις[45a]) γενέσθαι διεταξάμεθα.

ιβ'. Δίδομεν δὲ καὶ ἐκεῖνο τῷ περιβλέπτῳ αὐγουσταλίῳ, ὥστε ἐφ' ἅπασι διακελεύεσθαι καὶ στρατιώταις καὶ πατάρχαις[46]) καὶ τοῖς τὰ δημόσια πράττουσι τὰ ὑπὸ τὴν αὐτοῦ καθεστῶτα διοίκησίν τε καὶ ἐξουσίαν. οὐ μέντοι δύνασθαι τοὺς πατάρχας ἀγνωμονοῦντας ἢ περὶ τὸν σῖτον ἢ περὶ τὰ ναῦλα ἢ περὶ τὰ ἄλλα δημόσια τὰ ἀνήκοντα ταῖς εἰρημέναις αἰτίαις ἢ ταῖς κατὰ χώραν δαπάναις ἀποκινεῖν κατ' ἐξουσίαν· ἀλλ' εἴ τι πράττοιεν κακὸν, οὐκ ἀποκινήσει μὲν αὐτοὺς, ἐν ἀσφαλείᾳ δὲ καταστήσει καὶ περισκοπήσει ἑτέρους τοὺς τῷ πράγματι χρησομένους ὀρθῶς, καὶ ἅπαντα μηνύσει ἐνταῦθα τῷ θρόνῳ τῷ σῷ καὶ δι' αὐτοῦ τῇ βασιλείᾳ, ὥστε ἡμᾶς πάντα γινώσκοντας τὰ προσήκοντα πράττειν ἐπί τε τῇ τῶν οὐκ ὀρθῶς τῷ πράγματι χρησαμένων ἐκβολῇ ἐπί τε τῇ τῶν

43) Videtur indicari comes S. largitionum. quod si ita est, lacunam etiam hic statuas necesse est. 44) Osenbrüggen συγχωρήσεις legi vult. emendatione sane opus est. 45) Agylaeus legi vult καὶ οἱ ἐν ταῖς — καὶ οἱ ἐν ταῖς. recte nisi forte altius corruptela lateat: nam tribunos et primores ut supra ita etiam hoc loco recensuisse imperatorem probabile potest videri. 45a) Infra c. 20 ἀρκαρικὰ dicuntur. 46) Sic codex hic et mox: inferius πατράρχαι scribit, eosdemque in prooemio et cap. 24 παγάρχους appellare videtur. in scriptura tam varia nolui quicquam mutare; videatur autem Ducange s. v. πάγαρχος et πατράρχης.

ἐπιλεγέντων πατραρχῶν εἴ γε[47]) *συνίδοιμεν ἐγκαταστάσει καὶ παραδόσει*[48]) *τῶν τε εἰς τὰς πατραρχίας ἀνηκόντων τῶν τε εἰς τὰς οὐσίας τὰς αὐτῶν.* [§. α'.] *ἀλλὰ καὶ πολιτευομένων*[49]) *οἵ τε κατὰ Ἀλεξάνδρειαν οἵ τε κατὰ τὰς δύο Αἰγύπτους ὑποκείσονται αὐτῷ, καὶ πάντες ὅσοι δημόσια χειρίζουσιν ἐν ταῖς ὑποκειμέναις αὐτῷ χώραις ταῖς εἰσπράξεσιν ἀπονενεμημένα ταῖς αὐτοῦ. ἄδειαν ἔχοντος καὶ εἰς ἑτέρας τινὰς ἰέναι*[50]) *χώρας τὰς μὴ ὑποκειμένας αὐτῷ, καὶ ἄγειν πρὸς ἑαυτὸν καὶ εἰσπράττειν τὰ δημόσια, καὶ εἴ τινες τῶν κεκτημένων ἐπὶ Ἀλεξανδρείας ἢ ἐν Αἰγύπτοις δύο ἑτέρωθι διάγοιεν ἢ οἰκοῖεν ἐν ἐπαρχίαις οὐχ ὑποκειμέναις*[51]) *αὐτῷ, καὶ τούτους ἐπαναγαγεῖν εἰς ἣν ἀπέλιπον χώραν, ὥστε μηδὲν ἐμπόδισμα τοῖς δημοσίοις γενέσθαι τοῖς ἐπικειμένοις αὐτῷ.*[52]) *ταὐτοῦ τούτου πραττομένου, εἰ καί τινες ὀφείλοιεν δημόσια ἀνήκοντα ταῖς τραπέζαις ταῖς σαῖς, καὶ οἱ τρακτευταὶ καὶ οἱ τὸν ἐκείνων πληροῦντες τόπον καὶ ἐπικείμενοι ταῖς εἰσπράξεσι τῆς γενικῆς καὶ ἰδικῆς τραπέζης*[53]) *τοιοῦτό τι δῆλον αὐτῷ καταστήσειαν· καὶ ἐπὶ τούτῳ γὰρ ὁμοίως καὶ ἐκπέμψει καὶ ἄξει τούτους, ὥστε καὶ αὐτοὺς παρὰ τῶν τρακτευτῶν τῶν σῶν ὑπομένειν τὴν εἴσπραξιν, οὐ δυναμένων τῶν ὀφειλόντων καὶ ἐν ἑτέροις ὄντων τόποις παραγράφεσθαι τὸν αὐγουστάλιον ἐπὶ τῇ τῶν δημοσίων αἰτίᾳ ὡς μὴ πρόσφορον αὐτοῖς δικαστὴν καθεστῶτα. ὅπερ καὶ ἐπὶ τῶν* largitionalic*ῶν ἀπαιτήσεων γίνεσθαι βουλόμεθα.*

ιγ'. Ὑπόλοιπος δὲ ἐν ταῖς εἰσπράξεσιν ἔσται φροντὶς

47) Cod. *εἴ τε.* 48) Cod. *ἐγκαταστήσει καὶ παραδώσει.* forte praestat legere *ἀντικαταστάσει.* cf. enim cap. 24 §. 1. 49) Agylaeus legit *οἱ πολιτευόμενοι*, Osenbrüggen coniecit *τῶν πολιτ.* uterque non sine veri specie, nisi etiam hunc locum lacuna corruptum esse existimes. infra est *πᾶς ἄρχων καὶ πολιτευόμενος.* 50) Cod. *εἰ ἐν.* Agylaeus emendavit. sed forte legendum: *καὶ εἰ ἑτέρας τινὸς εἶεν χώρας τῆς μὴ ὑποκειμένης αὐτῷ.* 51) Cod. vitiose *ἢ οἰκοῖεν ἐπαρχίαις οὐχ ὑποκειμένων.* 52) Cod. *τοῖς ὑποκειμένοις τοῖς αὐτοῦ.* 53) Cod. vitiose *ταῖς γενικαῖς καὶ ἰδικαῖς τραπέζαις.*

τῷ περιβλέπτῳ αὐγουσταλίῳ καὶ τῇ πειθομένῃ αὐτῷ τάξει, ἥτις ὑπέρ τε τῆς στρατιωτικῆς ἔσται δαπάνης, τῆς τε ἐν Ἀλεξανδρείᾳ τῆς τε ἐπὶ τῶν δύο Αἰγύπτων, τῶν τε ἐπὶ[54]) πολιτικῶν καὶ σολεμνίων τελῶν[55]) τῆς μεγάλης τῶν Ἀλεξανδρέων πόλεως καὶ τῶν ἑκατέρᾳ Αἰγύπτῳ.[56]) δεῖ[57]) τοίνυν ταῦτα κινδύνῳ τοῦ περιβλέπτου αὐγουσταλίου καὶ τῆς πειθομένης αὐτῷ τάξεως καὶ ἀπαιτεῖσθαι καὶ ἐπιδίδοσθαι, οὐκ ἔτι τοῦ πράγματος πραττομένου διὰ τοῦ σκρινιαρίου τῆς σῆς ὑπεροχῆς, ὃν ἐκ τοῦ στρατιωτικὰ διοικεῖν στρατιωτὸν καλοῦσιν Αἰγύπτιοι· ἀλλ' οὗτος[58]) μὲν καθάπαξ πεπαύσεται, ὁ δὲ περίβλεπτος αὐγουστάλιος καὶ ἡ πειθομένη τάξις αὐτῷ δι' ὁποίων ἂν βουληθείη τρόπων οἰκείῳ κινδύνῳ τὴν εἴσπραξιν ποιήσεται, καὶ τὴν δαπάνην χορηγήσει τοῖς καθωσιωμένοις στρατιώταις ἅπασι τοῖς ἐπὶ τῆς[59]) Ἀλεξανδρέων ἱδρυμένοις ....[60]) τὴν ἐπιβάλλουσαν αὐτοῖς ἐκτάξει δαπάνην, ἐκ τῶν ὑποτεταγμένων τόπων τε καὶ πόλεων κινδύνῳ οἰκείῳ τὴν εἴσπραξιν τούτων τῶν καθωσιωμένων στρατιωτῶν ποιούμενος.

ιδ'. Ἀναγκάσεις δὲ καὶ τὸν κατὰ καιρὸν βίνδικα τῆς Ἀλεξανδρέων πάντα τὰ παρ' αὐτοῦ γινόμενα δαπανήματα ποιῆσαι ἐπί τε τῆς ἐκπυρώσεως τῶν δημοσίων βαλανείων ἐπί τε τοῖς ἄλλοις σολεμνίοις ἅπασι τοῖς πολιτικοῖς, ἅπερ πάντα ὑπόκειται ῥητῶς τῷδε ἡμῶν τῷ θείῳ νόμῳ. ἥτις ἀπογραφὴ δηλώσει σαφῶς ἐκ ποίων τε ταῦτα συνάγεται τόπων καὶ τίτλων ἤτοι προφάσεων καὶ προσώπων, καὶ πόσα ἐστί, καὶ ὅντινα προσήκει διοικεῖσθαι τρόπον, δηλαδὴ τῶν σολεμνίων καὶ ὅσα πολιτικὰ καθέστηκε δαπανήματα ἐπὶ [τῶν] δύο

54) Forte ὑπέρ τε τῶν. 55) τίτλων? cf. not. 40. 56) Agylaeus ἑκατέρας Αἰγύπτου. Osenbrüggen ἐν ἑκ. Αἰγ. 57) Cod. εἰ. emendavit Beck. 58) Cod. οὕτως. 59) Cod. τοῖς 60) Nimirum etiam hic nonnulla exciderunt, nisi ἐκτάξας pro ἐκτάξει legendum sit. caeterum mox sive διὰ τῶν καθωσιωμένων sive ποιουμένων legas necesse est.

Αἰγύπτων κινδύνῳ τοῦ ἐπιχωρίου τῶν ἐπαρχιῶν τούτων ἄρχοντος ἐπιδιδομένῳ[61]) ταῖς αὐταῖς πόλεσιν. ἐπὶ δέ γε τοῖς ὑπὸ τοῦ περιβλέπτου αὐγουσταλίου κινδύνῳ οἰκείῳ καὶ τῆς αὐτοῦ τάξεως διοικηθησομένοις ἄδειαν ἕξει καὶ λόγον διδόναι, καὶ πάντα πράττειν ἅπερ ἂν λυσιτελεῖν τῷ πράγματι νομισθεῖεν, οἷα τοῦ κινδύνου παντὸς εἰς αὐτόν τε καὶ τὴν αὐτοῦ τάξιν φερομένου. δηλαδὴ τῶν δαπανημάτων τῶν γινομένων ἐπὶ τῆς Ἀλεξανδρέων πόλεως κατὰ τὸ σύνηθες γενομένων δι' ἐκείνων, οἳ μέχρι νῦν ταῦτα πράττουσι. [§. α'.] μηδενὸς κατὰ πρόφασιν τοῦ δῆθεν μὴ ὑποκεῖσθαι τῷ περιβλέπτῳ αὐγουσταλίῳ.....[62]) μηδὲ αὐτοῦ τοῦ περιβλέπτου αὐγουσταλίου καὶ τῆς αὐτοῦ τάξεως ἐθελοκακούντων καί τινα δόλον ἢ ἐν ταῖς εἰσκομιδαῖς ἢ ἐν ταῖς πλωΐσεσι τῆς αἰσίας ἐμβολῆς ποιουμένων[63]), ἀλλὰ τὸ πρᾶγμα καθαρῶς πραττόντων καὶ ὑπὲρ τῆς τοῦ κοινοῦ φροντίδος τε καὶ λυσιτελείας, εἰδότων τὸ τοῦ πράγματος ἀπαραίτητον, καὶ γινωσκόντων, ὡς ὑπὸ τὴν ἐσχάτην ἔσονται τιμωρίαν, οὐ μόνον εἴ τι κακουργήσειαν, ἀλλὰ κἂν εἴ τινα περίνοιαν περὶ τὸ πρᾶγμα πράξειαν.

ιε'. Κἀκεῖνο δὲ ἀνενεχθὲν ἡμῖν παρὰ τῆς σῆς ὑπεροχῆς δεῖν ᾠήθημεν ἐγγράψαι τῷδε τῷ νόμῳ. ἅπαν γὰρ ἀνερευνωμένη ἡ σὴ ἐνδοξότης κατὰ τὴν εἰρημένην τῶν Ἀλεξανδρέων πόλιν, εὗρεν ἐν τῇ πυκτῇ τῇ ἐπὶ τῶν χρόνων Ἀναστασίου τοῦ τῆς εὐσεβοῦς λήξεως, ἡνίκα Μαριανὸς ὁ τῆς ἐνδόξου[64]) ἐπ' αὐτῷ τὰ πράγματα ἔπραττε, καταστῆναι δημοσίαν πυκτὴν, Ποταμῶνος τηνικαῦτα τῶν δημοσίων τῆς Ἀλεξανδρέων προεστῶτος κατὰ τὸ τοῦ βίνδικος σχῆμα, ἐν ᾗ πυκτῇ ἀπεγράψατο τὸν τοῦ ἐξαγωγίου τίτλον ἐκφέροντα διαφόροις αἰτίαις χιλίους[65]) χρυσοὺς οὕτως· τετρακοσίους μὲν ἐννενήκοντα δύο χρυσοὺς τοῖς δημοσίοις βαλανείοις τῆς

61) ἀρχόντων ἐπιδιδομένου Cod. 62) In Cod. non est lacunae signum, videntur tamen complura excidisse. 63) Cod. ποιούμενοι. emendavit Agylaeus. 64) Adde μνήμης. 65) ὑπὲρ χιλίους?

αὐτῆς πόλεως, τετρακοσίους δὲ ἐννέα καὶ δέκα τῷ καλουμένῳ ἀντικανθάρῳ, καὶ πεντακοσίους πεντήκοντα ὀκτὼ χρυσοὺς πρὸς τῷ ἡμίσει τῷ ἀποδέκτῃ τῶν ναύλων, ὡς εἶναι τὸ ἀπογεγραμμένον ἐν χιλίοις τετρακοσίοις ἑξήκοντα ἐννέα χρυσοῖς·[66]) γενέσθαι δὲ ἑτέραν τινὰ[67]) περιποίησιν παρὰ τῶν πολιτευομένων τῇ αὐτῇ αἰτίᾳ τοῦ ἐξαγωγίου νομισμάτων ρ', τὸν δὲ κατὰ καιρὸν αὐγουστάλιον τριακοσίους εἴκοσι χρυσοὺς κομίζεσθαι ὑπερ πώλων τριάκοντα ἕξ, οὓς αὐτὸς[68]) παρέχει [ἐπὶ] τῇ ἱπποδρομίᾳ τῆς εἰρημένης τῶν Ἀλεξανδρέων πόλεως· καὶ τοῦτο τὸ σχῆμα μεῖναι[69]) οὐ μόνον [ἐπὶ] τῆς Στρατηγίου τοῦ ἐνδοξοτάτου ἀρχῆς, ἀλλὰ καὶ μέχρι τῆς δευτέρας ἐπινεμήσεως τοῦ παρῳχηκότος κύκλου, τῆς πρὸ ἐτῶν πεντεκαίδεκα. ἐξ ἐκείνου δέ τινων μὲν ῥαθυμίᾳ τινῶν δὲ κακουργίᾳ τῶν δὲ πλείστων κλοπῇ τὸ πρᾶγμα κατὰ μικρὸν ἐλαττωθῆναι, καὶ ἀποστερεῖσθαι καὶ τὰ δημόσια βαλανεῖα τῆς τῶν τετρακοσίων ἐννενήκοντα δύο νομισμάτων ποσότητος καὶ τὰ ναῦλα τῆς τῶν πεντακοσίων πεντήκοντα ὀκτὼ ἡμίσεως νομισμάτων εἰσφορᾶς, προφάσεως αὐτοῖς δοθείσης ἐκ τοῦ τινας τοῦτο μὲν ἐκ τῆς αὐλῆς τοῦτο δὲ ἐκ τῶν θρόνων τῶν σῶν ἄδειαν ἑαυτοῖς κατασκευάσαι, καὶ προῖκα ἐκφέρειν κεράμους τῆς εἰρημένης τῶν Ἀλεξανδρέων πόλεως καὶ ἕτερα εἴδη ἅπερ ὑπόκειται τῷ τοιούτῳ τέλει[70]), καὶ οὕτως ἐλαττωθῆναι κατὰ μικρὸν τὴν εἰρημένην πόλιν.

ιϛ'. Ἀποδεχόμεθα τοίνυν τὴν σὴν ὑπεροχὴν καὶ τούτοις ἐπιστᾶσαν [καὶ][71]) θεσπίζομεν, μήτε τῶν πεπορισμένων τισὶ παντελῶς τοιούτων θείων [ἢ] ἀρχικῶν τύπων ὄφελός τι καθεστάναι, ἀλλὰ πάντας ἐπιγινώσκειν τοῦτο ὃ μέχρι τῶν

66) Deest *πρὸς τῷ ἡμίσει*. 67) Cod. *γενέσθαι δεύτερον καί*. 68) Cod. *ὡσαύτως*. mox *ἐπὶ* ex iis quae cap. 16 dicuntur addidi. 69) Cod. *εἶναι*, quod propter sequens *μέχρι* in *μεῖναι* mutavi. 70) Scil. *τοῦ ἐξαγωγίου* i. e. vectigali quod pro rebus exportandis solvitur. 71) Deest in Cod. *καί*. idem mox *τοιοῦτον θεῖον ἀρχικὸν τύπον*.

χρόνων Στρατηγίου τοῦ ἐνδοξοτάτου ἐδίδοσαν, μηδὲ τὸν περίβλεπτον αὐγουστάλιον πλείονα δαπάνην τινὰ ποιεῖν παρὰ τὴν ἔμπροσθεν καὶ ἐπὶ τῶν χρόνων Στρατηγίου τοῦ ἐνδοξοτάτου πολιτευσαμένην, μηδὲ κατὰ καινοτομίαν τινὰ προσάπτεσθαι τῶν τελῶν ἐκείνων καὶ ἑαυτῷ ἐκδικεῖν, ἀλλα καὶ τὸ ἀρχαῖον φυλαχθῆναι σχῆμα τὸ μέχρι Στρατηγίου τοῦ ἐνδοξοτάτου καὶ αὐτοῦ· μήτε φιλονεικίας ἀφορμὴν δοθῆναι τῷ τε κατὰ καιρὸν αὐγουσταλίῳ [τῷ τε...][72]*), καὶ τὸν μὲν ὡς οὐ λάβοι λέγειν, τὸν δὲ ὡς ἔλαττον λάβοι, ἀλλ' ἐκ τῆς ὅλης ποσότητος τῶν χιλίων ὀκτακοσίων ὀγδοήκοντα ἐννέα*[73]*) νομισμάτων κουφισθῆναι τριακοσίους ἑξήκοντα ἐννέα χρυσοὺς (βουλόμεθα γάρ καί τι φιλανθρωπότερον τῆς ἀκριβείας πρᾶξαι καὶ διὰ τὴν τοῦ κατὰ καιρὸν αὐγουσταλίου συγκρότησιν ἄλλους .....), [ὥστε]*[74]*) χιλίους πεντακοσίους εἴκοσι χρυσοὺς μόνους ἐκ τοῦ τίτλου εἰσφέρεσθαι*[75]*), ἐξ ὧν τοὺς τριακοσίους εἴκοσι χρυσοὺς ἑαυτῷ λογιεῖται ὁ περίβλεπτος αὐγουστάλιος προφάσει τῶν τριάκοντα ἓξ πώλων*[76]*), οὓς ἀνάγκη παρασχεῖν αὐτῷ ἐπὶ τῇ ἱπποδρομίᾳ τῆς Ἀλεξανδρέων κατὰ τὸ ἄνωθεν κρατοῦν ἔθος, τοὺς δὲ ὑπολοίπους χιλίους διακοσίους καταλογίζεσθαι αὖθις αὐτῷ εἰς τὰς σιτήσεις τὰς ἑαυτοῦ, οὕτω τε τὸ πρᾶγμα εὔλυτον εἶναι, καὶ τὴν ἀρχαίαν φυλάττον ὁδὸν, καὶ μηδενὶ παντελῶς ἄδειαν κακουργίας παρεχόμενον. τῇ γὰρ τῶν δημοσίων βαλανείων ἐγκαύσει καὶ τῷ ἀντικανθάρῳ [καὶ]*[77]*) τοῖς δημοσίοις ναύλοις ἐξ ἑτέρων αἰτιῶν .....*[78]*) ἀπογραφὴ τῷδε τῷ θείῳ νόμῳ δηλοῦται.*

72) Haec supplenda sunt propter sequentia *τὸν μὲν — τὸν δέ.* forte *τῷ τε ἀποδέκτῃ τῶν ναύλων.* 73) Ut iam supra ita etiam hic dimidii aurei ratio non amplius habetur. 74) Etiam hic quaedam excidisse crediderim, veluti *μὴ καταβλάψαι, ὥστε.* 75) Malim *ἐκφέρεσθαι*, ut cap. 15 *ἐκφέροντα.* 76) Cod. *πυλώνων.* 77) Cod. *καὶ* omittit. 78) Nempe etiam hic deesse nonnulla videntur, veluti *πρόσοδος ἀφωρίσθη, ὃς τῇ ὑποτεταγμένῃ ἀπογραφῇ κτλ.* nimirum imperator, postquam

ιζ'. Ἐπειδὴ δὲ τὸν Μαρεώτην ἐπεθήκαμεν τῷ Λιβυκῷ[79]) λίμιτι, καὶ αὐτός τινας τῶν ἐκ τῆς Ἀλεξανδρέων ἐπὶ δημοσιακοῖς αἰτίαις εὐθυνομένους φεύγειν ἐκεῖσε διαδιδράσκοντας[80]), τὰς ἐπηρτημένας αὐτοῖς παρὰ τοῦ περιβλέπτου αὐγουσταλίου ποινάς, θεσπίζομεν, ἄδειαν εἶναι τῷ κατὰ καιρὸν περιβλέπτῳ αὐγουσταλίῳ στέλλειν ἐκεῖσε ἐπὶ ταύτῃ καὶ μόνῃ τῇ αἰτίᾳ ταμιευτηρίτων μετὰ δημοσίας ἐπιστολῆς γενομένου[81]) πρὸς τὸν ἐφέξοντα τὸν τόπον τοῦ λαμπροτάτου ἄρχοντος τῆς Λιβύων ἐπαρχίας, ὥστε καὶ συνέχειν αὐτοὺς καὶ παραδιδόναι διὰ τῶν ὑφ' ἑαυτὸν ταξεωτῶν τε καὶ στρατιωτῶν, ἵνα μηδεὶς τῶν δημοσίους φόρους κατὰ τὴν Ἀλεξανδρέων χρεωστούντων ἐκεῖσε διαδιδράσκων καὶ τὰς τοῦ περιβλέπτου αὐγουσταλίου διαφεύγοι[82]) ποινάς, πρὸς τῷ καὶ αὐτῷ[83]) τῷ τοῖς ἐκεῖσε μέρεσιν ἐφεστῶτι ἄδειαν εἶναι εἴ τινας εὕροι τοιούτους καὶ συνέχειν καὶ κολάζειν, καὶ κοινὴν τὴν χώραν[84]) ἐλευθεροῦν αὐτούς. ἐπὶ τούτοις τοίνυν τὴν εἰρημένην ἀρχὴν ὁρίζομεν, καὶ συνιστῶμεν ταῦτα πράξουσαν ἅπερ ἐν τῷδε τῷ νόμῳ διωρίσαμεν. ἔσται γὰρ οὕτως καὶ εὐπάρακτος ἡ φροντὶς τῷ πράγματι, καὶ πανταχόθεν περιεσταλμένη καὶ διευκρινηθεῖσα, καὶ μηδεμίαν παρέχουσα τοῖς βουλομένοις συγχύσεως καὶ κλοπῆς ἀφορμήν.

ιη'. Ἐντεῦθεν ἡμᾶς καλεῖ ἡ τοῦ Λιβυκοῦ λιμιτοῦ δουκὸς[85]) φροντίς, ὅνπερ ἐπὶ τοῦ Παρατονίου ἱδρυσάμεθα, δόντες αὐτῷ καὶ στρατιωτικὴν χεῖρα τῶν κατ' ἐκεῖνα βαρβάρων ἄρχουσαν. βουλόμεθα γὰρ καὶ τὸν Λιβύης περίβλεπτον δοῦκα ἱδρύσθαι μὲν ὡς εἴρηται κατὰ τὸ Παρατόνιον καὶ τὰς ὑποτεταγμένας αὐτῷ πόλεις, ἐν αἷς ἔσονται ὑπ' αὐτὸν στρατιῶ-

expensas ex titulo τοῦ ἐξαγωγίου faciendas restrinxit eamque augustali praeberi iussit, expensis pro balneorum calefactione etc. quas tantas quantas olim fieri voluit, aliorum titulorum reditus assignavit. 79) Cod. λυβικ. scribit. 80) Cod. διαδράσκ. 81) γινομένης? 82) Cod. διαφεύγει. 83) Cod. τὸ et αὐτό. 84) Cod. κοινοῦ τὴν χεῖραν (sic). 85) Cod. δουκὸς omittit.

ται ταῖς αὐτοῦ κελεύσεσιν ὑπηρετούμενοι· λήψεται δὲ καὶ αὐτὸς τὰς ἀφωρισμένας αὐτῷ σιτήσεις, ὑπὲρ μὲν τῶν ἐν εἴδει ἀννόνων ἐννενήκοντα καὶ καπίτων ἑκατὸν εἴκοσι νομίσματα χίλια πέντε τέταρτον[86]), ὑπὲρ δὲ τῶν ἐν χρυσῷ ἀννόνων πεντήκοντα καὶ καπίτων πεντήκοντα νομίσματα τετρακόσια, καὶ πρός γε ἡ πειθομένη τάξις αὐτῷ νομίσματα ρπζ′ ἥμισυ, καὶ οἱ στρατιῶται γε μὴν, τουτέστιν οἱ ἐκ τῶν Λιβυκῶν Ἰουστινιανῶν καὶ Παρατονιτῶν Ἰουστινιανῶν[87]) ταγμάτων ἀφωρισμένοι τοῖς εἰρημένοις τόποις, τὰς οἰκείας σιτήσεις καθάπερ αὐτοῖς ὥρισε τὸ δημόσιον λήψονται· δῆλον δὲ, ὅτι καὶ ἅπαντα τὰ σολέμνια τὰ ἐν ταῖς πόλεσι ταῖς αὐτοῦ[88]) ἐπιδοθήσεται καθάπερ καὶ μέχρι νῦν ἐπεδίδοτο. ὁμοίως δὲ καὶ ὁ ἐπιχώριος ἄρχων καὶ ἡ πειθομένη τάξις αὐτῷ τὰς οἰκείας ἕξουσι σιτήσεις. [§. α′.] ἀλλ' ἐπειδήπερ εἴ τις ἅπασαν ταύτην συλλογίσεται τὴν δαπάνην, οὐκ ἂν αὐτάρκης εἴη ἡ ἐκ τῶν τόπων τῶν ὑπ' αὐτὸν τεταγμένων ἤτοι τῆς Λιβύων ἐπαρχίας εἰσκομιδὴ, διὰ τοῦτο ἀναγκαῖον ᾠήθημεν προσθεῖναι αὐτῷ καὶ τὸν καλούμενον Μαρεώτην καὶ τὴν Μενελαΐτην πόλιν ἥτις πρώτης[88a]) Αἰγυπτίων ἐπαρχίας ἐστίν. οὐδὲ γὰρ ἄλλως ἰσχύσειε τοῖς στρατιώταις τοῖς ὑπ' αὐτὸν τεταγμένοις ἐκ τοῦ δημοσίου παρασκευάζειν χορηγεῖσθαι, εἴπερ ἑτέρωθεν τὰ τῆς δόσεως ἤρτηται καὶ ὑφ' ἕτερον ἄρχοντα τελοίη[89]), καὶ μυρίαι ἐντεῦθεν ἀναστήσονται φροντίδες καὶ ταραχαὶ ἐκ τῆς διαφορᾶς τῶν ἀρχόντων. ἀλλ' αὐτὸς μὲν ἄρξει τῶν εἰρημένων τόπων, αὐτὸς δὲ κινδύνῳ οἰκείῳ, καὶ ἡ πειθομένη αὐτῷ[90]) τάξις, καὶ

86) Legerim *χίλια πέντε καὶ τριάκοντα.* si pro annona *ἐν εἴδει* aureos quinque et dimidium, pro capitu *ἐν εἴδει* aureos quatuor et dimidium acceperis, efficiuntur aurei 1035. annona et capitus *ἐν χρυσῷ* quatuor aureorum est. 87) Cod. corrupte *τουτέστιν οἱ ἐκ τούτων Λιβύων Ἰουστ. καὶ παρά τινι τῶν Ἰουστ. τῶν ταγμ. ἀφορισμένων.* 88) Cod. *αὐτῶν.* 88a) Cod. *πρὸ τῆς.* 89) Cod. *τελείῃ.* idem mox *καὶ μυρίαι* bis ponit. 90) Cod. *σοί.*

ἢ [illegible] ἄρχων [illegible] τῇ [illegible] τάξει καὶ εἰσπράξουσι καὶ [illegible] τε [illegible] τοῖς τε στρατιώταις καὶ ἑαυτοῖς, [illegible] τὰς [illegible] αὐτῶν καὶ τὰς κτήσεις ἐντεῦθεν γίνεσθαι. [illegible] [illegible] τῆς εἰσπράξεως αὐτῶν γινομένης.

[illegible]. [illegible] δὲ ἂν μηδὲ ἐντεῦθεν δοίημέν τινι τεχνάζειν. μηδὲ [illegible] [illegible] βούλεσθαι ποιεῖν ἢ ἐλάττονα [illegible] τὴν [illegible]. καὶ τοῦτο διασκοπούμενοι προσηκόντως τῇ [illegible] [illegible] τῷδε τῷ θείῳ νόμῳ σαφὲς κατεστήσαμεν. [illegible] [illegible] μέν ἐστιν ὁ κανὼν ὁπόσος[91]) ὁ [illegible] εἰς τὸ [illegible] τῆς σῆς ὑπεροχῆς καὶ ἐκ τῶν εἰρημένων ἐπαρχιῶν τε καὶ τόπων εἰσκομιζόμενος, ἐκ τῆς Λιβύης αὐτῆς καὶ τοῦ [illegible] καὶ τοῦ Μενελαΐτου τῆς πόλεως. πάντα δὲ τὰ [illegible], ὅπερ προσῆκόν ἐστιν ἐντεῦθεν γίνεσθαι περί τε τὸν τούτων ἄρχοντα[91a]) καὶ τὰς τάξεις καὶ τὰ [illegible]. περί τε τὴν τροφὴν τῶν καθωσιωμένων στρατιωτῶν. τοῦ περιβλέπτου αὐγουσταλίου παντελῶς οὐδεμίαν ἔχοντος μετουσίαν οὐδὲ τῆς αὐτοῦ τάξεως πρὸς τὸν εἰρημένον δοῦκα ἤτοι[92]) τὰς ὑποτεταγμένας αὐτῷ ἐπαρχίας τε καὶ πόλεις καὶ τόπους. οὐδὲ ἄλλου τῶν ἐπιχωρίων ἄρχοντός τινος. ἀλλὰ αὐτοῦ τοῦ περιβλέπτου δουκὸς καὶ τοῦ τῶν[93]) Λιβύων πολιτικοῦ ἄρχοντος ἔχοντος πᾶσαν ἐξουσίαν [ἐν][94]) τοῖς εἰρημένοις τόποις χρημάτων τε ἕνεκεν καὶ ἐγκλημάτων καὶ δημοσίων εἰσπράξεων, ὥστε μέντοι τὸν [ἄρχον]τα τὸν[95]) ἐπὶ Λιβύης ὑποκεῖσθαι τῷ περιβλέπτῳ δουκί, καὶ πάντας τοὺς τὰς αὐτὰς χώρας οἰκοῦντας [καὶ][96]) κτήτορας ἐφ' οἷς κέκτηνται καὶ τοὺς τούτων οἰκήτορας. εἰ γὰρ καὶ ἐν ἄλλαις ἐπαρχίαις οἰκοῦσι, κέκτηνται δὲ ὑπὸ τὰς εἰρη-

91) ὁπόσος deleri voluit Agylaeus. sed altius corruptela latet. 91a) Cod. τε τούτου ἄρχοντος. infra c. 21 εἰς τὰς ἀποτροφὰς τῶν ἀρχόντων. 92) Cod. τόν. 93) Cod. καὶ τῆς τοῦ. 94) Deest in Cod. 95) Cod. τὸν τὰ τόν. 96) Nempe καὶ sive ἢ addendum, nisi forte etiam plura exciderint.

μένας πόλεις ἢ τόπους οἷς ἐφέστηκεν ὁ περίβλεπτος δούξ, καὶ τούτους ὁμοίως ἐπὶ ταῖς δημοσίαις εἰσπράξεσιν ὑποκεῖσθαι αὐτῷ βουλόμεθα, ὡς παῤῥησίαν ἔχειν καὶ ἐκπέμπειν[97]) αὐτοὺς καὶ ἀπαιτεῖν, καὶ πάντα πράττειν ὁπόσα ὁ τῆς εἰσπράξεως βούλεται τρόπος.

κʹ. Ἐπειδὴ δὲ καὶ αἱ θεῖαι ἡμῶν largitiones ἐκ τῶν ἐπαρχιῶν τούτων καὶ τόπων τῶν ὑπακουόντων τῷ εἰρημένῳ τοῦ Λιβυκοῦ λιμιτοῦ δουκί[98]) τινα κομίζονται, ἡμεῖς δὲ τὴν ἴσην καὶ ὁμοίαν καὶ ἐπ' αὐτοῖς φροντίδα ποιούμεθα, θεσπίζομεν, τὸν εἰρημένον τῆς Λιβύης καὶ τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς πόλεως (καὶ ταῦτα γὰρ[99]) αὐτῷ προσεθήκαμεν) τὸν[100]) περίβλεπτον δοῦκα καὶ τὸν τῆς ἐπαρχίας ἄρχοντα καὶ τὴν αὐτῷ[101]) πειθομένην τάξιν κινδύνῳ οἰκείῳ τὴν τῶν largition[al]icῶν χρημάτων εἴσπραξιν ποιεῖσθαι τῶν ἐκ πάντων τῶν εἰρημένων τόπων ὀφειλομένων, ὥστε κατὰ μηδεμίαν ἔλλειψιν ταῦτα καθ' ἕκαστον ἔτος εἰσπράττεσθαι καὶ ἐκπέμπεσθαι παρ' αὐτῶν ἐπὶ τὴν Ἀλεξανδρέων καὶ παραδίδοσθαι τῷ κατὰ καιρὸν ἐκ τῶν καθωσιωμένων παλατίνων ἐπιτρεπομένῳ τὴν τοῦ πραιποσίτου[102]) πληροῦν ἐκεῖσε χρείαν. ἐπαμύνειν τε αὐτούς, εἰδότας, ὡς εἰς τὸν αὐτῶν[103]) ἐλεύσεται κίνδυνον, τουτέστι τοῦ τε ἀεὶ δουκὸς τοῦ τε ἄρχοντος τῶν τε πειθομένων αὐτοῖς τάξεων, εἰ μὴ τούτων πᾶσι προνοήσαιεν[104]) τρόποις· ἀμυνόντων εἰς τοῦτο καὶ τῶν στρατιωτῶν, καὶ [αὐ]τῶν[105]) κινδυνευόντων εἰ μὴ ἐπαμύναιεν ταύτας ὑποστῆναι τὰς ποινάς, ἅσπερ ἐπεθήκαμεν καὶ τοῖς ἐπὶ τῆς Ἀλεξανδρέων καὶ ἑκατέρας Αἰγύπτου καθημένοις στρατιώταις, εἰ μὴ καὶ αὐτοὶ τὸ πρᾶγμα τῆς

97) Haec lectio ferri potest, si ἐκπέμπειν eiiciendi sensum habet. sed quid? si legamus πρὸς αὐτούς? 98) Cod. δουκικοῦ. emendavit Osenbrüggen. 99) Cod. παρ'. emendavit Agylaeus. 100) Articulus delendus esse videtur. 101) αὐτοῖς? 102) Cod. πρεποσ. 103) Cod. αὐτόν. 104) Cod. προνοήσειε. 105) Cod. τῶν.

ἴσης ἀξιώσειαν φροντίδος. οὐδὲ λόγου τινὸς ἐπὶ ταῖς largitionalicαῖς αἰτίαις παρὰ τὰς ἔμπροσθεν διηγορευμένας αἰτίας παρέχεσθαι δυναμένου καὶ παρὰ γνώμην τῶν καθωσιωμένων παλατίνων τῆς εἰρημένης ἀρχῆς, τῶν ὅλως[105a]) σκυλλομένων ἐπὶ τῇ τῶν largitionalicῶν δημοσίων εἰσπράξει παρὰ τοῦ κατὰ καιρὸν αὐτῶν ἄρχοντος, ἀλλὰ καὶ ἔνθεν τῶν ἀσύλων χωρίων τῆς εἰσπράξεως γινομένης, καὶ τῶν ἄλλων ἁπάντων ὁμοίως ἐπὶ Λιβύης καὶ τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς Αἰγυπτιακῆς πόλεως πραττομένων[106]) ἐπὶ ταῖς largitionalicαῖς εἰσπράξεσι, καθάπερ εἰρήκαμεν δεῖν γενέσθαι ἐπὶ τῆς Ἀλεξανδρέων καὶ ἑκατέρας Αἰγύπτου προφάσει τῶν ἀρκαρικῶν εἰσπράξεων.

κα'. Οὔτε δὲ τὸν τῶν ναύλων λόγον οὔτε τὸν τῆς ἰδικῆς καὶ γενικῆς τραπέζης τοῦ δικαστηρίου τῆς σῆς ὑπεροχῆς ἔχειν τινὰ μετουσίαν παντελῶς πρὸς τὴν εἰρημένην τοῦ Λιβυκοῦ λιμιτοῦ ἀρχήν τε καὶ εἴσπραξιν ..... οὔσας[107]) τάς τε νῦν προστιθεμένας, τουτέστι τὸν Μαρεώτην καὶ τὸν Μενελαΐτην τὴν πόλιν τῶν[107a]) Αἰγυπτίων ἐπαρχίας, διότι φθάσαντες ἤδη διωρισάμεθα ὡς δεῖ[108]) πάντα τὸν κανόνα τόν τε ἐκ Λιβύης καὶ τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς πόλεως συντελούμενον καθ' οἱονδήποτε τρόπον ἐξ οἱουδήποτε τίτλου τῶν ἀνηκόντων εἰς τὴν ἀρχὴν τῆς σῆς ὑπεροχῆς εἰς ταύτας προχωρεῖν τὰς δαπάνας ἃς ἔμπροσθεν εἰρήκαμεν, τουτέστι τάς τε ἀποτροφὰς τῶν ἀρχόντων καὶ τῶν τάξεων, τάς τε στρατιωτικὰς τάς τε τῶν σολεμνίων· πάντων τῶν προφάσει τῶν largitionalicῶν εἰσφορῶν εἰρημένων ἡμῖν ἐκ τρόπου παντὸς κρατούντων. [§. α'.] ἐπειδὴ δὲ καὶ τούτου τιθέμεθα πρόνοιαν τοῦ μὴ τοὺς ἡμετέρους ὑπηκόους πολλὰ διαστήματα καὶ τὴν ἐντεῦθεν συντριβὴν ὑπομένειν ἀδικουμένους, ἄλλως τε[109]) διὰ τὸ τὸν Μαρεώτην καὶ γεί-

105a) ἢ τῶν ἄλλως? 106) Cod. εἰσπραττ. 107) Supple εἰς τε τὰς πρότερον ὑπ' αὐτοῦ ἐπαρχίας. 107a) τῆς? 108) Cod. καὶ δή. 109) Cod. ἀλλ' ὥστε.

τονα εἶναι τῆς Ἀλεξανδρέων, καί τινας τῶν ἐκεῖσε ταραττόντων ἀφικνουμένους[110]) εἰς τὸν Μαρεώτην μηκέτι δεδιέναι τὸν τῆς Ἀλεξανδρέων περίβλεπτον αὐγουστάλιον, θεσπίζομεν, ὥστε τὸν κατὰ καιρὸν λαμπρότατον τῆς Λιβύων πολιτικὸν ἄρχοντα ἄνδρα ἐπιλέγεσθαι οἰκείῳ κινδύνῳ σπουδαῖον καὶ τοῦτον ἐκπέμπειν τὸν αὐτοῦ τόπον ὑφέξοντα, ὃς καθιεῖται μὲν ἐν τῷ Μαρεώτῃ καὶ τῷ Μενελαΐτῃ τῇ πόλει, τῶν τε δικῶν χρηματικῶν καὶ ἐγκληματικῶν καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν τῇ περιοικίδι τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς πόλεως πραττομένων ἀκροάσεται καὶ τὰ προσήκοντα πράξει, καὶ εἴ τινες τῶν Ἀλεξανδρέων στασιώδεις φύγοιεν, τούτους καὶ συλλήψεται καὶ στελεῖ[111]) πρὸς τὸν περίβλεπτον αὐγουστάλιον, δημοσίαν ἐπιστολὴν πρὸς ἐκεῖνον ποιούμενος, ὥστε μηδὲν ἀνεκδίκητον τῶν οὕτως πραττομένων περιλιμπάνεσθαι. εἰ μέντοι φυγόντων τινῶν στασιωδῶν εἰς τὸν Μαρεώτην ὁ περίβλεπτος αὐγουστάλιος βουληθείη τούτους συσχεῖν, ἄδειαν ἕξει ἕνα τῶν ὑπ' αὐτοῦ κομμενταρησίων ἐκπέμπειν ἅμα δημοσίᾳ ἐπιστολῇ πρὸς τὸν πληροῦντα τὸν τόπον τοῦ λαμπροτάτου τῆς Λιβύων ἐπαρχίας ἄρχοντος, ὥστε προνοίᾳ αὐτοῦ καὶ κινδύνῳ σ[υν]έχεσθαι[112]) καὶ παραδίδοσθαι τοὺς ἀτακτήσαντας καὶ ἐπὶ τὴν Ἀλεξανδρέων ἐκ-

110) Foliorum quatuor in prototypo perversa ligatura effecit, ut librarius dum Codicem Venetum ex illo describeret cohaerentia separaret. in Veneto Codice quae hoc loco sequuntur ἀνάγκη πράττειν — τῷ τὴν αὐγουσταλίαν ἔχοντι παρέδωκεν ἀρχὴν (cap. 21 in fine usque ad cap. 23 pr. in vulgatis editionibus) folium tertium efficiebant, verba εἰς τὸν Μαρεώτην — ἢ καὶ αὐτοὶ οἱ τρακτευταὶ (cap. 23 pr. — §. 2 med.) folium primum, verba ταὐτὸ δὲ τοῦτο — αὐγουσταλίῳ (cap. 23 § 2 med. — cap. 24 §. 3 med.) folium quartum, denique verba ἢ οἱ σκρινιάριοι ad finem usque (cap. 24 §. 3 med. ad finem) folium secundum. genuinum ordinem horum foliorum nos primi restituimus. quodque folium prototypi lineas, quales supra in impressis habes, circiter 56—58 complectebatur: unde colligitur infra p. 556 not. 120 circiter 28 lineas deesse. 111) Cod. στέλλει. 112) Cod. σέχεσθαι.

πέμπεσθαι. ἀφορίζομεν γὰρ τῷ εἰρημένῳ τοποτηρητῇ καὶ εἴκοσι ταξεώτας τῆς τάξεως τῆς πειθομένης τῷ ἐπιχωρίῳ τῆς Λιβύων ἄρχοντι, καὶ στρατιώτας τῶν ἐκεῖσε ἱδρυμένων ἄχρι πεντήκοντα τὸν ἀριθμὸν, ὥστε αὐτὸν ἔχειν καὶ τοὺς ὑπακούοντας καὶ τους ὑπουργοῦντας, καὶ ἱκανὸν εἶναι τὰ προσήκοντα πράττειν[112a]). [§. β'.] ὑπουργήσουσι δὲ αὐτῷ[112b]) οἱ εἰρημένοι ταξεῶται καὶ στρατιῶται ἐπί τε τῇ καταστάσει, ἐπί τε τοῖς ἄλλοις ἅπασιν, ἅπερ .... ἢ[113]) τοῖς παρ' αὐτοῦ προβαλλομένοις εἰς τοῦτο ὅπερ καὶ φθάσαντες διετυπώσαμεν. πράξει δὲ τὴν πληναρίαν κατὰ τὸ ἄνωθεν παρ' ἡμῶν διατεταγμένον. ἔπειτα, ὅπερ ἑπόμενόν ἐστι τῷ πράγματι (φαμὲν δὴ τὸ τῶν ναύλων), ἐν φροντίδι καὶ κινδύνῳ παντὶ αὐτῷ τε καὶ τοῖς ἐπιχωρίοις ἄρχουσι καὶ ταῖς πειθομέναις αὐτοῖς[113a]) τάξεσι κείσεται, ὥστε τὰς πόλεις καὶ τοὺς τόπους καὶ τα πρόσωπα, ὅσα ὑπεθήκαμεν τῇ ὑποτεταγμένῃ τῷδε τῷ νόμῳ ἀπογραφῇ καὶ ἀφωρίσαμεν τῷ τῶν ναύλων τίτλῳ, εἰσπράττειν πάσης μειώσεως χωρὶς, καὶ ἀπαιτεῖν τὸ ἐντεῦθεν χρυσίον ἅπαν καὶ διδόναι τῷ τῶν ναύλων ἀποδέκτῃ εἴσω τῶν τεταγμένων καιρῶν κατ' οὐδὲν αὐτοὺς ὑπερβαίνοντα[113b]), ὥστε μὴ ἐμποδίσαι τῷ τῶν ναύλων λόγῳ, ὅπερ ἐστὶν αὖθις ἐμπόδισμα τῆς αἰσίας ἐμβολῆς. καὶ γὰρ δὴ καὶ ὁ ἐντεῦθεν κίνδυνος οὕτως αὐτὸν ὄψεται, ὥστε ἀναγκασθῆναι πᾶν ὅπερ ἂν μὴ ἐμπροθέσμως καταβάλοι τῷ τῶν ναύλων ἀποδέκτῃ, τοῦτο διπλάσιον ἀπαιτῆσαι[114]) αὐτόν τε καὶ τὴν αὐτοῦ τάξιν. [§. γ'.] τὰ δὲ ὅσα ἐκ τῆς παραδιδομένης αὐτῷ παρ' ἡμῶν χώρας εἰσφέρεται ταῖς τραπέζαις τῆς σῆς ὑπεροχῆς, ταῦτα διά τε τῆς τάξεως τῆς σῆς ὑπεροχῆς διά τε τῶν σκρινιαρίων καὶ τρακτευτῶν τῶν εἰρημένων ἐπαρχιῶν οἰκείῳ αὐτῶν[115]) κινδύνῳ ἀπαιτεῖσθαι βουλόμεθα ἐκ τῶν τόπων

112a) Cod. εἰσπράττειν. 112b) Scil. τῷ ἄρχοντι. 113) Nempe exciderunt nonnulla. 113a) Cod. αὐτῷ. 113b) Imo ὑπερβαίνοντι. 114) Agylaeus ἀπαιτεῖσθαι legi vult. equidem ἀποκαταστῆσαι praetulerim. 115) Cod. αὐτοῦ.

καὶ τῶν πόλεων καὶ προσώπων τῶν ὑποκειμένων τῷδε ἡμῶν τῷ θείῳ νόμῳ, καὶ σαφεστέραν ποιούντων τὴν τῆς εἰσπράξεως εὐκολίαν· αὐτοὶ γὰρ ταῦτα πράξουσι καὶ ἐνταῦθα πέμψουσι. [§. δ'.] καὶ οὔτε λόγον ἀσυλίας δώσει τὶς, εἴτε ὁ τὴν ἀρχὴν ἔχων εἴτε πόλεως ἐπίσκοπος εἴτε ὁ τῆς Ἀλεξανδρέων περίβλεπτος αὐγουστάλιος, εἰ μὴ πρόσταξις γένηται τοῦ θρόνου τοῦ σοῦ ταῦτα βουλομένη, ἢ καὶ αὐτοὶ οἱ τρακτευταὶ ἢ οἱ σκρινιάριοι ἢ οἱ τὸν τόπον αὐτῶν ἐπέχοντες τοῦτο αἰτήσουσιν, ἐπὶ τῆς αὐτῆς μέντοι προθεσμίας καὶ ἐπὶ τούτοις τοῖς ὅροις, ἐφ' οἷς ἂν ὁ θρόνος ὁ σὸς προστάξειεν ἢ[116]) καὶ αὐτοὶ βουληθεῖεν ταῦτα γενέσθαι· πλὴν εἰ μὴ τὸν λόγον ἐπὶ τούτῳ δοῖεν, ἐφ' οἷς εἴσω ῥητῶν [ἡμερῶν][117]) ἐξελθόντας αὐτοὺς ἐκτὸς τῶν ἱερῶν χωρίων πρόνοιαν θέσθαι τοῦ πᾶσι τρόποις πληρῶσαι τὸ δημόσιον, ἢ τὸ ἱκανὸν αὐτῷ ποιῆσαι, ὡς ἂν τοῦτο λαβεῖν οἱ[118]) σκρινιάριοι τοῦ δικαστηρίου τοῦ σοῦ οἱ περὶ τούτου κινδυνεύοντες ἕλοιντο. τὸν γὰρ παρὰ ταῦτα διδόμενον λόγον, οὐδὲ λόγον εἶναι βουλόμεθα, ἀλλὰ πανταχόθεν τὴν εἴσπραξιν καὶ ἔνδον τῶν ἱερῶν χωρίων ὑπομένειν τὸν λαβόντα μάτην τὸν τοιοῦτον λόγον, πρὸς τῷ καὶ τὸν παρασχόντα τοῦτον ὑποκεῖσθαι ταῖς ἐντεῦθεν εἰσπράξεσί τε καὶ μεθοδείαις, καὶ κληρονόμους τε αὐτοῦ καὶ διαδόχους καὶ πράγματα. [§. ε'.] εἰ δέ τις τῶν θεοφιλεστάτων ἐπισκόπων παρὰ τὰ εἰρημένα δοίη λόγον, ἀνάγκην ἕξουσιν οἱ τῆς ὑπ' αὐτὸν ἐκκλησίας θεοφιλέστατοι οἰκονόμοι τε καὶ ἔκδικοι τὴν ἐντεῦθεν συμβαίνουσαν θεραπεῦσαι τῷ δημοσίῳ ζημίαν, πρότερον μὲν οἴκοθεν καὶ ἐκ τῆς ἰδίας αὐτῶν ὑποστάσεως, εἰ δὲ ἀποροῖεν, καὶ τῶν τῆς ἁγιωτάτης ἐκκλησίας πραγμάτων. εἰ δὲ τολμήσαιεν[119]) παρὰ γνώμην τοῦ θεοφιλεστάτου ἐπισκόπου δοῦναί τινα λόγον, οὐ μόνον ἄκυρον παντελῶς ἔσται τὸ γενόμενον, ἀλλὰ καὶ αὐτοὶ τὴν ζημίαν θεραπεύσουσι τῷ δημοσίῳ, πρὸς τῷ εἴ τι τοιοῦτο

116) Cod. *εἰ.* 117) Cod. *εἰσορητόν.* emendationem sumsi ex cap. 10 pr. 118) Cod. *λάβοιεν.* 119) Cod. *τολμήσειε.*

[illegible] πάντως αὐτοὺς [illegible] ἔχουσι καὶ τῆς [illegible] περὶ τὰ διη- [illegible] ταῖς πράξεις [illegible] ὄντες
— — — — — — — — — — — — — —[120])
[illegible] τῆς [illegible] χρείαν· ἐκ- [illegible] ταῦτα[120a]) [illegible] τῆς [illegible] διαιρέσεως [illegible]

[illegible] ἡμᾶς [illegible] δύο [illegible] [illegible] [120b] δὲ τούτου καὶ οἱ [illegible] καὶ ἔστι καὶ [illegible] ἂν ει[121]) καὶ [illegible] τῆς [illegible] τῆς [illegible] ὅπως καὶ [illegible] δέδομεν γὰρ [illegible] — — — — — — —[122]) [illegible] ἄνωθεν [illegible] [123]) δὲ αὐτὸ [illegible] καὶ [illegible] καὶ [illegible] καὶ [illegible] …. [124] [illegible] τὸν [illegible] [illegible]

120 In Cod. hic est lacuna dimidiae paginae, suppleri pro parte potest ex cap. 1? §. 3. 120a τοῦτο? 120b [illegible] 121 Cod. ει[illegible] 122 In Cod. lacuna est sex linearum. 123 ἔσται? 124 Lacuna non apparet in Cod.

καὶ τῷ παρ' ἡμῶν φιλοτιμουμένῳ τροφίμῳ τῆς Ἀλεξανδρέων, [οὐ]δεμιᾶς[125]) ἀναβολῆς περὶ τούτων γινομένης, οἷα καὶ παντὸς....[126]) καὶ τὴν πειθομένην αὐτῷ τάξιν· κινδυνευόντων καὶ τῶν στρατιωτῶν τῶν ἐπὶ τοῖς τόποις ὄντων καὶ τῶν τριβούνων καὶ πάσης πολιτικῆς καὶ δημοσίας βοηθείας, εἰ μὴ πρὸς ταῦτα ἀμύνοιεν. δέον τὸ μὲν τῆς ἐνταῦθα ἐκπεμπομένης αἰσίας ἐμβολῆς μέτρον ἐμβληθῆναι μὲν παρ' αὐτοῦ ταῖς ποταμίαις ναυσὶν αὐτῷ τῷ ἔργῳ μέχρι τῆς ἐννάτης τοῦ αὐγούστου μηνὸς, καὶ τὴν ἐπ' αὐτῷ πληναρίαν παρ' αὐτοῦ πραχθῆναι, καὶ κατακομισθῆναι δὲ αὐτὸν τὸν σῖτον εἰς τὴν Ἀλεξανδρέων μέχρι τῆς δεκάτης τοῦ σεπτεμβρίου μηνὸς, καὶ παραδιδόναι τῷ περιβλέπτῳ αὐγουσταλίῳ ἢ[127]) τοῖς παρ' αὐτοῦ εἰς τοῦτο προβαλλομένοις· τοῦ δὲ παρ' ἡμῶν φιλοτιμουμένου τῇ μεγάλῃ τῶν Ἀλεξανδρέων πόλει τροφίμου μέχρι τῆς πεντεκαιδεκάτης τοῦ ὀκτωβρίου μηνός. [§. β'.] ἐκεῖνο γὰρ τῶν ἀνωμολογημένων ἐστὶν, ὡς εἰ μὴ κατὰ τὰς εἰρημένας προθεσμίας πᾶς ὁ σῖτος τῆς τε αἰσίας ἐμβολῆς, τῆς τε ἐνταῦθα στελλομένης τοῦ τε τροφίμου τῆς Ἀλεξανδρέων, ἐκπεμφθείη κατὰ τὴν Ἀλεξανδρέων, καὶ ἅπας παραδοθῇ τῷ περιβλέπτῳ αὐγουσταλίῳ, καὶ οὐ πᾶν αὐτὸς προστήσοιτο παντὸς....[128]) κατὰ τριῶν ἀρτάβων ἑκάστου νομίσματος τοῦ σίτου τὸ ἐλλεῖπον καὶ μὴ παραδοθὲν μέτρον. ὁ δὲ κίνδυνος οὗτος οὐ μέχρι τῆς αὐτοῦ στήσεται ζωῆς οὐδὲ μέχρι τῆς ἀρχῆς, ἀλλὰ καὶ ἰδιώτης γενόμενος καὶ τελευτήσας μακροτέραν τῆς αὐτοῦ τελευτῆς ἕξει τὴν ἀπαίτησιν. κληρονόμοι τε γὰρ αὐτοῦ καὶ τὰ αὐτοῦ πράγματα ταῖς τοιαύταις ἐνέξονται δυσκολίαις, τῆς ἐκείνου ῥᾳθυμίας διηνεκῆ διδούσης κατ' αὐτῶν κίνδυνόν τε καὶ φροντίδα καὶ εἴσπραξιν,

125) Cod. δεμιᾶς pro οὐδεμ. 126) Lacunam (cuius tamen signum in Cod. nullum est) sic expleverim: κινδύνου αὐτὸν ἀφορῶντος. 127) ἢ deest in Cod. 128) Lacuna in Cod. non est notata. forte οὐκ ἂν αὐτὸς προστήσοιτο παντὸς..... ἀπαιτηθήσεται πάντως — ὑπὲρ ἑκάστου νομ. conferas enim cap. 6. 23.

ἕως ἡ τοῦ παντὸς χρέους κατὰ τὸν εἰρημένον τρόπον γένηται διάλυσις.

κγ'. Καὶ οὐδὲ καινίζομέν τι τῶν μὴ μέχρι νῦν γενομένων ἐπιζητοῦντες. ἴσμεν γάρ, ὡς καὶ Ἰωάννης ὁ ἐνδοξότατος κόμης[129]) τοῦ τῆς μεγαλοπρεποῦς μνήμης παῖς πρὸ τῆς συμπληρώσεως τοῦ αὐτοῦ[129a]) μηνὸς τῆς ἄρτι παρελθούσης πρώτης ἐπινεμήσεως τὸν πάντα σῖτον εἰσήνεγκεν εἰς τὴν Ἀλεξανδρέων, καὶ τὸ τηνικαῦτα τῷ τὴν αὐγουσταλίαν ἔχοντι παρέδωκεν ἀρχήν. ταὐτὸ δὲ τοῦτο ἔπραξε καὶ ὁ νῦν τῆς αὐτῆς ἀρχῆς ἀντεχόμενος, τουτέστιν Ὡρίων ὁ ἐνδοξότατος....[130]) ἅστινας πληναρίας, τήν τε ἐπὶ Ἰωάννου τήν τε ἐπὶ Ὡρίωνος γενομένην, ἐκπεμφθείσας ἡ σὴ ὑπεροχὴ καὶ ἡμεῖς ἐφείδομεν. ῥαθυμίας οὖν ἔσται μόνης καὶ[131]) προδοσίας τὸ μὴ καὶ τοσούτοις γενομένοις ἀκολουθῆσαι. ὥστε[132]) καὶ μείζονα καὶ ἰσχυρότερον αὐτὸν ἐποιήσαμεν, καὶ τὴν τοῦ αὐγουσταλίου δεδώκαμεν αὐτῷ τάξιν τε καὶ δικαιοδοσίαν· οὐ γὰρ ἂν εἴη φορητὸν τὸ μείζονος μὲν ἐξουσίας δράξασθαι, ἐλάττονα δὲ καὶ τῶν πρὸ αὐτοῦ καταστῆναι, καὶ ὑποθεῖναι τήν τε ὅλην πολιτείαν κινδύνῳ, ἑαυτόν τε ὀλέθρῳ διηνεκεῖ, καὶ τῆς ἀρχῆς ἐκπίπτοντα καὶ ἐναγόμενον καὶ [ἐν] ἰδιώτῃ βίῳ, καὶ μετὰ τὴν τελευτὴν διὰ τῶν αὐτοῦ κληρονόμων τὸ[133]) χρέος ἐκλύοντα ἕως κατὰ τριῶν ἀρτάβων σίτου[134]) ἅπαν τὸ μέτρον τὸ μὴ ἐκκομισθὲν ἀποσωθείη τῷ δημοσίῳ διὰ τοῦ θρόνου τῆς σῆς ὑπεροχῆς εἰσπραξαμένου.[135])

κδ'. Ἄρξει δε καὶ στρατιωτῶν καὶ ἰδιωτῶν, τῶν μὲν κατὰ τὸ τῆς στρατιωτικῆς ἀρχῆς δίκαιον, τῶν δὲ κατὰ τὴν τοῦ αὐγουσταλίου δικαιοδοσίαν, δηλαδὴ ὑποκειμένων[136]) αὐτῷ (καθάπερ εἰπόντες ἔφθημεν) τῶν ἐπιχωρίων ἀρχόντων, οἷς

129) Excidit nomen patris. 129a) αὐγούστου? 130) Videntur quaedam deesse. 131) Cod. καὶ non habet. 132) ἄλλως τε? 133) Cod. καὶ τό. 134) Excidisse videtur ὑπὲρ ἑκάστου νομίσματος. cf. c. 6. 22 §. 2. 135) εἰσπραξόμενον? 136) Cod. ὑποκειμένην.

τῶν εἰρημένων ἐπαρχιῶν μέλει, καὶ τῶν πειθομένων αὐτοῖς τάξεων, καὶ πάσης πολιτικῆς καὶ δημοσίας βοηθείας, καὶ παντὸς ἄρχοντος καὶ πολιτευομένου[137]*), καὶ ἁπλῶς ἁπάντων κατὰ τὰς ἐπαρχίας ἐκείνας ἢ ὄντων ἢ οἰκούντων ἢ παγαρχούντων ἢ δημόσια καθ' οἱονοῦν τρόπον χειριζόντων, οὓς ἕξει παῤῥησίαν καὶ ἄγειν πρὸς ἑαυτὸν κἂν*[138]*) εἰς ἑτέρας ἐπαρχίας οἰκοῦσιν* [*μὴ*][139]*) ὑποκειμένας αὐτῷ, ἐπὶ μόναις μέντοι ταῖς δημοσίαις εἰσπράξεσιν, ὅπερ ποιήσει κἂν εἰ ἐν τοῖς αὐτοῦ τόποις ὄντες εἶτα*[140]*) ἀποφύγοιεν. οὕτω γὰρ ἔσται πανταχόθεν ἡ τῶν δημοσίων εἴσπραξις ἀπροφάσιστος.* [§. *α'*.] *εἰ δέ τινες τῶν παγάρχων, ὑπὲρ ὧν καὶ κινδυνεύει, ἀγνώμονες περὶ τὴν αἰσίαν σιτοπομπίαν ἢ περὶ τὰ*[141]*) τοῖς ναύλοις καὶ ταῖς κατὰ χώραν δαπάναις ἐπιδιδόμενα εὕροι, τούτους οὐκ ἀποκινήσει μέν, ὑπὸ ἀσφάλειαν δὲ καταστήσει, καὶ ἑτέρους ἀναζητήσει πρὸς τὸ πρᾶγμα ἐπιτηδείους, καὶ μηνύσει ταῦτα τῷ θρόνῳ τῆς σῆς ὑπεροχῆς, ὥστε παρὰ σοῦ καὶ τῶν ἀεί σοι*[142]*) καὶ τὴν αὐτὴν ἐχόντων ἀρχὴν εἰς τὴν βασιλείαν τὸ πρᾶγμα φερόμενον δέξασθαι τὴν ἐκεῖθεν διοίκησιν, τῶν μὲν ἐπ' ἀγνωμοσύνῃ κατεγνωσμένων εἰ συνίδοιμεν*[143]*) ἀπελαυνομένων, τῶν δὲ ἐπιλεγέντων ἐν τῇ χώρᾳ* [*εἰς*][144]*) τοῦτο, εἴ γε*[145]*) ἡμεῖς ἐπιτηδείους εἶναι κρίναιμεν, ἀντικαθισταμένων καὶ εἰς τὰς ἐκείνων παγαρχίας τε καὶ οὐσίας ἐμβαινόντων, θείας τε ἡμῶν καὶ εὐσεβοῦς*[146]*) προστάξεως τοῦ θρόνου τοῦ σοῦ περὶ τούτου γινομένης.* [§. *β'*.] *βουλόμεθα τοίνυν κατὰ πρώτην τάξιν αὐτὸν προνοεῖν τῆς αἰσίας ἐμβολῆς καὶ τοῦ τροφίμου τῆς Ἀλεξανδρέων, ὥστε ἐκπέμπειν αὐτὸν οἰκείῳ κινδύνῳ καὶ τῶν ἐπιχωρίων ἀρχόν-*

137) Cod. *καὶ πᾶς ἄρχων καὶ πολιτευόμενος.* emendavit Agylaeus. 138) Cod. *καί.* 139) Agylaeus potius *οὐχ* addi vult. 140) Cod. *εἴτε.* emendavit Osenbrüggen. 141) Cod. *τε.* 142) Locus corruptus. Agylaeus *καὶ* deleri vult. forte *ὡς εἰκός.* 143) Cod. *συνοίδ.* 144) Recte supplevit Osenbrüggen. 145) Cod. *δέ.* 146) Excidit aliquid, veluti *κρίσεως καί.*

των καὶ τῶν πειθομένων αὐτοῖς τάξεων κατὰ τὴν Ἀλεξανδρέων, καθ' ὅσον ἐπ' αὐτὸν τεταγμέναι χῶραι τε καὶ πόλεις[147]) κινδυνευόντων καὶ τῶν λαμπροτάτων τριβούνων καὶ πάσης πολιτικῆς καὶ δημοσίας βοηθείας περί τε τὴν ζώνην καὶ τὴν περιουσίαν καὶ τὴν σωτηρίαν αὐτὴν, εἰ μὴ ἐπαμύναιεν. ἀλλὰ τῆς μὲν ἐνταῦθα εὐτυχοῦς σιτοπομπίας μέχρι δεκάτης τοῦ σεπτεμβρίου μηνὸς ἑκάστης ἐπινεμήσεως ....[148]) εἰ μὴ ἐκπέμψει καὶ παραδώσει κατὰ τὴν Ἀλεξανδρέων πόλιν τῷ ταύτης αὐγουσταλίῳ ἢ τοῖς παρ' αὐτοῦ προβαλλομένοις. [§. γ'.] τὸν δὲ φιλοτιμούμενον παρ' ἡμῶν τῷ τροφίμῳ τῆς Ἀλεξανδρέων πόλεως μέχρι πεντεκαιδεκάτης τοῦ ὀκτωβρίου μηνὸς στέλλειν καὶ παραδώσειν τῷ αὐτῷ περιβλέπτῳ αὐγουσταλίῳ[149])

147) Legerim καθ' ὅσον αἱ — πόλεις τοῦτον εἰσφέρουσι. 148) Nimirum complura exciderunt, quae pro parte suppleri possunt ex cap. 22 §. 1. 2. 149) Reliqua desunt.



Addenda et emendanda.

Pag.

III lin. 4. (quatuor quidem — c. LII. LXXXII. CXLII. CLIV — epitomatae).

1 „ 12 *καὶ καταθεμένην?*

7 ad not. 3 adde: const XCVI c. 1.

13 not. 6. Lectio Ven. bene habet.

25 lin. 13 dele comma post *ἐπιδεῖν*. — Lin. 16 post *ἀλήθειαν* punctum excidit.

36 ad. not. 17 adde: sed cf. const. XLVIII c. 45 §. 1.

42 lin. 11 lege *νενομοθετήσθω*. — Lin. ult. lege *τοιαῦτα, ὁποῖα*.

52 „ 17 lege *οὐδεμιᾷ*.

57 not. 29 delenda est: ipsa const. XII intellegitur. — Lin. 23 lege *λειτουργίαν*.

58 ad not. 32. In Auth. sic est: „Scripta exemplaria Eufremio sanctissimo archiepiscopo Theopolitano. Scripta exemplaria [Petro] sanctissimo episcopo Hierosolymorum. Scripta exemplaria Iohanni viro gloriosissimo praefecto sacrorum praetoriorum secundo exconsuli et patricio. Cui etiam hoc adiectum est: Et tua quoque celsitudo haec sciens una cum semper suscepturis sedem tuam haec servare festinet et si denuntiatum fuerit aliquod tale delictum prohibeat, et maxime quaecunque in ordinationibus curialium vel officialium interdicta sunt: nuntiet autem etiam nobis ut decens super eis imponatur correctio: utatur quoque praeceptis ad clarissimos provinciarum iudices ut et ipsi quae fiunt inspicientes non permittant aliquid extra hoc quod a nobis constitutum est fieri: imminebit enim eis et poena quinque librarum auri si quidem et ipsi praevaricari videntes non denuntiaverint aut sedi tuae aut imperio, ut undique decens ornatus ordinationis gradui conservetur. Scripta cum adiectione Dominico.“

60 lin. 4 lege *τῆς ἡμετέρας*.

62 „ 5 a fine *ὡς ἀλήτης εἰς δουλείαν?*

Pag.
74 not. 18[a]: γινώσκουσαν — ἡμῖν?
76 lin. 15 lege: ᾤετο, κατὰ ποίαν πρόφασιν — — κατελίμπανεν; Ita Schöll optime.
80 „ 6 lege Ἄφρων.
81 „ 7 a fine αὐτῆς τῆς vel τοιαύτης pro τῆς αὐτῆς?
83 „ 2 ad διατάξει nota l. 24 §. 5 C. de SS. eccles. (?)
91 „ 2 αὐτοὺς suspectum est, licet Auth. firmetur.
92 „ 11 τὸ πρᾶγμα τὸ παρὰ τ. ν. γ.? — Lin. 24 Schöll. Auth. sequutus ὡς εἰς κοιν. legit. recte, nisi ὡς positum existimes pro εἰς sive πρός.
94 „ 8 excidit ὑπηκόους post ἡμετέρους.
99 „ 22 Hal. rectius αὐτοῖς.
101 „ 15 colon post γενήσεται ponendum est.
103 not. 38 nisi forte ἐστὶ pro ἐπὶ legendum sit.
110 lin. 2 comma post χώρᾳ delendum.
125 „ 2 qui primores in civitate?
127 not. 5 rigorem?
143 lin. 14 lege νεμομένων.
148 „ 10 omnino legendum πράττει τε.
151 lin. 2 τι pro τε?
170 „ 1 ἀνδρείας?
171 „ 12 Hal. rectius πολεμικά.
193 „ 19 πόλεμον pro πόλιν?
195 „ 15 post parenthesin comma excidit.
197 „ 9 προσηγορίαν sive σανίδας ἢ τίτλους? nisi hoc vel simile quid legeris, ἢ ante τίτλους delendum est. mox forte ἀλλοτρίους legendum.
199 „ 8 CP. pro C. legendum.
204 „ 19 post παλατίου verbum πέμπεσθαι vel simile quid necessario supplendum est.
205 not. 1 c. XLV pro XLIV laudanda erat.
207 lin. 17 lege: *sociatae* pro societates.
208 „ 23 *satis* pro sic?
210 „ 7 lege *earum*. — Ibid. not. 7 adde: Heimb. *poterunt* legere maluit. an: prosit?
211 „ 11 lege *violare*. — Ibid. lin. 25 lege φωνῇ.
218 not. 14 trahenda est ad vocem πάντως lin. 23.
221 „ 4 post Theophanem laudanda erat c. LVI.
225 ad not 10. Nunc malim legere αὐτῇ δικ. ἰδ. καὶ τάξις.

ıg.
33 lin. 9 παρατρεπομένας?
37 „ penult. lege c. CLVIII.
44 not. 6ª adde: vel. αὐτοῦ τῆς?
48 lin. penultima textus post ὀφειλόμενοι punctum, lin. ultima post διαιρουμένου comma ponatur.
55 „ 2 ἀπογραφήν? — lin. 19 post πειρωμένους punctum ponatur.
56 „ 20. 21 τὸ — καταβεβλημένον?
59 „ 12 βεβαιώσειεν ὕστερον, καί? ut δὲ cum Basil. omittatur.
70 „ 17 τὰ πολιτικά?
33 „ 4 a fine textus: ταῦτα?
34 not. 6 const. XLIV, not. 9 et 10 const. XLV excitanda erat.
91 lin. 22 comma post κερδῶν delendum est.
92 „ 20 καθ' αὐτόν?
97 „ 5 a fine ad φυλάξαιεν supplendum vel subintelligendum τοὺς προτέρους.
11 „ 25 scribe δωρεάν.
22 „ 2 προειληφυίαις lege.
36 not. 1 c. LIX excitanda erat.
37 lin. 4 lege cum Hal. καὶ κατὰ τοῦ μανδάτωρος, — et lin. 10 similiter, nisi malueris legere: κατὰ τοῦ τοῦ πρωτοτύπου μανδάτωρος καὶ κατὰ τοῦ τοῦ πρωτοτύπου ἐγγυητοῦ.
43 „ 15 καθισταίη.
45 „ 25 εὐσχήμονος?
51 in fine not. 3 adde: imo τὰ οἰκήματα venduntur pretio tali quale efficitur si τὰ στεγονόμια i. e. pensiones quinquaginta annorum addendo computes.
55 lin. 19 in fine comma ponendum est, nam illi ἔχοντος μὲν respondet c. 2 πλὴν ἀλλ'.
57 not. 8 praeter c. LIV laudanda erat c. LIII.
76 lin. 10 εἰ pro εὖ ponendum.
33 not. 16 et pag. 384 not. 20 delendae sunt.
34 „ 17 dele εἰ τὰ ἐκείνων, et pone εἰ μέν.
90 lin. 6 lege καινῷ.
94 „ 6 ταύτης (sc. τῆς στατίονος) pro τούτου?
97 not. 4 pertinet ad lin. 16 v. νενομοθέτηται.
98 lin. 6 a fine ὀρθόδοξον pro ὀρθόν?
00 not. 3 adde: sive ἐκποιουμένας?

Pag.
403 lin. 11 *περάμασι?*
412 „ 12 *γένηται.*
427 „ 3 comma post *γράμμασιν* et not. 4 verba „imo—crediderim" delenda sunt. namque oratio sic procedit: *εἰ κελευσθείη, τὸν δικαστὴν τοιοῦτό τι πρᾶξαι.*
439 ad not. 2. Auth. anno II ind. 1.
441 „ 21 *κινδυνεύσεις?*
446 „ 5 post *ἐγχειρ.* colon ponendum est.
447 not. 12ª lege *τὸ αὐτῷ πρ. ὑπηρετοῦν.*
448 lin. 16 *ἢ καί?*
449 „ 3 *καὶ εἰκονισμένον τοῦ κτλ.?* ut de novo feretro picturis sive sculpturis ornando sermo sit.
449 not. 19ª adde: etiam Auth. decanis. malui tamen Hal. sequi. mox legerim *διὰ* vel *εἰς τὰς κλίνας.*
453 „ 5 lege 9, 19.
459 lin. 21 *κρατεῖ?*
464 „ 15 hac constitutione — valitura?
473 „ 8 *ἅμα τῷδε?*
481 not. 3ª adde: nisi per graecismum pro *ἀπαγορεύομεν* dictum sit.
489 lin. 16 lege *ἀκοσμότεραι.*
495 „ 3 a fine. quid si *ἀδικίαν* pro *ἀπορίαν* legamus?
497 „ 28 excidit *παραγενομένων* post *ἐπὶ χώρας.*
499 „ 11 a fine Auth. videtur habuisse *θεραπείαν.* quid? si legamus *ταύτῃ θεραπείαν γενομένην.*

500 „ 4 lege *Ἰλλυριοῖς.*
502 „ 7 *τιμὴν* pro *τύχην?*
506 „ 9 *αὐτός?*
516 „ 25 scilicet *τῶν* in Ven. omittitur.
526 „ 13 addendum erat *ὀρδιναρίῳ.*
530 „ 27 post *ἔχει* lacunam statuas necesse est.
531 ad not. 6 adde: forte *τῶν ἐνδοξοτάτων καὶ ἀνδρειοτάτων στρατηγῶν τ. π. τοῦ τε τῆς Ἑῴας.*
533 lin. 7 omnino legendum *πλοίοις.*
534 „ 5 *ὡς ἂν αὐτοῖς?*
536 „ 6 a fine *τῶν δημοσίων?*
538 ad not. 30. forte praestat legere *οὐκ ἔσται κυρία.*
539 lin. 15 *παντός?*

	Mk.	Pf.
Euripides' Medea. Von N. Wecklein. 2. Aufl.	1	80
— **Iphigenia im Taurierland.** Von N. Wecklein	1	50
— **die Bacchen.** Von N. Wecklein	1	50
Herodotos. Von Dr. K. Abicht. I. Band. 3. Aufl. 1. Heft. Buch I. nebst Einleitung und Uebersicht über den Dialekt 1 Mk. 80 Pf. 2. Heft. Buch II	1	50
— II. Band. Buch III. u. IV. 2. Aufl.	2	40
— III. Band. Buch V. u. VI. 2. Aufl. IV. Band. Buch VII. 2. Aufl. à	1	80
— V. Band. Buch VIII. u. IX. 2. Aufl. Mit 2 Karten	1	80
Homer's Odyssee. Von K. Fr. Ameis und C. Hentze. 2 Bände in 4 Heften. 6. u. 7. Aufl. Jedes Heft à 6 Gesänge	1	35
— — Anhang. 1. Heft 1 Mk. 50 Pf. 2., 3. u. 4. Heft à	1	20
— **Ilias.** V. K. Fr. Ameis. 1.u.2.Hft. à 90 Pf. 3.u.4.Hft. u. II. Bd. 1. u. 2. Hft. à	1	20
— — Anhang. 1. Heft 1 Mk. 50 Pf. 2. Heft 75 Pf. 3., 4. u. 5. Heft à	1	20
Homer's Ilias. Von J. La Roche. 6 Hefte, je 4 Gesänge. 1—6. Heft. 2. Aufl. à	1	50
Horaz, Oden und Epoden. Von C. W. Nauck. 10. Aufl.	2	25
— **Satiren und Episteln.** Von G. T. A. Krüger. 9. Aufl.	2	70
— **Sermonen.** Von A. Th. H. Fritzsche. 2 Bände	4	40
Isocrates' ausgewählte Reden. Von O. Schneider. I. Bdchn.: Demonicus. Euagoras, Areopagiticus. 2. Aufl.	1	20
— — II. Bändchen: Panegyricus und Philippus. 2. Aufl.	1	50
Livi, Titi, ab urbe condita liber I. Von M. Müller	1	—
— — liber II. Von M. Müller	1	50
— — lib. XXI (2. Aufl.) u. XXII. Von L. Wölfflin. Jedes Buch à	1	20
— — lib. XXIV. Von J. Müller. ℳ 1.— Buch XXV von dems.	1	20
— — lib. XXVI. Von F. Friedersdorff	1	20
Lucian, ausgewählte Dialoge. Von C. Jacobitz. I. Bdchn.: Traum. Timon. Prometheus. Charon. 2. Aufl.	1	—
— — II. Bdchn.: Die Todtengespräche. Göttergespräche. Der Hahn	1	20
— — III. Bdchn.: Demonax. Der Fischer. Anacharsis	1	20
Lykurgos. Von C. Rehdantz	2	25
Lysias' ausgewählte Reden. Von H. Frohberger. I—III. Bändchen	7	50
— — kleinere Ausgabe in 1 Band [oder 2 Heften à 1 Mk. 50 Pf.]	3	—
Ovid's Metamorphosen. Von J. Siebelis. 2 Hefte. 11. u. 9. Aufl. à	1	50
— **Fasten.** Von H. Peter. 2. Aufl. 2 Hefte	3	60
Phaedri fabulae. Von J. Siebelis. 5. Aufl. Von F. A. Eckstein	—	75
Plato's ausgewählte Schriften. I. Bändchen: Die Vertheidigungsrede des Sokrates. Kriton. Von Chr. Cron. 7. Aufl.	1	—
— — II. Bändchen: Gorgias. Von J. Deuschle. 3. Aufl.	1	80
— — — Anhang	—	90
— — III. Bändchen: Laches. Von Chr. Cron. 3. Aufl.	—	60
— — III. Bändchen, 2. Heft: Euthyphron. Von M. Wohlrab. 2. Aufl.	—	45
— — IV. Bändchen: Protagoras. Von J. Deuschle. 3. Aufl.	1	20
— — V. Bändchen: Symposion von Hug	3	—
— — VI. Bändchen: Phaedon von Wohlrab	1	50
Plautus' ausgewählte Komödien. Von E. J. Brix. I. Trinummus. 3. Aufl.	1	20
— — II. Bändchen: Captivi. 3. Aufl. III. Bändchen: Menaechmi. 3. Aufl. à	1	—
— — IV. Bändchen: Miles gloriosus	1	50
Plutarch's Biographien. Von O. Siefert. I. Bd.: Philopoemen u. Flamininus	—	90
— — II. Bändchen: Timoleon und Pyrrhos. 2. Aufl.	1	50
— — III. Bändchen: Themistocles und Pericles. Von Fr. Blass	1	20
— — IV. Bändchen: Aristides und Cato. Von Fr. Blass	—	90
— — V. Bändchen: Agis und Kleomenes. Von Fr. Blass	—	90
— — VI. Bändchen: Tiberius u. Gajus Grachus. Von Fr. Blass	—	90
Quintiliani institutionis orat. liber X. Von Dr. G. T. A. Krüger. 2. Aufl.	—	75
Sophokles. Von Gust. Wolff. I—IV. Theil: Aias. 2. Aufl. — Elektra. 3. Aufl. — Antigona. 3. Aufl. — König Oidipus. (Von L. Bellermann) à	1	20
Supplementum lectionis Graecae. Von C. A. J. Hoffmann	1	50
Tacitus' Historien. Von K. Heraeus. 2. u. 3. Aufl. 2 Bde. à	1	80
— **Annalen.** Von A. A. Draeger. 2. u. 3. Aufl. 2 Bände	4	65
— **Agricola.** Von A. A. Draeger. 3. Aufl.	—	60
— **Dialogus de oratoribus.** Von G. Andresen. 2. Aufl.	—	90
Terenti Hauton Timorumenos. Von W. Wagner. **Phormio.** Von Dziatzko. à	1	20
— **Phromio.** Von Dziatzko. Mk. 1.20. Adelphoe	1	50
Theokrit's Idyllen. Von A. T. H. Fritzsche. 3. Aufl. Von Hiller.	2	70
Thukydides. Von G. Böhme. 3. u. 4. Aufl. 4 Hefte. Jedes Heft à	1	50
Vergil's Aeneide. Von K. Kappes. 4 Hefte. 2. Aufl. à	1	20
— **Bucolica und Georgica.** Von K. Kappes	1	50
Xenophon's Anabasis. Von F. Vollbrecht. 6. Aufl. 2 Bde. à	1	60
— **Cyropädie.** Von L. Breitenbach. 3. Aufl. 2 Hefte. à	1	50
— ***Griechische Geschichte.*** Von B. Büchsenschütz. 3. Aufl. 2 Hefte à	1	5[illegible]
— ***Memorabilien.*** Von R. Kühner. 2. Aufl.	1	[illegible]

LIPSIAE TYPIS B. G. TEUBNERI.

Frontinus	Mk. 1	50
Gajus	„ 2	70
Gellius, 2 voll.	„ 3	30
Hieronymus de viris inlustr.	„ 2	40
Historia Apollonii regis Tyri	„ 1	—
Horatii carmina	„ 1	—
Hygini Grom. liber	„ —	75
Incert. auct. de Const. Magno	„ —	60
Jurisprudentiae anteinst. reliq.	„ 6	75
Justinianus	„ 1	—
Justinus	„ —	90
Juvenalis satirae	„ —	45
Livii opera, 6 voll. (à 1 Mark)	„ 6	—
Lucretius	„ 1	50
Macrobius	„ 5	40
Martialis epigrammata	„ 1	50
Martianus Capella	„ 4	50
Mela, Pomponius	„ 1	20
Metrologici scriptores, 2 voll.	„ 5	10
Mureti scripta selecta, 2 voll.	„ 2	40
Ovidii opera, 3 voll.	„ 2	90
Panegyrici latini	„ 3	60
Persius	„ —	30
Phaedri fabulae	„ —	30
Plauti comoediae, 2 voll.	„ 2	70
Plini epistolae	„ 1	20
Plinii nat. hist., 6 voll.	„ 13	20
Plinius et Gargilius	Mk. 2	70
Poetae latini min. Vol. I—III	„ 7	50
Porphyrion	„ 4	20
Propertii carmina	„ —	60
Quintiliani inst., 2 voll.	„ 2	40
Quintiliani inst., lib. X	„ —	30
Rutilius Namatianus	„ —	75
Sallustius	„ —	45
Scriptores hist. Aug., 2 voll.	„ 5	10
Senecae opera philos., 3 voll.	„ 7	80
Senecae tragoediae	„ 4	50
Seneca rhetor	„ 4	50
Statius. Vol. I. **Siluae**	„ 1	80
— Vol. II. Fasc. I. **Achilleis**	„ —	75
Suetonius	„ 1	50
Taciti opera, 2 voll.	„ 2	40
— **libri minores**	„ —	45
Terenti comoediae	„ 1	20
Tibulli carmina	„ —	30
Ulpianus	„ —	75
Valerius Flaccus	„ 1	50
Valerius Maximus	„ 3	75
Velleius Paterculus ed. Halm	„ 1	—
Vegetius	„ 3	—
Virgilii opera	„ 1	35
— **Bucolica et Georgica**	„ —	45
— **Aeneis**	„ —	90

Schulausgaben griechischer und lateinischer Klassiker

mit deutschen erklärenden Anmerkungen.

	Mk.	Pf.
Aeschylos' Agamemnon. Von Rob. Enger und Gilbert. 2. Aufl.	2	25
— **Perser.** Von W. S. Teuffel. 2. Aufl.	1	20
— **Prometheus.** Von N. Wecklein. 2. Aufl.	1	80
Anthologie aus den Lyrikern der Griechen. Von E. Buchholz. 2 Bdchn.	3	—
Aristophanes, die Wolken. Von W. S. Teuffel	1	50
Arrian's Anabasis. Von Dr. K. Abicht. 2 Hefte. Mit 1 Karte	4	65
Caesaris commentarii de bello Gallico. Von A. Doberenz. 7. Aufl.	2	25
— — **de bello civili.** Von A. Doberenz. 4. Aufl.	1	80
Chrestomathia Ciceroniana. Von C. F. Lüders. 2. Aufl.	2	70
Ciceronis de officiis libri tres. Von J. v. Gruber. 3. Aufl.	1	50
— **Laelius.** Von G. Lahmeyer. 4. Aufl.	—	60
— **Cato major.** Von G. Lahmeyer 4. Aufl.	—	60
— **Cato major.** Von C. Meissner	—	45
— **Somnium Scipionis.** Von C. Meissner. 2. Aufl.	—	45
— **Tusculanarum disp. libri V.** Von O. Heine. 3. Aufl. in 2 Heften	2	70
— **de finibus bonorum et malorum.** Von H. Holstein	2	70
— **Rede für Cn. Plancius.** Von E. Köpke. 2. Aufl.	1	20
— **Rede für P. Sestius.** Von H. A. Koch u. A. Eberhard. 2. Aufl.	—	90
— **Rede für Sex. Roscius.** Von Fr. Richter u. A. Fleckeisen. 2. Aufl.	—	90
— **Rede für T. Annius Milo.** Von Fr. Richter u. Eberhard. 3. Aufl.	—	90
— **divinatio in Q. Caecilium.** Von Fr. Richter	—	45
— **Rede gegen C. Verres. IV. Bch.** Von Fr. Richter u. Eberhard. 2. Aufl.	1	20
— — **V. Buch.** Von Fr. Richter u. Eberhard. 2. Aufl.	1	20
— — **für P. Sulla.** Von Fr. Richter	—	60
— **Reden gegen L. Catilina.** Von Fr. Richter u. A. Eberhard. 3. Aufl.	1	—
— — **f. Marcellus, Ligarius u. Deiotarus.** V. Fr. Richter u Eberh. 2. Aufl.	—	90
— **Rede für L. Murena.** Von H. A. Koch	—	75
— — **üb. d. Imper. d. Cn. Pompejus.** Von Fr. Richter u. Eberhard. 2. Aufl.	—	60
— **Erste und zweite Philippische Rede.** Von Koch u. Eberhard. 2. Aufl.	—	90
— **Rede f. d. Dichter Archias.** Von Fr. Richter u. A. Eberhard. 2. Aufl.	—	45
— **de oratore.** Von K. W. Piderit. 5. Aufl. Von Adler	4	50
— **Orator.** Von K. W. Piderit. 2. Aufl.	2	—
— **Brutus de claris oratoribus.** Von K. W. Piderit. 2. Aufl.	2	25
— **Partitiones oratoriae.** Von K. W. Piderit	1	—
— **Ausgewählte Briefe.** Von Josef Frey. 3. Aufl.	2	25
Cornelius Nepos. Von J. Siebelis u. Jancovius. 10. Aufl.	1	20
Curtius Rufus. Von Th. Vogel. I. Bändchen. Buch III—V. 2. Aufl.	2	10
— — *II.* **Bändchen.** Buch VI—X. Mit 1 Karte. 2. Aufl.	2	25
…osthenes' neun philippische Reden. Von C. Rehdantz. 1. Heft. 6. Aufl.	1	20
2. Heft. I. Abth. 4. Aufl. *M.* 1. 50., II. Abth. Indices. 3. Aufl.	1	80
…e Römische. Von B. Volz. 2. Aufl.	1	80
Phoenissen. Von G. Kinkel	—	





